χειρὶ δ' ἄναλκις ἐοῦσ' οὔτ' αἰγίδα, οὐτέτι δόρυ
ἔσχεθεν, ἀλλ' ὀλοοῖς ἧκε φέρειν ἀνέμοις.
Νεύστασσεν τρυφάλεια, μελέων δ' ἄπο ἔκφυγε θυμὸς,
οὐδὲ δύης ἀρχὴν, οὐδὲ τέλος νοέει.
« Ἦ μέγα δὴ τόδε χρῆμα, τὸ μεῦ ἕλεν ἐνδόμυχον κῆρ

ἔκπαγλον, ἀγνώσσω τοὔνομα, ἠδὲ φύσιν·
πολλάκις ἄλλαις εἰν ὥραισιν ἀνέπτατο λύπῃ,
ὀργῇ, εὐφροσύνῃ θυμὸς ἀγηνορέων.
Ἀλλὰ τόδ' ὅττι πάθω φλογερὸν κακὸν ἦτορ ἰάπτει,
ἄψεα συντρίβει, καὶ λόγον ἐξελάει,
πῦρ δ' ἅτε βρυχηδὸν ἐπιβόσκεται· ἐντὸς ἐέργω
Αἰτναίων πυρῶν αἰνοτέρας δαΐδας·
καὶ πῦρ μοι πόθεν ἧψε· τὶ δ' ἵεμαι; Ἆ τί με θυμὲ,
παίζεις; ἔρρ' ἀπ' ἐμῶν, ἔρρε κακὸν πραπίδων
τεῦ με τεῦ ἀνδρὸς ἔμνησας; Ἀτὰρ καὶ δίψαν ἰάλλεις;
καὶ πόθον; οὐ χλιδῆς εὖχος ὕπερθεν ἔχεις;
εὖχος ὕπερθεν ἔχεις; σὺ τὶ θ' αὖ κακότητος ὑποδμὼς
αἰσχροῖς ἔβλαψας Παλλάδος ἀφθορίην;
Ὦ παῖς, ὦ τέκος, ὦ χρυσῆς ἄμπνευμα τεκούσης,
ὦ γήθους ὀδύναι πουλὺ ποθεινότεραι·
ὦ μακάρων ἀνάριθμα μακάρτατοι, οἷσιν ὀπηδεῖ
τέκνα φυῆς, ζωὴ οὔτι μαραινομένη.
Ὡς ὄφελόν γ'· ὄφελον τῷδ' ἤματι πότμον ἐπισπεῖν,
ὅτε νέον κεφαλῆς ἐξέθορον Κρονίδου.
Αἰδέσθητι νόος, σοφίης φθόρε, τέκνα τοκεῦσιν
τίκτονται ποθεινῆς παρθενίης ὀλέθρῳ.
Παλλάδι δ' ἀφθορίη ἐρατὸς πόθος. Ἤματα πάντα
παρθένος ἔσεσθαι ὤμοσα· τῶς γὰρ ἅδεν.
Ἀββάλε μηδ' ἐγένοντο γοναὶ, μὴ νήπια τέκνα
τοῖς ὑπέροπλον ἕλον πῆμ' ἄφρονες τοκέες.
Ἀλλὰ Ζεύς μ' ἐφύτευσε νέον γονόεντι καρήνῳ,
καὶ Βάκχον μηρῷ, οὐδέτ' ἔχρηνε δέμας·
καὶ Παλλὰς τεύξει πανομοίϊον, ἔκτοθ' ἀρωγῆς
ἄρσενος, υἷα λάβοιμ' ἄφθορος Οὐρανίδαις·
καὶ κορυφῇ κύσσω· κορυφὴ Διὸς ὦπασ' Ἀθήνην,
μούνῃ ἐπεὶ θυγατρῶν πάντα πατρῷα φέρω.»

Ὣς φάτο, καὶ ταχυεργὸς ἀπείριτον ἶνα καρήνῳ
συλλέξασα μελέων πολλὰ περιφρόνεεν.
Μήδετο πρῶτον μὲν Μοιράων ἀμετάτροπον ἔργον,
πῶς ἀτρόποισι λίνοις ὥρισαν ἀπλανέες·
βηλοῦ τ' ἀστερόεντος, ἰδ' οὐρανίων φύσιν ἁγνὴν,
γαίης καὶ πόντου σύμφυτον ἀγλαΐην·
νερτερίων τε βέρεθρον ὅπῃ ἀγαθοῖς καὶ ἀθέσμοις
πρήξεων ἐκρίθη πᾶσιν ἄεθλα, τίσεις·
φράσσατο ἡμερίων τε πόλεις, καὶ ποικίλον ἦθος,
μῆνιν ἀταρτηρὴν, καὶ δολόεντα γέλω,
καὶ φόνον ἀλλοπρόσαλλον, ἰδ' αὖ πεδίων ἀλεγεινὰς
δηώσεις, ἱρῶν τ' ἔξοχα δουλοσύνας·
ἠδὲ πάλιν πόρφυρε σοφῆς εὑρήματα τέχνης,
ὀργὴν παύουσιν ταῖσι Θεῶν θυσίας,
νηῶν θ' ὑψιρόφων αἰπεινὰ τέραμνα, περίπλους,
μολπὴν, ναυτιλίην, ἀστροθέτημα πόλου,
ὁπλοτέρων τε βροτῶν τηλεκλυτὸν εὖχος, ἀρείω
ἀλκὴν γηραιῶν πουλὺ φαεινοτέρην·
ὅττε δὲ κάρτος ἔειπε, θεώτερον ἐστι βροτοῖσιν
νῦν πλέον, ἢ πρότερον καὶ φρένες αὐγαλέαι,
δὴ γὰρ δὴ χάλκεος γενεὴ ἵκετο δόξης
καὶ χρυσῆ φαίνει φωσφόρος ἠϊθέων·
τήπερ ἀριστείαισι λόγων, καὶ κάρτεσι χειρῶν,
ἤδη ἐπουρανίοις ζῆλον ἄεξε μέγαν·
τοῖσιν ἴση προβέβηκεν, καὶ ἴκελος ἰσοφαρίζει
τέκνα θεῶν, υἱέων τ' οὐράνιος γενέθλη.
Ἄλλον Ποιητὴν κείνοις ἰσόμοιρον ἐφευρεῖν
χρεῖος ἔφυ, κήρυκ' ἀντιθέοιο κλέους,
ἄλλων πολλὸν ἄριστον· ἐπεὶ τίς δ' ἀείσει
ληθαίης ᾠδαῖς ἐξερύσας ὁμίχλης;
Ἦ μὴν τῶς ἐπέεικεν, ὅ μοι φίλον, εἴθε δυνάσθην,

τὸν γ' ἀπ' ἐμῆς κορυφῆς, νήδυμον υἷα τεκεῖν.
Εἴθε πατὴρ τόδ' ἔνευσε.» Πατὴρ δ' ἐπένευσεν ἀκούσας
νεύματι δ' αὖ κορυφὴ ἔγκυος, οἶσε τέκος.
Πρῶτον μέντοι ἐλαφρόν· ὅταν πάρα δ' ἤματα ἦλθεν
πολλά, βρεφός τε χρόνῳ ἄψεσιν ηὐξάνετο·
δὴ τότε Παλλαδίης κορυφῆς ηὐρύνετο κόλπος,
καὶ στείνοντ' ἶνες δριμυτέραις ὀδύναις·
αὐξομένῳ τε βρέφει γε συνηύξανεν, ἄχρις ἐς ὄγκον
ἀργαλέον, κάματος δ' οὔτι φορυτὸς ἔφυ·
καὶ μήνιγγες ἄατον ἐπέκτυπον· ἀσταθέες δὲ
συστρωφῶντο πόδες σφαλλομέναισι πάλαις.
Ὡς δ' ὅτε διψαλέοισιν ἐπ' οἰνηροῖς τε δεπάστροις
φῶς τις ἀκηδέστως χανδὸν ἄφυσσε μέθυ,
ἔνδοθεν οἱ νόον αἰθύσσει λαθικηδέος οἶστρος
ἰκμάδος, οὐδὲ φέρειν ἔσχεθε κρᾶτα λάρυγξ,
ὀφθαλμοὶ δ' ἐπέδηθεν, ἕδος δ' αὖ, καὶ λέχος αὐτὸ
δινεῖσθαι δοκέει ἄστρα πόλου θορέειν,
βαμβαίνων δὲ κροτοισιν ἀπεικότα βάζει
πολλά θ' ἃ μὴ λεχθέντα, εὐρὺ ὄνειαρ ἔην.
Ὡς τότ' Ἀθηναίης περιδινήθησαν ὀπωπαί,
ἡ δὲ πίεζε κάρη αὐξομένοιο βάρος·
αἰεὶ γὰρ σοφίης σθεναροῖσιν ἐδέσμασι φέρβεν·
γέντο δὲ παννῆμαρ καὶ πάϊς εὐρύτερος.
Ὡς δέ μιν ἐκ σκοπιῆς περιώδυνον εἴσιδεν Ἥρη
γήθεϊ παλλομένη κέρτομον εἶπεν ἔπος·
Οὕτως νῦν ἐπίκειθι, Διὸς τέκος, ἄφθορος ὄρπηξ,
καὶ στυφέλιζε Θεοὺς σκώμμασιν ἀφραδέσιν·
μηδ' ἐπὶ τῷ μεγάλαυχοι ἀγηνορέουσι γυναῖκες
ὄλβιος, οὐδὲ γονῆς ἄξιος οὐτιδανῆς·
ὁππότε παῖδα κύησας ἀγάστριον, οὐδέτι βαιὸν
τερπωλὴν ἐδάης τῇ κατέμικτο τόκος,

τερπωλὴν ἐπὶ τὴν μακάρων ἐπιμαίνεται ἑσμὸς,
ἧς τε χάριν βηλοῦ δὴν ἄπο ἱπτάμενος,
ἰσοθέοις χλιδαῖσιν ὁμοίϊος· ἀλλ' ἄρα καὶ τῆς
ἥμαρτες, ζαθέων οὐκ ἀλέγουσα γάμων·
νῦν δὲ καρηβαρέουσα διαμπερὲς ἔγκυος εἴης,
καὶ τίκτοιο βρέφη κρῆθεν ἀπαὶ βλεφάρων·
τῶς γὰρ ἴσως οἴκτιστα καὶ ὀφθαλμοὺς ἀπολέσσοις,
καὶ γνώσει μισθῷ οὐκ ὀλίγῳ βριάειν.
Κεῖνο δέ μοι πόρεν ἄλγος ἀμήχανον, ὅττι λοχεύεις
παῖδ' αὐτῶν πολλὸν κρέσσονα ἡμιθέων·
τὸν βασιλεῖς, ἥρωες, ἀρίφρονες, ἢ Θεοὶ αὐτοὶ
ζηλώσουσι κλυτῆς εἵνεκεν ἰδμοσύνης,
ἀθανάτου τε κλέους, στέρνοις δὲ μακάρτατον ὕμνον
ἄσουσιν, μαζοῖς, πατρίδι κυδροτάτῃ.»
Ζεὺς δ' ὡς οὖν ἐνόησε κόρης ὠδῖνα μερίμνης,
καὶ πρόσθεν γ' ἰκέλου γευσάμενος καμάτου,
δεξιτερὴν ἀνέτεινε, φίλην τ' ἠγκάσσατο γένναν
ἀμφιχυθεὶς, στέρνοις τ' ἔμβαλε μειλιχίοις,
ἠδὲ κάρηνον ἔκυσσε, καὶ ὄμματα πένθος ἀπέπτη,
λύπη τ' εὐθὺς ἕδρας νερτερίων μελάθρων·
ὀφθαλμοὶ δ' ἀνέγερθεν, ὑπέκφυγε κόμπος ἀνίης·
στήριχθεν ταρσοὶ· ζήτεεν αὖθις ὅπλα·
ὦ τέκος, ὦ ὠδῖνες ἐπουρανίοισι ἀγηταὶ,
ὦ κορυφὴ πασέων ἀκρόπολις Χαρίτων,
πόσσα γε, πόσσ' ἀνέπνευσε θεόσδοτα δῶρα λοχείῃ,
πόσσα ἀπ' αἰθερίου στήθεος ὠπάσατο.
Ἔξοχα δ' αὖ Μουσέων καπυρὸν στόμα, ἄκρον ἄωτον
ὑμνοπόλων, Φοίβου τ' ἠγαθέην κιθάραν,
ὄφρ' ἀρχὸς πάντεσσιν ἄει λογίοις καὶ ἀοιδοῖς,
μηδέτι Φοῖβος ἔῃ ἡγέτα Μουσοπόλων·
ὤπασε τὰ πρό τ' ἐόντα, τὰ τ' ὄντα δαήμεναι αὐτῷ,

ἐσσομένων τε πόρει οὐκέτ' ἐόντα λόγον.
Τὶς τάδε μυθήσαιτο, τὰ οἱ τότε δῶρ' ἄναγε Ζεὺς,
μᾶλλον φύλλ' εἴποις, ἢ ψαμάθοιο κόνιν·
ὄμμασιν ὅσσα δέδορκας ἑνὸς χερὸς ἔργον ἐτύχθη,
ἠδ' ἐκτὸς τὰ νοεῖς οὐρανίων λαγόνων·
αὐτοῦ στέρνα τίθησι βραχίονας, ἄψεα πάντα,
ἠδ' ὅσσην ἀλκὴν ἐντὸς ἔχει μελέων,
Παλλάδι τεξομένῃ κειμήλιον ὄφρα Θεάων
πολὺ ἄριστα τέκῃ βροτοῖσι πρόμον.
Παλλὰς δ' οὖν δόρυ πάλλε, λόφον δὲ καρήατι θῆκεν,
ἠδὲ σάκος λαιῇ, ἔκθορε τ' ἐσσυμένως,
καὶ τροχαλοῖσι πόδεσσιν ἀπ' αἰθέρος ἀΐξασα
Αἰγαίῳ πελάγει νῆσον ἵκανε Χίον,
ἀλλάων πρωτίστην, γεραρώτατον ἔθνος Ἰώνων,
καὶ ναετῶν ἀρεταῖς μᾶλλον ἀγαυοτέραν.
Ἧχι γὰρ αἰπύδμητον ἀνορθώσαντες Ἀθήνῃ
ναὸν, θαῦμα νέον κάλλεσιν οὐρανίοις,
δώροις τ' ἀφνειοῖσι, Δρακοντολέτειραν ἐτίμων
Παλλάδα, οἱ χαρίτων τ' ὤπασαν ἀντὶ χάριν.
Δὴ γὰρ ἐν ἀμφιλαφεῖ Πελληναίοιο κορύμβου
βήσσῃ ὠμηστὴς συριάασκε δράκων,
μήκιστός γ' εὖρος πελώριος, οὔρεσιν ἶσος,
δεινὸς ἰδεῖν, πνείων λαμπάδας ἰοβόλους,
ὅττε δ' ἀκανθοφόροις κυρτούμενος ἕρπεν ἀν οὖδας
σπείραις, σχῆμα ἐδίδου ἀμφιπέδων ὀρέων.
Κνώδαλα γῆς, ἀέρος τε γένη, καὶ ἔθνεα φωτῶν
ἰυγήν τ', ὄψιν τ' οὐκ ἠνέχοντο, φόβῳ·
ἀμφιχανὼν δὲ φάρυγγα πετάσσατο, χάσματος εἴποις
οὐδαίου, σπειοὺς τ' ὕψος ἀφεγγὲς ὁρᾶν·
πώεα καὶ δαμάλεις, ἵππων τ' ἀνάριθμον ὀπώρην
χείλεσιν οἰγομένοις ἐξελάφυσσε μόνοις,

ταῦτα δ' ἀποβροχθέντα κατέρρεεν ὥσπερ ἐς ἅλμης
βένθεα, ἠὲ βυθὸν νερτερίων βερέθρων.
Πήματι δ' ἐστείνοντο πόλεις, καὶ μῆχος ἰδόντες
εὐφραδίης βροτέης οὐδὲν ὄνειαρ ἔχειν,
χεῖρας ἀνασχόντες πάτριον λιτάνευσαν Ἀθήνην,
ὄφρ' ἄτην ἐλάσῃ εὐμενέουσα φίλοις.
Νεῦσεν Ἀθηναίη, ἀπὸ δ' ὤσατο δεινὸν ὄλεθρον,
καὶ ναέταις ἐρατὴν θῆκεν ἐλευθερίην·
βυκτάων γὰρ ἔχευ' ἀνέμων ἐρίπνευστον ἀϋτμὴν,
δένδρεά τ' αὐλῶνος ἐξετίναξεν ὅλα·
τῶν δ' αὖ ῥηγνυμένων ζαμενοῦς λαίλαψι θυέλλης,
καὶ συντριβομένων ἄσπετον ὦρσε φλόγα·
δαιομένου τε πυρὸς μέγ' ἐρόχθεεν ἄσπετος ὕλη,
καιομένων τε φυτῶν δὴν μεγάλ' ἀμφιλάκε·
μέχρις πάντ' ἀμάθυνε, καὶ ἐς κόνιν ἤγαγε φλέγμα,
τοῖσι συνεφλέχθη εἰλικόεις τε δράκων·
οὐδέ οἱ ὅπλον ὄνησεν ὑπὲρ ῥάχιν, οὐ δέρος αὐτῷ
ἀντίτυπον φλογέαις καὶ Διὸς ἀστεροπαῖς·
οὐδ' ἰὸς τὸν ὑδέουσι πυρὸς πανυπέρτερον ἔμμεν,
οὐδὲ πόδες πτηνοί· φλοξὶν ἅπας ἐδάμη,
φλοξὶν Ἀθηναίης νηλειέσι· ταὶ δ' ἄρα πάντα
φλέξαν ἀκηδέστως, οὐδ' ἀλεή τις ἔην·
ὣς οἱ μὲν ζαθέαις μόλις ἐξεσάωθεν ἀρωγαῖς,
καὶ χάριν εὐέρκτῃ εἴδεον ἐξοπίσω.
Πρῶτα μὲν οἶνον ἔλαβον, ἰδ' ἄπλετα μηρία καῖον,
καὶ θυέων ὀδμῇ πᾶς ἐμέθυστο δόμος·
πολλὸν δ' ἀμφιχέοντες ἀπὸ κρητῆρος ὀδώδει
λαρὸν ἄλειφαρ, ἕδος δ' ἀμφιπέπληθε θύοις·
παρθενικὴ τ' ἀρήτηρα θυώδεος ἔνδοθι ναοῦ
εὔχετο πρὸς βωμὸν καλὸν ἰεῖσα θρόον.
« Παλλὰς Τριτογένεια, Διὸς τέκος, Ἀτρυτώνη,

παρθένε μουνογενὴς, ἀρσενόθηλυ Θεὰ,
ἣ πέδον ἀμφιβέβηκας Ἐρεχθέος, ἄστυ τ' Ἀθηνῶν,
Δαυλίδα καὶ Κύρρον, καὶ Ἀράκυνθον ἔχεις,
Ἀστυρά τ', Ἀσσησὸν, Μαγάρσου τ' ἄκρα κάρηνα,
Βούδειον, Λῆμνον τ', ἠδὲ Νέδον τ', Ἀλέαν,
καὶ Χίον ἣ νήσων πολὺ φιλτάτη ἐστὶν ἁπασέων.
Σοὶ Παλλὰς, περὶ ἧς κηδομένη βριάεις,
ὡς γενέτειρα γόνου, καὶ πρὶν μὲν ἄμυνας ὀλέθρους
ἄμμιν ἀπειρεσίους, νῦν τ' ἀπέσεισας ὄφιν·
τεῦ τε Δρακοντολέτειραν ἐς ὕστερον αἰὲν ἐνίψει
ἥδε πόλις γλυκερὴν Παλλάδ' ἐπωνυμίην,
αἱ δ' ἕτεραι πεύσονται ὁμοίϊα δῶρα κομίζειν
ἀντ' εὐεργεσίης τοῖσι χαρισαμένοις.
Κλῦθί μευ εὐχομένης, νήσου γεραρώτατον ἔθνος
ἀσκηθὲς παντὸς πήματος εἶα, σάω·
καὶ προλιποῦσα πόλον, βαιόν γε φιλαίτερον οὖδας
εἴσιδε, ἀφνειῶν τ' αὖξε δόσεις κτεάνων.
Εἶ' ἄγε δεῦρο κίοις μόλε μοι, μόλε, δῖα Θεάων.
βαῖν' ἴμεν ἂν τέμενος· βαῖνε τάχιστα, μόλε.»
Οὔπω μῦθον ἔειπε, καὶ ἤλυθε Παλλὰς Ἀθήνη
πτηνὸν ἄτ', ἠγαθέῳ δῶρα τ' ἔπλησε φάει.
Τοὶ δ' ἄνεω ἔστησαν, ἀτὰρ τόδ' ἐναίσιμον ἔμμεν
φάντο φάος, καὶ νεῷ Παλλάδα ἱσταμένην.
Ἔνθεν ὁμογλώσσοις ἀραῖς ἐπεφώνεον ὕμνον
καὶ δακρύοις δεύονθ' ἥδεσι παλλόμενοι.
Μέσφα δ' Ἀθηναίη θυέεσσιν ἰαίνετο θυμὸν,
καὶ Χίοις ἀρετὴν, ἠδ' ἐπέκλωθε κράτος,
ὄφρα μεθ' Ἑλλήνεσσι πέδου, πολιῆς τε θαλάσσης
ἄρχοιεν πεζῇ, ναυσιδρόμῳ τε βίᾳ,
καὶ Πέρσην ὀλέσειεν ἀφαυροτάτη στόλον ἀλκῇ,
θυμῷ δ' αὖ πολέες μυριοχιλιάδες·

μοῦνοι γὰρ νιφάδεσσιν ἐοικότα ἢ ψαμάθοισι
λαίφεα βαρβαρικῶν χερσὶν ἐπ' ἀκαμάτοις,
ἄλλων νηρίθμοιο ὑποτροπίαισιν ἀϋτῆς
πότμον ἀλευομένων ἔμπεδον αἰρόμενοι,
καί μιν ἀμαλδύναντες ἔχοιεν ἀγήραον εὖχος,
εἰ μὴ Ἑλλήνων δῆος ἄασεν Ἄρης.
Δεινὸς Ἄρης, κρατερῶς γὰρ ἐπ' ἀνέρας ὁρμήσαντες
φθίσουσ' ἀντιβίους δρηστοσύνῃ μελέων.
Ἐσθλοὶ δ' αὖ γεγαῶτες, ἅδην ἀπὸ θυμὸν ὀλοῦνται,
εὐκλεᾶ ἀνθ' ὕβρεως μοῖραν ἀμειψόμενοι,
ἀνδράσι φυζαλέοις στήλην λαλέουσαν ὀνείδη,
ἐξ ἐσθλῶν φῶτες μανθάνετ' ἐσθλοὶ ἔμεν.
Ταῦτα μὲν οὖν κρήηνε· γόνος δὲ ἐπ' οὔασιν εἶπε.
« Νῦν χρόνος, ὦ μῆτερ, κλεῖθρα λιπεῖν κορυφῆς,
ἠέλιόν θ' ὁρόωντα νέαις τε τέρπεσθαι ἐδωδαῖς·
μή με κάρητι, Θέα, μή με κάλυπτε πλέον·
οἶξαι δεσμὰ τέλεια, θυρέων ἀνάκλινον ὀχῆας,
καί με λόχευσε, τέκευ, δὸς φάος, ἦρα πόρει. »
Ἔννεπεν· οὐδ' ἀπίθησε λεχωΐδες ἦγον ἀνάγκῃ
Ὧραι, καὶ Μοίρῃ ὦσε βιαζομένῃ.
Ἡ δὲ γ' ἀλευαμένη ἐριούνιον ἵκετο χῶρον,
εἵποις οὐρανίοις προσφιλὲς οὖδας ἔμεν.
Κύψε κάρη, φοίνικι δ' ἐρείσατο, ἀγνὸν ἐλαίης
πτόρθον θλιβομένη, κλωσὶν ἀνῆψε σάκος,
καὶ δόρυ, καὶ τρυφάλειαν ἀπὸ ἕο θῆκε χαμᾶζε·
« οὐ γὰρ, ἔφη, χρείω ὑμνοπόλοισιν ὅπλα. »
Τόφρα δ' ἐπιρρήξασα πέδας, συνοχεῖς τε καρήνου,
ρεῖα μάλ' ἐκ κόλπων θήκατο παῖδα μέγαν
Παλλὰς Ἀθηναίη μεγάλη θεός. Ἦ γὰρ ἔεικεν
μείζοσιν ἐκφῦναι τοῖσι θεοῖς μεγάλους.
Αἶθρα, πέδον τε γέλασσεν, Ὄλυμπος ἀρείοσιν αἴγλαις

σεισάμενος νεφέλας βῶλον ἐφεγγοβόλει.
Οὐρανίδων τ' ἀφίκανεν ὁμήγυρις ἄλλος ἐπ' ἄλλῳ,
Ζεὺς, Ἑρμῆς, Παφίη, Ἥλιος, Ἀτρυγέτης,
Ἀδρήστεια, Θέτις, Νυμφῶν πολυποίκιλος ἐσμὸς,
Μοιράων, Χαρίτων, Μήνη, Ἐνυάλιος,
καὶ Κρόνος, αὐτὸς Ἔρως, Ἥρη τ' αὐτόσσυτος ἦλθε
μήνιδος ἀμνήμων· τὼς γὰρ ἔτελλε πόσις,
Παλλάδος ὄφρα τόκος πᾶσιν τιμάοχος εἴη,
καὶ πάντων δώροις κύδιμος ἀντιάσει.
Ζεὺς πρώτιστος ἔδωκεν ἄναξι γεράσμιον εἶναι,
Ἑρμῆς ἡδυλόγως ἦτορ ἄγειν χθονίων·
ἀγλαΐην Παφίη, σοβαρὸν δ' ἐτέλεσσεν Ἀπόλλων,
ἀλλὰ Ποσειδάων ἰδμοσύνην ῥεέθρων,
Ἀδρήστεια δίκην γε, Θέτις νόον, ἔνθεον ἦθος
Μήνη, τολμηρὸν δ' ὁ βροτολοιγὸς Ἄρης,
καὶ Κρόνος ἀστυφέλικτον, Ἔρως δ' ἐνέπνευσε ποθητὸν,
Ἥρη προσφῦσα γόνῳ ᾔνεεν ἀζομένη,
καὶ βρέφεος χαρίτεσσιν ἔτι ζηλήμονι κέντρῳ
οἰδαίνουσα μάτην τοῖον ἔειπεν ἔπος.
Τοῖοι παῖδες ἔασσιν ὅσοις φίλον υἷα λοχεύειν,
οὐχ οἷος μοι ἔφυ πικρὸν ἔχουσι τέρας·
αἴ γὰρ ἀπ' ὠδύνων ὤναιντο λεχωΐδες. Εἴθε
καὐτῇ τοῖον ἔβη, νῦν δὲ δόλῳ μογέω
Παλλάδι τὸν τέκτηνα· πόσις δέ μοι οἷος ἀπ' ἄλλων
ταῦτα μέγηρεν, ἀεὶ μήδεσιν ἀντιόων.
Ἀλλὰ γόνων μακαριστὲ, τύχην ἀμετάστροφον ἕξεις
ἠδ' εὐδαιμονίην οὔποτ' ἐπερχομένην
τεύξεις τ' ὄλβιον ἄλλον ἐπίφθονον. Ἦ γὰρ ἀφῆκας
εὐτυχέας φθονέειν, κέρτομα τοῖσιν ἔφης.
Ἦ, καὶ κοῦρον ἔκυσσε, φίλοις δ' ἐπεθήκατο κόλποις
Μοιράων, ταὶ κλῶσαν παιδὶ δόσεις μακάρων.

Καὶ Χάριτες Νύμφαισιν, ὅπως θρεπτήρια δοῖεν
ὤπασαν, ἀφθάρτων δωροφόροι χαρίτων.
Ἑρμείης καὶ Φοῖβος ἐπιχθονίους λίπον' εὐνὰς
ἀμβροσίης τε πόται βήλιον ἕδραν ἔδην.
Ἑρμῆς δῶκε λύρην, κιθάρην ὤρεξεν Ἀπόλλων,
ὄφρα πέλωσιν ἐπῶν ἔμμοροι ἀντιθέων,
παῖδα κάλεσσαν Ὅμηρον, ἐπεὶ ὁμοῦ ἦρα διδόντες
Παλλάδι γῆν ἐπέβαν Οὐράνιοι ναέται·
δῶρά τε δωρήσαντο, ἰσόχρονον ὄνομα κόσμῳ,
εἴκελον αἰώνεσσ', ἱρὸν ἀθανασίᾳ·
οὔνομά μοι πολυγηθές, ἐράσμιον, ὄλβος ἀνάκτων,
ὑμνοπόλων Μούσῃ, κῦδος ἀρηϊμάχων,
ἐκ σέο χῶρον ἔρημον ἐπικλήσουσιν Ὁμήρους,
ἔνθ' οἰκεῖν δέδοται λωϊτέροις ναέταις·
ἠδὲ θ' Ὁμηριδέων γένος ὄλβιον ἤματα πάντα
ἀνθήσει Μούσης ῥήτορες ἡδυθρόου·
ἀλλ' ἐπέων ῥαπτῶν τὰ πρὶν ἤπυε πλῆκτρον Ὁμήρου
συλλεχθέντα δ' ἐφ' ἓν λαρὸν ὕφηνε μέλος·
καί τις ὀπιστογόνος, τοίης ἀπὸ πίδακος ἔρνος
κηδιόων τελέθειν ταυτὸν ἀοιδιάσει,
ὑμνήσει τε τόκον, γεραρὸν πινυτόφρονι Μούσῃ
κλεῖος Ὁμηρείοις κύδεσι μαιόμενος
πανδειλοις δ' ἐν ἔτεσσι, βροτοῖς τ' ἀδαήμοσι πάντων
σιγῶσ' ὅττε λόγοι, Μοῦσα τ' ὄλωλε πρόφρων.
Οἰκτρὰ δὲ καλὰ τέτυκτο ἀποτμοτάτοισιν ἐν ὥραις
Ἑλλήνων, δηΐαις κύρμα δὲ γέντο βίαις·
οἵ σοφίης ὀλέσαντες ἀριπρεπὲς εὖχος, ἄατόν
τ' ἠνορέην, ζεύγλην βαρβαρικὴν ὑπέδυν·
δὴ τότε ποικιλόφωνος ὅπως μελίγηρις ἀηδὼν
ἠχήσει νεαραῖς ἁρμονίαις ἐπέων·
τόσσον ἐφημερίων ἀτυχέστατος, ὅσσον ἀοιδαῖς

καίνυτο πρωτίστους, αὐτὸς ἄριστος ἐών.
Οὐ γὰρ Ὁμηρείης Μοῖραν προφερέστερον ἕξει,
κλώθησαν δ' ἶσαι ἀκροσόφοισι τύχαι.
Εὖτε δ' Ὅμηρος ἔβλαστε παλίντροποι ἦλθον Ὀλύμπου
αἰπὰ μέλαθρα Θεοί, τοῖς μέτα Παλλὰς ἴει.
Νύμφῃ γὰρ παρέθηκε Κριθηΐδι, τὴν περὶ πολλὰ
φίλατο Νυμφάων, προσφιλίους ὀδύνας.
Ἠδέ μιν ὡς ὑπέδεκτο Μέλητος εὔρρυτον ὕδωρ
τέλλε φορεῖν ἰδίαις κεδνοτάταις ἑτέραις·
κεῖναι δ' εὐθὺς ἄρυσσαν ἄπαι ποταμοῖο ῥοάων,
ἔνθ' ἀχραάντοις ῥεύμασιν εἶρπε Μέλης,
ἄγγεσιν ἀργυρέοις, ἀπὸ δὲ χροὸς ἔκβαλε πάντα
λύματα, φαιδρύνθη δ' ὡς νιφάδες χιόνος,
καὶ δέμας φέγγος ἴηλλεν ἀπόπροθεν, οἷα κατόπτρου
δῖσκος ἀκοντίζει ἀντίος ἠελίου·
καὶ χλιαρὸν μείδησε σεσηρότι κοῦρος ὀπωπῇ
βομβήσας ἁπαλὸν, βόμβος ἀοιδὸς ἔφυ·
καὶ γὰρ ὑπεψιθύριζε θεηγόρον ὄσσαν ἀείδων
ἡρώων, μακάρων τ' ἔργα περισσὰ, μόθους.
Βουγενέες δὲ πέτρης Σιμβληΐδος ὁρμήσασαι
χείλεσιν ἀκροτάτοις δηρὸν ἀμελξάμεναι,
λείρια κηώεντα, καὶ ἱμερόεσσαν ἐέρσην
κρήνης ἐξ ἱερῆς Πιερίοισι νάπαις,
ἄνθιμον εἶδαρ ἔδοντο, ἐπὶ στομάτεσσι δ' ἰοῦσαι
παιδὸς νᾶμα χύδην πήγασαν ἀμβρόσιον·
χανδὸν νέκταρ ἄφυσσε, μελιρραθάμιγξι δ' ἐέρσαις
εἰργόμενον βλεφάροις μείλιχος ὕπνος ἔχε.
Καλλιόπη δ' ἤχησεν ἐφύμνιον· αἱ δέ γε Μοῦσαι
ἄλλα ἀντήχουν γήρεσ' ἀμοιβαδίοις,
Παλλάδος οὐρανότευκτον, ἀδέμνιον ἄρσενος εὐνῆς
οὐ γαστρὸς, κόρσης δ' ἔμβρυον αἰθέριον.

Εὔδοις καλὸν ὕπνον παλινάγρετον, ἥσυχον εὔδοις!
εὖδε, βρέφος, καμάτων φροίμιον ἐσσομένων·
ἤδη γὰρ γενεῆφι νεώτατος οὖδας ἐάσσεις
πάτριον, ἀλλοδαποῖς ἀνδράσι μιγνύμενος,
ἄρτι νέοις ἐχέμυθος, ἔτι χνοάωσιν ἰούλοις
ἕρψεις ὑστατίης πείρατα ναιομένης,
οὐδέ σοι ἑσπερίης, οὐδ' ἔσσεται ἄκρον ἑώης,
οὔτ' ἐν μέσῳ γῆς ἄδρομα. οὐδ' ἄβατα,
ἀλλ' αἰεὶ πολέων δεδαημένος ἤθεα φωτῶν
σοὶ θήσεις ἄλλων πταίσματ' ἄριστα φρόνιν·
ἡγεμόνων συνόμιλος, ἀριστογόνων γένος ἀνδρῶν
κηρύξεις, νεικέων ἐργατίνας κακίης.
Τίς δὲ πόνους, τίς ἄλην, τίς ἐπιχθονίων δόλον εἴποι;
ᾗ περὶ πάντων σε Ζεὺς ἐνέηκε πόνοις·
ἀλλ' ἄχραντος, ἄθικτος ἐτώσια μήχεα ῥέξεις,
ὥστε φάος Φοίβου λύμασι καὶ κονίαις
ἠδ' ἄλλοις φορυτοῖσι πεπαλαγμένον ἄσπιλον ἕρπον,
οὐδέποτ' αἰσχύνει μαρμαρέας δαΐδας·
ἃ πόσσα σῇσι φρένεσσι, τὰ μὴ σθένεν ἄλλος ἐφευρεῖν,
μαιόμενος τελέσεις τέρμα ποθητὸν ἄγων·
πόσσα κακαῖς λήθῃσιν ἀϊστωθέντα πρὸς αἴγλην
ἄξεις, παντοίοις κοινὰ θέλουσιν ἔχειν·
πόσσα κατὰ σκοτίην σθεναρῶς ῥεχθέντα, καὶ ὅσσοις
λάθρια σὺ προφανεῖς οὔασι, καὶ βλεφάροις·
πόσσα γραφῆς ἀέκητι ἀνωΐστοις καὶ ἀπύστοις
κείσονταί γε χρόνοις· γράμμασι δ' οἶσας ἄκος·
πόσσα Θεῶν δήνη κόλποις ἂν ἔκρυφθεν Ὀλύμπου,
εἰ μὴ σαῖς σελίσιν πάντα κατηγλάϊσας.
Μέλψεις ἱερὸν ἄστυ Ποσειδάωνος ἐφετμαῖς
πυργωθὲν, Φοίβου τ', Ἴλιον ἀκαμάτην,
ἄκραν τ' Ἰδαίην, Ξάνθοιο ῥοάς τε, Σκαμάνδρου,

καὶ στίχα νήριθμον τῶν ἀκαμαντομάχων,
καὶ νεῶν πουλυέλικτον ἐπὶ ῥηγμῖνι θαλάσσης
ὄχλον ἀπ' Ἡφαίστου δεινὰ βιαζόμενον.
Ἕκτορα Πριαμίδην, πολεμόκλονον Ἄρεως εἰκώ,
Αἰνείαν τε Θεᾶς ἡμιθέην γενέθλην,
Γλαῦκον, Δηΐφοβον, Σαρπηδόνα, Ῥῆσσον, ἐν αἰχμῇ
πάντας θαρσαλέους, πάντας ἀριστομάχους·
μέλψεις χαλκοχίτωνας ἐνυαλίους πολεμιστάς,
Ἕλληνας Τρώων πολλὸν ἀρειοτέρους,
Νέστορά τ' ἐγρεκύδοιμον, Ὀδυσσῆα πτολίπορθον,
Αἴαντας δισσοὺς ἀστεροπὰς πολέμου·
κυδάλιμον Μενέλαον, ἐϋμμελίην Διομήδην,
εὔφρονα Μηριόνην, Ἰδομενῆα μέγαν,
Κεστορίδην Κάλχαντα, καλὸν Ἀχιλῆος ἑταῖρον,
καὶ Φοίνικα τροφὸν, Νέστορος Ἀντίλοχον,
βουλαῖς, χερσὶ πολὺν τ' Ἀγαμέμνονα ὄρχαμον ἀνδρῶν,
Ἑλλήνεσσιν ἴσην πᾶσι νέμοντα θέμιν.
Καὶ βαρὺν ἐν πολέμοισι, βίας πνείοντ' ἀτεράμνους
πύργον ὁμοζυγέων, καὶ πυρὸς ὀξύτερον,
θυμὸν ἔχοντ' ἀδάμαντος, ἔρεισμα σιδήρεον ὄχλων,
ἀλκῆς σκηπτοῦχον, τειρομένοισι σέλας,
εἰναλίης Θέτιδος Πηληϊάδην Ἀχιλῆα.
Τίς φύλλα; ψαμάθου τίς δεδάηκε κόνιν;
Οὐ τόσον ὑψιπόροισι πόλος ποικίλλεται ἄστροις,
οὐ τόσα βένθος ἁλὸς ναιετάουσι γένη,
οὐδ' αὖ κιννυμένης τόσα κύματα χέρσον ἐρεχθεῖ,
οὐ νασμῶν τόσσας ἀθρέομεν σταγόνας,
ὅσσος ἄρ Ἡρώων ἐσμὸς περιάμφεπε Τροίην,
τῶν οὔνομ' αὐδάζειν μοῦνοι ἴσασι θεοὶ,
καὶ μούνῳ δώσουσι φίλα φρονέοντες Ὁμήρῳ
ταῦτ' ἐρέειν· τοίη σ' ἀμφιβέβηκε χάρις.

Μνήσεαι εὐγενέος, τῆς αἵματος εὔχεαι εἶναι,
ἠϋκόμου Ἑλένης ἣν ὑπόκλεψε Πάρις,
ἥν τε διὰ πτόλεως ἱρῆς κρήδεμνα θεμέθλοις
αὐτοῖς στρέφθεν ἄνω, ἠδ' ἀπέλυντο κάτω,
καὶ γοερὸν στενάχουσα πικρὸν κατὰ δάκρυον εἶβεν
γυμνωθεῖσ' Ἑλλὰς τοσσατίων προμάχων.
Ὅττε δὲ γηράσκοντι παραδράμῃ ὀξυλαβὴς ἶς,
μυρία δὲ κτήσῃ ἀμφιλαφοῦς Σοφίης,
σώφρονα Πηνελόπειαν, ἀναιδέα κόμπον ὁμοκλῆς
μνηστήρων, γεραροῦ Λαρτιάδαο πλάνην,
ἠδ' ὅσα κεῖνος ἔρεξεν ἀλώμενος, ἢ μετὰ Κίρκης,
ἢ μετὰ Σειρήνων, ἢ μετὰ Λωτοφάγων,
ὡς Κύκλωπ' ἀλάωσεν ἀνάρσιον, ὡς ἔθεν ἄταις
Ἀντιφάτην, Πλαγκτὰς δ' ἵκετο, ἠδ' Ἀΐδην,
καὶ σπέος ἶκε Θεᾶς, μέγαρον, πρασιάς τε βεβήκει
Φαιήκων, ἐρατὴν πατρίδ' ἵκανε μόγις·
ἔνθα πάλιν μενέος μεμνημένος ἄνδρας ἀπέκτα
λυσινόμους, κτεάνων ἅρπαγας ἀλλοτρίων,
Πηνελόπην τ' ἐσάωσεν ὑπερβασίης ἀλεγεινῆς,
καὶ δόμον, ἠδ' ὕβριν κάββαλε Τηλεμάχου.
Ταῦτα μὲν εὐφρονέων ποτιμέλψεαι, ἄλλα δὲ παίζων,
πᾶς πάντεσσι γεγῶς, πάντεσιν ἦρα φέρων.
Ἄστεα δ' αὖ τὰ κόσμησας ἐριζήλοισιν ἐν ὕμνοις
ἕξεις, πλὴν ὀλίγων, πλεῖστον ἀπεχθόμενα·
σεῦ γὰρ ἀριστείαισι νοὸς μέγα θάμβος ἀκοῦσαι,
βασκήναντες ἄγῃ σῷ τελέσουσι βίῳ·
οἱ μὲν σοῖς ἐπέεσσι πλανώμενοι ἔνθα καὶ ἔνθα
ἁρπάξουσι κλέος σοί γ' ἐποφειλόμενον,
οἱ δ' ἅτε μαργαίνοντες φρένας καὶ νήπιον ἄνδρα
ἄστεος ἐκρίψουσ'· ὦ θέμις, ὦ κρίσιες!
ἄλλοι πτωχοσύνην, καὶ ἀτηρέα κηρὸς ἐνιπὴν

μεμφόμενοι, κλεινοὺς σοὺς ἐλάσουσι λόγους.
Μέχρι πόνοις μογέων, πάτρην παλίνορσος ἱκάνων
ἐλδομένως ἔλθῃς ἐς Χίον ἀμφιρύτην,
ἔνθα κόπων ἄμπνευσις, ἀειζώοιό τέ κύδευς
κτῆσις, καὶ κτεάνων πλουτοδότειρα χάρις.
Κεῖνοι γάρ σε τίσουσιν ἴσον φαέεσσιν ἑοῖσιν,
καὶ Θεὸν ὡς, μολπὴν ἄξιον ἐσσομένοις.
Σοί τε πόλιν δὲ κιόντι, ἢ ἔμπαλιν αὖθις Ὁμήρους
στήσοντ' ἐξ ἑδράων πρόφρονες ἀντόμενοι,
καὶ στόμα σεῦ κύσσουσι μελισταγές· ἀμφοτέρας δὲ
ἄραντες θήσουσι σὰς τεκέεσσι χέρας
εἰς κεφαλὴν, ὄφρα κηραλέην γε φυγόντες ἀνάγκην
ζήσωνται· πᾶσιν δ' ὄρνις ἄριστος ἔσῃ·
καὶ μέγαν ἐν σοφίῃ οἴσουσι πολύφρονα καρπὸν
ἀντ' ἀρετῆς, πάτρης πότμον ἐπισπόμενοι·
θηλύτεραί τε μάθωσι δόμοις ἔνι ἄνδρεσιν ἥκειν,
σοφροσύνην τε φιλεῖν ἱστὸν ἐποιχόμεναι·
ἄλλοι σε περίσημον ἀειθαλέουσι κορύμβοις
δείξουσ' ἀλλοτρίοις ὡς Ἰόβακχον ὅλοις·
ἄρσεσι καὶ θήλεσσι σεβάσμιος, οἱ σ' ἀνάριθμοι
μαστεύσουσι λυγρῆς κηρὸς ἀποτροπίην,
οἵδ' εἰς κέρδος ἀταρπὸν ἀληθέα μαντοσυνάων,
ἄλλοι βάξιν, ἀλὸς τοίδ' ἔτι νηνεμίην.
Ἀλλὰ καὶ ὡς ζήσας ἄθλων μετ' ἀπείρονα κύκλον
οὐκέτι θνητὸς ἐὼν, ἔσσεαι ἀθάνατος,
αὐτοῖς Οὐρανίωσιν ἐφέστιος εἶδαρ ἐρέπτων
ἀμβρόσιον, σύνεδρος Παλλάδι μητρὶ σέθεν·
μυρία δ' αὖ θύσουσιν ἀφαρπάξαι σε θανόντα
ἄστεα, καὶ καλέσει σφωΐτερον ναέτην,
αὐτοῖς ἐμφύντ' ἀδεῶς αὐτόχθονα. Τόσσον ἄρ' εὖχος
τοσσατιῶν φθιμένη ἐξετίναξε φρένας.

Ῥώμη παμβασίλεια, Κύπρος, Λυδίη τε, Μυκῆναι,
Αἰγύπτιαι Θῆβαι, Λευκανὶς Ἰταλίας,
Θετταλίη, Γρύνοι, Κεγχραὶ, Κνωσσός τε Μινώη,
σαῖς οὐδ' ἤβαιὸν ἐμφροσύνας γε μέτα.
Πασάων δὲ πρώτισται ἑὸν ποθέσουσι πολίτην,
ἐν δ' ἔριν ἐνστήσουσ' αἰὲν ὀρινομένην,
αἱμυλίοισι λόγοισι, νόου θ' εὑρήμασι καινοῖς,
τοῖς παίζουσ' ἀφρόνων ἠπεδανὴν κραδίην,
Σμύρνα, Ῥόδος, Κολοφῶν, Σαλαμὶν, Πύλος, Ἄργος, Ἀθῆναι,
Κύμη, ἠδ' Ἰθάκη Λαρτιάδαο πάτρη·
ταὶ δ' οὐδὲν γ' ἀπόναντο ποθητύος, ἣν τρέφον αὐταὶ,
δὴ γὰρ δὴ Μοιράων ἄλλ' ἐπέκρηνε λίνα,
καὶ Χίοις χαρίσαντο φέρειν τόσον ἄνδρα πολίτην,
πρῶτον ὅταν νήσου εἰν ἁλὶ πῆξαν ἕδρας·
τοὔνεκά μιν Χῖον καλέουσι, καλεῖ δὲ καὶ αὐτὸς
αὐτὸν Χῖον ἑῆς μνησάμενος πατρίδος.
Εἰδ' οὐκ ὧδε θανεῖται ὁ τηλίκος· ἔργον ἐτύχθη
οὐρανίων, μυριὸν τοῖς πεφίλητο Χίος·
καὶ γὰρ ἐπεκλήρωσαν ἐϋφροσύνας τε καὶ ἥδη
μοῦνον οἱ, οὐχὶ γόους ἔμπαλιν, οὐδ' ὀδύνας,
ἀλλ' ὀλίγῃ νήσῳ πενιχρῶν ἔδει αἰθυιάων
γηραιὸς λήψει ἠελίοιο φάος.
Ὀλβίη, ἣ Χαρίτων, Μουσέων τε μονώτατον ἄστρον,
καὶ κήρυκα Θεῶν σῇσιν ἔχοις λαγόσιν.
ἆ πόσα σοι Σούσων, πόσα σοι Βαβυλώνιον ἄστυ
κόσμῳ ναιομένῳ ἰσοτάλαντον ὅλῳ,
ἆ πόσα σοι Κέκροπες Γραικῶν αὐτόχθονες, ὅσσα
ἔθνεα μοιριδίοις γαυριάοντα λόγοις,
σοὶ μικρῇ, ἀκτεάνῳ τε, δυσάμμορε εἰν ἁλὶ νῆσος,
ἐχθοδοπῇ κραδίῃ ἀργαλέας φθονέσει;
Ἔγρεο δ' ἐξ ὕπνου, φίλον τέκος, ὄσσε δ' ἐπ' αἶαν

τήνδε βαλὼν, πλῆσον νέκταρος ἀμβροσίου·
γνῶθι σέθεν συνάεθλον, ἐπίπλεκε συμπολιήτας,
πρόσδεξαι φιλίως ἀμφαγαπαζομένους.
Ἡσυχίης ἅλις ἔμμεν, ἅλις βλεφάροις κνέφας εἶρψε·
ὥρη ἰδεῖν, ὥρη ἀντιάσαι καμάτων,
τοὺς ἀνάριθμος ὅμιλος ἐφιμείρουσιν ἀρίστων
ἀνδρῶν, σοῖο μόνον λειπόμενοι χάριτος.
Ἔργα γὰρ αὐτοὶ ἔπραξαν ὅσον κράτος, αἰνετὰ λίην,
ἀλλ' ἐκρύβη λήθοις οἴδμασι κωφοτέροις·
πηκτίδα σὴν ἀνάειρε, καὶ ἔξελε θυιάδι φωνῇ
ληθαίων ὑδάτων πρήξιας ἡμιθέων.
Εἰπὲ, μόνον καὶ ἔλαμψαν ἀπαὶ χθονὸς ἄχρις Ὀλύμπου
γῆς τ' ἵκανον ὄρος φέγγεος ὀξύτεραι,
αἰώνων τε περισσότεραι. Χέλυν ἆσσον ἐοῦσαν
κρέξον, ράπτε δ' ἔπος στιλπνοτάτῃ σοφίῃ,
καὶ τότε πάντες ἴδωσιν, ἀνευάξωσί τ' ἀοιδαῖς
ἔργματ', ἀριστείας, κύδεά τ' ἰσοθέων.
Ὧδε καὶ Καλλιόπεια μάλ' ἀτρεκέως τάδε πάντα
πέφραδεν, ἔστε γλυκὺς ὕπνος Ὅμηρον ἔχεν.
Ἀλλ' ὅτε δ' ἐγρόμενος Κριθηΐδος εἷλκυε μαστὸν,
χείλεσί τ' ἀφθόγγοις λευκὸν ἄμελγε γάλα·
δὴ τότε τις μεγάλαυχος ἀπόπροθι ἴχνος ἐλαύνων
ἄσθματι φυσιόων νῆσον ἵκανε Χίον·
ἀγνώσσω πόθεν οὗτος ὁ δύσμορος ἤλυθεν αἴης
Ἠῴης, εἴτ' οὖν λέχριος Ἑσπερίης·
καὶ γὰρ πάντοθ' ἄεψε πολυκλυτὸν οὔνομ' Ὁμήρου
βάξιν, καὶ γέννα ἡμερίοισι σέβας.
Κλίμακι δ' οὖν καὶ κυσὶν ἀγάλλετο, τοὺς ῥά ποτ' αὐτός
κτήμασι πᾶσι τίθει σύμβολον εὐγενίης·
οἱ δὲ λέγουσι κύνας, τῶν καὶ πέλε κρήγυος ὄσσα,
κείνους πρωτογόνου ἄψε' ἐδηδοκέναι·

κλίμακα δ' αὖ κείνην ποτὲ δήμιος ἀμπηδήσας
λαιμὸν ἀπηορίου εὐδικίῃσι θλάσε.
Ὄμμασι τέκνον ἄθρησεν, ἐτείρετο δ' ἔνδοθι θυμὸν
ζηλοσύνῃ· μώμου δ' ὡς εἶδεν ἀρειότερον,
ἐκπάγλως στονάχισσε, τόσον τ' ἠνίπαπε μύθῳ:
Ὦ τέκος, ἦρα γοναῖς Παλλάδος ἦμαρ ἄγεις;
τίς τάδε πιστώσαιτο; θεῶν τέκνα νέκταρ Ὀλύμπου
πίνοντες, χθονίου οὐκ ἀλέγουσι γλάγους·
αὐτὰρ ὅ Οὐρανίων τε λόχευμα, θεῶν τε δικαίοις
κοσμηθείς, μαστοὺς ἔσπασε θηλυτέρης·
τίς τίς ὅδ' ἐσσεῖται; κενεαῖς ᾠδαῖσιν ἐλέγξει
ὅν γένος αἰσχύνῃ κρυπτόμενον μαχλάδων·
ψευδογόνως κικλῆσκον ἑὴν γενέτειραν Ἀθήνην,
οὐδὲ γὰρ ἔστ' ἔτυμον παρθένον υἷας ἔχειν·
ἀλλὰ κάρηνον ἔφαντο· κακοὶ γοερῶς ἀπολοῦνται·
τίς γε κάρηνον, ἔφη, τεκνογόνον τελέθειν;
Πάντες δ' οὐ Κρονίδου χάριν ἔσπασαν, εἰ τόγ' ἀληθὲς
ἐκ κορυφῆς κείνου Παλλάδα ἐκθορέειν·
μύθων γηραλέων ἀπατήματα· ὁπλοτέρων δὲ
τίς φρένα θαυμάσσει ἠλεὸν, ἐσθλὰ φρονῶν;
Νῦν δ' αὖ Παλλὰς Ὅμηρον ὃν ἤροσε, κεῖνον ἀγοστοῖς
θαλπέμεν ἀγκὰς ἔχειν· ὦ ποθενῶν κτεάνων,
ὦ μακάρων θέλγητρα. Κέαξε δὲ κόμπον Ἀθήνη
ἐνθάδε κρυπτομένη, καὶ κομέουσα βρέφος,
ὀστέα τ' ἔνδον ἔθλασσε, πόδας τ' ἀνεσείρασε μακρούς,
ἄψεα δ' ὀρθὰ φέρειν ἔσχεθον οὐδὲ πόδες,
ἀλλὰ κάτω βλέψας, πέζαν τε χέρεσσι πιέσσας,
εἷρπεν ἀν' ἀτραπιτοὺς ἴχνεσι τετραπόδοις,
οὐρᾶς ἑσπομένης μηκυνομένων δὲ παρειῶν
ποικίλον εἶδος ἔδυ εἴκελον Ἀσκαλάβου·
νῶτον ἅπαν βάλιος, στικτὸς τροχοειδέσι κύκλοις

τείρεσιν ὥς· ποτὲ δ' αὖ μαιόμενος θροέειν
οὐκ ὀπὸς ἦχον ἄναρθρον ἀνήρυγεν, ἀλλότριον δὲ
ἔκτυπε, γνωστὸν φθεγξαμένῳ γε μόνῳ.
Ὡ'ς ὁ μὲν ὄσσαν ἔτισεν ἀεικέα, οὐδέποτ' αὐτὸν
οὐ Θεὸς, οὐχὶ μέροψ ὄμμασ' ἴδον φιλίοις,
ἀλλά μιν ἐχθαίροντες ἀποστροφέουσιν ὀπωπὰς,
τοῖον ἀθρεῖν αἰνῶς μῖσος ἀλευάμενοι.
Αὐτὸς δ' εἰν ὀχετοῖσι βιώσιμον ἦμαρ ἀχεύει,
αἰὲν ὑποτρομέων γειτονέοντα μόρον.
Ὅστις γὰρ λοχέοντι, μολέοντί τε κῆρα κορύσσει,
αὐτὸς πολλὸν ἄγαν Παλλάδος ἐστὶ φίλος,
καὶ κλέος αὐτὸς ὄφελλεν ἐτήτυμον, ὅττι κατέκτα
θηρίον ἐμψύχοις πᾶσιν ἀπεχθόμενον.
Καὶ τοίην βιότοιον κατέγραφεν αἶσαν Ἀθήνη,
τοῖσι λέγουσι κακῶς ἔξοχον ὑμνοπόλων,
πᾶσιν ὅπως μακάρεσσι καὶ ἡμερίοισιν ἀλιτροὶ
ξεῖνον ἐπ' ἀλλοδαπῇ ἐνδιάγωσι πόδα,
τηλόθεν ἐκ μεγάροιο πλανώμενοι, ἐν δὲ χαράδραις,
σπείεσιν, ἠδ' ὀχετοῖς νηλεᾶ οἶτον ἔχειν,
ἡμερίων ἀπάνευθε καὶ ἀκλέες· οἷσιν ὀπηδεῖ
μοῖρ' ὀλοὴ βιέαις χερσὶν ἐπερχομένη.
Αἰετὸς ὠκὺς Ὄλυμπον ἐπίπτατο, φέγγεσι Φοίβου
ὄμματα ἐμπήξας, οὐδὲ λέλειβε δάκρυ·
αἶψά τε τὸν ποθέησιν ἀφαρπάζει ποσὶν ἄγρην,
οὐδὲ πέδῳ χθαμαλοῖς ἴχνεσιν ἐνδιάει.
Τοῖος φωσὶν Ὅμηρος ἐπήορος ἅλμασι κούφοις,
ἠδὲ ταπεινὰ φυγὼν αἰθέριος φέρεται·
οὔ μιν γλῶσσα βέβληκεν ἀλάστορος οὐδέ μιν ὁρμαὶ
βλάπτουσι σκαιῶν, οὐ πτερόεντα βέλη,
ἀλλ' ἄχρηστα κάρηνον ὀϊστεύσαντος ἐπῆλθεν,
κηρί τε λυσσαλέῳ ἤτορι κῆρα φέρεν.

Ἡ κραγέται κλάζουσιν ἐτώσιον οἷα κολοιοὶ
αἰὲν βορβορέοις λύμασι φυρόμενοι.
Πότμος ἕλῃ μιν ἄκλαυτος ἐμῶν ἄπο τῆλε μελάθρων
καὶ κνέφας ἔστω τοῖσδ' ἠελίοιο σέλας·
ἄρτος ἔῃ τὸν ἔδουσ' αὐτοῖς θανατηφόρος ἰὸς,
οἶνος ὕδωρ τε χολῆς πικρότερα κραδίῃ
πένθος ἄλαστον ἔχοιεν, ἐπιβρύχοιεν ὀδόντας
ἄλγεσι, ῥήξειεν κρᾶτα κατὰ σπιλάδων.
Χαίροις δ' αὐτὸς, Ὅμηρε, Θεοῖς κεχαρισμένε πᾶσι,
καὶ πάτρῃ εὐκλείην φέρτερος ἠελίου.
Χαίροις πᾶσι ποθητὸς, ἐμοὶ δ' ἄμπνευσον ἀοιδὴν,
ὄφρα σέθεν μεγάλου πρήγματ' ἀοιδιάσω.
Ἀρτιτόκου δὲ πέλει τάδ' ἐφύμνια. Ὅσα δ' ἐς ἄνδρας
ἐλθὼν Μουσάων τεῦξας ἐφημοσύναις,
οὐκ ἐμὸν ἐστὶ λέγειν· ἄφατον κλέος· ἀλλ' ἄρα καὶ τῶν
σοῖο παρισταμένου, μνήσομαι οἷον ὅσον.

Δ.

Διὰ τῶν εἰρημένων ἐπαρκῶς ἀπεδείχθη, ὅτι διὰ καθαροὺς θρησκευτικοὺς λόγους ἡ βυζαντινὴ ἱστορία ἐξεμυθεύθη καὶ διεφθάρη, ἐν τοιαύτῃ δὲ περιπτώσει ὀφείλομεν ν' ἀναζητήσωμεν ἀλλαχόθεν τὸν λύχνον δ' οὗ θὰ εἰσδύσωμεν εἰς τὰ σκότη τοῦ μυστηριώδους ἐκείνου κόσμου· ὅσῳ ἐμβαθύνομεν φωτίζοντες αὐτὸ τὸ κέντρον τῆς βυζαντινῆς νεφέλης, τόσῳ εὐκολώτερον θὰ ἴδωμεν διαλυομένας τὰς ἐξωτερικὰς σκιὰς καὶ τὰ δι' ἀπατηλῶν χρωμάτων εἰκονιζόμενα τερατώδη σχήματα ἀναλαμβάνοντα τὸν ἀληθῆ αὐτῶν τύπον. Ἀλλ' εἰς τοῦτο ἀπαιτεῖται, τὸ ἐπαναλαμβάνω, ἡ ἐγκαρτέρησις τῆς ἑλληνικῆς φιλοτιμίας· τοῦτο

ἀπαιτεῖ παρ' ἡμῶν ἡ ἀληθὴς ἐπιστήμη μετ' ἴσου πρὸς ἡμᾶς ἀνδιαφέροντος καὶ φιλοστοργίας ἐπιδιώκουσα τὴν διάλυσιν τοῦ σκότους ὅπερ ἀποκρύπτει τοὺς σεβασμίους πατέρας τοῦ σημερινοῦ πολιτισμοῦ· τοῦτο εὔχεται καὶ ὁ ἀληθὴς χριστιανισμὸς, διαπύρως ποθῶν ν' ἀνεύρῃ τὸ ἀληθὲς ἰδανικὸν αὐτοῦ, καὶ ἀπὸ σκοτεινῆς θρησκείας πάλης, μίσους, αἱρέσεων, αἱμάτων, καὶ ἀληθοῦς Μανιχαϊκοῦ δυασμοῦ, ἀναδειχθῇ ἡ θρησκεία τῆς κοσμικῆς ἁρμονίας καὶ ἰδίως τῆς ταύτην συγκρατούσης ἀγάπης, ἥτις θὰ ἐγκαινίσῃ τὴν φιλάνθρωπον αὐτῆς ἀρχὴν ἀπὸ τῆς συμφιλιώσεώς της πρὸς τὴν νῦν ἀντίπαλον ἐπιστήμην. Ἰδοὺ ὁποῖον μέγα στάδιον ἀνοίγει εἰς τὴν ἱστορίαν ἡ εὐσυνείδητος ἔρευνα τοῦ βυζαντινοῦ κόσμου, ἰδοὺ ὁποίαν τιμὴν ἐπιφυλάσσει τὸ μέλλον εἰς τοὺς φιλοπόνους σκαπανεῖς τοῦ ἀγρίου καὶ ἀδιεξόδου τούτου ἄλσους.

Ἡ Ἀναγέννησις ἀπέτυχεν ἐκ τῆς λιποψυχίας καὶ προδοσίας τῶν προτιμησάντων τὴν κοσμικὴν τρυφὴν τῆς ἱστορικῆς ἀθανασίας. Ἂν ἀντὶ τοῦ Βησσαρίωνος καὶ τοῦ Ἀργυροπούλου, εὑρίσκοντο πλειότεροι Μάρουλλοι, Λασκάρεις, Γεμιστοὶ καὶ Καλένται, ὁ ἀγὼν θὰ ἐλάμβανεν ἀλλοίαν φάσιν· ἀλλὰ, κατὰ τὸν Λάσκαριν, ὁ Βησσαρίων ἐν τῇ καρδιναλικῇ πορφύρᾳ μετεβλήθη εἰς Βυζαντινὸν Βλάχον, ἤτοι Θρᾳκικὸν Βεσσὸν, ὡς εὐφυῶς παρῳδεῖ τὸ ὄνομά του (Bessario-Bessus), ὁ δὲ Ποντάνος, γενόμενος ὑπουργὸς τῶν βασιλέων τῆς Νεαπόλεως, μετεμορφώθη, ὡς γράφει ὁ Καλέντσης, εἰς Πάπαν (Pontifex Maximus Pontanus)· τὰ αὐτὰ γράφουσι καὶ οἱ ἀδελφοὶ Ἀνύσιοι κατὰ Ἰάνου Παρρασίου, τοῦ γαμβροῦ τοῦ Χαλκοκονδύλου.

Πλὴν τῆς φιλοσοφικῆς ἀναγεννήσεως οἱ τότε ἐπεδίωξαν καὶ αὐτὴν τὴν ἀναγέννησιν τῆς ἱστορίας, ἐνῷ οἱ ἐχθροὶ τῆς Ἀναγεννήσεως ἐπέμειναν συμβουλεύοντες τὴν ἐν τῇ χρονογραφίᾳ Βυζαντινὴν νοθείαν. Γεώργιος ὁ Τραπεζούντιος, γενόμενος γραμματεὺς τῶν παπῶν, οὐ μόνον συνεβούλευσεν εἰς τοὺς ἐν

Βενετίᾳ νὰ ἐξακολουθήσωσι τὴν παράδοσιν τῆς ἐπιβλέψεως τῆς ἐπισήμου χρονογραφίας, ἀλλὰ καὶ μεταφράσας εἰς τὴν λατινικὴν τοὺς ἕλληνας συγγραφεῖς, ἱεροσύλως ἀπέκοψεν ὅ, τι ἐθεώρησε μὴ συνᾷδον πρὸς τὰς παραδόσεις τῆς αὐστηρᾶς ὀρθοδοξίας· οὕτως ἀπήλειψεν ἐκ τῆς Εὐαγγελικῆς Παρασκευῆς τοῦ Εὐσεβίου πάντα τὰ εἰς τὴν Ὀρφικὴν θρησκείαν σχετικὰ κείμενα. Εἰς τὰς ἐπιστολὰς τοῦ Φραγκίσκου Φιλέλφου βλέπομεν, ὅτι ὁ διὰ τῆς Στρατιωτικῆς ἑταιρείας ἀναδειχθεὶς πάπας Νικόλαος Ε' ἐπελάθετο τῶν ὑποσχέσεων καὶ ὑποχρεώσεών του, παραδοὺς καὶ αὐτὴν τὴν διὰ πολλῶν μόχθων συλλεγεῖσαν βιβλιοθήκην εἰς τὸν Τραπεζούντιον καὶ τὸν Πελοποννήσιον Ἰσίδωρον, ἀμφοτέρους οὔτε ἐπὶ φιλελληνισμῷ οὔτε ἐπὶ εὐσυνειδησίᾳ διαπρέποντας· εἰς δὲ τὰ γράμματα τοῦ Μαρσιλίου Φικίνου ἀναγινώσκομεν ὅτι ἐρρίπτοντο εἰς τὰς φυλακὰς φιλοπαπῶν ἡγεμονίσκων οἱ φυγάδες μετὰ τῶν ὑπ' αὐτῶν κομιζομένων χειρογράφων. Αὐτὸς ὁ Κόσμος ὁ ἐκ Μεδίκων τοσοῦτον ἐν ἀρχῇ ἐπολέμησε τὸν ἑλληνισμόν, ὥστε οἱ περὶ τὸν Φίλελφον ἑταῖροι ἀπεφάσισαν νὰ φονεύσωσιν αὐτόν (1436)· ὁ κλῆρος ἔλαχεν εἰς τὸν Ἀθηναῖον Στρατιώτην Ἀντώνιον Ἰωάννου, ὅστις συλληφθεὶς ἐχειροκοπήθη καὶ ἐξωρίσθη τῶν ὁρίων τῆς Φλωρεντινῆς πολιτείας, ἐπὶ ἀπειλῇ θανάτου ἂν ποτε συνελαμβάνετο, ὡς λέγει ἡ διασωθεῖσα σύγχρονος ἀπόφασις (1). Τὸ αὐτὸ πνεῦμα ὑπηγόρευσεν ὕστερον τὸν φόνον τοῦ πρίγκηπος τοῦ Σαλέρνου, Ἀντωνέλλου Σανσεβερίνου, φονευθέντος ὑπὸ μυστηριώδους ἕλληνος Στρατιώτου.

---

(1) « **Antonius Maria Joannis della città di Atene in Grecia condennato da essergli tagliata l' una e l' altra mano, e a dovere essere mandato fuori del Dominio Fiorentino, nel qual se mai fosse fatto prigione, dovessi tagliata la testa·** » λέγει ἡ μακρὰ ἀπόφασις, ἐκδοθεῖσα τὸν Αὔγουστον τοῦ 1436 καὶ δημοσιευθεῖσα ἐν **Angeli Fabronii, Magni Cosmi Medicei vita. Pisis** 1789, **II** σ. 111–114.

Ἐν τοιαύτῃ περιπτώσει οὐδὲν ἄπορον, ὅτι οἱ ἐν Ἰταλίᾳ ἑταῖροι ἀπελπισθέντες περὶ τῆς εἰλικρινείας τῶν ἡγεμόνων, στρέφουσι τοὺς ὀφθαλμοὺς εἰς τοὺς Γάλλους, τοὺς Γερμανοὺς καὶ αὐτοὺς τοὺς Οὔγγρους. Ὁ Μαρσίλιος Φικῖνος, ὁ Μάρουλλος καὶ ὁ Πολιτιανὸς ἐξυμνοῦντες τὸν Ματθίαν Κορβῖνον, προτρέπουσιν ἵν' ἀναλάβῃ τὴν ὑπεράσπισιν τοῦ διωκομένου πλατωνισμοῦ. Πρὸς τοὺς Οὔγγρους οἱ ἑταῖροι ἦλθον εἰς παλαιοτέρας συνεννοήσεις, ἐὰν δὲ ἐπετύγχανεν ἡ κατὰ τοῦ Ἀμουράτου Β' συνωμοσία, οὔτε Τοῦρκοι θὰ ὑπῆρχον ἐν Εὐρώπῃ, οὔτε εἰς τὴν Δύσιν θὰ κατέφευγον οἱ φυγάδες· ἀτυχῶς τὴν μεγάλην ἐκείνην κατὰ τῶν Τούρκων πλεκτάνην, ἐματαίωσεν ἡ δολία ἐπέμβασις τῆς Παλαιᾶς καὶ τῆς Νέας Ῥώμης, καὶ ἐνῷ αἱ μὲν βενετικαὶ καὶ βυζαντιναὶ γαλέραι μετέφερον εἰς τὴν Εὐρώπην τὸν Ἀμουράτην μετὰ τῶν μυριάδων τῶν γιανιτσάρων του, ὁ Ἰωάννης Παλαιολόγος προδοὺς τὰς πρὸς τὸν Λαδίσλαον Ε' καὶ τὸν Οὐνιάδην συμφωνίας συνέπραττε πρὸς τοὺς Τούρκους εἰς τὴν μεγάλην ἐν Βάρνᾳ καταστροφὴν τῶν χριστιανῶν. Αὐτόπτης μάρτυς τῆς θλιβερᾶς καταστροφῆς ὁ Πελοποννήσιος Στρατιώτης Ζωτικὸς Παρασπόνδυλος ἔψαλλε δι' ὡραίων στίχων τὸν ἐν τῇ ἀποφράδι ἐκείνῃ ἡμέρᾳ ἡρωϊσμὸν τοῦ Λαδισλάου καὶ τῶν Οὔγγρων, ἐκπλύνων δι' ὕβρεων τὸν προδότην αὐτοκράτορα (1). Τὰ γεγονότα ταῦτα ἐκμυστηρευόμενα καὶ ὑπὸ τῶν

---

(1) Ὁ νῦν δημοσιευόμενος Β' Ἀνώνυμος (σ. 563) ὁμολογεῖ ὅτι αὐτὸς ὁ αὐτοκράτωρ προσεκάλεσε τοὺς Οὔγγρους, ὑποσχεθεὶς τῷ Λαδισλάῳ αὐτὸν τὸν θρόνον τῆς Κωνσταντινουπόλεως ἐν περιπτώσει νίκης· τὰ αὐτὰ ἐπαναλαμβάνει καὶ ἡ ἐξ αὐτοῦ ἀντιγραφεῖσα Πολιτικὴ ἱστορία (σ. 11. ἔκδ. Βόννης).

(2) E. Legrand, La bataille de Varna (Annuaire des Etudes Grecques, 1873, σ. 333.

χρονογράφων τῆς Ραγούζης (1), τοσοῦτον παραμορφοῦνται ὑπὸ τῶν δυτικῶν καὶ τῶν βυζαντινῶν ἱστορικῶν, ὥστε ὁ προσεκτικῶς διερχόμενος αὐτοὺς εὐκόλως ἀνακαλύπτει τὴν εντέχνως ὑποκρυπτομένην χριστιανικὴν ἀτιμίαν. Ἐνῷ ὁ Θεόδωρος Σπανδωνῆς ρητῶς λέγει ὅτι ὁ Λαόνικος Χαλκοκονδύλης ἦν γραμματεὺς τοῦ Ἀμουράτου, καὶ παρὼν ἐν τῇ μάχῃ ταύτῃ (2), ἡ περιελθοῦσα ἡμῖν χρονογραφία τοῦ Ἀθηναίου οὐδὲν τοιοῦτόν τι ἀναφέρει, μὴ περιέχουσα καὶ ἄλλα ὑπὸ τοῦ αὐτοῦ Σπανδωνῆ ἐκ τῆς αὐτῆς πηγῆς εἰλημμένα, ὅπερ ἀποδεικνύει ὅτι τὸ γινωσκόμενον ὑφ' ἡμῶν κείμενον ἦν ὅλως διάφορον ἐκείνου τὸ ὁποῖον ὁ Σπανδωνῆς εἶδεν ἐν τῇ βιβλιοθήκῃ τῆς συγγενοῦς του Μαρίας, χήρας τοῦ σουλτάνου Ἀμουράτου. Ἐν τῇ νοθεία ταύτῃ τοῦ ἱστορικοῦ κειμένου ἀναγνωρίζομεν τὸν δάκτυλον αὐτῆς τῆς βυζαντινῆς λογοκρισίας, διότι καὶ ἐν τῷ νῦν δημοσιευομένῳ Β' Ἀνωνύμῳ καὶ τῇ ὑπὸ Κρουσίου ἐκ τούτου ἀντιγραφείσῃ Πολιτικῇ Ἱστορίᾳ, οὐ μόνον ἀπαντῶσιν αἱ αὐταὶ φράσεις αἱ παρὰ Χαλκοκονδύλῃ φερόμεναι ἐν τῇ ἐκθέσει τῆς ἐν Βάρνῃ μάχης, ἰδίως ἐν τῇ ἀφηγήσει τοῦ θανάτου τοῦ Λαδισλάου Ε', ἀλλὰ καὶ μετά τινος ἁπλοϊκῆς χαιρεκακίας ἐπαινοῦσιν αἱ πατριαρχικαὶ αὗται χρονογραφίαι τὸν αὐτοκράτορα Ἰωάννην ἐπὶ τῇ συνετῇ διαγωγῇ του πρὸς τὸν Μουράτην, τοῦ ὁποίου τοὺς γιανιτσάρους μετέφερον εἰς Εὐρώπην αὐτὰ τὰ βυζαντινὰ κάτεργα (3), ἐνῷ ὁ πάπας Πίος Β' ἐν τοῖς απομνη-

---

(1) Lud. Cerv. Tuberonis patricii Rhacusini, Commentaria suorum temporum. Rhacusii, 1784, I. σ. 267.

(2) Μνημεῖα Ἑλληνικῆς Ἱστορίας IX, σ. 261.

(3) «Καὶ ἔστειλεν ὁ βασιλεὺς κάτεργον (γρ. κάτεργα) καὶ ἐπέρασεν αὐτὸν, τὴν μάχην φοβούμενος· οὕτως ἡ θαυμαστὴ γνῶσις τοῦ βασιλέως ἑκατέρωθεν ἐκράτει.» Historia Politica σελ. 12 ἔκδ. Βόννης. «Ἀμουράτης δὲ καθ' ἡσυχίαν διέβαινεν αὐτός τε καὶ ὁ στρατὸς ἅπαξ.» Χαλκοκονδύλης σ. 324 ἔκδ. Migne. Παρ. καὶ σελ. 564 τοῦ παρόντος τόμου·

μονεύμασιν αὐτοῦ λέγει ὅτι οἱ Γενουήνσιοι ἔσωσαν διὰ τῆς ἐπεμβάσεώς των τὸν διὰ πανωλεθρίας ἀπειλούμενον Ἀμουράτην, γεγονὸς τὸ ὁποῖον ὁ Σπανδωνῆς, ἐπὶ τῇ βάσει πιθανῶς τοῦ αὐτοῦ Χαλκοκονδύλου, ἀνάγει οὐχὶ εἰς τὴν διάβασιν τοῦ Ἀμουράτου, ἀλλ' αὐτοῦ τοῦ Ὀρχάνου, ἀληθῶς μεταφερθέντος εἰς Εὐρώπην διὰ Γενουηνσίων κατέργων (1). Ἡ ἐν Βάρνᾳ καταστροφὴ ἐνδιαφέρει πολὺ τὴν ἱστορίαν, διότι πρὸ καὶ μετὰ τὴν μάχην ταύτην γίνονται ἄφαντοι οἱ περὶ τὸν Ἀμουράτην Στρατιῶται, καὶ ἰδίως ὁ Ἀρειανίτης καὶ ὁ Σκενδέρβεης, πιθανῶς δὲ καὶ αὐτὸς ὁ Χαλκοκονδύλης, οἱ δὲ τέως δι' ἠπίας πολιτικῆς σχεδὸν ἀναιμωτεὶ κατακτῶντες τὴν Εὐρώπην Τοῦρκοι, μεταβάλλονται εἰς ἄγρια θηρία σφάζοντες τοὺς χριστιανοὺς καὶ ἰδίους τοὺς Ἕλληνας· διὰ τὸν αὐτὸν λόγον οἱ Στρατιῶται προτιμῶσι τὴν εἰς Δύσιν μετοικεσίαν ἢ νὰ συζήσωσι συνθηκολογοῦντες πρὸς τοὺς Τούρκους.

Τὴν ἀλήθειαν θὰ ἐγινώσκομεν ἐκ τῶν ἱστορικῶν τοῦ Σκενδέρβεη, ἀλλὰ τούτους ἀκριβῶς ἐξηφάνισαν καὶ ἐνόθευσαν οἱ ἐνδιαφερόμενοι εἰς ἀπόκρυψιν τοῦ γεγονότος, παραδόντες οὕτως ἡμῖν μυθολογικόν τι τέρας ἀντὶ τοῦ ἀληθοῦς Ἠπειρώτου ἥρωος. Τὸ 1480 ἐτυπώθη ἐν Βενετίᾳ εἰς λατινικὴν γλῶσσαν ὁ πρῶτος καὶ ἀληθὴς βίος τοῦ Γεωργίου Καστριώτου, συντεταγμένος ὑπὸ ἀγνώστου Ἀντιβαρέως καλῶς γνωρίσαντος οὐ μόνον τὸν βιογραφούμενον ἡγεμόνα ἀλλὰ καὶ τοὺς περὶ αὐτόν, καὶ τοὺς κατ' αὐτοῦ πολεμήσαντας Τούρκους (2)·

---

(1) Ὁ προσημειωθεὶς Ραγουζαῖος χρονογράφος λέγει, ὅτι οἱ Βενετοὶ μετέφερον τοὺς Τούρκους, ἐκ φόβου μὴ οἱ Οὔγγροι νικηταὶ εἰσέλθωσιν εἰς Κωνσταντινούπολιν.

(2) Τὸ κολοβὸν ἀντίτυπον ἔφερεν ἐν τέλει τὴν ἑξῆς περὶ τῆς ἐκτυπώσεώς του μνείαν. « **Explicit Historia Scanderbegi edita per quendam Albanensem. Venetiis impressa industria atque impensa Erhardi Radolt de Augusta anno Domini 1480 die 2 mensis Aprilis ducante Ioanne Mocenyco inclyto Duce.** »

ἀλλὰ τὸ σύγγραμμα διὰ μυστηριώδεις λόγους ἐξηφανίσθη, μόλις δὲ ἐν τῇ παρελθούσῃ ἑκατονταετηρίδι ὁ ἐκ Βριξίας ἱστορικὸς Ἰωάννης Βιέμμης κατὰ τύχην εὑρὼν κολοβόν τι ἀντίτυπον, καὶ παραβαλὼν πρὸς τὴν ἐπ' ὀνόματι τοῦ Μαρίνου Βαρλετίου κυκλοφοροῦσαν, ἀνεγνώρισεν ὅτι ἡ τελευταία ἦν, ὡς τὴν ἀποκαλεῖ, un tessuto di favole, ἡ δὲ ἄλλη καὶ ἄγνωστος ἀξιοσέβαστον ἀληθὲς ἱστορικὸν μνημεῖον (1). Ὁ ἐξαφανίσας τὰ ἀντίτυπα τοῦ βιβλίου τούτου καὶ διὰ τῶν ψευδολογιῶν τοῦ Βαρλετίου ἀντικαταστήσας τὴν ἀλήθειαν δὲν ἦν βεβαίως ἁπλοῦς ἰδιώτης, ἀλλὰ μυστηριώδης τις λογοκρισία, τῆς ὁποίας τὰ ἴχνη δὲν ἀνευρίσκονται τοσοῦτον εὐκόλως· ἀλλ' ἡ λογοκρισία αὕτη ἦν παλαιά, καὶ δυνάμεθα ν' ἀναζητήσωμεν τὰ ἴχνη αὐτῆς ἐκτὸς τῆς Βενετίας.

Οἱ βυζαντινοὶ οὐ μόνον ἀπηγόρευον αὐστηρῶς τὸ ἱστοριογραφεῖν, ἀλλὰ καὶ τὰ ἄνευ ἐγκρίσεως ἐκδιδόμενα ἱστορικὰ βιβλία ἐκαίοντο ἢ καὶ ἐνοθεύοντο· τὸ σύστημα τοῦτο ἐπεκράτησεν ἐν Δύσει καὶ μετὰ τὴν ἅλωσιν, αὐτὸς δὲ ὁ προμνημονευθεὶς Ἠλύσιος Καλέντσης προτρεπόμενος ὑπὸ τοῦ Μαρούλλου εἰς συγγραφὴν τῶν ἀπομνημονευμάτων του περὶ τῶν ἐν Βελγίῳ καὶ Ἑλβετίᾳ μαχῶν ἐν αἷς παρευρέθη μετὰ τῶν βασιλέων τῆς Νεαπόλεως, ἀπαντᾷ ὅτι ἀδυνατεῖ νὰ ἐκπληρώσῃ καὶ τὴν ἰδίαν αὐτοῦ εὐχὴν ἕνεκα τῆς ἐπικρατούσης λογοκρισίας. Ὁ ἀναγινώσκων τὴν ἐπιστολὴν τοῦ Πελοποννησίου Στρατιώτου νομίζει ὅτι ἀκούει τὴν πρὸ τετρακοσίων ἐτῶν ἐπὶ τοῦ αὐτοῦ θέματος γραφεῖσαν διαμαρτύρησιν τοῦ Ἰωάννου ἀρχιεπισκόπου Εὐχαΐτων, περὶ ἧς κατωτέρω (2).

---

(1) Istoria di Giorgio Castriotto, di Giammaria Biemmi prete Bresciano. Brescia 1742.

(2) « Hortaris, Furiane, ut Belgarum ducis Elvetiorumque bella quibus afuerim in scriptis redigam ne rei novitas et mira militiae disciplina depereat. Faiteor equidem id fore perutile, verum de principibus male loqui non tutum, bene autem

Μέχρι τοῦ Ἀναστασίου παρὰ τῇ ἐκκλησιαστικῇ χρονογραφίᾳ συνεβάδιζε καὶ ἡ πολιτική· ἀλλ' ἐνῷ οἱ πρῶτοι, εὐάριθμοι ὄντες, περιῆλθον ἡμῖν, οἱ δεύτεροι, πολλοὶ καὶ σπουδαιότατοι, ἐξηφανίσθησαν, ἐκ δὲ τῶν τυχαίως περισωθέντων κολοβῶν ἀποσπασμάτων δυνάμεθα νὰ ἀναλογισθῶμεν καὶ θρηνήσωμεν ἐπὶ τῇ μεγάλῃ ἀπωλείᾳ. Ὁ Προκόπιος καὶ ὁ Ἀγαθίας εἰσὶν ὁ τελευταῖος ἀποχαιρετισμὸς πρὸς τὴν ἱστορίαν, ἀπὸ δὲ τούτων ἡ χρονογραφία βυθίζεται μετὰ τοῦ κράτους εἰς τὸ μεσαιωνικὸν σκότος.

Κυρία τοῦ ἱστορικοῦ πεδίου ἡ ἐκκλησία, οὐ μόνον κατεχράσθη τοῦ μεγάλου αὐτῆς προνομίου, ἀποκρύψασα τὴν ἀλήθειαν, ἀλλὰ καὶ ἐν τῷ διωγμῷ τῶν προγεγραμμένων ἐπιστημῶν ἐδείχθη ἀγριωτέρα τῆς κοσμικῆς ἐξουσίας, ἥτις πολλάκις περιεπλάκη εἰς διενέξεις πρὸς τὴν ἱερὰν ἐξέτασιν, ζητοῦσα νὰ σώσῃ ἀπὸ τῶν ὀνύχων της εὐγενῆ τινα θύματα (1). Τῆς οὕτω κιβδηλευθείσης χρονογραφίας οἱ ἑλληνίζοντες ἐπροτίμων τὴν τελείαν σιωπήν, διότι ἐκ τῆς σιγῆς ἠδύναντο τοὐλάχιστον νὰ

---

viri non boni cum mendatia proferas. Nam temporis nostri bene facta si colligas in nucis testa concludes. Unde igitur erit in historiam quod conjicias? Satius existimarem si facultas daretur eorum gesta conscribere quorum aetas longe ante nos desuerit et qui si velint irasci non queant cum vitae simul omnem detexeris ordinem. Pauci enim quibus lingua libera fuit et animus rerum malarum impaciem principibus grati. Verentur enim turpia facta ne corrigas ideoque odio habent. Assentatores autem futilesque histriones gratissimi quoniam nihil unquam proferunt ingratum, laudant omnia, simul admirantur quae fæcerint rident stultitiam, et accipiunt pro scelere meritum. Ego autem silere potius statui quam scribere, Furiane. Cessa. » Calentii, Carmina, f. 78.

(1) Βλέπε τὰς πρὸς Μαυρίκιον διενέξεις τοῦ πατριάρχου Ἰωάννου τοῦ Νηστευτοῦ περὶ τιμωρίας τῶν ἑλληνιζόντων ὑπ' αὐτῆς τῆς ἐκκλησίας διὰ τοῦ πυρός, ἀποκαλουμένου χριστιανικοῦ ὅπλου (Θεοφ. Σιμοκάττου ἱστορίαι, σελ. 56, ἐκδ. Βόννης).

μαντεύσωσιν οἱ μεταγενέστεροι πολλά, ἐνῷ τὸ ψεῦδος ἱδρυόμενον ἐπὶ συγχρόνου στηλοβάτου δύναται νὰ ἐπιβληθῇ πολλάκις ὡς ἀκαταγώνιστος ἀλήθεια· οὕτως οἱ μεταγενέστεροι ἀποκαλοῦντες τὸν πρῶτον ἐπίσημον τῆς βυζαντινῆς πολιτείας χρονογράφον, Αἰγύπτιον Σιμοκάττην, ἀποπερδόμενον, λέγουσιν ὅτι οἱ ποτισθέντες τὰ διαυγῆ τοῦ ἑλληνισμοῦ νάματα περιφρονοῦσι τὰ ἐν τῇ ψυχρᾷ τούτου ρητορικῇ ἐξιστορούμενα θαύματα (1).

Ὁσάκις οἱ μίσθιοι οὗτοι χρονογράφοι, ὡσεὶ αἰσθανόμενοι τύψιν συνειδότος ἐπὶ τῷ ἀσυνειδήτῳ ἔργῳ, προτιμῶσι νὰ παρέλθωσιν ἐν πλήρει σιγῇ λυπηρὰ γεγονότα, ἁπλῶς ἀναγράφουσι τὸ ὄνομα τοῦ βασιλέως ἢ τοῦ ὑπάτου καὶ τὴν ἰνδικτιῶνα, ἄνευ τῆς ἐλαχίστης μνείας οἱουδήτινος συμβάντος, ὡς μαρτυροῦσι τὰ διασωθέντα χρονικὰ Πασχάλια. Ὁ Ψελλὸς γράφει, ὅτι ἐνῷ ὑπὸ τοῦ βασιλέως Βασιλείου Β' κατεφρονήθησαν τὰ γράμματα, ἰδιωτικῶς ταῦτα προήχθησαν μέχρι θαύματος, καὶ πληθὺς λογίων ἀνετινάχθησαν ὡς ἀπὸ μυστηριώδους δουρείου ἵπ-

---

(1) « Ῥητορείαν ἐξεμυήθην οὐχ ἣν οἱ ψυχροὶ Σιμόκατοι καὶ οἱ κατ' αὐτούς, εἰπεῖν οἰκειότερον, ἀποπέρδουσιν, ἀλλ' ἣν Ἀριστεῖδαι καὶ Πλάτωνες ἀναπνέουσιν. » Θεόδωρος Πρόδρομος ἐν Migne Patr. Graeca CXXXIII, σ. 1297. Εἶνε γνωστὴ ἡ τερατώδης φλυαροκοπία τοῦ Αἰγυπτίου ἱστορικοῦ, πρώτου εἰσάγοντος τὰ χριστιανικὰ θαύματα ἐν τῇ χρονογραφίᾳ, καὶ ἐν τῷ προτασσομένῳ τῆς ἱστορίας αὐτοῦ διαλόγῳ ἀναιδῶς ἀντιγράφοντος τὸν Φαῖδρον τοῦ Πλάτωνος. Ἐν τούτοις ὁ Μελχίτης πατριάρχης Ἀλεξανδρείας Εὐτύχιος τοσοῦτον διαφόρως πρὸς τὸν Σιμοκάττην ἐξιστορεῖ τὰ περὶ Φωκᾶ, ὥστε δύσκολον νὰ ὁρισθῇ τίς τῶν δύο Αἰγυπτίων τούτων ἐξεμύθευσε πλειότερον τὴν ἱστορίαν. Ἡ παρ' Εὐτυχίῳ ἐκ Θεσσαλονίκης ἐκστρατεία τοῦ Ἡρακλείου μετὰ στόλου φέροντος σῖτον εἰς σωτηρίαν τῶν λιμωττόντων Βυζαντίων ἀνάπολεῖ τὸ προσημειωθὲν θαῦμα τοῦ ἁγίου Δημητρίου, ἡ δὲ διὰ τῆς Παναγίας καταστροφὴ τοῦ ἀνυπάρκτου στόλου τῶν Ἀβάρων ἀπεμιμήθη ἐκ τοῦ κατὰ Γότθων ἐν Θεσσαλονίκῃ θαύματος τοῦ Καβείρου.

που (1)· ἡ ἀναγέννησις αὕτη βεβαίως ὀφείλεται εἰς τὴν ἑλληνίδα μητέρα τοῦ Βασιλείου Β΄, τὴν ἐπὶ κάλλει καὶ ἐρωτοληψίαις διάσημον Θεοφανὼ τὴν Λάκαιναν, ἐφ' ἧς καὶ ἡ ἱστορία, ἀπαλλαγεῖσα τῆς ἐκκλησιαστικῆς λογοκρισίας, ἀναλαμβάνει τὴν θέσιν ἀφ' ἧς ἀπὸ τῶν διαδόχων τοῦ Ἰουστινιανοῦ κατέπεσε. Πρῶτος ἱστορικὸς τῆς τοιαύτης ἀναγεννήσεως εἶνε ὁ ἐκ Καρίας Λέων ὁ Διάκονος, τοῦ ὁποίου τὴν συνέχειαν συνέγραψεν αὐτὸς ὁ Ψελλός. Ἀπὸ τῆς Θεοφανοῦς ἡ ἐκκλησιαστικὴ χρονογραφία ἐκθρονισθεῖσα, ἐπὶ τοσοῦτον περιεφρονήθη, ὥστε αὐτὸς ὁ διασημότερος τῶν μελῳδῶν, Ἰωάννης ὁ μητροπολίτης Εὐχαΐτων, προσκληθεὶς ἵν' ἀναλάβῃ τὴν ἐπίσημον χρονογραφίαν, καὶ ἐν ἀρχῇ δεχθείς, μετ' ἀποστροφῆς ἀπέπτυσε τὸ ἔργον ἅμα ἀνευγνώρισεν ὁποίας παραχαράξεως ὄργανον ἠννόουν αὐτὸν οἱ ὑπαγορευταί.

» Ὅτε ἀπέστη τῆς συγγραφῆς τοῦ χρονογράφου.

Ὁ συγγραφεὺς ψεῦδος μὲν οὐκ εἴρηκέ πω·
ψεύσαιτο μέντ' ἂν ἔν γε τοῖς λοιποῖς λόγοις,
οὕτω φιλούντων τῶν κελευόντων τάδε,
ὧν τοῖς ἐπαίνοις ἐντρυφῶν τὸ βιβλίον,
ὅμως ἔδοξεν ἐνδεέστερον λέγειν·
ἐξουσία κρότων γὰρ οὐκ οἶδε κόρον.
Οὐκοῦν ἀφείσθω ταῦτα τοῖς ἐγκωμίοις,
ἡ συγγραφὴ δὲ μὴ προχωρείτω πλέον·
οὐκ εὐφυῶς γὰρ πρὸς τὰ τοῦ ψεύδους ἔχει,
νόμος τε ταύτην ἐκτροπῆς ἀποτρέπει.
Ἐνταῦθα τοίνυν τὸν δρόμον παύει τέως,
ἕως κατ' εὐθὺ δῷ τις αὐτῇ τὸ τρέχειν (2).

---

(1) Ψελλοῦ ἑκατονταετηρίς, σ. 18, ἔκδ. Σάθα.

(2) Migne Patrol. Graeca, CXX, σ. 1194—1195.

Ἡ ἀπὸ τῆς Θεοφανοῦς ἀρξαμένη ἀναγέννησις δὲν ἦν μόνον χρονολογική, ἀλλὰ καὶ φιλοσοφική, ἢ μᾶλλον καθαρῶς ἑλληνική· αὐτὸς ὁ ἱερὸς μελῳδὸς ὁ οὕτως ἀπορρίπτων τὴν ἐκκλησιαστικὴν χρονογραφίαν, δείκνυται συμπαθὴς πρὸς τοὺς δύο κατ' ἐξοχὴν προγεγραμμένους φιλοσόφους, τὸν Πλάτωνα καὶ τὸν Πλούταρχον, εὐχόμενος ὑπὲρ τούτων τῷ Χριστῷ:

Εἴπερ τινὰς βούλοιο τῶν ἀλλοτρίων
τῆς σῆς ἀπειλῆς ἐξελέσθαι, Χριστέ μου,
Πλάτωνα καὶ Πλούταρχον ἐξέλοιό μοι·
ἄμφω γὰρ εἰσι καὶ λόγον, καὶ τὸν τρόπον
τοῖς σοῖς νόμοις ἔγγιστα προσπεφυκότες.
Εἰ δ'ἠγνόησαν ὡς Θεὸς σὺ τῶν ὅλων,
ἐνταῦθα τῆς σῆς χρηστότητος δεῖ μόνον,
δι' ἣν ἅπαντας δωρεὰν σώζειν θέλεις. (1)

Ὁ ἑλληνισμὸς οὗτος εἰσδύει καὶ ἐν αὐτοῖς τοῖς ὕμνοις τοῦ μεγάλου μελῳδοῦ, πρῶτον δὲ ἤδη ἀπὸ Κλήμεντος τοῦ Ἀλεξανδρέως οἱ ὕμνοι τοῦ Εὐριπίδου ἐκχριστιανίζονται, ὡς δῆλον ἐκ τῶν ἑξῆς εἰς τὴν Θεοτόκον στίχων εἰλημμένων ἐκ τοῦ Ἱππολύτου Στεφανηφόρου στ. 73-74:

Σοὶ τοῦτο πλεκτὸν ἐξ ἀκηράτου στέφος
λειμῶνος, ὦ Δέσποινα, κοσμήσας φέρω,
ἀλλότριον πρόσφθεγμα, σοὶ μάλα πρέπον (2).

---

(1) Αὐτόθι σ. 1156.

(2) Αὐτ. σ. 1076, παρ. καὶ ἕτερον ἐπίγραμμα εἰς τὴν Κοίμησιν τῆς Θεοτόκου, ἀρχόμενον ἐκ τῶν αὐτῶν στίχων σ. 1140. Παρ. Κλήμεντος Ἀλεξανδρέως πρώτους στίχους Εἰς τὸν Παιδαγωγόν. Οἱ αὐτοὶ στῖχοι εὕρηνται καὶ ἐν τῇ δευτέρᾳ Ἀκροάσει τῆς κατὰ Περσῶν ἐκστρατείας (στ. 379-380) τοῦ Πισείδου.

Ἐν ἄλλῳ δ' ἐπιγράμματι, προβλέπων τὸν θρίαμβον τῆς προγεγραμμένης, σχετλίας πονηρίας, εἰρωνεύεται τοὺς διὰ τοσούτων νόμων, ἀναθεμάτων καὶ διωγμῶν προσπαθήσαντας νὰ πνίξωσι τὸ ἀθάνατον κακόν:

Ὦ πολλὰ μοχθήσαντες ἄνθρωποι μάτην,
καὶ πολλὰ φροντίσαντες ἀνθρώπων χάριν,
ἵνα πρέποντα ζῶμεν ἀνθρώπων βίον·
ὦ δογματισταὶ καὶ σεμνοὶ νομογράφοι,
σύμπνοια κοινὴ πατρικῶν φρονημάτων,
φύσημα δήμων, ἀξίωμα συγκλήτων,
γνῶμαι σοφῶν τε, καὶ νόμοι βασιλέων,
φαύλων κολασταὶ, τῶν καλῶν ἐπαινέται,
λύμης διῶκται, προστάται σωτηρίας,
οἷς ἠκρίβωται πᾶς προμηθείας τρόπος,
ὑμᾶς μὲν οὐδὲν ἐλλιπόντας ὧν ἔδει,
πρὸς ὀρθότητα τῶν καθ' ἡμᾶς πραγμάτων,
ἔχει κρατήσας καὶ καλύψας ὁ χρόνος·
ἡ δ' ἔστιν ἀκράτητος ἡ πονηρία,
καθ' ἧς ἄπρακτοι καὶ κενοὶ πάντες πόνοι
ὑμῖν κατεβλήθησαν ἐν παντὶ χρόνῳ·
οὐ γὰρ πέφυκεν ἠρεμεῖν ἡ σχετλία,
ἀεὶ δὲ ποιεῖν μᾶλλον ἢ πάσχειν θέλει·
ἄτρωτός ἐστι τοῖς φόβοις τῶν δογμάτων,
ἄληπτός ἐστι τοῖς βρόχοις τῶν γραμμάτων,
μᾶλλον δὲ τοῖς μὲν γωνίας σκότος τόπος,
τοῖς δὲ πρὸς ἄκρα γῆς τὸ πάντολμον θράσος,
οὐκ οἶδε κάμνειν, οὐ δαμάζεται πόνοις,
οὐκ οἶδε θνήσκειν, οὐ μαραίνεται χρόνῳ,
μᾶλλον μὲν οὖν ῥωννῦσιν αὐτὴν ὁ χρόνος.
Τόλμης γὰρ ἤδη καὶ θράσους πεπλησμένη

ἕλκει, σπαράσσει, καὶ ταράσσει τὸν βίον,
ἄγει τὰ πάντα καὶ φέρει, καὶ συστρέφει,
ἀμήχανόν τι δεινὸν ἀνθρώποις ἔφυ,
καὶ τῶν φοβήτρων τῶνδε καρπὸς ἡ βλάβη·
τὸ θηρίον γὰρ ἀγριαίνεται πλέον,
ὥσπερ λέοντες ἐξ ἀμυδρῶν νυγμάτων (1).

Διὰ τῆς σχετλίας ταύτης πονηρίας « τῆς ἐκτεινούσης πρὸς ἄκρα γῆς τὸ πάντολμον θράσος » ἐννοεῖ ὁ μελῳδὸς τὴν ἑταιρείαν, ἢ « Ἀττικὴν Μοῦσαν » ὡς τὴν ἀποκαλεῖ ἕτερον σύγχρονον Ἀθηναϊκὸν μνημεῖον, περιγράφον τὰς μέχρι τοῦ πόλου (Θούλης) διακλαδώσεις αὐτῆς. Τὸ σπουδαῖον τοῦτο σύγγραμμα πολλάκις ἐκδοθὲν καὶ ἀπαρατήρητον διαμεῖναν ὑπὸ τῶν φιλαθηναίων, θέλομεν ἀναλύσει προσεχῶς, ἀποδεικνύοντες οὕτω ὅτι κακῶς ποιοῦσιν οἱ ἡμέτεροι παρορῶντες τὰ πρὸ ποδῶν ἡμέτερα καὶ ἀναζητοῦντες τὸ φῶς ἐκ τοῦ ξενικοῦ σκότους.

Ἐκ τοῦ αὐτοῦ μελῳδοῦ μανθάνομεν ὅτι « ὁ πρὶν ἠγνοημένος » καὶ κοιμώμενος βασιλεὺς τῶν παλαιῶν χρησμῶν ἀπεκαλύφθη καὶ πάλιν ἐν Κωνσταντινουπόλει λατρευόμενος καὶ ὑπ' αὐτῶν τῶν βασιλέων πανηγυριζόμενος ἐν ὀνόματι τοῦ ἁγίου Κωνσταντίνου:

Εἰς τὸν ἅγιον Κωνσταντῖνον τὸν ἐν τῇ κα' Μαΐου.

Κόσμῳ νεκρωθεὶς καὶ Θεῷ ζήσας, Πάτερ,
ἀπεκρίθης ζῶν, καὶ θανὼν ἀνευρέθης·
κράζεις δὲ σιγῶν καὶ βοᾷς ἐκ τοῦ τάφου,
σάλπιγγα τὰς σὰς θαυματουργίας ἔχων.
Ἐντεῦθεν ὁ πρὶν πᾶσιν ἠγνοημένος,
νῦν καὶ βασιλεῖς προσκυνητὰς ἑλκύεις,

(1) Αὐτ., σ. 1144—1145.

ὧν ἔργον ἡ στέφουσα τὴν σορὸν χάρις,
(πᾶν τερπνὸν ὕλης καὶ τέχνης πᾶν ποικίλον)
φέρουσα καὶ τέρπουσα τοὺς θεωμένους,
δί ἧς ἄριστα τὴν νοητήν σου δίδως
δόξαν θεωρεῖν ἐν θεῷ κεκρυμμένην,
ἕως παρ' αὐτοῦ τὰ παρ' ἀξίαν λάβῃς (1).

Ἡ νέα αὕτη ἐνσάρκωσις τοῦ Ἀλεξάνδρου εἶνε αὐτὸς ὁ υἱὸς τῆς Θεοφανοῦς Βασίλειος Β', ὁ ἐν συγχρόνῳ χειρογράφῳ τῆς ἐν Βενετίᾳ ἑλληνικῆς κοινότητος, περιέχοντι τὸν βίον τοῦ Ἀλεξάνδρου καὶ πολυτελῶς εἰκονογραφημένῳ, ἐξεικονιζόμενος ὡς Ἀλέξανδρος, μετὰ τῆς ἐπιγραφῆς « Ἐγὼ βασιλεὺς Ἀλέξανδρος πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ πάσης Ἀνατολῆς καὶ (Δύσεως?). » Ἀλλὰ καὶ ἡ τελευταία αὕτη ἐνσάρκωσις τοῦ ἕλληνος θεοῦ ἐβεβηλώθη ὑπὸ τῶν Σταυροφόρων, κυρίων τῆς Πόλεως, ἐκχωσθέντος τοῦ βασιλικοῦ λειψάνου καὶ χλευαστικῶς διασκευασθέντος εἰς τὸν αὐτὸν θεὸν ὅστις ἐπὶ Τιβερίου ἀπέθανεν, ὡς γράφει ὁ Πλούταρχος. Οἱ ἀνακτήσαντες ὅμως τὴν Κωνσταντινούπολιν Παλαιολόγοι ἀπέδωκαν τὴν ταφὴν εἰς τὸ βεβηλωθὲν λείψανον, τιμωρήσαντες οὕτω τὴν τελευταίαν Λατινικὴν ἀναισχυντίαν, ὡς γράφει ὁ Παχυμέρης. « Τότε δέ τινες τῶν οἰκείων τῷ βασιλεῖ κατ' ἄνεσιν διατριβῆς ἐξελθόντες ἐπέστησαν τῇ κατὰ τὸ Ἕβδομον τοῦ Θεολόγου μονῇ, ὄνομα μόνον, οὐ σχῆμα σωζούσῃ μονῆς, καὶ τὸν ἐκεῖσε ναὸν εἰσελθόντες, ἠρειμμένον καὶ τοῦτον καὶ εἰς θρεμμάτων ἔπαυλιν ὄντα, καὶ τῇδε κἀκεῖσε περιβλεπόμενοι καὶ τό ποτε τοῦ ναοῦ κάλλος ἐκ τῶν λειψάνων θαυμάζοντες (ἦσαν δὲ οὗτοι οἱ περὶ τὸν Γατρόπουλον Δημήτριον καὶ λογοθέτην τότε τῶν οἰκειακῶν), ὁρῶσιν αἴφνης κατὰ γωνίαν ἱστάμενον ἀνδρὸς πάλαι τεθνεῶτος

(1) Αὐτ. σ. 1137.

λείψανον ὁλόκληρον καὶ τὸ πᾶν ὁλομελὲς, γυμνὸν ἐς πόδας ἐκ κεφαλῆς· εἶχε δὲ καὶ ἐπὶ στόματος καλάμην ποιμενικῆς σύριγγος, εἰς χλεύην τινῶν οὕτω ποιησάντων οἷς ἔμελε θρεμμάτων. Ὡς δ' ἰδόντες ἐθαύμαζον μὲν τὴν τοῦ λειψάνου ὁλομέλειαν, διηπόρουν δὲ οὗτινος ἂν καὶ εἴη ὁ πεπηγὼς ἐκεῖνος καὶ εἰς σῶμα συνιστάμενος χοῦς, ὁρῶσιν ἐκ δεξιῶν τὸ κενήριον (τάφον) καὶ ἐπ' αὐτῷ γεγραμμένους στίχους δηλοῦντας τὸν κείμενον. Ἦν οὗτος, ὡς ἐδήλου τὰ γράμματα, ὁ Βουλγαροκτόνος Βασίλειος. Ὡς δ' ὑποστρέψαντες σφίσι τὸ θεαθὲν τῷ βασιλεῖ προσανέφερον, οἰκτίζεται αὐτίκα ὁ βασιλεὺς, καὶ πέμψας σηρικὰ χρυσόσημα πέπλα, ἔτι δὲ ἐξαποστείλας τοὺς ὑμνοπόλους σὺν οὐκ ὀλίγοις ἄρχουσιν, ὑπὸ πολλῇ τιμῇ καὶ δορυφορίᾳ, ψαλμοῖς καὶ ὕμνοις, ἀνακομίζεται ἐν θήκῃ τιμίᾳ πρὸ, τὸν Γαλατᾶν τὸ λείψανον, κἀκεῖ προστάττει τῷ ἀδελφῷ σεβαστοκράτορι ἐνθεῖναι τῇ σφετέρᾳ σκηνῇ τὴν θήκην, πέπλοις τε χρυσοῖς ὑπ' ἀκοιμήτῳ φωτὶ ἐχόμενα τῆς ἐκείνου στρωμνῆς θέντα τιμᾶν τοῖς προσήκουσιν, ἕως ἐκεῖθεν ἀναχωρούντων αὐτῶν εἰς Σηλυβρίαν ἐντίμως καὶ λαμπρῶς μετακομίσαντες ἐν τῇ τοῦ Σωτῆρος καταθεῖναι μονῇ » (1).

Περὶ τοῦ Βασιλείου Β΄ καὶ τῆς μητρός του Θεοφανοῦς, ἀναπολούσης τὴν σχεδὸν ὁμώνυμον Θεοδώραν, ἠδυνάμεθα νὰ εἴπωμεν πολλὰ, ἀλλ' ἀφέντες ταῦτα εἰς ἄλλοτε, ἐπανέλθωμεν εἰς τὸ τῆς χρονογραφίας ζήτημα.

Ἡ ἐκκλησία δυσθύμως φέρουσα τὴν ἀπ' αὐτῆς ἀφαίρεσιν τῶν παλαιῶν προνομίων, ἀλλὰ καὶ μὴ δυναμένη ν' ἀντιστῇ πρὸς τὴν οὐχὶ φιλίως φερομένην αὐτῇ πολιτείαν, κατέφυγεν εἰς ἄλλο μέσον νοθεύσεως τῶν χρονογράφων· ὅθεν καὶ παραλαμβάνουσα τούτους ἀφῄρει πάντα τ' ἀπαρέσκοντα αὐτῇ, καὶ οὕτω πολλαπλασιάζουσα τὸ νόθον κείμενον ἠρέμει. Τοιοῦτον πάθη-

---

(1) Παχυμέρους, Μιχαὴλ Παλαιολόγος, Β, κεφ. 21.

μα ἔπαθον καὶ τ' ἀπομνημονεύματα τοῦ Ψελλοῦ, τὰ ὁποῖα πρὸ τῶν ὀφθαλμῶν του νοθευθέντα ἐκυκλοφόρησαν, ὡς γράφει ὁ ἴδιος βαρυθυμῶν (1). Καὶ ἀληθῶς ὡς περιῆλθον ἡμῖν τὰ ἱστορικὰ ἀπομνημονεύματα φαίνονται σκελετὸς μᾶλλον τοῦ μεγάλου ἔργου, ἀφοῦ ἐν ἀντιτύπῳ τὸ ὁποῖον εἶχεν ὑπ' ὄψει ὁ Δοσίθεος Ἱεροσολύμων ἄλλη καὶ τῶν βιβλίων καὶ τῶν ἱστοριῶν ἐπεκράτει διαίρεσις πρὸς τὸ ἐν Παρισίοις μόνον γνωστὸν, ἐξ οὗ καὶ ἐγένετο ἡ ἡμετέρα ἔκδοσις (2). Τὴν αὐτὴν τῷ Ψελλῷ τύχην ὑπέστη καὶ ὁ χρονογράφος τοῦ Μανουὴλ Ἰωάννης ὁ Κίνναμος, ὡς ἀπέδειξεν ὁ κ. Carl Neumann (3). Ἐν τούτοις μυστικῶς ἐκυκλοφόρουν τῶν νοθευμένων ἀντιγράφων τελειότερα κείμενα, καὶ τοιαῦτα φαίνονται τὰ μέχρι τῆς ΙΣΤ' ἑκατονταετηρίδος τηρούμενα ἐν ἰδιωτικαῖς βιβλιοθήκαις τῆς Κωνσταντινουπόλεως καὶ τῆς Ραιδεστοῦ, ὡς δηλοῦται ἐκ τῶν ὑπὸ Ριχάρδου Φαῖρστερ ἐκδοθέντων καταλόγων, ἀλλ' οἱ πολύτιμοι οὗτοι κώδικες, μὴ μεταχθέντες ἐγκαίρως ἐν Εὐρώπῃ, ἀπώλοντο ἐκ πυρὸς ἢ ἀκηδείας τῶν κτητόρων.

---

(1) « Τὰ δὲ πλεῖστα (τῶν ἐμῶν συγγραμμάτων) καὶ διέφθαρται ὥσπερ ἡ τῆς συμπάσης φιλοσοφίας ἐπὶ τὸ σαφὲς μεταποίησις. καὶ ὅσα περὶ τοὺς καθ' ἡμᾶς ἐπραγματευσάμεθα βασιλεῖς. » Ψελλὸς ed. **Boissonade, Norimbergae** 1838, σ. 116.

Ἀζαρίας, ὁ καὶ Ὀζίας, υἱὸς αὐτοῦ, ἔτη νβ', καὶ ἐποίησε τὸ εὐθὲς ἐν ἀρχῇ ὡς ὁ πατὴρ αὐτοῦ, εὐοδούμενος δὲ ἐπήρθη, καὶ ἠθέλησε θυμιάσαι ἐν τῷ ναῷ, ὃ τοῖς ἱερεῦσι μόνοις ἔξεστι, καὶ ἐλεπρώθη· ἐν τούτοις τοῖς καιροῖς προεφήτευον Ἀμὼς, Ἡσαΐας καὶ Ἰωνᾶς· ἀπὸ δὲ τοῦ τεσσαρακοστοῦ ὀγδόου ἔτους τῆς αὐτοῦ βασιλείας γέγονεν ἡ θέσις τῶν Ὀλυμπίων.

Ἰστέον ὡς ὃ δηλοῖ κατὰ τοὺς Ἕλληνας Ὀλυμπιὰς, τοῦτό ἐστιν ὃ παρὰ τοῖς χριστωνύμοις λέγεται βίσεξτον· ἔχει δὲ ἡ τούτου δήλωσις οὕτως· ὁ ἥλιος ἀπὸ τοῦ αὐτοῦ κέντρου εἰς

τὸ αὐτὸ ἀποκαθίσταται, τὸν οἰκεῖον διερχόμενος κύκλον κατ' ἔτος δι ἡμερῶν τξε' καὶ ὡρῶν ς'· ταύτας οὖν τὰς ἕξ ὥρας παρατηρούμενοι ὅσοι καὶ τὴν ἀστρονομίαν δεινοί, κατὰ δ' ἔτη μίαν ἡμέραν τῇ τοῦ ἡλίου κινήσει προστιθέασι, καὶ ὁ ἥλιος ἀνύειν τότε φασὶ τὸν οἰκεῖον κύκλον, ἐφ' ἡμέρας τξς', καὶ τὸ ἔτος ἐκεῖνο καλοῦσι βίσεξτον, ὃ τοῖς ἑλληνίζουσιν ὀλυμπιὰς ἐπεκλήθη· ἀλλὰ τὰ μὲν βίσεξτα ἄχρι τῶν ζ' προβαίνουσι κατὰ τὸν ἀριθμὸν τῶν ἡλιακῶν κύκλων, κη' γάρ εἰσιν, ἡ δὲ ὀλυμπιὰς κατ' ἀριθμὸν προέκοπτεν ἀδιάκοπον· ἑώρταζον οὖν τὰ Ὀλύμπια εἰς τιμὴν τοῦ Ἀπόλλωνος, ἤτοι τοῦ ἡλίου ὡς αἰτίου τῆς ἐκ τῆς τετραετηρίδος ἡμέρας.

Ἰωαθὰν υἱὸς αὐτοῦ ἔτη ις', καὶ ἐποίησε τὸ πονηρόν. Ἄχαζ ὁ υἱὸς αὐτοῦ ἔτη ις' καὶ ἐποίησε τὸ πονηρόν· τότε καὶ Ρωμύλος τὴν μεγάλην Ρώμην κτίσας, τοῦ τρίτου ἔτους περαιουμένου τῆς ἕκτης Ὀλυμπιάδος τῆς πρὸ ἕνδεκα καλενδῶν Μαΐων συνόδου οὔσης ἐκλειπτικῆς, τῆς θ' τοῦ Φαρμουθὶ μηνὸς ἱσταμένου, ἦρχε Ρωμαίων.

Ἐζεκίας ὁ υἱὸς αὐτοῦ ἔτη κθ', καὶ ἐποίησε τὸ εὐθὲς ὡς ὁ Δαυῒδ τελείως· καὶ τὸν χαλκοῦν ὄφιν ὃν ἐκρέμασε Μωϋσῆς καθεῖλεν. Ἐπὶ τούτου Σενναχηρεὶμ καὶ Ραψάκης οἱ Ἀσσύριοι βλασφημήσαντες κατὰ θεοῦ ἐπατάχθησαν· ἄγγελος γὰρ ἐν μιᾷ νυκτὶ ρπε' χιλιάδας ἀνεῖλεν. Οὗτος νοσήσας καὶ μέλλων θνήσκειν, δάκρυσι τὸν θεὸν ἱλεώσατο, καὶ προσθήκην ἔλαβεν ἔτη ιε' διὰ τοῦ προφήτου Ἡσαΐου· ὅτε καὶ ὁ ἥλιος τοὺς ἀναβαθμοὺς ἀνεμπόδισεν.

Μανασσῆς υἱὸς αὐτοῦ ἔτη νε'· καὶ ἐποίησε τὸ πονηρὸν, καὶ γέγονεν ἄλλος Ἱεροβοὰμ τῷ Ἰούδᾳ ὡς καὶ τὴν Ἱερουσαλὴμ δι' αὐτὸν παθεῖν ὡς Σαμάρειαν· διὸ καὶ αἰχμάλωτος ἀπήχθη εἰς Βαβυλῶνα, ἀλλ' ἐκεῖ μετανοήσαντα ὑπέστρεψεν ὁ Θεὸς, ὡς ἐν τῷ Παραλειπομένῳ γέγραπται, εἰς Ἱερουσαλὴμ, καὶ ἀντελάβετο τῆς βασιλείας μετανοῶν καὶ διδάσκων τὸν λαὸν δου-

λεύειν τῷ θεῷ. Ἐπὶ τούτου ἐκτίσθη τὸ Βυζάντιον ἡ νῦν Κωνσταντινούπολις.

0. Ἀμὼς υἱὸς αὐτοῦ ἔτη β΄, ἐποίησε τὸ πονηρὸν καὶ ἀνεῖλον αὐτὸν οἱ παῖδες αὐτοῦ. Ἰωσίας υἱὸς αὐτοῦ ἔτη λβ΄· τοῦτον ὁ λαὸς ἤγειρε βασιλέα ὀκτὼ ἐτῶν ὄντα καὶ ἐποίησε τὸ εὐθὲς ὡς Δαυῒδ, οὐκ ἀπέστη δεξιὰ οὐδὲ ἀριστερὰ, καὶ τὰ εἴδωλα καθεῖλεν, ἐτῶν ις΄ γενόμενος, καὶ τὸν Νόμον ἀναγνωσθῆναι πεποίηκε, καὶ τὸ Πάσχα ἐτέλεσεν ὡς γέγραπται· τοῦτον ἀνεῖλε Φαραὼ Νεχαὼ ἐπὶ τοῦ Εὐφράτου φιλονεικήσαντα πρὸς αὐτόν· ἐπὶ τούτου προεφήτευον Ἱερεμίας καὶ Σοφονίας, καὶ Ὀλδᾶ ἡ προφῆτις.

Ἰωάχαζ υἱὸς αὐτοῦ, μῆνας τρεῖς· καὶ ἐποίησε τὸ πονηρὸν ὃν καὶ μετέστησε Φαραὼ Νεχαώ. Ἐλιακεὶμ υἱὸς Ἰωσίου, ὁ καὶ Ἰωακεὶμ, ἔτη ια΄, καὶ ἐποίησε τὸ πονηρόν· Ἰωακεὶμ ὁ καὶ Ἰεχονίας υἱὸς αὐτοῦ μῆνας τρεῖς· ἐποίησε τὸ πονηρόν· καὶ ἀπῆλθεν εἰς Βαβυλῶνα αἰχμάλωτος. Μανθανὰν, υἱὸς αὐτοῦ, ἔτη ἕνδεκα, ὃν Ναβουχοδονόσορ εἰς Ἱερουσαλὴμ κατέλειψε βασιλέα, μετονομάσας Σεδεκίαν· καὶ ἐποίησε τὸ πονηρόν· τοῦ δὲ Ναβουχοδονόσορ πολιορκοῦντος τὴν Ἱερουσαλὴμ, ὁ τοῦ Σεδεκίου πατὴρ Ἰεχονίας ὑπεξελθὼν σὺν τῇ μητρὶ καὶ πᾶσι τοῖς ἑαυτοῦ προσπίπτει αὐτῷ· ὁ δὲ, καὶ τὴν πόλιν ἐδαφίζει, καὶ αὐτοὺς αἰχμαλώτους εἰς Βαβυλῶνα ἀπάγει σὺν πολλοῖς ἄλλοις, καὶ τὸν προφήτην Ἰεζεκιὴλ, πυρποληθέντος καὶ τοῦ ναοῦ ὑπὸ Ναβουζαρδάν· ἡγεμόνα δὲ καθιστᾷ τῶν ἐπιλοίπων Ἰουδαίων τὸν Σεδεκίαν, ὅρκους λαβὼν κατὰ θεοῦ περὶ τοῦ μὴ ἀποστατῆσαι· ἀλλ' ἐπὶ ἔτεσιν ἐννέα τούτους φυλάξας, καὶ τὰς ἐτησίους εἰσφορὰς παρέχων, μετὰ ταῦτα ἀπέστη, καὶ θεὸν καὶ Ναβουχοδονόσορ ἀγνωμόνως παραλογισάμενος· ἐφ' ᾧ καὶ παρορμᾷ τοῦτον κατὰ τῆς Ἱερουσαλήμ· ὃς καὶ τὴν πόλιν χειροῦται καὶ τὸν ναὸν, διαρκέσαντα ἔτη κατὰ τὸν ἀπαρτισμὸν υκδ΄ ἥμισυ, ἐμπιπρᾷ, καὶ τοὺς παῖδας Σεδεκίου κατόπιν αὐτοῦ ἀνεῖλε, καὶ

αὐτὸν τυφλώσας καὶ πέδαις περιβαλὼν ἅμα παντὶ τῷ λαῷ εἰς Βαβυλῶνα κατάγει, Γοδελίαν υἱὸν Ἀχιβὰν τῶν ἐπιλοίπων καταστήσας ἡγεμόνα, ὃν καὶ ἀνελόντες οἱ καταλειφθέντες ἀναχωροῦσιν εἰς Αἴγυπτον, ἔνθα καὶ διαφθείρονται, ζηλωταὶ τῆς Αἰγυπτιακῆς γενόμενοι δεισιδαιμονίας.

Οἱ δὲ Ἰουδαῖοι χρόνοις ὕστερον ἑβδομήκοντα, ἐπὶ Δαρείου τοῦ Περσῶν βασιλέως ἀπολυθέντες, εἰς Ἱεροσόλυμα ἦλθον, καὶ τήν τε πόλιν καὶ τὸν ναὸν αὖθις ἀνενεώσαντο. Ἰστέον δὲ ὡς τρίτον ὁ Ναβουχοδονόσορ τὰ Ἱεροσόλυμα ἐπόρθησε, πρῶτον μὲν ὅτε ἐν τῷ τρίτῳ ἔτει Ἐλιακείμ, ἐν ἔτει πρώτῳ τῆς αὐτοῦ βασιλείας· δεύτερον δέ, ὅτε ἐν τῷ τρίτῳ μηνὶ Ἰεχονίου ἀνῆλθε καὶ αἰχμαλώτους ἔλαβε σὺν ἑτέροις πολλοῖς Δανιὴλ καὶ τοὺς τρεῖς παῖδας, ὄγδοον ἔτος ἄγων τῆς βασιλείας· τρίτον ὅτε ἐν τῷ ἐνδεκάτῳ ἔτει τῆς βασιλείας Σεδεκίου ἀνελθὼν τόν τε ναὸν ἐνέπρησε, κἀκεῖνον τυφλὸν καὶ αἰχμάλωτον ἀπήγαγεν, ἐννεακαιδεκάτῳ ἔτει τῆς αὐτοῦ βασιλείας. Ναβουχοδονόσορ, ὁ Βαβυλωνίων καὶ Ἀσσυρίων βασιλεύς, ἔτη τεσσαράκοντα τέσσαρα· τούτῳ ὅραμα ἰδόντι ὁ προφήτης Δανιὴλ ἐπιλύει· ἔφησε γὰρ τὴν μὲν χρυσῆν κεφαλὴν εἶναι τοῦ ἀνδριάντος τὴν αὐτοῦ καὶ τῶν αὐτοῦ προγόνων, ἤγουν τῶν Ἀσσυρίων βασιλείαν· τὰς ἀργυρέας δὲ χεῖρας δύο τινὰς βασιλεῖς τοὺς τὴν τῶν Μήδων καὶ τῶν Περσῶν βασιλείαν καθέξοντας τὴν τῶν Βαβυλωνίων ἀρχήν· ὁ δὲ χαλκός, ἐκ δυσμῶν ἐπαναστήσεσθαι βασιλέα μηνύει, τὸν καὶ τοὺς δύο βασιλεῖς ἐξελάσαντα· τὸν δὲ σίδηρον, τὴν ὕστερον ἐπικρατήσασαν βασιλείαν μηνύειν πάσης γενεᾶς, ἤγουν τὴν τῶν Ῥωμαίων· διὸ καὶ αὐτὸς ὁ Δανιὴλ καὶ οἱ τρεῖς παῖδες ὑπὸ τοῦ βασιλέως ἐτιμήθησαν.

Μαροδὰχ υἱὸς αὐτοῦ ἐβασίλευσεν ἔτη ἕξ. Βαλτάσαρ ὁ ἀδελφὸς αὐτοῦ ἔτη δ'· οὗτος ἀσεβὴς ὢν τοῖς σκεύεσι τοῦ ναοῦ περὶ πότον καὶ μέθας ἐχρῆτο μετὰ τῶν αὐτοῦ παλλακῶν· ὃς καὶ ἐν τῷ συμποσίῳ ὁρᾷ σκιὰν χειρὸς γράφουσαν ἐν τῷ τοί-

χῳ Μανῆ Θεκὲλ Φαρές, ἃ μόνος ὁ Δανιὴλ ἡρμήνευσεν εἰπών: ὁ θεὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς ἐπλήρωσε τὴν βασιλείαν σου. καὶ μετ' οὐ πολὺ Κῦρος ὁ Περσῶν βασιλεὺς καὶ Δαρεῖος ὁ τῶν Μήδων καὶ ὁ Ἀστυάγης ἐπιστρατεύσαντες καταλύουσι τὴν τῶν Βαβυλωνίων ἀρχήν, καὶ Κῦρος μὲν τὴν Βαβυλῶνα ποιησάμενος ὑπὸ χεῖρα, Περσίδος τε καὶ τῆς ὅλης Ἀσίας ἐβασίλευσε· Δαρεῖος δὲ τὴν τῶν Μήδων εἶχεν ἀρχήν· συνῆν δὲ αὐτῷ καὶ Δανιήλ, ὅτε ἐν τῷ λάκκῳ τῶν λεόντων βληθεὶς ἀβλαβὴς ἐτη-10*ρήθη, καὶ διὰ τιμῆς πολλῆς τῷ Δαρείῳ ἦν.

Τοῦ δὲ Δαρείου τελευτήσαντος, Κῦρος τὴν πᾶσαν κατέσχε βασιλείαν, συνήφθη δὲ καὶ τῇ γυναικὶ Δαρείου Δαρδάνῃ· οὗτος μετὰ ἑβδομήκοντα ἔτη τῆς αἰχμαλωσίας τῶν Ἰουδαίων εἰς Βαβυλῶνα, προστάσσει ἐπιστρέψαι τὸν λαὸν εἰς Ἱεροσόλυμα, τὴν ἡγεμονίαν χαρισάμενος Ζοροβάβελ· ἡ δὲ τῆς ἐλευθερίας αἰτία ἦν αὕτη. Κροῖσος ὁ Λυδῶν βασιλεὺς ἐπαρθεὶς εἰς εὐτυχίαν, ὅτι τὰς πλησίον αὐτοῦ ἐπαρχίας ὑπέταξε, καὶ τῷ τεσσαρεσκαιδεκάτῳ ἔτει Κύρου ἀναμαθὼν παρὰ τῶν ἰδίων τὴν Ἀστυάγους ἐπὶ Λυδίαν ἐπιδρομήν, καὶ ἀγανακτήσας δηλοῖ Κύρῳ, ἢ παραχωρῆσαι αὐτῷ τῆς αὐτοῦ βασιλείας, ἢ δέξασθαι αὐτὸν πολεμήσοντα. Ὁ δὲ ταῦτα δεξάμενος, καὶ πτοηθεὶς τὴν εὐτυχίαν Κροίσου ἠβουλήθη φυγεῖν· ἡ δὲ γυνὴ Δαρδάνη τὰ περὶ τοῦ προφήτου Δανιὴλ αὐτῷ ἀνεγνώρισεν, ὡς ἦν διὰ τιμῆς τῷ Δαρείῳ καὶ ἐν πᾶσι πολέμοις παρὰ τοῦ προφήτου ἐμάνθανεν εἴτε νικᾷ, εἴτε οὔ, καὶ ὡς γεγηρακὼς νῦν ἰδιάζει εἰς Μωαβίτιδα γῆν. Ὁ δὲ Κῦρος πέμπει τοὺς ἄξοντας τὸν Δανιήλ. Κροῖσος δὲ εἰς Δελφοὺς πέμψας μετὰ πολλῶν δώρων ἐπυνθάνετο εἰ νικᾷ Κῦρον καὶ ἐδόθη αὐτῷ χρησμός:

Κροῖσος τὸν Ἅλυν διαβὰς μεγάλην ἀρχὴν καταλύσει. Ὁ δὲ προφήτης ἐλθὼν πρὸς τὸν Κῦρον, καὶ ἐρωτηθεὶς εἰ νικᾷ Κροῖσον, ἀνεβάλλετο εἰπεῖν· καὶ ὁ Κῦρος ἀγανακτήσας ἐνέβαλεν αὐτὸν εἰς τὸν λάκκον τῶν λεόντων, καὶ ἀβλαβῆ ἰδὼν ἀνήγαγε, καὶ προσέπεσεν αὐτῷ λέγων· ἥμαρτον εἰς σέ, ἀλλ' εὖξαι τῷ Θεῷ σου

καὶ εἰπέ μοι εἰ πολεμήσῳ Κροίσῳ. Καὶ ὁ Δανιὴλ εὐξάμενος εἶπεν αὐτῷ· Νικᾷς τὸν Κροῖσον καὶ λαμβάνεις αἰχμάλωτον, ὅτι περὶ σοῦ εἶπεν ὁ Θεὸς διὰ Ἡσαΐου τοῦ προφήτου ταῦτα ὅσα γέγραπται. Ἃ καὶ ἀκούσας ὁ Κῦρος ἔπεσεν ἐπὶ τοὺς πόδας Δανιὴλ λέγων· ζῇ κύριος ὁ Θεός μου· ἐγὼ ἀπολύσω ἐκ τῆς ἐμῆς ἀρχῆς τὸν Ἰσραὴλ ἵνα λατρεύσωσι τῷ Θεῷ αὐτῶν ἐν Ἱεροσολύμοις. Καὶ ὁπλισάμενος παρετάξατο τῷ Κροίσῳ. Κροῖσος δὲ ἐπὶ τῷ ἰδίῳ συμφέροντι τὸν χρησμὸν δεξάμενος, ἐξῆλθε μετὰ πολλῆς δυνάμεως, καὶ τὸν Ἅλυν διαβὰς συνέκρουσε Κύρῳ· καὶ ἡττηθεὶς φεύγων συνελήφθη ζῶν, καὶ ἀπώλετο τὸ πλῆθος αὐτοῦ μυριάδες τετρακόσιαι, καὶ ὁ Κῦρος αὐτὸν αἰχμάλωτον εἰς Περσίδα ἤγαγε καὶ ἐπὶ ξυλίνου τρίποδος ἐφ' ὕψους δεδεμένον ἐθριάμβευσε· καὶ τοὺς Ἰουδαίους ἀπέλυσεν εἰς Ἱεροσόλυμα ἀπελθεῖν, Ζοροβάβελ ἡγουμένου αὐτῶν. Πλεῖστοι δὲ αὐτῶν ἐκεῖ κατελείφθησαν φόβῳ τῶν γειτονούντων ἐθνῶν ἐν Ἱεροσολύμοις καὶ πόθῳ ὧν ἐκτήσαντο κτήσεων. Οἱ δὲ ἐν Ἱεροσολύμοις ἀνασωθέντες πάσῃ σπουδῇ τὸ τεῖχος τῆς πόλεως καὶ τὸν ναὸν ἀνεγεῖραι ἀπήρξαντο· ἀλλὰ μήπω τελειωθέντων τῶν ἔργων, θνήσκει Κῦρος κρατήσας ἔτη λά.

Καμβύσης ὁ υἱὸς αὐτοῦ ἔτη δύο· οὗτος καὶ τὴν Αἴγυπτον προσελάβετο· πονηρὸς δὲ ὢν ἀπείργει τοὺς Ἑβραίους τῆς οἰκοδομῆς, ὅτε καὶ τὰ κατὰ Ἰουδίθ καὶ Ὀλοφέρνην ἐγένετο. Ἐπὶ τούτου λόγος ἀκμάσαι καὶ Πυθαγόραν τὸν Σάμιον. Δαρεῖος ὁ Ὑστάσπου ἔτη λϛ'. τούτου τῷ δευτέρῳ ἔτει ἀνελθὼν πρὸς αὐτὸν Ζοροβάβελ διὰ τιμῆς αὐτῷ ἦν, καὶ δεηθεὶς ἄδειαν καὶ χρήματα ἔλαβεν εἰς ἀνάκτισιν τοῦ ναοῦ καὶ τῆς πόλεως Ἱερουσαλὴμ καὶ πλεῖστα σκεύη ἱερά· συνέρχονται δὲ τούτῳ τῷ Ζοροβάβελ καὶ ὅσοι εἰς Βαβυλῶνα πρώην κατελείφθησαν, ὧν ὁ ἀριθμὸς ἐκ τῆς Ἰούδα φυλῆς καὶ τῆς Βενιαμίτιδος μυριάδες δύο καὶ ἑξήκοντα καὶ τετρακόσιοι· λευῖται τέσσαρες καὶ ἑβδομήκοντα· γυναῖκες καὶ παῖδες μυριάδες τέσσαρες καὶ ἑπτακισχίλιοι τεσσαράκοντα δύο· εἶχον δὲ καμήλους τετρακοσίας τριάκοντα πέντε καὶ ὑποζύγια

πεντακισχίλια πεντακόσια εἴκοσι πέντε. Καὶ ἀνῳκοδομήθη ὁ ναὸς παρὰ Ζοροβάβελ, Σιωσῆ ἀρχιερέως καὶ παντὸς τοῦ λαοῦ, ἔτει δευτέρῳ τῆς βασιλείας Δαρείου τοῦ Ὑστάσπου, ὅτε καὶ τὰ ἑβδομήκοντα ἔτη τῆς ὑπὸ Ναβουχοδονόσορ αἰχμαλωσίας ἐπληρώθησαν.

Ξέρξης ὁ τούτου παῖς ἔτη εἴκοσι καὶ ὀκτώ, γίνεται δὲ καὶ τῆς πρὸς Ἑβραίους εὐνοίας διάδοχος· ἐπὶ τούτου Ἔσδρας ἦν ἐνδόξως πρωτεύων ὁ σοφὸς ἀρχιερεύς, ὅς καὶ γνώριμος καταστὰς τῷ Ξέρξῃ καὶ αἰτήσας καὶ λαβὼν πλῆθος οὐκ ὀλίγον τῶν ἐναπομεινάντων Ἑβραίων εἰς Βαβυλῶνα κατῆλθεν εἰς Ἱεροσόλυμα, καὶ Νεεμίας τις Ἑβραῖος πλούσιος εἰς Ἱεροσόλυμα ἐπανῆλθε, καὶ χρήμασι πολλοῖς διὰ τάχους τὰ τείχη ἀνήγειρε, κἀκεῖ γηράσας θνήσκει.

Ἀρταξέρξης ὁ Μακρόχειρ, υἱὸς αὐτοῦ ἔτη τεσσαράκοντα ἕν· ἐπὶ τούτου τὴν Ἐσθὴρ ἱστορεῖται γενέσθαι. Ξέρξης ὁ υἱὸς αὐτοῦ, μῆνας δύο. Σογδιανὸς μῆνας ζʹ. Δαρεῖος ὁ Νόθος ἔτη ιθʹ. ἐπὶ τούτου Δημόκριτος ὁ Αὐδηρίτης καὶ Σωκράτης ὁ Ἀθηναῖος φιλόσοφος, καὶ ἰατρὸς Ἱπποκράτης ὁ Κῷος.

Ἀρταξέρξης ὁ Δαρείου καὶ Παρυσάτιδος ὁ Μνήμων, ἔτη μβʹ. ἐπὶ τούτου Πλάτων ὁ φιλόσοφος ἤκμαζε καὶ Ξενοφῶν.

1. | Ἀρταξέρξης ὁ Ὦχος ἔτη κβʹ. ἐπὶ τούτου ἐπαύθη ἡ δυναστεία τῶν Αἰγυπτίων, ἀρξαμένη μὲν ὑπὸ τοῦ τρεισκαιδεκάτου ἔτους Ἰακὼβ τοῦ πατριάρχου, λήξασα δὲ τῷ δωδεκάτῳ ἔτει τούτου τοῦ Ὤχου, διαρκέσασα ἔτη χίλια ἑξακόσια ἑξήκοντα ἕν. Ἄρσης ὁ Ὤχου ἔτη δʹ. Δαρεῖος ὁ Ἀρσάκης ἔτη ἕξ· ἐπὶ τούτου Ἀριστοτέλης ἤκμαζε καὶ Σπεύσιππος καὶ Ξενοκράτης οἱ φιλόσοφοι.

Ἀλέξανδρος ὁ Μακεδών, μετὰ τὸ ἀνελεῖν τὸν Δαρεῖον τοῦτον καὶ καθελεῖν τὴν Περσῶν ἀρχὴν τελείως, ἔτη ὀκτώ, καὶ πρὸ τούτου ἔτη τέσσαρα· ὑπαγόμενος τὴν Ἀσίαν, ὑποτάξας καὶ δουλωσάμενος Ἑλλήνων φυλὰς δεκατρεῖς, καὶ βαρβάρων ἔθνη κβʹ. ἐτελεύτησε δὲ κατὰ τὴν Βαβυλῶνα ἐν ἔτει ἀπὸ κτίσεως κόσμου

εξζ'. Μετὰ θάνατον Ἀλεξάνδρου διενείμαντο τὰς ὑπαχθείσας ἐκείνῳ χώρας καὶ πόλεις οἱ ἐκείνου στρατηγοὶ καὶ σωματοφύλακες, καὶ τῶν μὲν ἄλλων τῆς Ἀσίας μερῶν ἄλλοι ἐβασίλευσαν, μεθ' ὧν καὶ Συρίας Σέλευκος ὁ Νικάνωρ, Αἰγύπτου δὲ καὶ Ἀλεξανδρείας οἱ Ἀντίοχοι (sic) ἐβασίλευσαν, ὧν πρῶτος Πτολεμαῖος ὁ Λάγος· οὗτος ἐβασίλευσεν ἔτη μ', καὶ ἐκστρατεύσας πορθεῖ τὰ Ἱεροσόλυμα καὶ λείαν πολλὴν καὶ αἰχμαλώτους λαβὼν εἰς Αἴγυπτον ἐπανέρχεται καὶ θνήσκει. Πτολεμαῖος υἱὸς αὐτοῦ ὁ Φιλάδελφος ἔτη λθ'. οὗτος τὰς τῶν Ἑβραίων γραφὰς εἰς τὴν Ἑλλάδα μετήνεγκε διὰ τῶν Ο' ἀνδρῶν, Δημητρίου τοῦ Φαληρέως τῷ πράγματι ἐσπουδακότος, Ἐλεαζάρου τηνικαῦτα ἀρχιερατεύοντος.

Πτολεμαῖος ὁ Εὐεργέτης ἔτη εἴκοσι ἕξ· ἐπὶ τούτου Ἰησοῦς ὁ τοῦ Σιρὰχ ἐγνωρίζετο. Πτολεμαῖος ὁ Φιλοπάτωρ ἔτη δεκαεπτά· οὗτος προσέταξε πάντα τὸν ἐν Αἰγύπτῳ αἰχμάλωτον τῶν Ἑβραίων δῆμον ὑπὸ πεντακοσίων ἐλεφάντων οἴνῳ λιβανωτῷ μεθυσθέντων ἀποφθαρῆναι· εὐξαμένου δὲ τοῦ πλήθους πρὸς τὸν θεὸν, οἱ ἐλέφαντες εἰς τοὺς ἰδίους στρατιώτας καὶ τοὺς Αἰγυπτίους ἐμπηδήσαντες πολὺ πλῆθος αὐτῶν ἐθανάτωσαν, οἱ δὲ Ἰουδαῖοι σωθέντες ἀπελύθησαν εἰς τὰ ἴδια.

Πτολεμαῖος ὁ Ἐπιφανὴς ἔτη εἴκοσι τέσσαρα.

Πτολεμαῖος ὁ Φιλομήτωρ ἔτη λέ. ἐπὶ τούτου Ἀντίοχος ὁ τῆς Συρίας βασιλεὺς ὁ Ἐπιφανὴς τὰ Ἱεροσόλυμα παραλαβὼν, τὰ Ιουδαίων ἔθιμα συγχέειν ἐπειρᾶτο, ὅτε καὶ τὰ κατὰ τοὺς ἑπτὰ Μακκαβαίους καὶ τὴν αὐτῶν μητέρα καὶ τὸν διδάσκαλον Ἐλεάζαρον ἐτελέσθη.

Ἐν ἐκείνοις τοῖς καιροῖς Ὑρκανὸς καὶ Ἀριστόβουλος ἱεράτευον, καὶ τῷ μὲν Ὑρκανῷ συνεμάχει τὸ δημοτικόν, Ἀριστοβούλῳ δὲ οἱ ἱερεῖς. Ὀνίας δέ τις ἱερεὺς δίκαιος, ὃς καὶ δι' εὐχῆς ἀνομβρίαν ἔλυσεν, ἠναγκάζετο περὶ νίκης εὔξασθαι· ὁ δὲ ηὔξατο λέγων, Θεὲ δέσποτα, μήτε τῷ δήμῳ κατὰ τῶν ἱερέων σου, μήτε τοῖς ἱερεῦσι κατὰ τοῦ δήμου σου βοήθει. Καὶ εὐθέως

αὐτὸν ἐλίθαξαν· ἡ δὲ θεία δίκη κατ' αὐτῶν παρευθὺ τὸν Πομπήϊον Μάγνον στρατηγὸν Ρωμαίων ἐπήγαγεν, ὃς τὴν πόλιν αὐτῶν ἐπόρθησε· τούτῳ δέδωκε δῶρον Ὑρκανὸς ἄμπελον χρυσῆν διακοσίων ταλάντων, τὴν ἀρχιερωσύνην παρ' αὐτοῦ ἐγχειρισθείς.

Πτολεμαῖος ὁ Φούσκων ἔτη ιβ'. Πτολεμαῖος ὁ καὶ Ἀλέξανδρος ἔτη ί. Πτολεμαῖος ὁ ἀδελφὸς αὐτοῦ ἔτη ή. Πτολεμαῖος ὁ Διόνυσος ἔτη κθ'. Ὁμοῦ τὰ τῶν Πτολεμαίων ἔτη σνή. Κλεοπάτρα θυγάτηρ τοῦ Πτολεμαίου τούτου ἔτη κβ'. τῷ τετάρτῳ ἔτει τῆς βασιλείας αὐτῆς κατελύθη ἐν Ρώμῃ ἡ ὑπατεία, καὶ γέγονεν αὖθις μοναρχία, Γαΐου Ἰουλίου Καίσαρος πρώτου τὴν ἀρχὴν ἑαυτῷ περιθεμένου, ὅτε δὴ καὶ Διόδωρος ἤκμαζεν ὁ ἱστορικός. Τῆς γοῦν Κλεοπάτρας τέσσαρα μόνα ἔτη ἐπὶ τῆς βασιλείας λογιστέον, τὰ δὲ λοιπὰ δέκα καὶ ὀκτώ, εἰ καὶ ἐν τῇ οἰκείᾳ χώρᾳ ἦρχεν, ἀλλὰ καὶ ταῦτα ἐπεὶ μετὰ τὴν ἀνάρρησιν Ἰουλίου, τῇ μείζονι ἀρχῇ προσθετέον ὡς πάντα ὑποταξάσῃ καὶ αὐτὴν τὴν Αἴγυπτον.

Ἐνταῦθα καλὸν τὴν ἱστορίαν ἀναποδίσαντα περὶ τῶν Ρωμαίων διαλαβεῖν ὅθεν ἕλκουσι τὰς τοῦ γένους πηγάς· ἔχει δὲ οὕτως. Αἰνείας ὁ Φρὺξ μετὰ τὴν τῆς Τροίας ἅλωσιν, φεύγων τὸν ὑπὸ τῶν Ἑλλήνων Φρυγίας βασιλέα Ἀντήνορα, ἐξώρμησεν εἰς Ἰταλίαν πρὸς Λατῖνον τὸν Τηλέφου υἱόν, καὶ σὺν αὐτῷ πολεμήσας Ρουστύλοις ἡττήθη, ὁ δὲ Λατῖνος ἐν τῷ πολέμῳ ἐσφάγη· ὕστερον δὲ λαβὼν βοήθειαν παρὰ Εὐάνδρου καὶ τοῦ υἱοῦ αὐτοῦ Πάλαντος, οἰκούντων ἐν Ἰταλίᾳ παρὰ κώμην Βαλεντίαν, καὶ συμμίξας Ρουστύλοις, ἐνίκησεν αὐτούς, ἀνελὼν καὶ τὸν βασιλέα αὐτῶν Τύρνον, καὶ γαμεῖ τὴν θυγατέρα Λατίνου Λαβινίαν Διδώ, καὶ ἀπέθετο ἐκεῖ τὸ Παλάδιον ξόανον, καὶ κρατεῖ ἔτη τρία.

Ἀσκάνιος ὁ ἀπὸ Κρεούσης θυγατρὸς Πριάμου υἱὸς αὐτοῦ,
11ᵛ. ἔτη λή. καὶ κτίζει καὶ αὐτὸς μεγάλην πόλιν|, ἣν καὶ ὠνόμασεν Ἀλβανίαν, ἐν ᾗ καὶ τὸ Παλάδιον ἀπέθετο καὶ τὴν βασιλείαν κατέθετο.

Σίλβιος ἕτερος υἱὸς Αἰνείου ὁ ἀπὸ Ἀλβανίας τῆς θυγατρὸς Λατίνου, ἔτη κθ΄. Αἰνείας υἱὸς αὐτοῦ ἔτη λά. Λατῖνος ἔτη μδ΄. Ἄλβας ἔτη νζ΄. Ἄπυτος, ἔτη κς΄. Κάπυς ἔτη κή. Κάρπεντος ἔτη ιγ΄. Τιβέριος ἔτη ή. Ἀγρίππας ἔτη μά. Ἀρεάκουλος ἔτη ιθ΄. Ἀβέντιος ἔτη λ΄. Προκανὸς ἔτη κγ΄. Ἀμούλιος υἱὸς αὐτοῦ ἔτη μβ΄. Οὗτος Νομήτορα τὸν πρῶτον ἀδελφὸν ἀπωσάμενος, ἀνοσίως ἐβασίλευσε, καὶ ὁ Νομήτωρ ἡσύχως ἐβίου ἐν τοῖς ἰδίοις κτήμασιν, οὗ καὶ περιεφρόνει ὁ Ἀμούλιος ὡς ἀργοῦ· τὸν δὲ υἱὸν αὐτοῦ Ἥγεστον ὑφορώμενος δολοφονεῖ, τὴν δὲ ἀδελφὴν Ἡγέστου Ῥέαν Σιλβίαν τὴν καὶ Ἐλίαν ἱέρειαν ἐποίησε τοῦ Ἄρεως, ἥτις καὶ ὑπὸ στρατιώτου φθαρεῖσα δίδυμα ἔτεκε βρέφη. Τούτου γνωσθέντος Ἀμουλίῳ, αὐτὴ μὲν εὐθέως καθείρχθη εἰς βάσανα, τὰ δὲ βρέφη τοῖς τοῦ ποταμοῦ Θύμβριδος ῥεύμασιν ἀπερρίφθη. Ῥῶμος ἦσαν καὶ Ῥῆμος αὐτοῖς τὰ ὀνόματα. Χειμῶνος δὲ ὄντος καὶ τοῦ ποταμοῦ τοὺς πλησίον τόπους ἐπικλύσαντος, εἶτα τοῦ ὕδατος ὑποχωρήσαντος, εὑρέθη τὰ βρέφη ἐπὶ ξηρᾶς ἐγγὺς ἱεροῦ Πανός. Λαυρεντία δέ τις βόσκουτα ποίμνιον ἰδοῦσα τὰ βρέφη ἥρπασε καὶ ὡς ἴδια ἐξέθρεψεν· ἃ καὶ ἀνδρωθέντα, οὐ μικρᾶς τόλμης ἥπτοντο, τῇ ἰσχύϊ θαρροῦντες, καὶ ληΐζοντες τοὺς τῶν γειτόνων ἀγρούς. Ἐν μιᾷ οὖν συνέβη τὸν Ῥῆμον ἀτακτοῦντα συσχεθῆναι ὑπὸ Νομήτορος, ὅν εἰς ἐξέτασιν ἀγαγὼν, καὶ εἰς τὸ πρόσωπον τοῦ νέου ὁρῶν οὐκ ἔφερε κολάζειν, ἡ γὰρ φύσις τὸ ἴδιον αἷμα ἠλέει, καὶ μάλιστα εἰπόντος τοῦ Ῥήμου ἔχειν καὶ ἀδελφὸν ὁμότοκον· τοῦτο ἀκούσας Νομήτωρ, καὶ εἰς ἔννοιαν ἐλθὼν τῆς ἐκθέσεως τῶν παίδων, καλεῖται Σταίφυτον καὶ Λαυρεντίαν τὴν αὐτοῦ γαμετὴν, οἷς καὶ κοινολογησαμένου, τὸ λανθάνον ἡ τύχη ἐξέφηνε. Καὶ εὐθέως ἀπέλυσε τὸν Ῥῆμον, συγγνώμην δῆθεν δοὺς τῇ νεότητι· εἶτα ἐξέφηνε τοὺς νέους τῆς θυγατρὸς αὐτοῦ Σιλβίας ὑπάρχειν τέκνα, ἥτις δεσμοῖς καὶ βασάνοις καθεῖρκτο· ἃ καὶ μαθόντες οἱ παῖδες καὶ τινας προσεταιρισάμενοι ἄφνω εἰσπηδῶσιν εἰς τὰ βασίλεια, καὶ τὸν μὲν

Ἀμούλιον κατασφάττουσι ξίφει, τὸ δὲ κράτος τῶν Ἀλβανῶν τῷ πάππῳ Νομήτορι καὶ τῇ μητρὶ Σιλβίᾳ παραδεδώκασι.

Νομήτωρ ἐβασίλευσεν ἔτη δύο. Ρῶμος καὶ Ρῆμος οἱ ἀδελφοὶ ἔτη λ'. καὶ ἑπτά. Οὗτοι ἔχοντες πόθον τῆς κώμης Βαλεντίας καὶ τοῦ ἱεροῦ Πανὸς περὶ τὸ ρεῖθρον τοῦ Θύμβριδος τὸ διαφυλάξαν αὐτούς, ἐτείχιζον πόλιν σὺν τάχει, ἀρξάμενοι ἀπὸ τοῦ Καπετωλίου, ἔνθα ἦν ἡ κεφαλὴ Ἰλίου γίγαντος, πάλαι δριμὺ βλέπουσα, ὡς θρόμβου αἵματος ἔτι ὄντος ἐν αὐτῷ· τοῦ δὲ Ρώμου ἐπὶ τούτῳ ταρασσομένου σὺν παντὶ τῷ πλήθει, μάντις τις ἔπαυσεν αὐτοὺς τῆς δειλίας, εἰπὼν ἐπικρατήσειν τὴν πόλιν ὅλης τῆς γῆς, ὃν τρόπον ὑπερέχειν τὴν κεφαλὴν ὅλου τοῦ σώματος· καὶ εἰς εὐθυμίαν ἐλθόντες ἤρξαντο κτίζειν ἀπὸ τοῦ τόπου τῆς αὐτῆς κεφαλῆς· πρώην δὲ πολίχνιον ὑπῆρχε μικρότατον τοὔνομα Παλάντιον, ὅπερ Πάλας υἱὸς Εὐάνδρου ἔκτισεν οὖσαν κώμην Βαλεντίαν· καὶ συνήθροισεν οἰκήτορας, οἳ καὶ προθύμως συνήρχοντο, διὰ τὸ ἄσυλον· ἐπέτρεπε δὲ ἕκαστον φέρειν τῆς ἰδίας χώρας γῆν ὥστε ἐπιποθεῖν ὡς ἰδίαν πατρίδα. Λαβὼν δὲ σάλπιγγα Ρῶμος, καὶ ἀναβὰς εἰς ὕψος, πάσης τελετῆς ἡγησάμενος, τὸ τῆς πόλεως ἐξεβόησεν ὄνομα πολιτικὸν, Ρώμη, ὅθεν καὶ Ρωμαῖοι ἐκλήθησαν.

Μετὰ τοῦτο ζεύξας ταῦρον μετὰ δαμάλεως περιῆλθε τὸ τεῖχος, τὸν μὲν ταῦρον ὡς ἄρρενα ἐπὶ τὴν τοῦ πεδίου ἔχων πλευράν, τὴν δὲ θήλειαν δάμαλιν ἐπὶ τὸ τῆς πόλεως μέρος, ἐφ' ᾧ τοὺς μὲν ἄρρενας τοῖς ἔξω γενέσθαι φοβεροὺς, τὰς δὲ θηλείας τοῖς ἔνδον γονίμους. Καὶ βῶλον λαβὼν ἔξωθεν ἐπὶ τὴν πόλιν ἠκόντισεν, οἰωνισάμενος διὰ παντὸς ἐκ τῶν ἔξωθεν αὐτὴν ἐπαύξεσθαι· καὶ τὸν βασιλικὸν οἶκον Πάλαντος Παλάντιον λεγόμενον ἀνενέωσε, καὶ μέγιστον ναὸν τῷ Διῒ κτίσαντες, Καπετώλιον ἐκάλεσαν ρωμαϊστί, ὅ ἐστι Κεφαλὴ τῆς πόλεως· καὶ τὸ Παλλάδιον ἀπὸ Σίλβης ἀγαγόντες αὐτόθι ἀπέθεντο.

Εἰς διαφορὰς δὲ καὶ ἔχθρας ἐλθόντες οἱ ἀδελφοὶ κακῶς

διῆγον, ὅθεν καὶ ἀνεῖλε τὸν Ρῆμον ὁ Ρῶμος· καὶ ἔκτοτε οὐκ ἐπαύετο σειομένη πᾶσα ἡ πόλις, καὶ ὁ δῆμος ἐστασίαζε, καὶ πόλεμοι ἐμφύλιοι ἐγίνοντο, ἐφ' ᾧ καὶ ἀθυμοῦντος Ρώμου καὶ τὴν τοῦ ἀδελφοῦ σφαγὴν αἰτίαν γενέσθαι τῶν τηλικούτων χαλεπῶν ἐπιγνόντος διά τινος, καὶ ὡς εἰ μὴ συγκαθήσῃ | τῷ φ. Ρώμῳ ὁ Ρῆμος ἐπὶ τῷ βασιλικῷ θρόνῳ, οὐ παύσεται τὰ κακά· εὐθὺς χρυσοῦν ἀνδριάντα τοῦ Ρήμου κατασκευάσας ἐνέθηκε τῷ θρόνῳ ἔνθα ἐκάθητο, καὶ οὕτως τὸν ὑπόλοιπον διῆξε χρόνον συγκαθημένης αὐτῷ τῆς τοῦ ἀδελφοῦ στήλης, καὶ τὰ κακὰ ἐπαύθη· ἀλλὰ καὶ δημηγορεῖν βουλόμενος καὶ γράφειν, ἐκελεύσαμεν, καὶ κελεύομεν ἔλεγέ τε καὶ ἔγραφεν, ὅπερ ἔθος ἕως τῆς δεῦρο ἐκράτησεν.

Οὗτος πρῶτος κτίζει ἱππικὸν ἐν τῇ Ρώμῃ· ὁρῶν γὰρ τὸ σύμπαν τῆς πόλεως πλῆθος μιᾶς ὂν γνώμης στασιάζον ἐπ' αὐτῷ, ἐπενοήσατο διὰ τοῦ ἱππικοῦ τὰς αὐτῶν γνώμας διαιρῆσαι εἰς δύο, καὶ τοὺς μὲν τῷ ἑνὶ προσκειμένους, τοὺς δὲ τῷ ἑτέρῳ, μηδέποτε πρὸς ἀλλήλους ὁμονοεῖν. Ἐποίησεν οὖν τὸ ἱππικὸν εἰς τεσσαρα μέρη τοὺς ἀγωνιζομένους διελών, εἰκόνα τῶν τεσσάρων στοιχείων, γῆς, θαλάσσης, ἀέρος, πυρὸς, ἀπονείμας ἑκάστῳ χρώματι τὸ ἑαυτοῦ στοιχεῖον, τῷ πρασίνῳ τὴν γῆν διὰ τὸ χλοῶδες, τῷ βενέτῳ τὴν θάλασσαν διὰ τὸ βενετίζειν αὐτὴν, τῷ λευκῷ τὸν ἀέρα διὰ τὸ λαμπρὸν, τῷ δὲ ρουσίῳ τὸ πῦρ διὰ τὸ πυρῶδες. Τυποῖ δὲ διὰ μὲν τῶν θυρῶν τῶν δώδεκα τοὺς οἴκους τοῦ ζωδιακοῦ κύκλου, διὰ δὲ τοῦ τέλματος τὴν γῆν πᾶσαν, διὰ τοῦ εὐρίπου τὴν θάλασσαν· καὶ διὰ μὲν τοῦ ἐπὶ τὰς θύρας καμπτοῦ, τὴν ἀνατολὴν, διὰ δὲ τοῦ ἐπὶ τὴν σφενδόνην, τὴν δύσιν, καὶ διὰ τῶν ἑπτὰ σπαθίων, τὸν δρόμον τῶν ἑπτὰ πλανήτων. Καὶ ἀπετέλεσεν ἅρμασι τετραπώλοις τὸ ἱπποδρόμιον.

Νουμᾶς Πούπλιος ἔτη μγ'. οὗτος πρῶτος νόμισμα ἀπὸ χρυσοῦ ἐχάραξε, καὶ ἀπὸ ἀργύρου ἀργύρια, καὶ ἀπὸ χαλκοῦ ὀβολὸν, ὃν καὶ νουμμὸν καλεῖσθαι ἐκέλευσε.

Ἄγκος Ὀστίλιος ἔτη λβ΄. Ἄγκος Μάρκιος, ἔτη κδ΄. Πρίσκος Ταρκύνιος ἔτη τριάκοντα καὶ ὀκτώ, Σερβίλιος Τούνιος, ἔτη τεσσαράκοντα ὀκτώ. Ταρκύνιος Σούπερβος ἔτη κδ΄.

Τούτου υἱὸς Ἀράδιος ἐρασθεὶς Λουκρετίας τῆς θυγατρὸς Γουριγίνου τοῦ συγκλητικοῦ, γαμετῆς δὲ Κολλατίνου, εἰς ὕβριν ἐξεβιάσατο, ἡ δὲ ἀγχόνῃ ἑαυτὴν ἀναιρεῖ· ὃ μαθὼν ὁ πατὴρ, καὶ αὐτὸς ἑαυτὸν ἀναιρεῖ. Κολλατῖνος δὲ πρὸς ἐπιβουλὴν ἀνίσταται Ταρκυνίου ἅμα Ἰουνίῳ Λεύκῳ τῷ Βρούτῳ, ἀνδρὶ νουνεχεῖ, ὅς τὸν χρόνον τῆς βασιλείας Ταρκυνίου μωρίαν μετήρχετο, τῷ πάθει τὴν ἄνοιαν ὑποκρινόμενος, καὶ πάντας ἀνέπεισεν ἐξελεῖν τὸν τύραννον, καὶ τὸν δῆμον πρὸς στάσιν ἀνήγειρε. Ταρκυνίου δέ ποτε ἐξελθόντος τῆς πόλεως, ὁ Βροῦτος καὶ ὁ Κολλατῖνος εἰς τυραννίδα διηγέρθησαν, πείσαντες τὴν σύγκλητον καὶ τὸν στρατὸν μὴ δέξασθαι τοῦ λοιποῦ βασιλέα Ταρκύνιον. Καὶ ὁ Ταρκύνιος λάθρα πέμψας ὑπενόθευσε τὸν τοῦ Βρούτου υἱὸν καὶ τὴν πόλιν αὐτοῦ προδοῦναι παρέπεισε. Βενδίκιος δὲ δοῦλος τοῦ Βρούτου, ταῦτα τῷ δεσπότῃ ἀνήγγειλεν· ὁ δὲ συνέσχε τὸν υἱὸν, καὶ ὁμολογήσαντα ἐν μέσῳ τῆς Ῥώμης ἐφόνευσε. Τότε ἡ σύγκλητος ἐγγράφως τὸν Ταρκύνιον ἀπεκήρυξε, καὶ ἡ γερουσία εἶπεν ἐκεῖνον τὴν ἀρχὴν λαβεῖν ὅστις ἂν πρῶτος φιλήσῃ τὸ τῆς μητρὸς στόμα· οὗτος γὰρ ἔσται ὕπατος. Καὶ πάντων δραμόντων ἐπὶ τοῦτο, κύψας ὁ Βροῦτος τὴν γῆν κατεφίλησε καὶ τῆς ὑπατείας ἔτυχεν· ἔλαβε δὲ καὶ τὸν Κολλατῖνον κοινωνὸν, καὶ διῴκουν τὴν πολιτείαν ὡς ὕπατοι προχειριζόμενοι ἄρχοντας κατὰ δοκιμασίαν, μὴ εἶναι τοῦ λοιποῦ βασιλεῖς ἐν Ῥώμῃ νομοθετήσαντες, ἀλλ᾽ ἑκάστῳ χρόνῳ δύο ἀπὸ τῆς συγκλήτου προκρίνεσθαι, καὶ τούτους ὡς ὑπάτους ἄρχειν καὶ διοικεῖν τὰ πάντα, ἐπὶ δίφρων φερομένους μετὰ βασιλικῆς ἐξουσίας καὶ δορυφορίας.

Ὁ δὲ Ταρκύνιος ἔξω θνήσκει. Τούτους τοὺς ὑπάτους ἐθέσπισαν καὶ νόμους γράφειν, καὶ πολέμους διοικεῖν. Πολλῆς δὲ συγχύσεως τοῦ δήμου γενομένης περιεφρονοῦντο οἱ ἄρχοντες· ὅθεν

καὶ δέκα ἀνδράσι τὴν ὅλην τῆς πολιτείας φροντίδα δεδώκασιν. Ὕστερον δὲ χιλίαρχοι τῶν πραγμάτων ἡγοῦντο. Εἶτα πενταετίαν ἀναρχία ἦν, καὶ τὰ πράγματα ἐδυστύχει. Καὶ λοιπὸν τρεῖς νομοθέτας καὶ δικαστὰς προβληθῆναι συμβέβηκεν· εἶθ' οὕτως ἤρεσεν αὐτοῖς προστήσεσθαι τὸν καλούμενον δικτάτορα, ᾧ καὶ ἦσαν [πάντα τὰ τῆς βασιλείας σύμβολα, χωρὶς στέφους. Τῶν φ. 1 δὲ τῆς πόλεως ἀρχῶν ὁ ὕπατος ἐκράτει, καὶ τοὺς ὑπάτους ὁ δικτάτωρ προεβάλλετο· καὶ εἰς τρεῖς μοίρας τὰ τῆς ἀρχῆς διῃρέθη, εἰς ὑπάτους, εἰς τὸν τῆς πόλεως ὕπαρχον, καὶ τὸν δῆμον. Καὶ οἱ μὲν ὕπατοι τοὺς πολέμους διῴκουν, ὁ δῆμος ἐστρατεύετο, ὁ δὲ ὕπαρχος τὴν πόλιν ἐφύλαττεν.

Οὕτω διῳκοῦντο τὰ τῶν Ῥωμαίων ὑπὸ ὑπάτων ἔτη υξδʹ, ἕως Ἰουλίου Καίσαρος δικτάτωρος καὶ τριουμβιράτορος· αὐτὸς δὲ τυραννήσας ἐκράτησε τῆς Ῥώμης πρῶτος.

Γάϊος Ἰούλιος Καῖσαρ ἔτη δʹ, μῆνας ηʹ· ἀπὸ δὲ τῆς κτίσεως Ῥώμης ἕως τῶν ὑπάτων ἐπὶ ἑξακόσια ἔτη μηδὲν μέγα κτησαμένων τῶν Ῥωμαίων, εἰ μὴ μέρος τι τῆς Ἰταλίας ποιησαμένων ὑφ' ἑαυτούς· οὗτος πᾶσαν Λιβύην καὶ τοὺς ἑσπερίους Ἴβηρας καὶ τοὺς πλείους τῶν Ἑλλήνων ἐκτήσατο, καὶ τὸν Αἰγύπτου βασιλέα Πτολεμαῖον, τὸν καὶ Διόνυσον, ἐν πολέμῳ διέφθειρε, καὶ Κλεοπάτρᾳ τῇ θυγατρὶ ἐκείνου τὴν βασιλείαν παρέδωκε, φόρου τελεῖν ὑποσχομένῃ Ῥωμαίοις. Ἀλλὰ φθονηθεὶς ὑπὸ τῆς συγκλήτου, ἐν μέσῳ τῆς ἀγορᾶς ἐσφάγη ὑπὸ Κασίου καὶ Βρούτου.

Αὔγουστος Ὀκτάβιος, ἀνεψιὸς Ἰουλίου, ἔτη νϛʹ, μῆνας ἕξ· τούτῳ συνάρχειν ᾑρέθησαν Ἀντώνιός τε ὁ ἐπ' ἀδελφῇ αὐτοῦ Ὀκταβίᾳ γαμβρὸς, καὶ Λεπίδιος ὁ στρατηγός. Ἀλλὰ Λεπίδιος μὲν τῶν ἑσπερίων ἄρχων, καὶ καταφρονήσας τῶν ἐν Ῥώμῃ, καὶ τοὺς φόρους νοσφισάμενος τάχιον ὑπὸ Αὐγούστου διαφθείρεται. Ἀντώνιος δὲ, τῆς Κλεοπάτρας βουληθείσης ὅπλα κατὰ Ῥωμαίων κινεῖν καὶ στρατὸν συναθροιζούσης, πέμπεται κατ' αὐτῆς σὺν πολλῇ δυνάμει στρατοῦ· ὃς τὴν Κλεοπάτραν ἰδὼν

καὶ τῷ ἔρωτι ταύτης ἁλοὺς, τὸν πόλεμον διαλύσας ἑαυτῷ ταύτην συνάπτει. Καὶ βουλῇ τῆς συγκλήτου καὶ Αὐγούστου Καίσαρος τὴν ὅλην Αἴγυπτον καὶ τὰ τῆς Ἀνατολῆς μέρη εἰς οἰκείαν κατέσχεν ἀπόλαυσιν. Ἀλλὰ τῷ τῆς Κλεοπάτρας ἔρωτι τοὺς τῆς Ὀκταβίας ἔρωτας ἀτιμάσας καὶ ταύτην ἀτίμως πρὸς τὸν ἀδελφὸν ἐκπέμψας, καὶ πλῆθος στρατοῦ καὶ πλοῖα μυρία συναγαγὼν ὥρμησε σὺν τῇ Κλεοπάτρᾳ κατὰ Ῥώμης. Ὁ δὲ Αὔγουστος δύναμιν ἐξ Ἰταλίας ἠθροικὼς καὶ συμμίξας ἐξαφανίζει σὺν τῇ Κλεοπάτρᾳ, καὶ τὴν Αἴγυπτον καὶ Συρίαν ὑποτελεῖς Ῥωμαίοις πεποίηκεν, ἔτει τεσσαρεσκαιδεκάτῳ τῆς βασιλείας αὐτοῦ.

Οὗτος ἀπελθὼν ἐν τῷ μαντείῳ ἠρώτησε, τίς μετ' ἐμὲ βασιλεύσει τῆς Ῥωμαϊκῆς πολιτείας, καὶ ἐδόθη αὐτῷ χρησμὸς ἀπὸ τῆς Πυθίας:

Παῖς Ἑβραῖος κέλεταί μοι θεὸς μακάρεσσιν ἀνάσσων
τόνδε δόμον προλιπεῖν καὶ ὁδὸν αὖθις ἱκέσθαι·
λοιπὸν ἄπιθι ἐκ δόμων ἡμετέρων.

Καὶ ἐξελθὼν ὁ βασιλεὺς τοῦ μαντείου, καὶ εἰς τὸ Καπετώλιον ἐλθὼν, καθὼς Τιμόθεος συνεγράψατο, βωμὸν ἔστησεν ὑψηλὸν, ἐν ᾧ ἐπέγραψε Ῥωμαϊκοῖς γράμμασιν· ὁ βωμὸς οὗτός ἐστι τοῦ πρωτογόνου θεοῦ. Οὗτος ἀποθνήσκων πρὸς τὴν σύγκλητον ἀπιδὼν εἶπεν· τὴν Ῥώμην πηλίνην παραλαβὼν, λιθίνην ὑμῖν καταλιμπάνω.

Ἐν δὲ τῷ τεσσαρακοστῷ δευτέρῳ ἔτει τῆς βασιλείας Αὐγούστου, λδ' δὲ τῆς βασιλείας Ἡρώδου βασιλέως τῶν Ἰουδαίων, ἀπὸ κτίσεως κόσμου ἔτει ͵εφ', μηνὸς δεκεμβρίου εἰκοστῇ πέμπτῃ, γεννᾶται τὸ κατὰ σάρκα ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐκ τῆς ἁγίας Παρθένου ἐν Βηθλεέμ. Ἰστέον δὲ ὅτι μετὰ τὴν Ἀντιόχου τῶν Ἱεροσολύμων ἅλωσιν καὶ τῶν τειχῶν πάλιν καθαίρεσιν, μετὰ τὴν ἐκ Περσῶν τῶν Ἰουδαίων ἐπάνοδον καὶ δευτέραν ἀνοικοδομὴν, ἔτει τετρακοσιοστῷ, στρατιωτῶν οὐκ ὀλίγων ὑπ' αὐτοῦ καταλειφθέντων εἰς φρουρὰν καὶ στρατηγῶν, ἠναγ-

κάζοντο πάντες οἱ Ἰουδαῖοι τὸν θεὸν καταλιμπάνειν καὶ εἰδωλολατρεῖν καὶ ἑλληνίζειν. Ἐν τοιούτοις τῶν Ἑβραίων ἐξεταζομένων, Ματθίας τις ἱερεὺς Ἀσσαμωναίου τῆς Ἰούδα φυλῆς, πλῆθος πολὺ συναθροίσας καὶ ζήλου θείου πλήρης γεγονὼς, ἐπανίσταται τοῖς τοῦ Ἀντιόχου στρατιώταις καὶ κατὰ κράτος νικᾷ, καὶ τοὺς ἑλληνίσαντας Ἰουδαίους πάντας φονεύει, καὶ κρατεῖ ἔτη δύο· καὶ μετὰ θάνατον οἱ παῖδες αὐτοῦ, πέντε δὲ ἦσαν, κατὰ διαδοχὴν διεδέξαντο, ὀνόματα τούτοις Ἰούδας, Ἐλεάζαρος, Γωάννης, Ἰωνάθης καὶ Σίμων· ὧν ὁ μὲν Ἐλεάζαρος καὶ Ἰωάννης ἰδιωτεύοντες ἐν πολέμοις ἐτεθνήκεσαν, Ἰούδας δὲ ἄριστος ἡγεμὼν ἀναδειχθεὶς τῶν Ἰουδαίων, ἐκ τῶν πολεμίων πάντων τὸ ἴδιον γένος ἠλευθέρωσε, καὶ χρόνους οὐκ ὀλίγους ἄρξας θνήσκει· καὶ τούτου τὴν ἡγεμονίαν ὁ ἀδελφὸς | Ἰωνάθης διαδέχεται· φ. 1
καὶ μετ' αὐτὸν εἰς τὸν Σίμωνα ἡ ἀρχὴ μεταβαίνει. Καὶ τοῦτον ὁ υἱὸς Ὑρκανὸς διαδέχεται, ὃς καὶ Ἰωάννης ἐκαλεῖτο· παίδων δὲ τριῶν αὐτῷ γεγονότων, Ἀλεξάνδρου, Ἀριστοβούλου καὶ Ἀντιγόνου, μετὰ τὸν τοῦ πατρὸς θάνατον ὁ Ἀλέξανδρος βασιλεύει τῶν Ἰουδαίων· καὶ αὐτὸς δὲ δύο υἱοὺς ἔτεκεν, Ὑρκανὸν καὶ Ἀριστόβουλον· οὗτοι διεμερίσαντο τὴν ὅλην ἡγεμονίαν εἰς ἱερωσύνην καὶ βασιλείαν, ἀλλ' οὐκ ἠδυνήθησαν ἄρχειν εἰρηνικῶς· ὅθεν ὁ μὲν ὑπὸ Πομπηΐου αἰχμάλωτος εἰς Ῥώμην μετὰ γυναικὸς καὶ παίδων ἀπήχθη, Ὑρκανὸς δὲ ἐν Ἱεροσολύμοις βασιλεύων ἀπώλετο. Ἀριστόβουλος δὲ δύο παῖδας ἄρρενας ἔτεκεν, Ἀλέξανδρον καὶ Ἀντίγονον, οἵ καὶ ἰδιωτεύοντες ἔτι σὺν τῷ πατρὶ ἐσφάγησαν. Ἔσχεν ὁ Ἀριστόβουλος καὶ θυγατέρα Μαριάμνην, ἣν πρὸς γάμον λαμβάνει Ἡρώδης ὁ Ἀντίπατρος, βασιλεὺς ὑπὸ Αὐγούστου Καίσαρος ἀποδειχθεὶς Ἰουδαίων μετὰ Ὑρκανὸν, μεθ' ἧς δύο υἱοὺς ἔσχε βασιλεῖς, Ἀλέξανδρον καὶ Ἀριστόβουλον· εἶχε δὲ καὶ πρὸ τῆς βασιλείας ἑτέραν γυναῖκα, Δωρίδα ὀνόματι, μεθ' ἧς πρωτότοκον ἐποίησε τὸν Ἀντίπατρον, ἀλλὰ κακὸς ὢν καὶ τὴν Μαριάμνην κτείνει

καὶ τοὺς μετ' αὐτῆς υἱούς, Ἀλέξανδρον καὶ Ἀριστόβουλον, πρὸς τούτοις καὶ τὸν Ἀντίπατρον· ἔγημε δὲ καὶ ἑτέρας γυναῖκας, καὶ υἱοὺς ἔτεκε, Φίλιππον μὲν καὶ Ἡρώδην τὸν ἀποκεφαλίσαντα τὸν ἅγιον Πρόδρομον Ἰωάννην, ἐκ Κλεοπάτρας, ἕτερον δὲ Ἡρώδην ἀπὸ Μαριάμνης ἄλλης, θυγατρὸς ἀρχιερέως Σίμωνος, Ἀντίπαν δὲ καὶ Ἀρχέλαον καὶ Ὀλυμπιάδα ἐκ Μαλθάκης, καὶ ἐκ Παλλάδος Φασάηλον, Ῥωξάνην τε ἐκ Φαίδρας, καὶ ἐξ Ἐλπίδος Σαλώμην. Ἀλέξανδρος δὲ πρινὴ σφαγῆναι ὑπὸ τοῦ πατρὸς δύο παῖδας ἔτεκε, Τιγράνην καὶ Ἀλέξανδρον· ὁ δὲ ἀδελφὸς αὐτοῦ Ἀριστόβουλος, Ἡρώδην τὸν γεγονότα βασιλέα Χαλκίδος, Ἀριστόβουλον, Ἀγρίππαν τὸν γεγονότα βασιλέα, Μαριάμνην καὶ Ἡρωδιάδα τὴν γυναῖκα Φιλίππου καὶ Ἡρώδου τῶν ἀδελφῶν καὶ υἱῶν τοῦ μεγάλου βασιλέως Ἡρώδου. Ἀγρίππας δὲ ὁ βασιλεὺς ἕτερον ἐγέννησεν Ἀγρίππαν, καὶ αὐτὸν βασιλεύσαντα Χαλκίδος, καὶ Βερενίκην ἐφ' ὧν Παῦλος ὁ ἀπόστολος ἀπελογήσατο, πρὸς δὲ καὶ Δρουσίλαν καὶ Μαριάμνην. Ἡρώδης δὲ ὁ βασιλεὺς Χαλκίδος καὶ ἀδελφὸς τοῦ πρώτου Ἀγρίππα Βερνικιανὸν καὶ Ὑρκανὸν καὶ Ἀριστόβουλον ἔτεκεν υἱούς.

Τιβέριος ἔτη κβ', μῆνας πέντε, ὃς ἦν γέρων. τούτου τῷ πεντεκαιδεκάτῳ τῆς βασιλείας ἔτει ἤρξατο διδάσκειν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, τριακονταετὴς γεγονὼς καὶ ὑπὸ Ἰωάννου βαπτισθεὶς, ἐν δὲ τῷ ὀκτωκαιδεκάτῳ τῆς Τιβερίου βασιλείας, καὶ τριακοστῷ τρίτῳ τῆς αὐτοῦ ἡλικίας, τὸν διὰ σταυροῦ θάνατον κατεδέξατο ὡς ἄνθρωπος, ὡς δὲ θεὸς τριήμερος ἀνέστη καὶ τοῖς ἀποστόλοις μετὰ σώματος ἐμφανισθεὶς διαφόρως ἐν ἡμέραις τεσσαράκοντα, ὁρώντων αὐτῶν, εἰς οὐρανοὺς ἀνελήφθη.

Τιβέριος δὲ οὐ ταχέως τοὺς ἄρχοντας τῶν χωρῶν αὐτοῦ ἤθελε μεθιστᾶν, φειδοῖ τῶν ὑπηκόων, παροιμίαν λέγων, τῶν ἐπικαθημένων μυιῶν τοῖς ἕλκεσι καὶ τοῦ θελήσαντος ἀποσοβῆσαι ταύτας κωλυθέντος ὑπὸ τοῦ ἡλκωμένου εἰπόντος, ἵνα

μὴ ἄλλαι διψῶσαι αἵματος ἐπέλθοιεν. Οὗτος ἀκούσας τὰ περὶ Χριστοῦ, ἠθέλησε διὰ βασιλικοῦ τύπου ἀναγορεῦσαι τοῦτον θεὸν, ἀλλ' ἐκωλύθη παρὰ τῆς συγκλήτου. Τὸν μέντοι Πιλάτον δι' ἐγκλήσεως Μαρίας τῆς Μαγδαληνῆς εἰς Ῥώμην μεταπεμψάμενος ἤγαγε, καὶ εἰς τόσην περίστασιν ἐνέβαλεν ὡς ἑαυτὸν διαχειρίσασθαι· οἱ δέ φασιν εἰς ἀσκὸν βόειον αὐτὸν ἐμβληθέντα νεόδαρτον μετὰ ἐχίδνης καὶ ἀλέκτορος καὶ πιθήκου, καὶ εἰς καῦσιν ἡλίου τεθέντα, οὕτως ἀποκτανθῆναι· ἕτεροι δὲ ὅλον αὐτὸν εἰρήκασιν ἐκδαρῆναι ὡς ἀσκόν.

Οὗτος ὁ Τιβέριος τοῖς ἄρχουσι τῶν πόλεων ἔγραφεν, ὅτι καὶ ἄν τι παρὰ τοὺς νόμους γράφων διακελεύωμαι ὑμῖν, μὴ ἀκούετε αὐτῶν ὡς κατὰ λήθην γραφομένων.

Γάϊος υἱὸς Γερμανικοῦ καὶ Ἀγριππίνας, Τιβερίου δὲ υἱωνὸς, ἔτη τρία, καὶ μῆνας ὀκτὼ, ὃς ἀσελγέστατος ὢν, ἐπιβουλευθεὶς παρὰ τῆς συγκλήτου ἐν τῷ παλατίῳ κατασφάττεται μετά γε τῆς γυναικὸς καὶ τῆς θυγατρὸς αὐτοῦ, ὢν ἐτῶν τριάκοντα ἐννέα.

Κλαύδιος ἔτη ιγ', μῆνας θ', ὃς ἦν ἀδελφὸς τοῦ πατρὸς Γαΐου· οὗτος δειλὸς ὢν, τοὺς προσιόντας ἐκέλευεν ἐρευνᾶσθαι μή τι ξιφίδιον ἔχωσι, καὶ ἐν τοῖς συμποσίοις ὡπλισμένοι αὐτῷ παρειστήκεσαν· φαρμαχθεὶς δὲ παρὰ τῆς γαμετῆς Ἀγριππίνας θνήσκει.

Νέρων ἔτη ιγ', καὶ μῆνας η'· οὗτος ὑπερέβαλε ταῖς ἀσελγείαις τὸν Γάϊον, τήν τε μητέρα αὐτοῦ ἀνεῖλε καὶ τὴν γαμετὴν, καὶ τοὺς ἑαυτοῦ ἀδελφοὺς, καὶ ἐν θεάτρῳ | ἐπὶ τοῦ δή- φ. 1 μου ἔπραττεν ἃ οὐκ ἔξεστι λέγειν· καὶ διωγμὸν κατὰ Χριστιανῶν κινήσας, ἐτιμωρήσατο μὲν καὶ ἄλλους πολλοὺς, ἀνεῖλε δὲ καὶ τοὺς κορυφαίους τῶν Ἀποστόλων Πέτρον καὶ Παῦλον. Τούτῳ ἐπιτίθενταί τινες τῶν ἐν τέλει, ὁ δὲ παρεκάλει τοὺς οἰκείους ἀνελεῖν αὐτόν· ὡς δὲ οὐδεὶς ἠνέσχετο, ἔφη, ἐγὼ μόνος οὔτε φίλον ἔχω τὸν σώζοντα, οὔτε ἐχθρὸν τὸν ἀναιροῦν-

τά με· ἀποθανεῖν θέλει ἡ ψυχὴ, καὶ ἡ χεὶρ οὐχ ὑπηρετεῖ· καὶ τελευταῖον εἰπὼν, οἷος τεχνίτης κιθαρῳδὸς ἀπόλλυται, ἑαυτὸν ἀνεῖλε. Γάλβιος δὲ διὰ τὴν ἐπίθεσιν ὀνειδισθεὶς παρὰ τοῦ Νέρωνος ὡς οἰκεῖος αὐτοῦ, ἔφη, ἐφίλησά σε παντὸς μᾶλλον καὶ ἐμίσησα· ἐφίλησα νομίσας ἀγαθὸν αὐτοκράτορα ἔσεσθαι, ἐμίσησα δὲ ὅτι ἀνόσια ἔργα τοσαῦτα διεπράξω· οὔτε γὰρ ἁρματηλάτῃ, οὔτε κυνηγῷ, οὔτε κιθαρῳδῷ ἢ ὀρχηστῇ δουλεύειν ἀνέχομαι.

Γάλβας μῆνας ζ'· ἐπὶ τούτου τὰ σώματα τῶν ἁγίων Πέτρου καὶ Παύλου ταφῇ παρεδόθησαν κατὰ κέλευσιν αὐτοῦ, καθὼς αὐτὸς ἐν ὁράμασιν ἐκελεύσθη· οὗτος ἐπιβουλευθεὶς ὑπὸ τοῦ Ὄθωνος κτείνεται ἐτῶν ὑπάρχων ἑβδομήκοντα τριῶν.

Ὄθων μῆνας γ'· οὗτος βίᾳ τὴν βασιλείαν ἁρπάσας, καὶ γνοὺς Οὐϊτέλιον ἐπιστάμενον μετὰ τοῦ στρατοῦ, ἑαυτὸν διεχειρίσατο, ζήσας ἔτη νγ'.

Οὐϊτέλιος μῆνας η'. οὗτος ἀστρολόγους καὶ γόητας πάντας ἐντὸς ἡμέρας ῥητῆς ἀναχωρῆσαι τῆς Ἰταλίας ἐκέλευσεν· ὃ καὶ γέγονεν· αὐτὸς δὲ ἐσφάγη ὑπὸ τῶν στρατιωτῶν, συρεὶς ἐν μέσῳ τῆς πόλεως καὶ μηδὲ ταφῆς ἀξιωθεὶς, ὢν ἐτῶν νζ'.

Οὐεσπεσιανὸς, ἔτη θ' καὶ μῆνας η'· οὗτος κατὰ Ἰουδαίων παρὰ Νέρωνος σταλεὶς σὺν τῷ υἱῷ Τίτῳ, ὑπὸ τοῦ στρατοῦ παντὸς ἀναγορεύεται αὐτοκράτωρ· ὃ καὶ ἡ σύγκλητος ἐδέξατο· καὶ Ἰουτέλιον ἔτι περιόντα ἀνεῖλεν· οὗτος τὸν ἐμφρονέστατον καὶ στρατηγικώτατον υἱὸν κατὰ Ἰουδαίων εἰς Ἱεροσόλυμα ἐάσας, καὶ καίσαρα ἀναγορεύσας, αὐτὸς διὰ τῆς θαλάσσης ἐκπλεύσας τὴν Ῥώμην καταλαμβάνει· δικαιότατος δὲ ἦν καὶ εὐκλεὴς ἐν στρατηγίαις· ἐπὶ τούτου ἑάλω τὰ Ἱεροσόλυμα παρὰ Τίτου καίσαρος, καὶ ὁ ναὸς ἐπυρπολήθη, καὶ ἡ πόλις ἠδαφίσθη· καὶ εἰς τὴν Ῥώμην ὁ Τίτος ἐλθὼν ἐθριάμβευσε τὴν νίκην μετὰ τοῦ πατρός. Ὁ δὲ Οὐεσπεσιανὸς καὶ πόλιν ἐν τῇ Θρᾴκῃ κτίζει καὶ ὀνομάζει Ἡράκλειαν πρότερον Πέρινθον λεγο-

μένην, ἣν καὶ μητρόπολιν εἶναι ἔταξεν. Οὗτος νόσῳ πάρετος γεγονὼς θνήσκει ζήσας ἔτη ο'.

Τίτος ἔτη δύο καὶ μῆνας θ'· οὗτος ἀπειλαῖς καὶ τιμωρίαις ἠνώρθου τὸ ὑπήκοον· δίκαιος δὲ ὢν καὶ εὐεργετικὸς, ἡμέραν μίαν οὐκ ἐβασίλευσεν ἐν ᾗ δῶρον οὐκ ἔδωκέ τινι ἢ εὐεργεσίαν· καὶ ἔλεγεν, οὐ δεῖ τινα βασιλέα βλέποντα ὑποστρέφειν λυπούμενον. Οὗτος νοσήσας θνήσκει, ζήσας ἔτη τεσσαράκοντα τέσσαρα.

Δομετιανὸς ὁ ἀδελφὸς αὐτοῦ, ἔτη δεκαπέντε καὶ μῆνας β'· οὗτος παγχάλεπος ὢν, καὶ ὅμοιος Γαΐῳ καὶ Νέρωνι, σοφούς τε πάντας καὶ τοὺς τῆς γερουσίας πρωτεύοντας ἐπιβουλὰς συρράπτων καὶ δόλους ἀνῄρει· διωγμόν τε κατὰ Χριστιανῶν κινεῖ, καὶ τὸν Θεολόγον ἅγιον Ἰωάννην ἐν τῇ νήσῳ Πάτμῳ ἐξορίζει, ἐν ᾗ κατὰ ἀποκάλυψιν τὸ ἅγιον Εὐαγγέλιον γράφει. Ἐπὶ τούτου Ἀπολλώνιος ὁ Τυανεὺς ὁ πολὺς τὰ μαγικὰ ἐγνωρίζετο. Οὗτος ζήσας ἔτη με', ἐσφάγη ἔνδον τοῦ ἱεροῦ.

Νερούας ἔτος ἕν· οὗτος παρακληθεὶς ὑπὸ Φλαυΐου συγκλητικοῦ καὶ συγγενοῦς, ἀνεκαλέσατο τὸν Θεολόγον ἅγιον Ἰωάννην ἀπὸ τῆς Πάτμου εἰς τὴν Ἔφεσον. Παρ' αὐτοῦ ἐκωλύθησαν αἱ μονομαχίαι καὶ ἡ τούτων θέα, ἐπενοήθη δὲ ἡ τῶν κυνηγίων. Ὁ αὐτὸς νοσήσας καὶ τὴν ἰδίαν γνοὺς τελευτὴν, Τραϊανὸν χειροτονεῖ βασιλέα, ζήσας ἔτη ἑβδομήκοντα ἕν.

Τραϊανὸς ἔτη δεκαεννέα, μῆνας ς'· οὗτος ἔλεγεν εὐχόμενος, τοιοῦτόν με γενέσθαι ἀξιωθῆναι, οἷον πρὸ τῆς βασιλείας ηὐχόμην βασιλέα εὐτυχῆσαι ἔχειν χρηστόν. Τοὺς δὲ φίλους ἐδεξιοῦτο δωρεῶν ὑπερβολαῖς, νοσοῦσι παρακαθήμενος ἦν, καὶ ἀνιώμενος, μέμψεις εἰς αὐτὸν μακροθύμως δεχόμενος· χρῆναι γὰρ ἔλεγε τὸν βασιλέα μιμεῖσθαι θεὸν, τὰς ἐξ ἁπάντων φέροντα λοιδορίας· γυμνώσας δέ ποτε ξῖφος ἐνώπιον τῶν ἐν τέλει πάντων, δέδωκε τῷ ὑπάρχῳ εἰπὼν, δέξαι τοῦτο, καὶ εἰ μὲν καλῶς ἄρχω, ὑπὲρ ἐμοῦ, εἰ δὲ κακῶς, κατ' ἐμοῦ αὐτὸ χρῆ-

σαι. Ὑπὸ τούτου ὁ ἅγιος Ἰγνάτιος ὁ Θεοφόρος θηρίοις παραδοθεὶς, τὸ μαρτυρικὸν ἀνεδήσατο στέφος.

Ἀδριανὸς Αἴλιος ὁ γαμβρὸς αὐτοῦ, ἔτη κβʹ, μῆνας ιʹ, ἐλλόγιμος. Οὗτος τῷ ἑνδεκάτῳ τῆς αὐτοῦ βασιλείας ἔτει τῶν Ἰουδαίων στασιασάντων, ἐκπορθήσας τὴν Ἱερουσαλὴμ τέλεον
4. ἐξηφάνισε], καὶ πολλοὺς ἀπέκτεινε, καὶ Ἕλληνας ἐν αὐτῇ κατῴκισε, καὶ τοὺς καταλειφθέντας ἐπὶ τὴν ἐσωτέραν Λιβύην μετῴκισε, καὶ τὴν ἰδίαν στήλην ἐν τῷ ναῷ μέσῳ ἔστησε, καὶ Αἰλίαν ἐξ ἑαυτοῦ τὴν πόλιν μετωνόμασε· πάντας δὲ τοὺς τῶν ὑπ' αὐτὸν χωρῶν κατὰ γῆν καὶ θάλασσαν τῶν ἑαυτοῦ εὐεργεσιῶν ἐνέπλησε, καὶ τὰ πρόσφατα χρέη ἀπέτισε, πυρὶ καίων τὰ γράμματα. Ἐπὶ τούτου Πλούταρχος ὁ σοφώτατος ἦν. Οὗτος πολλοὺς ἁγίους ἐτυράννησεν, μεθ' ὧν καὶ τὸν ἅγιον Εὐστάθιον σὺν γυναικὶ καὶ τέκνοις. Ὑδρωπιάσας δὲ θνήσκει, ζήσας ἔτη ξεʹ.

Ἀντωνῖνος ὁ Εὐσεβὴς, ἔτη εἴκοσι καὶ τέσσαρα· οὗτος ἦν μεγαλόψυχος πάνυ, πρᾶος, ἀγαθὸς, ἐν ταῖς κρίσεσι δίκαιος, μισῶν κολακείαν, ἀδίκοις ἐπεξιὼν, φοβερὸς τοῖς πολεμίοις, προσηνὴς τοῖς φίλοις· οὗτος κατέκαυσε τὰ γράμματα ἅπερ ἡ σύγκλητος ἦν ἐπὶ Ἰουλίου ποιήσασα, ὥστε μὴ ἐξεῖναι συγκλητικῷ διαθήκην ποιεῖν καὶ τοῖς ἰδίοις κληρονόμοις, ἐὰν εἰ μὴ τὸ ἥμισυ τῶν προσόντων πρὸς τὸν κατὰ καιρὸν βασιλέα ἐᾶσαι κατάθηται· θνήσκει δὲ ὢν ἐτῶν ἑβδομήκοντα δύο.

Μάρκος Αὐρήλιος υἱὸς αὐτοῦ, ἔτη ιθʹ, καὶ μῆνας θʹ· οὗτος φιλοσοφίαν ἐκ νεότητος ἠσκημένος, πάσης ἀρετῆς πλήρης ἐτύγχανε, παντὸς δὲ πάθους ἀλλότριος, ὀργῆς, δειλίας, ἀπληστίας, λύπης, ἀδικίας· καί ποτε πολεμίων κατεπειγόντων, χρημάτων ὢν ἐν ἀπορίᾳ, οὐδὲν περὶ τὴν πόλιν τελέσαι καινὸν ἐπενοήσατο, οὐδὲ συλλέξαι χρήματα παρ' οὑτινοσοῦν παρὰ τὰ νενομισμένα τῶν ἐκ τῆς Ῥώμης, ἀλλὰ τὰ ἐν τοῖς βασιλείοις κειμήλια καὶ τὴν ἐσθῆτα δὲ τῆς ἑαυτοῦ γαμετῆς εἰς πρᾶσιν προέθετο· καὶ οὕτω πάντων τῶν βουλομένων δικαίως ἐξωνου-

μενων, χρήματα συναγαγὼν τῷ στρατῷ δέδωκε· καὶ ἐπελθὼν τοῖς πολεμίοις καὶ νικήσας, ἔτυχε κέρδους μυριοπλασίου, καὶ πάλιν τὰ χρήματα προέθηκεν, εἴ γέ τις ἐθέλοι, τοῦ χρυσίου διδομένου, εἰσφέρειν ἅπερ ἐξωνήσατο κειμήλια· ὧν οἱ μὲν ἤγαγον, οἱ δὲ ἀνένευσαν, καὶ ὅμως τινὰ οὐκ ἐβιάσατο, ἀλλ' ἐκέλευσε κυριεύειν τῶν ἐωνημένων καὶ χρῆσθαι αὐτοῖς. Ὁ αὐτὸς ἐξέθετο καὶ νόμον τὸν κελεύοντα καὶ ἐξ ἀδιαθέτου κληρονομεῖν τοὺς γονεῖς τὰ τέκνα, καὶ τῷ ἀχαριστοῦντι παιδὶ τὸ τέταρτον δίδοσθαι μέρος. Οὗτος δίψει τῆς στρατιᾶς πιεζομένης ἐν τῷ πρὸς Γερμανοὺς καὶ Σαρμάτας πολέμῳ, εὐχῇ χρήσασθαι ἀξιώσας τοὺς ἀπὸ Μελιτηνῆς λεγεῶνος χριστιανοὺς, τῆς αἰτήσεως ἔτυχεν, ὅτε καὶ λέγεται τοὺς μὲν πολεμίους κεραυνῷ βληθῆναι, ὄμβρῳ δὲ τοὺς Ρωμαίους παραμυθίαν εὑρεῖν· ἐφ' ᾧ καὶ θαυμάσας πρὸς τὴν σύγκλητον τὰ γεγονότα γράμμασι διεσήμανε, καὶ ἔπεισε τοὺς χριστιανοὺς τιμᾶν. Ἐπὶ τούτου Ἰουστῖνος ὁ φιλόσοφος ἐμαρτύρησεν, Ὀππιανός τε καὶ Σέξτος ἤκμαζον.

Κόμοδος ὁ υἱὸς Μάρκου, ἔτη ιδ', μῆνας η'· οὗτος ἀνάξιος κατὰ πάντα τοῦ πατρὸς καὶ καταγέλαστος· Ναρκίσσῳ γοῦν τινι συμπλακεὶς ἐν θεάτρῳ ἀθλητῇ, καὶ πληγεὶς, συσκευῇ τοῦ ὑπάρχου καὶ Μαρκίας τῆς παλλακῆς αὐτοῦ τοῦ Κομόδου, εἰς τὸν οἶκον Φεττιανοῦ τοῦ συγγενοῦς οὕτως ἀπελθὼν, θνήσκει ὢν ἐτῶν τεσσαράκοντα ἑνός.

Περτίναξ μῆνας γ'· οὗτος μήπω τὴν γαμετὴν ἢ τοὺς παῖδας εἰς τὴν βασιλείαν μεταγαγὼν, θνήσκει ἀναιρεθεὶς ὑπὸ τῶν ταγμάτων, ζήσας ἔτη ο'.

Ἴδιος μῆνας β', σοφὸς νομοθέτης, διὰ χρημάτων δὲ παραλαβὼν τὴν βασιλείαν, ὑπὸ τῆς γυναικὸς παρορμηθεὶς, ὡς φαυλότατος ἐσφάγη, ὢν ἐτῶν ξ'.

Σεβῆρος Σεπτιμίας, Λίβυς Τριπολίτης, ἔτη ιζ', μῆνας η'· οὗτος φεύγων ἀναβολὰς καὶ ὑπερθέσεις, σὺν πολλῷ τάχει τὸ

πᾶν ἔπραττε· τούτῳ ἐπανέστησαν Σαλβῖνος καὶ Νίγερ, ἐν τῷ πολέμῳ καὶ τούτους ἀπώλεσεν. Ἐν τῷ Βυζαντίῳ δὲ ἐλθών, ἱππικὸν ἔκτισε, καὶ λουτρὸν καλούμενον Ζεύξιππον, καὶ ἄλλα πολλά· ἀνεκαίνισε δὲ καὶ τὰ τείχη, καθελὼν ἃ πρώην εἶχεν· ἦσαν γὰρ ἑπτὰ πύργοι ἐκ τῶν Θρᾳκικῶν πυλῶν ἀρχόμενοι καὶ ἐπὶ τὴν ἀρκτῴαν θάλασσαν καθήκοντες, καὶ τούτων εἴ τις ἐν ἑτέρῳ πύργῳ προσῆλθεν, οὐδεμία αἴσθησις τοῖς ἄλλοις ἐγίνετο, εἰ δὲ τῷ πύργῳ τῷ πρώτῳ ἀνεβόησεν, ἢ λίθον ἐκίνησεν, αὐτός τε ἤχει καὶ τῷ δευτέρῳ καὶ καθεξῆς τοῖς λοιποῖς μετεδίδου τῆς ἠχῆς. Ἐπὶ τούτου ἦν ὁ θαυματουργὸς Γρηγόριος, καὶ Ὠριγένης, καὶ ὁ πατὴρ Ὠριγένους Λεωνίδης ἐν Ῥώμῃ ἐμαρτύρησε, καὶ Ἱππόλυτος ὁ Ῥωμαίων συγγραφεύς· τότε καὶ Ἀφρικανὸς ὁ συγγραφεὺς ἐγνωρίζετο.

Ἀντωνῖνος ὁ υἱὸς αὐτοῦ ὁ Καράκαλος, καὶ Ἀντωνῖνος Γέ-
4r. τας ὁ ἀδελφὸς αὐτοῦ, ἔτη ἕξ. | Καὶ ὁ μὲν Γέτας ἐνιαυτὸν συμβασιλεύσας τῷ ἀδελφῷ, κτείνεται παρ' αὐτοῦ· ὁ δὲ Καράκαλος τὸν ἀδελφὸν ἀνελών, καὶ τὴν μητρυιὰν γήμας ἀνοσίως ἦρξεν· οὗτος συμβαλὼν Πέρσαις ἐν πολέμῳ ἐσφάγη μέσον Ἐδέσσης καὶ Κάρων, ἐπιβουλῇ τοῦ ὑπάρχου καὶ τοῦ μετ' αὐτὸν βασιλεύσαντος.

Μακρῖνος Γάλλος ἀναγορευθεὶς ἐν Ῥώμῃ ὑπὸ τοῦ στρατοῦ, ἔτος ἕν, μῆνας ὀκτώ. Ἐν δὲ τῇ Ἐδέσσῃ οἱ εὑρεθέντες στρατιῶται τὸν Καρακάλου νόθον υἱὸν τὸν καὶ Ἡλιογάβαλον ἀναδεικνύουσι βασιλέα, ὃν καὶ εἰς Ῥώμην ἄγειν ἠβούλοντο· ὁ δὲ Μακρῖνος αἰσθόμενος, μετὰ πολλοῦ στρατοῦ ὥρμησεν ἐπὶ τὴν Ἀνατολήν, καὶ συμβαλὼν αὐτῷ ἐν Ἀντιοχείᾳ, ἡττᾶται Μακρῖνος καὶ φεύγει, ἀλλὰ μεταξὺ Βυζαντίου καὶ Χαλκηδόνος ἐν τῷ πορθμῷ ἁλίσκεται καὶ φονεύεται, ἐτῶν νβ'.

Ἀντωνῖνος Ἡλιογάβαλος, ἔτη τρία, μῆνας θ'· οὗτος γέγονε τῷ πατρὶ Καρακάλῳ ἐξ ἐλευθέρας συνόντι, τῷ πατρὶ Σευήρῳ ἔτι ἰδιωτεύοντι· γέγονε δὲ ἐλλόγιμος ἄριστος, ὀξὺς ἐν πο-

λέμοις, ἤπιος, σώφρων, ταχὺς, πάντας θεραπεύων καὶ ὑπὸ πάντων μετὰ λόγου φιλούμενος· οὗτος τὰ χρέη τοῦ ταμείου ἐκούφισεν· ἐδανείζετο γὰρ ὁ κατὰ καιρὸν βασιλεὺς, καὶ ἀπεπλήρουν αὐτὰ οἱ συγκλητικοὶ οἱ μὴ ἐξιόντες ἐπὶ πόλεμον μετὰ τοῦ βασιλέως, ἀντιφωνοῦντες καὶ κατατιθέμενοι ὅσα εἰς τοὺς πολέμους ἀναλίσκονται χρήματα κινδύνῳ εἶναι τῆς περιουσίας αὐτῶν· εἰ δ' ἠπόρησαν ἐξ αὐτῶν τινες, κατέτρεχον τὰ χρέη εἰς τοὺς κληρονόμους καὶ συγγενεῖς αὐτῶν· οἱ οὖν φισκοσυνήγοροι τῷ χρόνῳ προσεκύρουν τὰ αὐτῶν τῷ δημοσίῳ. ἐπωπτεύοντο τότε καὶ αἱ οὐσίαι τῶν λαμπρῶν κατὰ πόλιν καὶ χώραν πᾶσαν τὴν ὑποκειμένην Ῥωμαίοις, καὶ εἴ τις ὑπὲρ τὴν ἀξίαν εὑρέθη ἔχων ὑπόστασιν, τὸ περισσὸν τῷ φίσκῳ προσεκυροῦτο· ἦσαν γὰρ διατάξεις ἀπὸ Ἰουλίου Καίσαρος καὶ τῶν μετ' ἐκεῖνον βασιλέων περὶ τούτου τοῦ κεφαλαίου. Ὁ γοῦν Ἀντωνῖνος οὗτος πάντας ἠλευθέρωσε τοῦ τοιούτου κεφαλαίου, νόμον ἐκφωνήσας, ὥστε μὴ κινδύνῳ τῆς συγκλήτου διοικεῖσθαι τὰ ἀναλώματα τῶν πολέμων· καὶ ἀγαγὼν τοὺς περὶ τούτων τύπους ἐν τῷ Ἀδριανοῦ φόρῳ κατέκαυσεν ἐπὶ ἡμέρας τριάκοντα. Οὗτος παρὰ μάντεως ἀκούσας ὡς ὁ ὁμώνυμος τοῦ Μακεδόνος αὐτὸν διαδέξεται, καὶ ἐρευνήσας καὶ μηδένα ἐν τῇ συγκλήτῳ ἄξιον εὑρὼν ἔχοντα τοῦτο τὸ ὄνομα, ἐσοφίσατο προλαβεῖν τὸ θέσφατον· τὸν τῆς μητρὸς γὰρ ἀδελφῆς Μαμαίας παῖδα Ἀλέξανδρον ἔτι ἄνηβον, κοινωνὸν τοῦ κράτους προσελάβετο, δήσας ὅρκοις καὶ τὸν στρατὸν μὴ περιϊδεῖν αὐτὸν ὡς νέον, καὶ πᾶσαν ἐπιμέλειαν προσφέρων ἐπ' αὐτῷ ὅσα καὶ γνησίῳ υἱῷ διεδείκνυτο· ἀλλ' ἐπειδὴ ἔγνω συντρέχουσαν τῷ νέῳ πᾶσαν ἀρετὴν καὶ ὑπὸ πάντων ἀνυμνούμενον, καὶ χρηστὰς οὔσας πᾶσιν ἐλπίδας ἐπ' αὐτῷ, φθόνῳ βληθεὶς ὥρμησε τοῦτον ἀνελεῖν, διέπεσε δὲ θεοῦ νεύματι· καὶ τοῦτο μὴ ἐνεγκόντες οἱ Ῥωμαῖοι κατέσφαξαν αὐτὸν, καὶ τὸν Ἀλέξανδρον βασιλέα ἀπέδειξαν. Καὶ θνήσκει ὁ Ἡλιογάβαλος ἐτῶν τριάκοντα ἕξ.

Ἀλέξανδρος ὁ ἐξάδελφος Ἡλιογαβάλου, υἱὸς Μαμαίας ἔτη δώδεκα· οὗτος πάντα ἐμφρόνως ἔπραττε, λόγοις ἀρίστοις καὶ σοφίᾳ κοσμούμενος, σέβων τὴν μητέρα, προὔχουσαν ἀρετῇ καὶ σεμνότητι βίου· αὕτη ἀνέῳξε τὰ βασίλεια τοῖς σοφοῖς, καὶ αὐτὴ συνηκροᾶτο τῶν κρίσεων, καὶ μὴ φαινομένη τινὶ πάντας ἑώρα, ὥστε οὐκ ἦν ἄδικόν τι ταύτην διαλαθεῖν· νόμοι καὶ δόγματα ἐφηπλώθη δι' αὐτῆς, τοὺς νομοθέτας διδάσκειν νόμους διέταξεν. Οὗτος ἐκστρατεύσας κατὰ Περσῶν μετὰ τῆς μητρὸς, ἐν Ἀντιοχείᾳ προχειρίζεται στρατηγὸν Μαξιμῖνον, ὃς συμβαλὼν Πέρσαις ἡττᾶται, καθ' οὗ καὶ ὁ βασιλεὺς ἠγανάκτησε. Μαθὼν δὲ ἀπὸ Ῥώμης πόλεμον κινεῖσθαι τοῦ Γερμανικοῦ ἔθνους, εἰρηνεύσας μετὰ Περσῶν, ἀπῆλθε κατὰ Γερμανῶν. Μαξιμῖνος δὲ παρευθὺ ὀπίσω ἐτυράννησε, καὶ ὑπὸ τοῦ στρατοῦ βασιλεὺς ἀναγορεύεται, καὶ ἐπὶ τὴν Ἰταλίαν ὥρμησεν· ὁ δὲ Ἀλέξανδρος, αἰσθόμενος καὶ συμβαλὼν αὐτῷ ἡττᾶται, καὶ σὺν τῇ μητρὶ Μαμαίᾳ σφάττεται, ἐτῶν ὢν λθ'· ἥτις χριστιανὴ ἐτύγχανεν, ὥς φησιν Εὐσέβιος· τὸν γὰρ Ὠριγένην ἐν Ἀντιοχείᾳ μετακαλεσαμένη τὸ κατὰ Χριστὸν ἐδιδάχθη μυστήριον.

Μαξιμῖνος ἔτη τρία· οὗτος ἡνίκα τὴν βασιλείαν παρέλαβε, τηνικαῦτα τὴν τῆς ψυχῆς κακοτροπίαν ἐξέφανεν, ὑβρίζων πάντας μετὰ πάσης ὠμότητος, συκοφάντας θεραπεύων, χρημάτων ἐρῶν, φόνους ἀδίκως ἐργαζόμενος· ἀθυμούντων δὲ πάντων καὶ 5. μηνιώντων τοῖς ποιήσασιν αὐτὸν βασιλέα |· ἦν γὰρ καὶ τῶν ἄγαν εὐτελῶν καὶ ἀφανῶν, καὶ διὰ μόνην σωματικὴν ἀνδρείαν παρὰ Ἀλεξάνδρου εἰς τὸ στρατηγῆσαι προήχθη· οἱ ἐν τῇ Λιβύῃ Ῥωμαῖοι Γορδιανὸν καὶ τὸν ὁμώνυμον αὐτῷ παῖδα βασιλεῖς ἀναγορεύουσι καὶ πρέσβεις ἐν Ῥώμῃ στέλλουσι. Τοῦτο ἡ σύγκλητος μαθοῦσα, τὴν τῶν βασιλέων ἄφιξιν λάθρα περιέμενον. Μαξιμῖνος δὲ μίσει τῷ πρὸς Ἀλέξανδρον καὶ Μαμαίαν, διωγμὸν κατὰ Χριστιανῶν ἤγειρε μέγαν, καὶ πολλοὺς ἁγίους ἐτυράννησεν· ἡ δὲ σύγκλητος, μήπω τῶν ἀπὸ Λιβύης φθασάλ-

των βασιλέων διὰ τὴν τῆς θαλάσσης δυσπορίαν, προχειρίζεται στρατηγοὺς ἄνδρας τῆς βουλῆς ἐμπείρους τῆς στρατηγίας, Βαλβῖνον καὶ Μάξιμον, οἳ τὰς ἐπὶ τὴν Ῥώμην ὁδοὺς προκαταλαβόντες, ἕτοιμοι ἦσαν πρὸς ἐπανάστασιν. Τῷ δὲ Μαξιμίνῳ τούτων ἀγγελθέντων καὶ ὁρμήσαντι ἅμα τοῖς Μαυρουσίοις εἰς τὸ προκατασχεῖν τὴν Ἀκυλίαν, οἱ ταύτην τεταγμένοι φυλάττειν ἀπεκρούσαντο, καὶ συμβολῆς γενομένης, αὐτός τε κατασφάττεται καὶ ὁ τούτου παῖς ἐν τῷ πολέμῳ, καὶ ἡ κεφαλὴ αὐτοῦ εἰς Ῥώμην στέλλεται· ἔτι δὲ τῇ τοῦ χειμῶνος βίᾳ τῶν βασιλέων βραδυνάντων, κατέσχε τὸ κράτος Μαξιμῖνος σὺν Γαλβίῳ μῆνας τρεῖς, καὶ ἐσφάγη ἐν τῷ παλατίῳ, ἐτῶν ὢν ἑξήκοντα.

Πομπιανὸς, μῆνας β', καὶ ἐσφάγη καὶ αὐτός.

Πούπλιος Γαλβῖνος, μῆνας γ', καὶ ἐσφάγη, καταλαβόντος ἀπὸ Λιβύης τοῦ βασιλέως Γορδιανοῦ τοῦ γέροντος, ὃς καὶ ἐβασίλευσεν ἡμέρας εἴκοσι δύο μόνας, καὶ νοσήσας ἐκ τῆς βραδυπλοΐας θνήσκει, ὢν ἐτῶν ο', καὶ ἐννέα. Γορδιανὸς υἱὸς αὐτοῦ, ἔτη ϛ'· οὗτος ἐν τῷ πρὸς Πέρσας πολέμῳ, κατενεχθεὶς τοῦ ἵππου καὶ τὸν μηρὸν συνθλασθεὶς, ἐπανελθὼν ἐν τῇ Ῥώμῃ ἐξ αὐτοῦ ἐτελεύτησεν, ὢν ἐτῶν πεντήκοντα.

Γορδιανὸς ὁ τρίτος, ἔτη ἕξ· οὗτος ἥσυχος ὢν καὶ ἐλλόγιμος, ἰλιγγιάσας πρὸς τὴν ἀρχὴν, Τιμισοκλέα τὸν ἑαυτοῦ πενθερὸν ὕπαρχον τῆς αὐλῆς δι' οἰκείαν ἀσφάλειαν προΐστᾷ, ἄνδρα παιδεύσει παντοίᾳ περιβόητον· καὶ ἕως οὗτος ἐν τοῖς ζῶσιν ἦν, ἐν ὀχυρότητι καὶ ἀσφαλείᾳ τὰ τῶν πραγμάτων εἶχε καὶ καλῶς διῳκεῖτο. Τιμισοκλέους δὲ τελευτήσαντος, ὁ μετ' αὐτὸν Φίλιππος τῆς ἐπαρχίας διάδοχος, εἰς ἐπιθυμίαν τῆς βασιλείας ἐτράπη, καὶ τοὺς ἐν στρατιαῖς νεωτερίζειν εἰωθότας οἰκειωσάμενος, τοῦ βασιλέως εἰς Νίσιβιν διατρίβοντος, τὴν σίτισιν τῶν στρατιωτῶν σμικρύνας, αἴτιος αὐτὸς στάσεως γίνεται· ἐπανέστη γὰρ αὐτῷ ὁ στρατὸς ὡς τῆς τοῦ λιμοῦ φθορᾶς αἰτίου, καὶ παρευθὺ κτείνουσιν αὐτὸν, ὄντα ἐτῶν κη'. Καὶ ἡ γερουσία ἐν Ῥώμῃ

Μάρκον τινὰ φιλόσοφον προχειρίζεται, ὅς καὶ θνήσκει ἐν τῷ παλατίῳ αἰφνίδιον, ὢν ἐτῶν μγʹ. καὶ κρατεῖ τῆς βασιλείας Οὐστιλιανὸς ὁ καὶ Σεβῆρος, ὅς καὶ νοσήσας καὶ φλεβοτομηθεὶς ἐτελεύτησεν, ὢν ἐτῶν μςʹ.

Φίλιππος, ἔτη ἓξ καὶ μῆνας ςʹ. τούτῳ Δέκιος μετὰ τοῦ σὺν αὐτῷ στρατῷ ἐπανίσταται· πρὸς ὅν ὁ Φίλιππος σὺν βαρεῖ στρατῷ κατελθὼν καὶ συμμίξας ἡττᾶται καὶ μετ' ὀλίγον εἰς Ῥώμην φεύγει· ἐμφυλίου δὲ πολέμου συμβάντος ἐν Ῥώμῃ, ἀναιρεῖται Φίλιππος μετὰ τῶν τέκνων αὐτοῦ, ἐξερχόμενος τοῦ παλατίου πρὸς αὐτούς. Καὶ εὐθὺς ἡ σύγκλητος Μάριόν τινα τὸ ἐπίκλην εὐτελῆ, βασιλέα ἐποίησε, καὶ ἐκράτησε μῆνας...

Τοῦτον τὸν Φίλιππον εὐσεβέστατον εἶναι καὶ πραῢν καὶ τὰ χριστιανῶν τιμῶντα λόγος αἱρεῖ· οὐ μὴν ὁ πατὴρ ἦν τῆς ἁγίας Εὐγενίας, ὥς τινες κατὰ λήθην ἐχρονογράφησαν· ἐκεῖνος γὰρ τὴν τῆς Αἰγύπτου ἔχων ἐπαρχότητα οὐκ ἐβασίλευσεν, ἀλλ' ἐμαρτύρησεν μετὰ τῆς θυγατρός· ὁ δὲ βασιλεὺς Φίλιππος θνήσκει ἐτῶν ξγʹ. Τετάρτῳ δὲ ἔτει τῆς τούτου βασιλείας, πληρωθέντων ἐτῶν χιλίων ἀπὸ κτίσεως τῆς ὑπὸ τοῦ Ῥωμύλου, ἑώρτασαν οἱ Ῥωμαῖοι μεγίστην θεαμάτων παρασκευήν. Νικήσας οὖν Δέκιος ἐν τῷ πολέμῳ τοὺς βαρβάρους, τινὰ τῶν οἰκείων ἐπιστήσας τοῖς ἐκεῖσε, Ὀλουσιανὸν Γάλλον, εἰς Ῥώμην ἀνέρχεται καὶ βασιλεύει.

Δέκιος ἔτος ἕν, μῆνας ἐννέα· οὗτος πικρὸς ἦν καὶ διωγμὸν μέγαν κατὰ χριστιανῶν ἤγειρε καὶ πολλοὺς τῶν ἁγίων ἐβασάνισε, καὶ τοὺς ἐν Ἐφέσῳ ἁγίους ἑπτὰ παῖδας ὑπό τι σπήλαιον ἐνέκλεισε ζῶντας, ἐμφράξας αὐτὸ, καὶ μυρία δεινὰ εἰργάσατο· Γάλλος δὲ ὁ καὶ Λουσιανὸς συσκευὴν κατὰ τούτου ποιήσας, γράφει τάχιον καταλαβεῖν πρὸς Πέρσας, καὶ ἐπί τινα τόπον κάθυγρον καὶ παλματώδη καταλαβόντα, ἐπιπεσὼν ὁ Γάλλος διέφθειρεν, ὄντα ἐτῶν ἑξήκοντα.

Γάλλος ὁ Λουσιανὸς ἔτη δύο, μῆνας τρεῖς· οὗτος τοὺς παῖ-

δας Δεκίου θανατοῖ. Αἰμιλιανὸς δέ τις Παιόνων | ἡγούμενος τοὺς φ. ὑπ' αὐτὸν παραθαρρύνων στρατιώτας καὶ τοῖς ἐκεῖσε βαρβάροις προσβαλὼν, πολλοὺς ἀνάλωσε, καὶ ὑπὸ τῶν ἐκεῖ στρατιωτῶν βασιλεὺς ἀναδείκνυται· καὶ τὰς σὺν αὐτῷ δυνάμεις, ἐπὶ τὴν Ἰταλίαν ἤλαυνε. Τοῦτο μαθὼν ὁ Γάλλος ὑπήντα τῷ Αἰμιλιανῷ, καὶ συμβαλόντων, ἡττᾶται ὁ Γάλλος· οἱ δὲ στρατιῶται κτείνουσι τὸν Γάλλον καὶ τὸν τούτου παῖδα καὶ σὺν τῷ Αἰμιλιανῷ τὴν Ῥώμην κατέλαβον.

Αἰμιλιανὸς, μῆνας δ'. τούτῳ ἐπανέστη Οὐαλεριανὸς στρατηγὸς τῶν ὑπὲρ τὰς Ἄλπεις, καὶ μετὰ δυνάμεως ἐπὶ Ῥώμην ἤλαυνε πολεμήσων τὸν Αἰμιλιανόν· ὁ δὲ στρατὸς ὁρῶν Αἰμιλιανὸν ἀσθενέστερον περὶ τὸν πόλεμον, τὸν δὲ Οὐαλεριανὸν τοῖς πράγμασιν ἀρχικώτερον, ἀναιροῦσι τὸν Αἰμιλιανὸν, τεσσαρακονταετῆ τυγχάνοντα καὶ τὸ κράτος Οὐαλεριανῷ παραδιδοῦσιν.

Οὐαλεριανὸς, ἔτη ις'. σὺν τῷ ἰδίῳ υἱῷ Γαληΐνῳ· οὗτος σπουδὴν ἐποιεῖτο τὰ πράγματα εὖ διαθεῖναι, ἀλλὰ τότε τὰ ἔθνη πάντοθεν τοὺς Ῥωμαίους ἐκάκουν, οἱ δὲ Σκύθαι καὶ πόλεις καὶ χώρας ἠνδραποδίσαντο καὶ ἠφάνισαν. Οὐαλεριανὸς δὲ ἀπατηθεὶς ὑπὸ Περσῶν, αἰχμάλωτος ἀπήχθη.

Γαληΐνος, υἱὸς αὐτοῦ, ἔτη θ'. κατὰ τούτου Αὐρίολος ὁ ἐν Κελτοῖς στρατηγὸς ἀνταρσίαν μελετήσας ἦλθεν ἐπὶ τὴν Ἀγριππιανὴν πόλιν τὴν καὶ Σάλονα, καὶ εὑρὼν ἐκεῖσε τὸν Γαληΐνου παῖδα, κτείνει, καὶ πρὸς Ἰταλίαν ἐχώρει. Γαληΐνος δὲ καὶ αὐτὸς ὁρμήσας κατὰ Αὐριόλου, ἐπιβουλεύεται καθ' ὁδὸν παρὰ Ἡρακλειανοῦ ἐπάρχου, ἔχοντος κοινωνὸν καὶ Κλαύδιον, ἄνδρα συνετὸν καὶ στρατηγικώτατον· νυκτὸς οὖν κοιμωμένῳ τῷ Γαληΐνῳ, ἐπιστὰς Ἡρακλειανός φησίν, ὡς Αὐρίολος ἐπέρχεται· θορυβηθεὶς δὲ ὁ βασιλεὺς ᾔτει τὰ ὅπλα· ἀλλὰ γυμνὸν εὑρὼν Ἡρακλειανὸς καὶ κατὰ φόβον, κτείνει, ὄντα ἐτῶν πεντήκοντα.

Κλαύδιος, ἔτη ή. τούτῳ Αὐρίολος ἑκὼν ὑπετάγη, ὅς εὐθὺς ἀναιρεῖται ὑπὸ τῶν στρατιωτῶν διὰ τὴν ἀνταρσίαν. Κλαύδιος

δὲ ἀγαθὸς ὢν, καὶ πάντας φιλῶν καὶ εὐεργετῶν, πάσαις τε ἀρεταῖς διαπρέψας ἐν τῷ Σιρμίῳ θνήσκει, πολὺν αὐτοῦ πόθον τοῖς Ρωμαίοις καταλιπὼν, ἐτῶν πεντήκοντα ἕξ. Ὅθεν καὶ δι' αὐτὸν ἀνάγουσιν εἰς τὴν βασιλείαν τὸν ἀδελφὸν αὐτοῦ Κιντιλιανὸν, ἀφελῆ καὶ ἀπράγμονα ἄνθρωπον, ὅς μόνας ἡμέρας κρατήσαςι ζ', ἐπειδὴ ἠκηκόει Αὐριλιανὸν προβιβασθέντα εἰς τὴν βασιλείαν, ἑκὼν ἀφίσταται, καὶ τὴν φλέβα ταμὼν τῆς χειρὸς, καὶ μέχρις ἑσπέρας ἐνδοὺς, θνήσκει ἐτῶν τεσσαράκοντα ἑνός.

Αὐριλιανὸς, ἔτη ἕξ· οὗτος τὰ τῆς Ρώμης τείχη τῷ χρόνῳ φθαρέντα ἀνεκαίνισε, καὶ γενναῖος ὢν καὶ στρατηγικώτατος πολλοὺς πολέμους ἐνίκησε καὶ ἔθνη οὐκ ὀλίγα κατετροπώσατο, ἐσφάγη δὲ ἐν Ἡρακλείᾳ τῆς Εὐρώπης. Ἔρως γάρ τις τῶν ἔξωθεν ἀποκρίσεων μηνυτὴς, ἀγανακτηθεὶς ὑπ' αὐτοῦ καὶ φοβηθεὶς, ἐμιμήσατο τὰ τοῦ βασιλέως γράμματα, γράψας ὀνομασίας τινῶν δυνατῶν, ὡς ἐπὶ θάνατον ἀχθησομένων, οἵ καὶ φοβηθέντες ἀνεῖλον αὐτὸν, ὄντα ἐτῶν ξ'. Ἐπὶ τούτου ὁ ἅγιος Χαρίτων ὡμολόγησε.

Τάκιτος, μῆνας ζ'· οὗτος φρόνιμος ἦν, κἀν τοῖς πολέμοις ἄριστος καὶ ἀρετῶν πεπληρωμένος· ἐσφάγη δὲ καὶ αὐτὸς ὑπὸ τῶν στρατιωτῶν, οε' τυγχάνων ἐτῶν.

Πρόβος, ἔτη β'. τούτου βασιλεύσαντος οἱ κατὰ τὴν Εὐρώπην εὑρεθέντες στρατιῶται ἀναδεικνύουσι Φλωριανὸν ὕπαρχον βασιλέα· καὶ ὁ μὲν Πρόβος ἦρχε Συρίας καὶ Φοινίκης, Παλαιστίνης καὶ πάσης Αἰγύπτου· ὁ δὲ Φλωριανὸς ἀπὸ Κιλικίας μέχρις Ἰταλίας καὶ τῶν ἑσπερίων ὅλων μερῶν· ἀλλὰ τάχιον τοῦ Φλωριανοῦ ἀναιρεθέντος ὑπὸ στρατιωτῶν, ἡ πᾶσα ἀρχὴ πρὸς τὸν Πρόβον περιέστη· οὗτος ἐλλόγιμος ἦν καὶ σοφὸς, καὶ ἔθνη πολλὰ ἐτροπώσατο.

Ἐπὶ τούτου ὄμβρος σίτῳ μεμιγμένος κατηνέχθη· ἐνοχλουμένων γὰρ τῶν πόλεων ὑπὸ τῶν Γερμανῶν, ἠναγκάσθη βοηθῆσαι ταύταις δι' ἑαυτοῦ· ἐνισταμένου δὲ τοῦ πολέμου καὶ

λιμοῦ τοῖς ἐκεῖσε ἐπιγεγονότος, ἄπλετος ὄμβρος καταρραγεὶς συγκατήγαγε καὶ σῖτον πολὺν, ὅν ἐπισωρεύσας ὁ τούτου στρατὸς τόν τε λιμὸν ἀπεκρούσαντο, καὶ τοῦ πολέμου περιεγένοντο. Τέθνηκε δὲ ἐξ ἐπιβουλῆς τῶν ἰδίων, ἐτῶν τυγχάνων πεντήκοντα.

Σάρος ἔτη β′. οὗτος τελείως τοὺς Πέρσας κατετροπώσατο, καὶ μετὰ λείας καὶ αἰχμαλωσίας εἰς τὴν Ῥώμην ἐπανέζευξεν· ἐξελθὼν δὲ ἐν τῷ κατὰ Οὔννων πολέμῳ ἀναιρεῖται, ὢν ἐτῶν ξ′.

| Νουμεριανὸς ὁ υἱὸς αὐτοῦ, ἔτη β′. ἐπὶ τούτου γέγονε κατὰ χριστιανῶν μέγας διωγμὸς, καὶ πολλοὶ ἐμαρτύρησαν, μεθ' ὧν καὶ ὁ ἅγιος Βαβύλας Ἀντιοχείας. Οὗτος στρατεύσας κατὰ Περσῶν, ἡττᾶται καὶ φεύγει, καὶ συλληφθεὶς ὑπ' αὐτῶν ἐξεδάρη ὡς ἀσκὸς, ἐτῶν ὢν λϛ′.

Καρῖνος ὁ ἀδελφὸς αὐτοῦ, ἔτη β′. ἐπὶ τούτου ἐμαρτύρησαν οἱ ἰατροὶ Κοσμᾶς καὶ Δαμιανὸς οἱ ἐν Ῥώμῃ, οὐ παρὰ βασιλέως, ἀλλὰ παρὰ τοῦ διδασκάλου αὐτῶν· τοῦ γὰρ βασιλέως Καρίνου στρατεύσαντος κατὰ Περσῶν εἰς ἔκτισιν τοῦ ἀδελφοῦ, καὶ τούτους νικήσαντος καὶ ὑποστρέφοντος, αἴφνης τὸ πρόσωπον αὐτοῦ ὀπίσω ἐστράφη, καὶ τῶν ἰατρῶν πάντων μὴ δυνηθέντων ἰάσασθαι τὸν βασιλέα, οἱ ἅγιοι οὗτοι διὰ προσευχῆς αὐτὸν ἰάσαντο· ὅθεν καὶ αὐτὸς δοξάσας τὸν Θεὸν, κέλευσιν αὐτοῦ πανταχοῦ τῆς ἀρχῆς αὐτοῦ ἐξαπέστειλε μή τινα χριστιανὸν κολάζεσθαι· ὁ οὖν διδάσκαλος τῶν ἁγίων φθόνῳ βληθεὶς διὰ τὴν τῶν ἁγίων θαυματουργίαν καὶ τὴν εἰς αὐτοὺς τιμὴν τοῦ βασιλέως, μετὰ τῶν οἰκείων δούλων λάθρα τούτοις ἐπαναστὰς, κατακρημνίσας ἀπέκτεινεν. Ἀναιρεῖται δὲ καὶ ὁ Καρῖνος ὑπό τινος χιλιάρχου.

Διοκλητιανὸς ἔτη κ′· οὗτος τῷ τετάρτῳ ἔτει τῆς αὐτοῦ βασιλείας Μαξιμιανὸν τὸν Ἑρκούλιον βασιλέα χειροτονεῖ, καὶ διωγμὸν ἐγείρουσι κατὰ χριστιανῶν σφοδρότατον, καὶ πολλοὺς ἁγίους ἀνέδειξαν μάρτυρας, νικήσαντες ἐπὶ εἰδωλολατρίᾳ καὶ ὠμότητι τοὺς πρὸ αὐτῶν ἅπαντας, οἱ ἐναγέστατοι καὶ παμ-

μίαροι. Οὗτοι ἀποδεικνύουσι καίσαρας ἄλλους πάλιν δύο, Διοκλητιανὸς μὲν Μαξιμιανὸν τὸν Γαλλέριον, δοὺς αὐτῷ εἰς γυναῖκα τὴν ἑαυτοῦ θυγατέρα Βαλερίαν, ὁ Ἑρκούλιος δὲ Μαξιμιανὸν Κώνσταντα τὸν Χλωρόν, τὸν υἱὸν τῆς θυγατρὸς τοῦ προβεβασιλευκότος Κλαυδίου, ποιήσας αὐτὸν καὶ γαμβρὸν ἐπὶ τῇ ἰδίᾳ θυγατρὶ Θεοδώρᾳ. Ἀμφότεροι οὖν καίσαρες γεγονότες, ἃς εἶχον πρώην γαμετὰς ἀπώσαντο, διὰ τὴν πρὸς τοὺς βασιλεῖς εὔνοιαν καὶ ἀγχιστείαν. Πλεῖστα οὖν τρόπαια ἐνδειξάμενος Διοκλητιανὸς, τούς τε Πέρσας κατατροπωσάμενος, καὶ λοιπὰ ἔθνη, καὶ ἡσυχάζειν πείσας, τῷ εἰκοστῷ ἔτει τὴν βασιλείαν σὺν τῷ Ἑρκουλίῳ καταλιπόντες, ἰδιωτικὸν σχῆμα καὶ βίον ἀμφότεροι εἵλοντο, ὡς λόγος αἱρεῖ, διὰ τὸ μὴ δύνασθαι ἀναστεῖλαι τὸν χριστιανισμὸν ἐπὶ πλέον ὁσημέραι προβαίνοντα, καὶ κακῶς τὸν βίον κατέστρεψαν.

Κώνστας ὁ Χλωρὸς, ἔτη δ', μετὰ Διοκλητιανὸν, καὶ Μαξιμιανὸς ὁ Γαλλέριος ἔτη ζ' μετὰ Διοκλητιανόν. Εὐθὺς οὖν ὁ Γαλλέριος χειροτονεῖ καίσαρας δύο, Μαξιμῖνον τὸν ἴδιον υἱὸν, καὶ Σεβῆρον· καὶ Μαξιμίνῳ μὲν τὰ τῆς ἑῴας ἀνέθετο, τῷ δὲ Σεβήρῳ τὰ τῆς Ἰταλίας.

Κώνστας δὲ πολλὰ τρόπαια κατὰ Ἀλαμανῶν ἐνδειξάμενος καὶ ἄλλων ἐθνῶν, ἥσυχός τε ὢν καὶ πάντας εὐεργετῶν, θνήσκει, τὸν ἐξ Ἑλένης τῆς προτέρας αὐτοῦ γυναικὸς Κωνσταντῖνον βασιλέα καταστησάμενος· εἶχε δὲ καὶ ἀπὸ Θεοδώρας ἑτέρους υἱοὺς δύο, Κωνστάντιον, τὸν πατέρα Γάλλου καὶ Ἰουλιανοῦ, Ἀναβαλῖνον τὸν καὶ Γάλλον, καὶ Δαλμάτιον τὸν πατέρα τοῦ νέου Δαλματίου τοῦ καὶ γεγονότος καίσαρος. Οἱ δὲ ἐν τῇ Ῥώμῃ στρατιῶται Μαξέντιον ἀνηγόρευσαν, τὸν υἱὸν τοῦ Ἑρκουλίου. Ἐβασίλευον οὖν ἐνταυτῷ οἱ πέντε, ὁ Γαλλέριος, ὁ Μαξιμῖνος, ὁ Σεβῆρος, ὁ Μαξέντιος, καὶ ὁ Κωνσταντῖνος. Σεβήρου δὲ ὑπὸ Μαξεντίου ἀναιρεθέντος, Λικίννιον οἱ στρατιῶται βασιλέα ποιοῦσι, γαμβρὸν ἐπ' ἀδελφῇ Κωνσταντίᾳ

τοῦ Κωνσταντίνου· ὁ δὲ Κωνσταντῖνος λαμβάνει γυναῖκα τὴν ἀδελφὴν τῆς μητρυιᾶς αὐτοῦ Θεοδώρας, Φαύσταν, μήπω χριστιανίσας· καὶ ὑπηρέτουν ἀλλήλοις οἱ βασιλεῖς, καὶ τὸν κατ' ἀλλήλων ἕκαστος ἐνίκησαν πόλεμον. Ὁ δὲ Κωνσταντῖνος τῇ δεήσει τῶν Ρωμαίων εἴξας, στρατὸν ἀθροίσας, κινεῖται κατὰ Μαξεντίου· ἐμίσησαν γὰρ αὐτὸν ἅπαντες διὰ τὴν ὠμότητα καὶ ἀσέλγειαν ἣν εἶχεν· ὅτε καὶ ἐν τῇ ἕκτῃ ὥρᾳ τῆς ἡμέρας ὁ τίμιος σταυρὸς ἐν τῷ οὐρανῷ ἐφάνη αὐτῷ τε καὶ σύμπαντι τῷ στρατῷ, ἐκ φωτὸς κατεσκευασμένος, ἔχων ἐπιγραφὴν δι' ἀστέρων Ἐν τούτῳ Νίκα. Ἀλλὰ καὶ τῇ νυκτὶ ἐκείνῃ ἐφίσταται αὐτῷ ὁ Κύριος ἐν ὁράματι λέγων: χρῆσαι τῷ δειχθέντι σοι σημείῳ καὶ νίκα· οἰκοδομήσεις δὲ πόλιν τῇ μητρί μου. Ἔξυπνος δὲ γενόμενος ὁ Κωνσταντῖνος, καὶ τῷ δειχθέντι ὅμοιον ἀπὸ χρυσοῦ κατασκευάσας σταυρὸν, ἐκέλευσε προηγεῖσθαι τοῦ οἰκείου στρατοῦ ἐν τῷ πολέμῳ· καὶ συμβολῆς γενομένης, ἡττήθη ὁ Μαξέντιος, | καὶ φεύγων σὺν τοῖς περιλειφθεῖσιν, ἐπέβη τῆς τοῦ ἐν τῇ Ρώμῃ ποταμοῦ γεφύρας, ἥτις δυνάμει θείᾳ διαρραγεῖσα, καὶ αὐτὸν καὶ τοὺς σὺν αὐτῷ κατεπόντισε. Ρωμαῖοι δὲ λυτρωθέντες τῆς τοῦ πονηροῦ τυραννίδος, μετ' εὐφροσύνης καὶ στεφάνων τὸν νικητὴν Κωνσταντῖνον μετὰ τοῦ θείου σταυροῦ εἰσεδέξαντο. Ἀλλὰ καὶ τοὺς ἄλλους τυράννους ὁ Κωνσταντῖνος τῷ τοῦ σταυροῦ ὅπλῳ πάντας κατηγωνίσατο καὶ ἀπωλείᾳ παρέδωκε, καὶ κρατεῖ μόνος τῆς ὅλης τῶν Ρωμαίων βασιλείας, πολλὰ τῷ σεσωκότι Χριστῷ εὐχαριστῶν.

Γίνονται οὖν τὰ πάντα ἀπὸ κτίσεως κόσμου ἕως τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔτη ͵εφ'· ἤγουν ἐν τῷ τεσσαρακοστῷ δευτέρῳ ἔτει τῆς βασιλείας Αὐγούστου, καὶ τὰ ἐπὶ γῆς ἔτη αὐτοῦ τοῦ Κυρίου τριάκοντα τρία ἕως ἀναστάσεως καὶ ἀναλήψεως αὐτοῦ, ἤγουν τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῆς βασιλείας Τιβερίου· καὶ ἀπὸ τῆς ἀναλήψεως τοῦ Χρι-

στοῦ ἕως τοῦ πρώτου ἔτους τῆς βασιλείας τοῦ ἁγίου Κωνσταντίνου, ἔτη σϡζ΄· ὁμοῦ ἀπὸ κτίσεως κόσμου ἕως τοῦ ἐν ἁγίοις Κωνσταντίνου ͵εωλ΄. (1)

ΠΡΩΤΟΣ ΒΑΣΙΛΕΥΣ ΕΥΣΕΒΩΝ ΚΩΝΣΤΑΝΤΙΝΟΣ.

Κωνσταντῖνος ὁ μέγας καὶ ἅγιος καὶ ἰσαπόστολος, καὶ πρῶτος τῶν χριστιανῶν βασιλέων, ὁ καὶ κτήτωρ τῆς Κωνσταντίνου πόλεως, ἐβασίλευσεν ἐν μὲν τῇ πρεσβυτέρᾳ Ῥώμῃ ιβ΄, ἐν δὲ τῇ νεωτέρᾳ καὶ βασιλίδι τῶν πόλεων Κωνσταντινουπόλει ἔτη κ΄, καὶ μῆνας ι΄· ἦν δὲ ὅτε ἐβασίλευσεν ἐτῶν τριάκοντα δύο, ὡς εἶναι τὰ πάντα τῆς ἐπὶ γῆς ζωῆς αὐτοῦ ἔτη ἑξήκοντα καὶ πέντε· ἔχει δὲ τὰ κατ' αὐτὸν οὕτως.

---

(1) Παρεντίθεται εἰς συμπλήρωσιν τοῦ λευκοῦ χάρτου τὰ ἑξῆς δύο σημειώματα: Περὶ τῶν ἑπτὰ Θεαμάτων.
Αἱ ἐν Αἰγύπτῳ πυραμίδες
ὁ πύργος τοῦ Φάρου ὑψηλὸς ὢν λίαν
ὁ ἐν Ῥόδῳ κολοσσὸς
Ο῾ τοῦ Μαυσώλου τάφος ἐν Καρίᾳ
ὁ ἐν Κυζίκῳ ναός
τὸ θέατρον Λυκίας τῶν Μύρων
καὶ τὸ Ῥουφίνειον ἄλσος Περγάμῳ.
[Καὶ τὰ γνωστὰ] ἀποφθέγματα τῶν ἑπτὰ σοφῶν.

Μετὰ τὴν τῶν ἀνοσίων ἐκείνων τυράννων καὶ ἀσεβῶν ἀπώλειαν καὶ τὸν ἀφανισμὸν, πολέμου κινηθέντος μεγίστου ἐν τῇ Θράκῃ ὑπὸ διαφόρων ἐθνῶν, καὶ ἐξελθόντος αὐτοῦ κατ' αὐτῶν ἀπὸ Ῥώμης καὶ ἡττηθέντος, ἀθυμία συνέσχεν αὐτόν τε καὶ τὸ περὶ αὐτὸν στρατόπεδον· εὐχόμενος οὖν εἰς τὸν οὐρανὸν μετὰ δακρύων καὶ δεόμενος ῥυσθῆναι τῆς τοιαύτης ἀνάγκης, ὁρᾷ, πρὸς ὕπνον ἑλκυσθεὶς, εἰς τὸν οὐρανὸν ἐν ὀνείρῳ τὸν τίμιον σταυρὸν, ἐν ᾧ ἐπεγέγραπτο, Ἐν τούτῳ Νίκα· καὶ εὐθὺς ἐξ ὕπνου γεγονὼς, διελογίζετο περὶ τῶν ὁραθέντων· καὶ πάλιν εἰς ὕπνον κατενεχθέντι, παρίσταταί τις αὐτῷ ῥάβδον κατέχων καὶ προσεγγίζων αὐτὴν τοῖς μυκτῆρσιν αὐτοῦ, ὥστε θροηθέντα τὸν βασιλέα | ὑπολαβεῖν ὅτι ἐπλήγη· διὸ καὶ λαβὼν φ. 1 τὴν πρὸς τῇ κεφαλῇ κειμένην ὀθόνην, ἐπέθηκε τοῖς ἑαυτοῦ μυκτῆρσι· καὶ πάλιν ὕπνωσεν. Ἐξαναστὰς δὲ τῷ πρωΐ, εἶδεν ἐν τῇ ὀθόνῃ εἶδος ἀποτελεσθὲν ἐκ τοῦ αὐτοῦ αἵματος τοῦ τιμίου σταυροῦ· καὶ εὐθέως ποιεῖ σταυρὸν, καὶ προηγεῖσθαι τοῦτον τοῦ πολέμου ἐκέλευσεν, εἰπὼν πρὸς τὸν στρατὸν, ὅτι διὰ τούτου νικῶμεν τοὺς ἐχθροὺς ἡμῶν. Ἐξηγεῖτο δὲ πᾶσι τὸ ὅραμα, καὶ τὴν δύναμιν τοῦ σταυροῦ, καὶ ἔλεγεν, ὅτι τὸ σημεῖον τοῦτο τοῦ θεοῦ ἐστι τῶν Χριστιανῶν. Ἔνθεντοι καὶ κατατροπωσάμενος τὰ ἔθνη πάντα, εἰς τὴν Ῥώμην ἐπανέρχεται. Ὁ δὲ μισόκαλος διάβολος τὸ τῆς πίστεως αὐτοῦ ζέον ἰδὼν, εἰσέρχεται εἰς τὴν τούτου γυναῖκα Φαύσταν καὶ πρὸς ζῆλον τῆς πατρικῆς θρησκείας διεγείρει αὐτὴν, ἥτις καὶ ἀπατᾷ τὸν ἴδιον ἄνδρα, πρὸς τὸ τοῖς εἰδώλοις μᾶλλον θύειν· ὃ δὴ καὶ γέγονεν. Ὁ δὲ ἀγαθὸς καὶ φιλάνθρωπος θεὸς πρὸς ἑαυτὸν πάλιν τοῦτον μετήγαγε τρόπῳ τοιούτῳ· τῇ τῆς λέπρας λώβῃ περιπεσὼν, ἐζήτει τὸν ἰασόμενον· καὶ δὴ μάγοι τινὲς καὶ Ἰουδαῖοι προσέρχονται καὶ προστάττουσι κολυμβήθραν ἐν τῷ Καπιτωλίῳ γενέσθαι καὶ πληρωθῆναι ἀνθρωπίνου αἵματος ἀφθόρων παίδων, ἐν ᾧ λουσάμενον εὐθὺς καθαρὸν γενέσθαι διεβεβαιοῦντο.

Συνήγαγον οὖν πλῆθος βρεφῶν ἀπὸ τῶν ἐπαρχιῶν, καὶ τῇ ὁρισθείσῃ ἡμέρᾳ πορευομένου τοῦ βασιλέως εἰς τοῦτο, ὑπήντησαν αὐτῷ αἱ τῶν βρεφῶν μητέρες, ὀλολύζουσαι καὶ τὰς ἑαυτῶν τρίχας ἐκτίλλουσαι. Ταῦτα ἰδὼν ὁ βασιλεὺς καὶ σύνδακρυς γεγονὼς, Προκρίνω, ἔφη, τῆς ἐμαυτοῦ ὑγείας τὴν τῶν παίδων σωτηρίαν· ὢ χριστομιμήτου, φωνῆς! ὢ ψυχῆς ἁγίας τε καὶ βασιλικῆς! Παραυτίκα γοῦν ὑποστρέφει εἰς τὰ βασίλεια, καὶ τὰ βρέφη ταῖς μητράσιν ἀποδοθῆναι ἐκέλευσε, δώροις μεγίστοις αὐταῖς φιλοτιμησάμενος, καὶ εἰς τὰ ἴδια ἑκάστην κελεύσας πορεύεσθαι. Καὶ νυκτὶ ταύτῃ ὁρᾷ καθ' ὕπνους τοὺς τῶν ἁγίων ἀποστόλων πρωτοθρόνους, Πέτρον καὶ Παῦλον τοὺς ἁγίους, προτρεπομένους αὐτῷ Σίλβεστρον ἐπιζητῆσαι τὸν τῆς Ρώμης ἐπίσκοπον· αὐτὸς γὰρ, ἔφησαν, ὑποδείξει σοι κολυμβήθραν δι' ἧς τάς τε τῆς ψυχῆς καὶ τοῦ σώματος νόσους ἰαθήσῃ. Εὑρεθέντος οὖν τοῦ Σιλβέστρου, καὶ παραγεγονότος καὶ νουθετήσαντος τὸν βασιλέα τὰ περὶ τῆς θείας ἡμῶν πίστεως, παρευθὺ ἐκέλευσε κλεισθῆναι τοὺς τῶν εἰδώλων ναοὺς, καὶ πιστεύσας ἐξ ὅλης καρδίας εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, βαπτίζεται εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Ἐν δὲ τῷ τοῦτον βαπτίζεσθαι, λαμπηδών τις ἐξαίφνης φωτὸς ἐξέλαμψε καὶ ἦχος ἐγένετο ὥσπερ τηγάνου πυρὶ καιομένου, καὶ ἀνῆλθε τῆς κολυμβήθρας ὑγιὴς, καὶ τὰ τῆς κολυμβήθρας ὕδατα λεπίδων ἐπληρώθησαν. Ἔλεγε δὲ ὁ βασιλεὺς, ὅτι ἐν τοῖς ὕδασιν ὢν ᾐσθόμην, ὡς χεὶρ ἀπὸ οὐρανοῦ πεμφθεῖσα ἥψατό μου. Καὶ ἐνδυσάμενος στολὴν λευκὴν (1) εὐθέως ἐξεφώνησεν οὕτως· τὸν τολμῶντα βλασφημῆσαι εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἢ ἀδικῆσαι χριστιανὸν, κελεύω τὸ ἥμισυ τῆς ὑποστάσεως αὐτοῦ τῷ δημοσίῳ ἀ-

---

(1) Ἐν περιθωρίῳ: Σημείωσαι ὡς ὁ νεοφώτιστος λευκὴν στολὴν ἐνδύεσθαι, ὡς διετάξαντο οἱ ἅγιοι Ἀπόστολοι, ὀφείλει.

φαιρεθῆναι. Θέλων δὲ πᾶσι δεῖξαι τὴν οἰκείαν εὐσέβειαν, αὐτὸς οἰκείαις χερσὶ λαβὼν δίκελλαν πρῶτος ὀρύττειν ἤρξατο, προστάξας ἐκκλησίαν γενέσθαι ἐν ὀνόματι τοῦ δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ. Ἐβαπτίσθησαν δὲ καὶ πᾶσα ἡ τούτου συγγένεια, καὶ τῆς συγκλήτου πολλοὶ καὶ τῶν ἐν τέλει ὡσεὶ χιλιάδες δώδεκα, καὶ Κρῖσπος υἱὸς αὐτοῦ, ὃν οὐκ ἀπὸ Φαύστας ἀλλ' ἐξ ἑτέρας εἶχεν οὐ κατὰ νόμους ἐπιγνωσθείσης αὐτῷ. Τότε καὶ τῶν ἑπτὰ τῆς ἑβδομάδος ἡμερῶν τὰ ὀνόματα ἀπὸ Ἄρεως, Ἑρμοῦ, Ἀφροδίτης, Κρόνου, Διὸς, Σελήνης καὶ Ἡλίου, Δευτέρα, καὶ Τρίτη καὶ Τετρὰς, Πέμπτη, Παρασκευὴ, Σάββατον καὶ Κυριακὴ μετωνομάσθησαν.

Ἡ δὲ ἁγία Ἑλένη καὶ μήτηρ τοῦ βασιλέως, συνοῦσα τῷ υἱῷ, κατηνάγκαζε τοῦτον τῇ Ἰουδαϊκῇ μᾶλλον προσελθεῖν πίστει, ὑπό τινων Ἑβραίων τὸν νόμον αὐτὴν ἀκριβῶς διδασκόντων πεισθεῖσα· ἀλλὰ καὶ μάγοι τινὲς ἐξαίσια τέρατα ποιοῦντες | ἀντέκειντο τῷ ἁγίῳ Σιλβέστρῳ, οὓς πάντας μετὰ τῆς μα- φ. 1
καρίας Ἑλένης θαύμασιν αὐτὸς καὶ δυνάμει Πνεύματος πείσας πρὸς τὴν εἰς Χριστὸν πίστιν μετήνεγκε, καὶ οὕτως ἐβαπτίσθησαν· καὶ ἡ ὀρθόδοξος ηὐξάνετο πίστις καὶ πάντες τὸν βασιλέα εὐφήμουν, τοιούτων καλῶν αἴτιον αὐτοῖς γεγονότα.

Εἰς μνήμην δὲ ἐλθὼν τῆς πρὸς αὐτὸν φωνῆς τοῦ Κυρίου καθ' ὕπνους λεγούσης, Ἐγερεῖς τῇ μητρί μου πόλιν ἐν ᾧ ὑποδείξω σοι τόπῳ, πολλὰς ἐρευνήσας χώρας ἐπὶ τὴν κατὰ Βιθυνίαν ἔρχεται Χαλκηδόνα, καὶ ταύτην κατηρειπωμένην ὑπὸ τῶν Περσῶν εὑρὼν ἀνοικοδομεῖν ἤρχετο· ἀετοὶ δὲ τοὺς τῶν τεχνιτῶν ἁρπάζοντες λίθους, πρὸς τὸ Βυζάντιον διαπεραιούμενοι ἔρριπτον· τούτου δὲ πολλάκις γενομένου, τῶν ἐξυπηρετουμένων τις τῷ βασιλεῖ, ᾧ ὄνομα Εὐφρατᾶς, διεσάφησεν, ὡς ἐκεῖ φίλον ἐστὶ τῷ θεῷ τῇ μητρὶ αὐτοῦ πόλιν κτισθῆναι. Εὐθὺς οὖν διαπεράσας καὶ τὸν τόπον ἰδὼν, καὶ ἀποδεξάμενος, τὸν Εὐφρατᾶν τοῦ ἔργου ἐπιστάτην καταλιμπάνει μετὰ δυνάμεως βαρείας

καὶ πλούτου πολλοῦ, αὐτὸς δ' ἐκστρατεύει κατὰ Περσῶν, οἷς δὴ καὶ συμβαλών, ὢ τῶν κριμάτων σου, Κύριε, ἡττᾶται καὶ χειροῦται αὐτός τε καὶ ἄλλοι τῶν ἐν τέλει, καὶ τοῦ στρατοῦ πολλοί· οἱ δὲ πλείους πρὸς τὴν παρακειμένην λόχμην εἰσέδυσαν, ὡς ἠδύναντο τὴν σωτηρίαν περιποιούμενοι ἑαυτοῖς. Οἱ Πέρσαι δὲ τῷ παραλόγῳ τῆς νίκης ἐπαρθέντες, ἴσως δὲ καὶ τοῦ θεοῦ σφάλλοντος τὰς βουλὰς αὐτῶν, ἀμελήσαντες πάντων τὸν βασιλέα θυσίαν προσενεγκεῖν τοῖς εἰδώλοις αὐτῶν ἐκεκρίκεσαν· παρῆν οὖν ἡ ὡρισμένη ἡμέρα, καὶ τοῦτον ἐφ' ἁμάξης δέσμιον ἔχοντες ἀπήεσαν πρὸς τὸν νεών, ὃν καὶ ἔξω καταλιπόντες αὐτοὶ ἄοπλοι καὶ γυμνοὶ τὸν ναὸν αὐτῶν εἰσήεσαν, τὴν εὐχὴν αὐτῶν ποιησόμενοι, καί τινας αὐτῶν πρὸς ξυλείαν ἀπέστειλαν· οὓς ἰδόντες οἱ τοῦ βασιλέως ἐν τῇ λόχμῃ κρυπτόμενοι καὶ ζωγρήσαντες καὶ περὶ πάντων ὧν ἤθελον γνῶναι ἀναμαθόντες, τῆς θείας συνάρσεως ἐπιρρωσάσης τὰ τούτων φρονήματα, ἐκδραμόντες τῆς ὕλης ἐφίστανται τῷ βωμῷ, καὶ λύουσι μὲν τῶν δεσμῶν τὸν βασιλέα, ἀναλαμβάνουσι δὲ τὰ τῶν Περσῶν ὅπλα, ἃ καὶ περιδυσάμενοι ἐπιτίθενται τούτοις, καὶ φόνου παρανάλωμα, μηδενὸς φεισάμενοι, τούτους ἐποίησαν· τὰ δ' ἐπὶ τούτοις, ἀλλά, τίς λαλήσει τὰς δυναστείας σου, Κύριε, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις σου! οἱ πεπτωκότες ἀνέστησαν, καὶ οἱ δοκήσαντες κεκρατηκέναι παντελεῖ ἀφανισμῷ παρεδόθησαν· ὁ βασιλεὺς γὰρ καὶ ὅσοι τῆς στρατιᾶς αὐτοῦ τὴν τῶν Περσῶν χώραν καταδραμόντες καὶ λεηλατήσαντες καὶ αἰχμαλωτίσαντες, καὶ τὰ ἐκεῖ καταπραξάμενοι ὡς ἐβούλοντο νικηφόροι μετὰ πλούτου καὶ σκύλων ἀναριθμήτων ὑπέστρεψαν εἰς τὰ σφέτερα.

Τότε ὁ βασιλεὺς οἰκοδομεῖ τὴν Κωνσταντινούπολιν κάλλει καὶ μεγέθει ἁπάσας τὰς ἐπὶ γῆς πόλεις ὑπερνικῶσαν, καὶ τῆς οἰκουμένης οἷον τυγχάνουσαν ὀφθαλμόν· αὐτὸς γὰρ διὰ τοῦ εἰρημένου Εὐφρατᾶ εὐρύνει τὸ τοῦ Βυζαντίου τεῖχος κατὰ

πολὺ, καὶ κτίζει τὰ βασίλεια, καὶ τὸ ἱππικὸν, καὶ τοὺς δύο ἐμβόλους, καὶ τὸν φόρον, καὶ τὸ περικαλλὲς τεχνούργημα τοῦ Σενάτου, καὶ τὴν ἑαυτοῦ στήλην ἐπὶ τοῦ πορφυροῦ κίονος ἔστησεν ἐν τῷ φόρῳ. Κτίζει δὲ καὶ τὸν πρῴην τῆς ἁγίας Σοφίας ναὸν, τὸν τῶν ἁγίων Ἀποστόλων, τὸν τοῦ ἁγίου Μωκίου, τὸν τῆς ἁγίας Εἰρήνης, τοῦ ἁγίου Ἀγαθονίκου, τὸν ἐν τῷ Ἀνάπλῳ τοῦ Ἀρχιστρατήγου, καὶ τὸν τοῦ Σωσθενίου, ἔτι δὲ καὶ τὸν ἐν τῷ νεωρίῳ τῆς ἁγίας Δυνάμεως, καὶ ἄλλοις δὲ πλείοσι κτίσμασι τὴν ἐπώνυμον ἑαυτοῦ πόλιν ἐκάλλυνεν.

Λέγεται δὲ ὅτι τῆς γυναικὸς αὐτοῦ Φαύστης ἐπιμανείσης τῷ προγόνῳ αὐτῆς Κρίσπῳ, καὶ ὡς μὴ πεισθέντος κατειπούσης αὐτοῦ πρὸς τὸν πατέρα ὡς ὑπ' αὐτοῦ βιασθείσης, κελεύσει αὐτοῦ τοῦτον ἀναιρεθῆναι πεποίηκε, καίσαρα ὄντα, ὕστερον δὲ διεγνωκότα ὡς ψευσαμένην καὶ αὐτὴν προσαποκτεῖναι, τρεῖς υἱοὺς μετ' αὐτοῦ ἔχουσαν, Κώνσταντα, Κωνστάντιον καὶ Κωνσταντῖνον, οὓς καὶ ἀνηγόρευσε καίσαρας.

Ὅτε δὲ ἐν Κωνσταντινουπόλει ἦλθεν ὁ μέγας οὗτος καὶ ἅγιος βασιλεὺς | εὗρε τὴν ἐπισκοπὴν αὐτῆς ἔχοντα τὸν ἅγιον Μητροφάνην, ἕβδομον ἔτος ἐν αὐτῇ διαπρέποντα, δέκα δὲ τὰ ὅλα διήνυσεν· ἀλλὰ καλὸν ἄνωθεν ἄρξασθαι, καὶ τοὺς ἐπισκόπους Βυζαντίου κατ' ὄνομα παραθεῖναι ὅσοι ἀπὸ τοῦ πρωτοκλήτου Ἀνδρέου τοῦ Ἀποστόλου ἕως αὐτοῦ δὴ τοῦ Μητροφάνους ἐχρημάτισαν, καὶ οὕτως ἀκολούθως κατιέναι καθ' εἱρμὸν τὴν διήγησιν· εἰσὶ δὲ οὗτοι. Ἀνδρέας ὁ πρωτόκλητος Ἀπόστολος· οὗτος ἐν τῷ διαπλέειν τὴν Ποντικὴν θάλασσαν, παραγενόμενος κἂν τῷ Βυζαντίῳ, καὶ κηρύξας ἐν αὐτῷ τὸν σωτήριον λόγον, ἐκκλησίαν τε πιστῶν συστησάμενος, καὶ οἶκον εὐκτήριον ἀνεγείρας πέραν ἐν τοῖς Θρακῴοις μέρεσι τῆς πόλεως ἐν τῇ καλουμένῃ Ἀργυρουπόλει, ὅπου καὶ τὸ ἅγιον λείψανον ὕστερον κατετέθη τοῦ μάρτυρος Ἀδριανοῦ, χειροτονεῖ ἐπίσκοπον τῆς Βύζαντος πόλεως Στάχυν, ἕνα τῶν ἑβδομήκοντα ἀ-

ποστόλων, ὃς καὶ ἐπεσκόπησεν ἔτη δεκαέξ· καὶ μετ' αὐτὸν προεβλήθη Ὀνήσιμος, ιδ' ἔτη καὶ αὐτὸς κυβερνήσας τὴν ἐκκλησίαν, καὶ καθεξῆς Πολύκαρπος ἔτη ιη'. Πλούταρχος ἔτη ιϛ'. Σεδεκίων ἔτη θ'. Διογένης ἔτη ιε'. Ἐλευθέριος ἔτη ιζ'. Φίληξ ἔτη ε'. Πολύκαρπος ἔτη ιζ'. οὗτοι πάντες ἐν τῷ εἰρημένῳ εὐκτηρίῳ τὰς συνάξεις ἐποίουν. Ἀθηνόδωρος δὲ ἐπίσκοπος καταστὰς μετ' αὐτοὺς, ἕτερον εὐκτήριον οἶκον ἀνῳκοδόμησεν ἐν τῇ τοποθεσίᾳ τῇ καλουμένῃ Ἐλαία· ὃς καὶ ἐπεσκόπησεν ἔτη δ'. Καὶ ἐφεξῆς Εὐζώϊος, ἔτη ϛ'. Λαυρέντιος ἔτη ἕνδεκα ἥμισυ. Ἀλύπιος ἔτη δέκα καὶ τρία ἥμισυ. Περτίναξ, ὑπατικὸς μὲν ὑπάρχων τῆς ἐν Ῥώμῃ συγκλήτου, πιστεύσας δὲ καὶ ἐπίσκοπος καταστὰς Βυζαντίου, ἑτέραν αὖθις ἐκκλησίαν ἀνίστησιν ἐγγυτέρω τῆς πόλεως ἐν παραθαλασσίῳ τόπῳ λεγομένῳ Συκαῖς, Εἰρήνην τὸν ναὸν προσαγορεύσας, κἀκεῖσε τὰς συνάξεις ἐπιτελῶν, ἐπεσκόπησεν ἔτη ιθ'. Ὀλυμπιανὸς ἔτη ια'. Μάρκος ἔτη ιγ'. Κυριλλιανὸς ἔτη ιϛ'. Καστῖνος ἐν αὐτῷ τῷ Βυζαντίῳ, ἐν τῇ τοποθεσίᾳ τῇ λεγομένῃ Πετρίον εὐκτήριον οἶκον ἐπ' ὀνόματι τῆς ἁγίας μάρτυρος Εὐφημίας ἀνεγείρας, κατ' ἐκεῖνον τὸν καιρὸν μαρτυρησάσης, καὶ ἐν αὐτῷ τὰς συνάξεις ἐπιτελῶν, τῆς ἐπισκοπῆς ἦρξεν ἔτη ζ'. Τίτος ἔτη λϛ'. Δομετιανὸς ἀδελφὸς Πρόβου τοῦ βασιλέως ἔτη κδ'. Πρόβος υἱὸς Δομετίου, ἔτη ιβ'. Μητροφάνης υἱὸς Δομετίου, ἔτη δέκα· ἐπὶ τούτου, ὡς ἔφημεν ὅ τε μέγας Κωνσταντῖνος ἐπεδήμησε τῇ πόλει, καὶ ἡ Κωνσταντινούπολις ἀνεκαινίσθη, καὶ ἡ ἁγία πρώτη σύνοδος προστάξει βασιλικῇ ἐν Νικαίᾳ κατὰ Ἀρείου ἠθροίσθη, καὶ ὁ τῆς Κωνσταντινουπόλεως θρόνος εἰς τὸ τῆς πατριαρχείας ὕψος ἀνεβιβάσθη.

Συνηθροίσθη δὲ ἡ ἁγία καὶ οἰκουμενικὴ πρώτη σύνοδος ἐν Νικαίᾳ κατὰ Ἀρείου πρεσβυτέρου τῆς ἐν Ἀλεξανδρείᾳ ἐκκλησίας, βλασφημοῦντος τὸν υἱὸν τοῦ θεοῦ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ λέγοντος αὐτὸν κτίσμα καὶ οὐχ ὁμοούσιον

τῷ θεῷ καὶ πατρί· ἀλλ' ἡ ἁγία σύνοδος ἀπελέγξασα τοῦτον, ὁμοούσιον τῷ πατρὶ τὸν υἱὸν διετράνωσεν, ἐπεὶ καὶ πᾶς υἱὸς ὁμοούσιος τῷ γεγεννηκότι τοῦτον πατρί, φῶς ἐκ φωτὸς, καὶ θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, καὶ ποιητὴν πάντων ὁρατῶν τε καὶ ἀοράτων σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ, καὶ κριτὴν ζώντων καὶ νεκρῶν, δογματίσασα. Ἦσαν δὲ οἱ τῆς συνόδου καὶ δι' ὧν ἡ σύνοδος συνεκροτήθη ἐξάρχοντες Σίλβεστρος πάππας Ῥώμης, διὰ τοποτηρητῶν Βίτωνος καὶ Βικεντίου, ἀμφοτέρων πρεσβυτέρων, καὶ τοῦ Κουδρούβης Ὁσίου, Ἀλέξανδρος Κωνσταντινουπόλεως, Ἀλέξανδρος Ἀλεξανδρείας σὺν Ἀθανασίῳ τῷ μεγάλῳ, ἔτι ἐν διακόνοις κατειλεγμένῳ, ὁ Ἀντιοχείας Εὐστάθιος, καὶ ὁ Ἱεροσολύμων Μακάριος· συνέστη δὲ τῷ πεντεκαιδεκάτῳ ἔτει τῆς βασιλείας τοῦ μεγάλου Κωνσταντίνου, ἔτει ἀπὸ κτίσεως κόσμου πεντακισχιλιοστῷ ὀκτακοσιοστῷ ὀκτωκαιδεκάτῳ. Ἐπεὶ δὲ καὶ ἡ σύνοδος συνεπεράνθη, λιβέλλους τινὲς κατ' ἐπισκόπων ἐπιδεδώκασιν, οὓς ὁ χριστομίμητος βασιλεὺς, μηδὲ ἀναγνωσθῆναι παραχωρήσας, τῷ διὰ πυρὸς ἀφανισμῷ παραδέδωκεν, ἐπειπὼν τὸ ἀείμνηστον καὶ ἀξιάγαστον καὶ θεοῦ χρηστότητος καὶ συμπαθείας ἐκεῖνο, Ἐγὼ, εἰ καὶ πορνεύοντα ἱερέα ἐπ' αὐτοφώρῳ κατέλαβον, τῷ πτερυγίῳ τῆς ἐμῆς χλαμύδος αὐτὸν ἂν συνεκάλυψα, ὡς μὴ γνωσθῆναι τὸ ἄγος, ἵνα καὶ ὁ θεὸς συγκαλύψῃ τὰ ἐμὰ παραπτώματα.

Ἰστέον δὲ ὅτι ἀπὸ τῆς ἀναλήψεως | τοῦ Κυρίου ἕως εἰκο- φ.
στοῦ ἔτους τῆς βασιλείας τοῦ μεγάλου Κωνσταντίνου, ὅτε ἡ ἁγία πρώτη σύνοδος συνετελέσθη (1) ἔτη παρῆλθον τιη'.

---

(1) Ὁ γὰρ τὴν ἐκκλησιαστικὴν ἱστορίαν συγγραψάμενος Γελάσιος, ὃς καὶ τοῦ ἁγίου Κυρίλλου Ἱεροσολύμων ἀδελφιδὸς, ἕξ ἔτη φησὶ τὴν σύνοδον ταύτην συνίστασθαι, ὡς δ' ἕτεροι τρία πρὸς τῷ ἡμίσει. (Σημ. ἐν περιθεωρίῳ.)

ἰσάριθμοι γὰρ τοῖς ἔτεσι καὶ οἱ τῆς συνόδου πατέρες εὑρέθησαν τριακόσιοι δέκα ὀκτώ.

Ὁ δὲ βασιλεὺς τοὺς ἁγίους τούτους πατέρας εἰσαγαγὼν ἐν τῇ παρ' αὐτοῦ καινισθείσῃ πόλει, καὶ ταύτην εὐλογηθῆναι παρασκευάσας ὑπ' αὐτῶν, εἶτα καὶ πρὸς τὸν ἐπίσκοπον τῆς πόλεως ἅγιον Μητροφάνην μετ' αὐτῶν συνῆλθε· κλινοπετὴς γὰρ ἦν ὑπὸ γήρως καὶ ἀπρόϊτος, καὶ δι' Ἀλεξάνδρου τοῦ ἰδίου πρεσβυτέρου τῇ συνόδῳ παρῆν· ἐπεὶ δὲ ἀλλήλους εἶδον καὶ προσεῖπον ὅσα εἰκὸς, τέλος ὁ βασιλεὺς ἐξαναστὰς, ἔφησε πρὸς τὸν ἀρχιερέα, Πάτερ πνευματικὲ, θέλω τι καὶ ἕτερον ἐξειπεῖν σοι, ἐφ' ᾧ πρὸς τῆς σῆς ἁγιότητος μὴ δυσχεράνῃς, ἀλλ' ὡς εὐλαβείας καὶ τῆς πίστεως συστατικὸν δέξαι τὸ ῥηθησόμενον. Ὁ δὲ φησιν, εἰπὲ τοῦτο ἀνυποστόλως, οἶδα γὰρ ὅτι θεοφιλὲς καὶ ἡμῖν εὐαπόδεκτον. Καὶ ὁ βασιλεὺς· εἰ συμβῇ πρὸς θεὸν ἀναλύσαι σε, τοῦτο γὰρ ὁ τῆς ἐνταῦθα παροικίας σου χρόνος καὶ ἡ ἐνσκήψασά σοι νόσος προσαπειλεῖ, τίνα ἀντὶ σοῦ τῷ σῷ θρόνῳ ἐγκαταστήσομεν; Καὶ ὁ ἀρχιερεὺς, οἷον ἔνθους γενόμενος εἰρήκει· νῦν οἶδα ὅτι ὁ θεὸς διὰ τοῦ σοῦ λελάληκε στόματος, ὃς καὶ ἀπεκάλυψέ μοι ὅτι μετὰ τρίτην ἡμέραν τῶν παρόντων ἐξέρχομαι· ὑμεῖς δὲ ἀλλὰ τὸν πρεσβύτερον Ἀλέξανδρον τῷ θρόνῳ ἐγκαθιδρύσατε. Ἐπεὶ δὲ ὁ Ἀλέξανδρος ἀποδημῶν ἦν τῷ τότε ταῖς Γαλίαις τὰ συνοδικῶς δόξαντα διαπορθμευόμενος, ἀναστὰς καὶ ὡς εἶχε τῶν τῆς ἐκκλησίας ἀδύτων εἴσω γενόμενος, τὸ ὠμοφόριον αὐτοῦ ἀποβαλὼν καὶ τῇ ἁγίᾳ τραπέζῃ ἐνθεὶς, καὶ τὸ ὄνομα ἐπιφωνήσας τοῦ Ἀλεξάνδρου, ἐπέσκηψε τοῦτον λαβεῖν ἐπανελθόντα καὶ περιθέσθαι αὐτὸ, καὶ οὕτως ἀρχιερέα εἶναι τῆς Κωνσταντινουπόλεως.

Ἐπεὶ δὲ καὶ πάλιν ὁ βασιλεὺς ἔφησεν ὅτι καὶ οὗτος γηραιός ἐστιν, ὡς οἶδας, καὶ τίνι μετὰ τοῦτον τὴν ἐπισκοπὴν ἐγχειρίσομεν; Τὸ παιδίον, ἔφη, τὸν Παῦλον οὗτος ἕξει διάδοχον· περὶ τοῦ ὁμολογητοῦ ἁγίου Παύλου τοῦτο εἰπὼν, ἦν γὰρ

τότε νεάζων τὴν ἡλικίαν· ὡς οὖν ἠκηκόεισαν πρὸς αὐτοῦ ταῦτα, Ἀλέξανδρος ὁ τῆς Ἀλεξανδρείας ἐπύθετο καὶ αὐτὸς, Ἐγὼ δὲ, πάτερ, τίνα καταλείψω διάδοχόν μου; Καὶ ὁ Μητροφάνης, ἔχεις, καὶ καλὸν τοῦτον καὶ τῶν ὀρθῶν δογμάτων βεβαιωτὴν καὶ ἐκκλησίας ἄριστον στρατηγὸν, Ἀθανάσιον τὸν περίφημον, ὃς καὶ μετὰ Παύλου τὰ πολλὰ τῆς ἐκκλησίας ὑπερμαχήσουσι. Καὶ ἄλλοι περὶ ὧν ἐβούλοντο διερωτήσαντες ὡς ἀπὸ θεοῦ τούτου τὰς ἀποκρίσεις ἐδέξαντο, αἳ καὶ ἀπέβησαν ὡς οὗτος προέφησε. Καὶ οὕτως ἕκαστος αὐτῶν συνταξάμενοι τῷ Μητροφάνῃ, καὶ τὰ τελευταῖα προσειπόντες ἀπηλλάγησαν.

Χειροτονήσας δὲ ὁ βασιλεὺς δι' αὐτῶν τὸν θειότατον Ἀλέξανδρον πατριάρχην Κωνσταντινουπόλεως, τοῦ ὁσιωτάτου Μητροφάνους ἤδη τελειωθέντος, πάντας διὰ δημοσίων ἵππων πάλιν καὶ ἀναλωμάτων ἀπέλυσεν εἰς τὰ ἴδια, δοξάζοντας τὸν θεὸν τὸν χαρισάμενον τοῖς ἀνθρώποις βασιλέα τοιοῦτον φιλόχριστον καὶ ὀρθόδοξον.

Οὗτος ὁ βασιλεὺς καὶ ἡμερησίους ἄρτους ἔταξε δίδοσθαι τοῖς ἐν τῇ βασιλίδι τῶν πόλεων εἰς ὀκτὼ χιλιάδας τὸν ἀριθμόν.

Ἑλένην δὲ τὴν μακαρίαν ἑαυτοῦ μητέρα βασιλικῷ κοσμήσας διαδήματι, πρὸς τὰ Ἱεροσόλυμα πέμπει εἰς ἀναζήτησιν τοῦ τιμίου σταυροῦ τοῦ Κυρίου, ὃν καὶ εὗρε, χάριτι τοῦ ἐν αὐτῷ προσπαγέντος Χριστοῦ τοῦ θεοῦ, καὶ σὺν αὐτῷ τοὺς ἥλους οἷς προσηλώθη· ἥτις πολλὰ τοῖς ἐκεῖσε πένησι διένειμε χρήματα, καὶ ναοὺς κάλλει καὶ μεγέθει περιφανεῖς ἀνήγειρε· καὶ μέρος λαβοῦσα τοῦ ζωοποιοῦ σταυροῦ τοῦ Κυρίου καὶ τοὺς ἥλους, τὸ δὲ λοιπὸν ἅπαν ἀσφαλισαμένη ἐν ὁλοαργύρῳ θήκῃ καὶ παραθεῖσα Μακαρίῳ τῷ ἐκεῖσε πατριάρχῃ, χαίρουσα πρὸς τὸν υἱὸν καὶ βασιλέα ὑπέστρεψεν· ἥτις καὶ εὐσεβῶς ζήσασα, καὶ ἐλεημοσύναις καὶ εὐποιΐαις τὸν βίον ἑαυτῆς λαμπρύνασα, θνήσκει, ἐτῶν οὖσα ὀγδοήκοντα· καὶ ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποςόλων θάπτεται παρὰ τοῦ βασιλέως καὶ υἱοῦ αὐτῆς.

Οὗτος ὁ βασιλεὺς καὶ ταῖς ἁπανταχοῦ ἐκκλησίαις ἔχειν τὰ ἀπὸ τῶν Ἑλλήνων ἀπονενεμημένα τοῖς ναοῖς τούτων ἐθέσπισε, καὶ τοῖς ἱερωμένοις τὴν ἐλευθερίαν καὶ ἀτέλειαν ἐχαρίσατο· τοῖς δ' ἐπισκόποις προνόμια δέδωκεν, ἅπερ ὁ βουλόμενος μαθεῖν ἐντυγχανέτω τῇ πρὸς τὸν ἅγιον Σίλβεστρον διατάξει αὐτοῦ· ἡμεῖς γὰρ σύνοψιν συντιθέμενοι, διὰ τὸ μῆκος παρεδράμομεν.

Οἱ δὲ παρὰ τοῦ βασιλέως μετοικισθέντες (1) ἀπὸ τῆς Ῥώμης εἰς Κωνσταντινούπολιν συγκλητικοὶ πρῶτοι καὶ μεγιστᾶνες ἦσαν οὗτοι, Ἁρμάτιος, Ὀλύβριος, Βῆρος, Σεβῆρος, Οὐρβίκιος, Ἰσίδωρος, Εὐγένιος, Εὔβουλος, Στούδιος, Φλωρέντιος, Καλλίστρατος καὶ Μαυριανός· οἵτινες καὶ οἴκους λαμπροὺς καὶ ναοὺς
19. καὶ γηρωκομεῖα, καὶ ξενῶνας ἐν τῇ πόλει | ἀνήγειραν, κελεύσει τοῦ θειοτάτου βασιλέως. Ἀλλὰ καὶ Εὐφρατᾶς οἶκον ἴδιον μέγιστον κατεσκεύασεν, ὅπερ ὕστερον γηρωκομεῖον ἐχρημάτισεν, ἐν τῇ τοποθεσίᾳ τοῦ Διμακέλλου, οὕτω τοῦ Εὐφρατᾶ καλουμένου, ἕως τοῦ νῦν.

Ὁ μέντοι θειότατος βασιλεὺς εὐσεβῶς τὸν βίον ἀνύσας καὶ θεοφιλῶς, καὶ τοὺς υἱοὺς αὐτοῦ διαδόχους τῆς βασιλείας κακαταλιπὼν, Κώνσταντα μὲν ἐν Ἰταλίᾳ καὶ Ῥώμῃ, Κωνστάντιον δὲ ἐν Κωνσταντινουπόλει, Κωνσταντῖνον δὲ ἐν ταῖς Γαλίαις καὶ ταῖς ἐπέκεινα Ἄλπεων ἐπαρχίαις, πρὸς τὴν ἀθάνατον μεθίσταται βασιλείαν.

Κωνσταντῖνος δὲ μὴ θέλων ἀρκεσθῆναι τῇ τοῦ πατρὸς δια-

---

(1) Περὶ τῶν μετοικισθέντων ἀρχόντων ἀπὸ Ῥώμης εἰς Κωνσταντινούπολιν· τούτων δὲ καὶ οἱ οἶκοι καὶ τοῖς λειψάνοις κατονομάζονται, μόνου τοῦ Ἰσιδώρου ἀλλαξαμένου τὴν κλῆσιν καὶ κεκλημένον Θεοφίλου· ἦν δὲ καὶ ὁ τοῦ Φλωρεντίου τῶν σπουδαίων (sic) σύνεγγυς (Σημείωσις ἐν περιθεωρίῳ).

ταγῇ, ἀλλὰ πόλεμον κινήσας κατὰ τοῦ ἀδελφοῦ Κώνσταντος, αὐτὸς μὲν ἐν τῷ πολέμῳ θνήσκει, Κώνστας δὲ καὶ τῆς αὐτοῦ βασιλείας ἐγκρατὴς γίνεται, καὶ ἐν τῇ παλαιᾷ Ῥώμῃ διέτριβεν· ἀλλὰ καὶ αὐτὸς ὕστερον ἀναιρεῖται παρὰ Μαγνεντίου τινὸς συγκλητικοῦ, ὅν ἀνεῖλε Κωνστάντιος, καὶ γίνεται τῆς τῶν τριῶν βασιλείας αὐτοκράτωρ μόνος αὐτός. Ὁ δὲ μέγας Κωνσταντῖνος τελευτᾷ μηνὶ μαΐῳ εἰκοστῇ πρώτῃ καὶ θάπτεται μετὰ τῆς μητρὸς αὐτοῦ ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων ἐν τῷ ἡρῴῳ ὅ αὐτὸς ᾠκοδόμησεν ἐν λάρνακι πορφυρᾷ.

Κωνστάντιος ὁ υἱὸς αὐτοῦ ἔτη κδ΄. οὗτος τῆς Ἀρειανικῆς αἱρέσεως ἐραστὴς γεγονώς, πλεῖστα δεινὰ τοῖς ὀρθοδόξοις ἐπήνεγκε, καὶ ταῖς ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις· ἅμα γὰρ τῷ τῆς βασιλείας ἐπιλαβέσθαι, παρεβιάζετο τὸν Κωνσταντινουπόλεως θεῖον Ἀλέξανδρον τὸν Ἄρειον ἐν τῇ ἐκκλησίᾳ δέξασθαι, Εὐσεβίου τοῦ πραιποσίτου παρορμώμενος ὑποθήκαις· ὁ δὲ Ἀλέξανδρος τοῦτο διαπράξασθαι οὐ κατένευσε, λέγων, τὸν ἐπὶ τοσαύτῃ παρανομίᾳ καὶ δυσσεβείᾳ παρὰ τοσούτων ἁγίων πατέρων κατακριθέντα καὶ ἀναθεματισθέντα καὶ ὑπὸ τοῦ σοῦ πατρὸς καὶ βασιλέως ἐξορισθέντα, οὐχ οἷός τε εἰμὶ δέξασθαι. Καὶ ὁ βασιλεὺς ἔφη, Ὅρα, ἐπίσκοπε, μὴ καὶ ἄκων δέξῃ αὐτόν. Ὁ δὲ πατριάρχης, Τὸ θέλημα τοῦ Κυρίου γενέσθω! εἰπών, τὸν θεῖον ναὸν εἰσελθὼν ῥίπτει ἑαυτὸν κάτωθεν τῆς ἁγίας τραπέζης, καὶ μετ' ὀλοφυρμῶν καὶ δακρύων ἐβόα πρὸς τὸν θεόν, Μὴ συγχωρήσῃς, Κύριε, τῷ ἀναιδεῖ λύκῳ εἰσελθεῖν εἰς τὴν ἁγίαν σου ποίμνην· εἰ δὲ κελεύεις Ἄρειον εἰσαχθῆναι, ἐμὲ πρῶτον ἀπόλυσον τῆς παρούσης ζωῆς. Καὶ ἕξ ἡμέρας προσμείνας τῇ τοιαύτῃ προσευχῇ, ἄσιτος διετέλεσε· τῆς δέ γε Κυριακῆς ἐπιστάσης, ἕωθεν ὁ Ἄρειος σὺν τῷ πραιποσίτῳ μετὰ βασιλικῆς δυναστείας εἰς τὴν ἐκκλησίαν ἀπήρχετο· καὶ καθ' ὁδὸν νυξάσης αὐτὸν τῆς γαστρὸς εἴς τινα τόπον πρὸς τοῦτο ἀπέκλινε χρήσιμον, οὗ καθεσθεὶς σὺν τοῖς σκυβάλοις καὶ τὰ ἐντόσθια πάντα κατήνεγκε, καὶ οὕτως ἀπέρρηξε τὴν

ἀθλίαν ψυχήν, ἔτι τοῦ πατριάρχου τῇ ἐκτενεῖ προσευχῇ προσανέχοντος,

Ἔζησε δὲ ὁ Ἀλέξανδρος ἕως ἕκτου ἔτους τῆς βασιλείας Κωνσταντίου, ἐν μὲν τῷ ἀρχιερατικῷ θρόνῳ ἀνύσας ἔτη εἰκοσιτρία, τὰ δὲ τῆς ζωῆς αὐτου ϟζ΄. Καὶ μετὰ τὴν αὐτοῦ τελευτὴν χειροτονεῖται παρὰ τῶν ὀρθοδόξων ὁ ὁμολογητὴς Παῦλος, κατὰ τὴν πρόρρησιν Μητροφάνους, τοῦ βασιλέως ἐν Ἀντιοχείᾳ διάγοντος· ἀλλ' ἐκεῖθεν ὑποστρέψας Κωνστάντιος, Παῦλον μὲν ὡς ὀρθόδοξον κατάγει τοῦ θρόνου, τὸν δὲ Νικομηδείας Εὐσέβιον ὡς Ἀρειανὸν τῷ θρόνῳ τῆς Κωνσταντινουπόλεως ἐνιδρύει· τοῦ μέντοι ὁμολογητοῦ Παύλου πρὸς τὸν τῆς Ῥώμης πάπαν Ἰούλιον ἀναδραμόντος καὶ δι αὐτοῦ τὸν οἰκεῖον θρόνον ἀπολαβόντος, καὶ ἐπὶ ἔτη τρία τούτῳ ἐμπρέψαντος, ὑπὸ Κωνσταντίου καὶ αὖθις ἐκβληθέντος καὶ ἐξορισθέντος ἐν Κουκουσῷ, κἀκεῖ πρὸς τῶν Ἀρειανῶν ἀναιρεθέντος, μετὰ θάνατον Εὐσεβίου ὁ πνευματόχος Μακεδόνιος παρὰ τῶν Ἀρειανῶν καὶ τοῦ Κωνσταντίου, καὶ τυραννεῖ τῆς ἐκκλησίας ἔτος ἕν· ὃς δὴ καὶ ἀπονοίᾳ σοβαρευόμενος τὸ ἅγιον σῶμα τοῦ ἰσαποστόλου Κωνσταντίνου ἀπὸ τοῦ τῶν Ἀποστόλων θείου ναοῦ ἐπὶ τὸν τοῦ μάρτυρος Ἀκακίου μετατίθησι, καὶ τοῦτο ἤρκεσεν αὐτῷ εἰς τὸ τὸν βασιλέα κατ' αὐτοῦ κινηθῆναι· ὅθεν καὶ τὴν Πόλιν καταλαβών, τοῦ θρόνου τοῦτον καταβιβάζει καὶ παραπέμπει τῇ ἐξορίᾳ, καὶ Εὐδόξιον τὸν Ἀρειανὸν ἀντ' αὐτοῦ Κωνσταντινουπόλεως πατριάρχην χειροτονεῖ, ὃς καὶ ἐπεσκόπησεν ἔτη δέκα.

Οὐ μὴν ἀλλὰ καὶ τὸν μέγαν Ἀθανάσιον, τὸν τῆς ὀρθοδοξίας ὑπέρμαχον καὶ διδάσκαλον, πολλάκις ἐξώθησε τῆς ἐκκλησίας καὶ ἐξορίᾳ παρέπεμψεν· ἀλλὰ καὶ τὸν ἅγιον Εὐστάθιον πατριάρχην Ἀντιοχείας, τὸν ἐν τῇ ἁγίᾳ συνόδῳ καθελόντα τὸν Ἄ-
19ʳ ρειον καὶ κηρύξαντα τὸ ὁμοούσιον δι Εὐσεβίου τοῦ ἀνοσίως ἐπισκοπήσαντος τῆς ἐκκλησίας ἐξήγαγε, καὶ πάσας τὰς τοῦ θεοῦ ἐκκλησίας τοῖς ἐχθροῖς τοῦ υἱοῦ θεοῦ παρέδωκεν.

Οὗτος ὁ Κωνστάντιος καὶ τὰ τῶν πανευφήμων ἀποστόλων ἁγίων λείψανα Ἀνδρέου τοῦ Πρωτοκλήτου καὶ Λουκᾶ τοῦ Εὐαγγελιστοῦ ἀπὸ Ἀχαΐας διὰ τοῦ μεγαλομάρτυρος Ἀρτεμίου ἀνακομίζει καὶ ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων ἐντίμως κατατίθησιν. Ἐπεὶ δὲ ἡ γυνὴ τούτου Εὐσεβία παῖδα τούτῳ οὐκ ἔτικτεν, εἰσποιεῖ τὸν ἐξάδελφον αὐτοῦ Γάλλον, καὶ καίσαρα προχειρισάμενος ἐκπέμπει τὰ περὶ τὴν Ῥώμην καὶ τὰς Γαλλίας διοικεῖν· τούτου δὲ δολοφονηθέντος ἐκεῖσε, ταῖς τῆς γυναικὸς ὑποθήκαις τὸν Ἰουλιανὸν κατέστησε καίσαρα, συζεύξας αὐτῷ τὴν ἑαυτοῦ ἀδελφὴν Ἑλένην, καὶ πρὸς Ἰταλίαν ἐκπέμπει, αὐτὸς δὲ εἰς Ἀντιόχειαν ὥρμησεν· ἔνθα δὴ καὶ πυθόμενος τόν τε χριστιανισμὸν ἐξομόσασθαι τὸν Ἰουλιανὸν, καὶ βασιλέα ἑαυτὸν ἀνειπεῖν, καὶ τυραννικῶς χρῆσθαι τοῖς πράγμασιν, καὶ μέλλειν ὅσον οὔπω κατ' αὐτοῦ ἐκστρατεύειν, τάχει πολλῷ καὶ ἀσχέτῳ θυμῷ τῆς Ἀντιοχείας ἀπάρας πρὸς τὴν Κωνσταντινούπολιν ἔσπευδε· φθάσας δὲ ἐν Μόψου κρήναις, ἀπέχει δὲ ἡ πόλις αὕτη τῆς Ταρσοῦ μίαν μονὴν, νόσῳ κατασχεθεὶς, ἐκεῖ θνήσκει, μέγα ἐπιβοῶν καὶ ἑαυτοῦ καταγινώσκων ἐπὶ τοῖς τρισὶ τούτοις, τῷ τοῦ γένους φόνῳ, τῇ τοῦ ἀποστάτου ἀναρρήσει, καὶ τῇ καινοτομίᾳ τῆς πίστεως. Θνήσκει δὲ ὢν ἐτῶν τεσσαράκοντα, μηνὶ νοεμβρίῳ τρίτῃ, καὶ ἐτάφη ἐν τῷ τῶν Ἀποστόλων ναῷ ἐν τῷ ἡρῴῳ ἐν λάρνακι λίθου Ῥωμαίου.

Ἰουλιανὸς ὁ Παραβάτης, ἔτη β'. μῆνας ἕξ· οὗτος ὁ μιαρώτατος ἐκ νέου εὐσεβείᾳ ἐντραφεὶς καὶ θείοις παιδευθεὶς λόγοις, ὡς καὶ κληρικὸς χρηματίσαι τῆς Νικομηδέων μητροπόλεως, καὶ ἐν αὐτῇ τὰς θείας ὑπαναγινώσκειν βίβλους, ἐπιθυμῶν δὲ τῆς βασιλείας γενέσθαι ἐγκρατὴς, εὗρε τοὺς αὐτὸν ἀπατήσαντας, καὶ τὸ θεῖον βάπτισμα αἵματι ἀνθρωπίνῳ ἀπολουσάμενος, λαμβάνει σύνοικον ἑαυτῷ τὸν διάβολον, καὶ φανερῶς ἑλληνίσας μετὰ τὴν βασιλείαν πάντας ὑπερήλασε τοὺς πρὸ αὐτοῦ τυράννους καὶ δυσσεβεῖς τῇ ἀπανθρωπίᾳ καὶ τῇ ὠμότητι, καὶ πολλοὺς

ἀπέδειξε μάρτυρας μὴ πεισθέντας συνθέσθαι τῇ ἀσεβείᾳ αὐτοῦ, μεθ' ὧν καὶ τὸν μέγαν ἐν τοῖς Χριστοῦ μάρτυσιν Ἀρτέμιον· ἀλλὰ καὶ πολλὰ δυσχερῆ τὴν Ῥωμαίων ἐπικράτειαν εὗρε πᾶσαν ἐν ταῖς ἡμέραις αὐτοῦ· καὶ ὁ θεὸς οἰκτειρήσας τὸν λαὸν αὐτοῦ ἐν τῷ πρὸς Πέρσας πολέμῳ πληγῇ ἀοράτῳ ἀναιρεῖ τοῦτον, ζήσαντα ἔτη τριακονταέν. Ἀνηνέχθη δὲ καὶ τὸ τούτου σῶμα καὶ ἐτέθη ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων ἐν τῷ ἀρκτῴῳ μέρει ἐν ἡρῴῳ ἰδίῳ, ἐν τάφῳ πορφυρῷ κυλινδροειδεῖ.

Ἰοβιανός, υἱὸς Βαρωνιανοῦ, μῆνας θ'. οὗτος χιλίαρχος ὤν, ὅτε Ἰουλιανὸς ἐξ ἀνθρώπων ἐγεγόνει, κἀν τῷ πολέμῳ εὑρεθείς, αὐτῇ τῇ ἡμέρᾳ παρὰ παντὸς τοῦ στρατοπέδου ἀναγορεύεται βασιλεύς· χριστιανὸς δὲ ὑπάρχων ὀρθοδοξότατος, μεγάλῃ τῇ φωνῇ ἐξεβόησεν: Εἰ θέλετέ με βασιλεύειν ὑμῶν, θέλω καὶ αὐτὸς ὑμᾶς πάντας χριστιανοὺς εἶναι, καὶ τὴν ἐν Νικαίᾳ κυρωθεῖσαν πίστιν κρατεῖν. Καὶ πάντες συνέθεντο, καὶ τοῦτον εὐφήμησαν. Ὁ δὲ εὐθὺς εἰρηνεύσας μετὰ τοῦ βασιλέως Περσῶν καὶ ἐξελθὼν ἀπὸ τῶν Περσικῶν ὁρίων, τοὺς ὀρθοδόξους ἐπισκόπους πάντας διὰ θείας αὐτοῦ κελεύσεως εἰς τοὺς ἰδίους θρόνους ἐντίμως ἀποκατέστησε· καὶ πρὸ τῶν ἄλλων τὸν πάμμεγαν Ἀθανάσιον ὡς τῆς ὀρθοδοξίας ὑπέρμαχον, ἀλλὰ καὶ στρατηγοὺς καὶ ἄρχοντας κατὰ πᾶσαν ἐπαρχίαν χριστιανοὺς ἐξαπέστειλεν· οὗτος εἶχε γυναῖκα, Χαριτώ, ἥτις στεφθῆναι οὐκ ἔφθασεν. ὁ γὰρ βασιλεὺς διὰ τοῦ χειμῶνος ἐν Ἀγκύρᾳ φθάσας τῆς Γαλατίας νόσῳ αἰφνιδίῳ συσχεθείς, θνήσκει, ὥς φασι, μύκητα πεφαρμαγμένον φαγών, ἦν δὲ ἐτῶν ξ'. καὶ ἐτέθη τὸ σῶμα
20. αὐτοῦ ἐν τῇ στοᾷ τῶν ἁγίων Ἀποστόλων, ἐν λάρνακι πορφυρᾷ | ἰσομεγέθει τοῦ μεγάλου Κωνσταντίνου, ἐν ᾗ μετὰ ταῦτα ἐτέθη καὶ ἡ γυνὴ αὐτοῦ Χαριτώ.

Οὐαλεντινιανὸς ὁ μέγας, ἔτη ιά. μετὰ γὰρ θάνατον τοῦ Ἰοβιανοῦ, πάντων βουλομένων τὸν ἔπαρχον Σαλούστιον προστήσασθαι βασιλέα, ἐκεῖνος οὐ δύνασθαι εἶπε διὰ γῆρας ἀρκεῖν

πρὸς τὰ πράγματα· αἰτησαμένων δὲ πάλιν τὸν τούτου υἱὸν, οὐδὲ ἐν τούτῳ κατένευσεν, εἰπὼν νέον τε εἶναι τοῦτον καὶ πρὸς τηλικαύτης ἀρχῆς ὄγκον ἀνεπιτήδειον· τότε Σαλούστιος μετὰ πάντων ψηφίζεται εἰς βασιλέα τὸν Οὐαλεντινιανὸν, ὃν Ἰουλιανὸς χριστιανὸν ἐξώρισεν, ὕστερον δὲ τριβοῦνον ἀριθμοῦ ποιήσας ἐν Σηλυβρίᾳ ἀπέστειλεν. Οὗτος ἐκ Κιβάλας ὥρμητο Παιονίας, οὐκ ἀνδρείᾳ μόνον, ἀλλὰ καὶ φρονήσει, σωφροσύνῃ τε καὶ δικαιοσύνῃ ταῖς γενικαῖς ἀρεταῖς πυκαζόμενος, καὶ μεγέθει σώματος διαπρέπων· τοῦτον εἰς τὸ μέσον στήσαντες, ἔφησαν ἅπαντες, οὐδεὶς ποιεῖ βασιλέα Ρωμαίων ὡς οὗτος ὁ ἄνθρωπος· καὶ ἀνηγόρευσαν αὐτὸν ἅπαν τὸ πλῆθος ἐν Νικαίᾳ· ὁ δὲ, βασιλεὺς ἤδη γεγονὼς, τὸν ἔπαρχον Σαλούστιον παραλύει, κελεύσας τοὺς παρ' αὐτοῦ ἀδικηθέντας προσελθεῖν αὐτῷ καὶ ἐγκαλεῖν, καὶ οὐχ εὑρέθη οὐδὲ εἷς· ἦν γὰρ δίκαιος ὁ ἀνὴρ. Πολλοὺς δὲ τῶν ἀρχόντων ἄλλους ἀδικητὰς ἀπελεγχθέντας ὁ βασιλεὺς ἐτιμωρήσατο. Τὸν δὲ ἴδιον ἀδελφὸν Οὐάλεντα κοινωνὸν εἵλετο τῆς βασιλείας, καὶ παραδοὺς αὐτῷ πάντα τὰ τῆς ἑῴας, αὐτὸς ἐπὶ τὰ ἑσπέρια ἐπορεύθη καὶ διῆγεν ἐκεῖ· ἀνηγόρευσε δὲ καὶ τὸν υἱὸν αὐτοῦ Γρατιανὸν, ὃν ἐγέννησε πρὸ τῆς βασιλείας ἀπὸ Σεβήρας τῆς γαμετῆς· καὶ μετὰ τὸ βασιλεῦσαι ἔγημε καὶ Ἰουστίναν, ζώσης τῆς Σεβήρας, καὶ ἔτεκε καὶ ἡ Ἰουστίνα υἱὸν, τὸν νέον Οὐαλεντινιανὸν, καὶ θυγατέρας τρεῖς, Ἰούσταν, Γράταν καὶ Γάλλαν. Οὗτος ὁ μέγας Οὐαλεντινιανὸς καὶ τὸν ἀγωγὸν τοῦ ὕδατος ᾠκοδόμησε καὶ τὸ ὕδωρ εἰς Κωνσταντινούπολιν εἰσήγαγε. Τούτου τῷ πέμπτῳ τῆς βασιλείας ἔτει τελευτήσαντος Εὐδοξίου, ἀνάγεται εἰς τὸν πατριαρχικὸν θρόνον Δημόφιλος Ἀρειανὸς παρὰ Οὐάλεντος, τῆς αὐτοῦ αἱρέσεως ὄντος καὶ τούτου, καὶ κρατεῖ τῆς ἐκκλησίας ἔτη δώδεκα. Οὐαλεντινιανὸς δὲ ὁ βασιλεὺς εἰς τὰ δυτικὰ μέρη διάγων, καὶ ἐν Μεδιολάνοις γενόμενος, ἐπίσκοπον προχειρισθῆναι ἐκ παρακλήσεως τοῦ κλήρου καὶ τοῦ λαοῦ προετρέψατο τὸν τῆς αὐτῆς πόλεως ἔπαρχον, ἅγιον Ἀμβρόσιον·

ἀκούσας δὲ περὶ τοῦ ἀδελφοῦ Οὐάλεντος ὡς ὑπέρμαχος γεγονὼς τῆς τοῦ Ἀρείου αἱρέσεως μάχεται ταῖς ἐκκλησίαις τῶν ὀρθοδόξων καὶ πᾶσαν τὴν ἑῴαν συνέχεε, διὰ γραμμάτων ὀνειδίζει καὶ παραινεῖ ἀποστῆναι τῆς αἱρέσεως· ὁ δὲ τῇ συμβουλῇ τοῦ ἀδελφοῦ οὐκ ἐπείθετο, ἀλλὰ κατὰ τῶν ὀρθοδόξων πλέον ἐξηγριοῦτο. Καί ποτε γυνή τις αὐτῷ τῷ μεγάλῳ Οὐαλεντιανῷ, Βερονίκη τοὔνομα, προσελθοῦσα κατὰ τοῦ πραιποσίτου Ροδανοῦ ἐνεκάλει, πλουσίου σφόδρα καὶ μεγάλα τότε δυναμένου παρὰ τῷ βασιλεῖ, λέγουσα διαρπαγῆναι παρ' αὐτοῦ τὴν περιουσίαν αὐτῆς· τοῦ δὲ δικαιοτάτου βασιλέως κελεύσαντος Σαλουστίῳ τὰ τοῦ πράγματος ἐρευνῆσαι, καὶ παρ' ἐκείνου μαθόντος ἀδικηθῆναι τὰ μέγιστα τὴν γυναῖκα, κελεύεται ὁ πραιπόσιτος ἀποδοῦναι τῇ γυναικὶ τὰ ἀφαιρεθέντα· ὁ δὲ τῇ πρὸς τὸν βασιλέα πεποιθὼς παρρησίᾳ καὶ ὑπὸ τῆς πλεονεξίας συνεχόμενος τῶν ὁρισθέντων ὡς μηδὲ λελεγμένων ἠμέλησεν. Ἡ δὲ ἀδικουμένη γυνὴ ἱπποδρομίου τελουμένου ἄδειαν εὑροῦσα, προσῆλθε πάλιν τῷ βασιλεῖ, καὶ μετὰ δακρύων ἐξετραγῴδει τὴν ἀδικίαν· καὶ ὁ βασιλεὺς ἐκπλαγεὶς ἐπὶ τῇ τοῦ πραιποσίτου παρακοῇ, ἠρώτα τοῦτον ἐκεῖ παρεστῶτα μετὰ πάσης τῆς συγκλήτου, εἰ μὴ τὰ κελευσθέντα πεπλήρωκε· καὶ μαθὼν τὴν ἀλήθειαν, παρευθὺ προστάσσει καὶ ἀπογυμνοῦσι τοῦτον τοῦ ἀξιώματος, καὶ κατενεχθέντος ἐπὶ τοῦ ἱπποδρομίου γυμνοῦ καὶ δεδεμένου τὴν εἰς τὴν γυναῖκα ἀδικίαν παρ' αὐτοῦ γενομένην ἐκέλευσεν ἐπὶ πάντων ἐκφωνηθῆναι καὶ τὴν παρακοὴν τῆς τοῦ βασιλέως προστάξεως, καὶ τότε ἐν τῇ σφενδόνῃ πάντων ὁρώντων κατακαυθῆναι· ὃ καὶ γέγονε, καὶ παρεδόθη ὁ πραιπόσιτος τῷ πυρί, ἡ δὲ πᾶσα τούτου περιουσία τῇ χήρᾳ διὰ θείου χρυσοβούλλου ἐδόθη· καὶ εὐφήμησαν πάντες τὸν βασιλέα· ἦν γὰρ ἀπότομος καὶ φοβερὸς τοῖς ἀδικοῦσι, καὶ φόβος αὐτοῦ πολὺς εἶχε τοὺς ἄρχοντας· καὶ ἕτερα δὲ πλεῖστα ὁ βασιλεὺς οὗτος ἐπὶ τοῖς πλεονέκταις καὶ ἀδικηταῖς ἐνεδείξατο· οὐδένα γὰρ τοῦ δικαίου

καὶ τῆς ἀληθείας ποτὲ προετίμησε· θνήσκει δὲ νοσήσας, ὢν ἐτῶν ὀγδοήκοντα τεσσάρων ἐν Γαλλίαις, καὶ μετεκομίσθη τὸ λείψανον αὐτοῦ παρὰ τοῦ μεγάλου Θεοδοσίου καὶ ἐτέθη ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων ἐν τῷ ἡρῴῳ τοῦ μεγάλου Κωνσταντίνου ἐν λάρνακι πορφυρᾷ μετὰ καὶ τῆς γυναικὸς αὐτοῦ Σεβήρας.

Οὐάλης ὁ ἀδελφὸς αὐτοῦ, ἔτη ιγ'. οὗτος εἶχε γυναῖκα βασίλισσαν Δομνίναν, ἀρειανήν, ἧς ταῖς νουθεσίαις καὶ αὐτὸς εἰς τὴν τοιαύτην ἐξετράπη αἵρεσιν, μεθ' ἧς ἔτεκεν υἱὸν, Γαλάτην ὄνομα, καὶ θυγατέρας Ἀναστασίαν καὶ Κρῶσσαν· ἐπὶ τούτου ὁ μέγας θεολόγος Γρηγόριος ἐν Κωνσταντινουπόλει ἐδίδασκε κεκρυμμένος ἐν τῷ ναῷ τῆς ἁγίας Ἀναστασίας· οὗτος γὰρ ὁ ναὸς μόνος ἀνεῖτο τοῖς ὀρθοδόξοις· καὶ πάντα τὸν λαὸν εἰς τὴν ὀρθόδοξον πίστιν μετήγαγε. Τούτῳ τῷ ἀθέῳ βασιλεῖ πρεσβείαν ἀπέστειλαν οἱ ὀρθόδοξοι ἀπὸ Νικομηδείας ἄνδρας ἱερατικοὺς ὀγδοήκοντα, οὓς πάντας σὺν τῷ πλοίῳ πυρὶ καυθῆναι ἐκέλευσε, καὶ κατεφλέχθησαν μέσον τῆς θαλάσσης ἄχρι τοῦ Ἐμπορίου Δακιβύζης τοῦ πλοίου διαρκέσαντος· καὶ τοὺς τῶν ἐκκλησιῶν ὀρθοδόξους ἱεράρχας ἀπὸ πασῶν ἐξελάσας, τὰς τούτων ἐκκλησίας τοῖς Ἀρειανοῖς παραδέδωκεν. Ἦλθε δὲ καὶ εἰς τὴν Καππαδοκίας Καισάρειαν πρὸς τὸ ἑλκύσαι πρὸς τὸ αὐτοῦ θέλημα τὸν μέγαν Βασίλειον, τὸν Καισαρείας θρόνον τότε διέποντα, ἀλλ' ᾔσθετο ὁ ἄθλιος τότε πρῶτον ἐντυχὼν ἐπισκόπῳ· ὅτε καὶ τὰ ἐν τῷ ἐπιταφίῳ αὐτοῦ τοῦ οὐρανοφάντορος τῷ παρὰ τοῦ Θεολόγου ῥηθέντι περὶ αὐτοῦ γραφόμενα ἐπράχθησαν, καὶ τὰ κατὰ τὸν υἱὸν τοῦ βασιλέως Γαλάτην.

Τούτῳ τῷ Οὐάλεντι ἐξερχομένῳ εἰς τὸν κατὰ τῶν Γότθων πόλεμον Ἰσάκιος προσελθὼν μοναχὸς, ἀνὴρ προφητικῷ χαρίσματι διαλάμπων, ἄρτι ἐκ τῆς ἐρήμου πρὸς τὴν Κωνσταντινούπολιν οὐκ ἀθεεὶ ἐπιδεδημηκὼς, τὸν χαλινὸν τοῦ βασιλικοῦ ἵππου ἐπικρατήσας, ἔφη, Ποῦ ἀπέρχῃ, βασιλεῦ, κατὰ θεοῦ στρατευό-

μενος; Τοῦ δὲ βασιλέως, εἰς τὸν παρὰ τῶν Γότθων ἀποκριθέντος πόλεμον· ἀλλ' οὐκ ἄν, εἴρηκεν ὁ μέγας Ἰσαάκιος, ἐκεῖθεν ἐπανήξῃς, εἰ μὴ τὰς ἐκκλησίας τοῦ θεοῦ τοῖς ὀρθοδόξοις ἀποδώσεις. Ὁ δὲ Οὐάλης εἰς ὀργὴν ἐξαφθείς, κελεύει φρουρᾷ τὸν ἅγιον παραδοθῆναι ἕως τῆς αὐτοῦ ὑποστροφῆς. Ὁ δὲ ἅγιος ἔφη αὐτῷ, Ἐὰν σὺ ὑποστρέψῃς, ἐμοὶ λοιπὸν οὐκ ἐλάληκεν ὁ θεός. Ἀπελθὼν δὲ καὶ συμμίξας τοῖς πολεμίοις, ἡττᾶται, καὶ φεύγει ἐν ἀχυρῶνι, κακεῖ κατακαίεται καὶ ἐκτεφροῦται ὑπὸ πυρός· ὅπερ ὁ θεῖος Ἰσαάκιος ἐγκεκλεισμένος ὢν φρουρᾷ ἐν Κωνσταντινουπόλει τοῖς παροῦσιν ἀνεῖπεν, αἰσθόμενος τῆς τοῦ πυρὸς δυσωδίας τῷ τῆς ψυχῆς καθαρῷ, ἀναβοήσας, ὁ ἄθλιος Οὐάλης ἄρτι κατακαίεται. Οὗπερ ἐξ ἀνθρώπων γεγενημένου τρόπον ὃν εἴρηται, ἡ πᾶσα βασιλεία εἰς Γρατιανὸν τὸν ἀνεψιὸν καὶ τὸν τούτου ἀδελφὸν, τὸν νέον Οὐαλεντινιανὸν περιΐσταται.

Γρατιανὸς υἱὸς Οὐαλεντινιανοῦ, μετὰ Οὐάλην μόνος σὺν τῷ ἀδελφῷ Οὐαλεντινιανῷ νέῳ, ἔτη ἕξ· οὗτος τῆς πατρικῆς πίστεως ζηλωτὴς γεγονὼς, νόμον ἔγραψε τοὺς ἐξελθόντας τῆς εὐσεβείας χάριν ποιμένας εἰς τὰς λαχούσας αὐτοῖς ἐπανασωθῆναι· ἀλλὰ καὶ τῷ πατραδέλφῳ βασιλεῖ Οὐάλεντι αἰτησαμένῳ συμμαχίαν κατὰ τῶν Γότθων οὐκ ἔδωκε, γράψας πρὸς αὐτὸν, Οὐ χρὴ συμμαχεῖν τῷ ἐχθρῷ τοῦ θεοῦ. Οὗτος τῷ τρίτῳ ἔτει τῆς αὐτοῦ βασιλείας ὁρῶν τὴν Θρᾳκῶν ὑπὸ Γότθων ληϊζομένην, καὶ πεφυσιωμένον τὸ τῶν βαρβάρων ἔθνος τῇ νίκῃ καὶ δυσμαχώτατον, μὴ συνορῶν τινα τῶν αὐτοῦ ἕτερον γενναῖον πρὸς τὴν τούτων ἀντιπαράταξιν, μετακαλεῖται τὸν ἐξ Ἱσπανίας Θεοδόσιον καὶ στρατηγὸν τοῦτον προχειρισάμενος, μετὰ τῆς οὔσης στρατιᾶς πρὸς τὸν κατὰ τῶν βαρβάρων ἐκπέμπει πόλεμον. Ὁ δὲ Θεοδόσιος τῇ πίστει τῆς ὀρθοδοξίας τεθαρρηκώς, ὥρμησε πρὸς τοὺς πολεμίους καὶ συμβαλὼν αὐτοῖς ἄπειρον κατασφάττει πλῆθος, καὶ οἱ περιλειφθέντες εὐθέως ἔφυγον, καὶ τῇ ἀσυντάκτῳ αὐτῶν φυγῇ ὑπ' ἀλλήλων οἱ πλείο-

νες κατεπατήθησαν καὶ ἀπώλοντο· οὕτω δὲ κατὰ κράτος τούτους νικήσας, τὴν στρατιὰν ἐκεῖσε καταλιπὼν, αὐτὸς πρὸς Γρατιανὸν ἐν Παιονίᾳ διατρίβοντα τῶν οἰκείων τροπαίων ἐλήλυθεν ἄγγελος· ὁ δὲ θαυμάζων, οὐδὲ πιστεύειν εἶχε καθαρῶς τῇ ἀνδραγαθίᾳ |· ἀλλὰ καί τινες τῆς συγκλήτου φθόνῳ φερόμενοι, πεφ. φευγέναι μᾶλλον αὐτὸν διεβεβαιοῦντο. Τότε ὁ Θεοδόσιος τὸν βασιλέα ᾔτησεν αὐτοὺς ἐκείνους σταλῆναι καὶ γνῶναι τῶν ἀνῃρημένων τὸ πλῆθος· καὶ παρευθὺ τούτους ἀπέστειλεν ἰδεῖν εἰ ταῖς ἀληθείαις οὕτως ἔχει τὰ πράγματα. Ὁ δὲ θεῖος Θεοδόσιος τῇ νυκτὶ ἐκείνῃ κατ' ὄναρ βλέπει τὸν θεῖον Μελέτιον τὸν πατριάρχην Ἀντιοχείας χλαμύδα βασιλικὴν αὐτῷ ἐπιτιθέντα, καὶ στέφανον περὶ τὴν κεφαλὴν αὐτοῦ· ὅ καί τινι τῶν οἰκειοτάτων ἅμα πρωῒ ἐπειπὼν, ἀκούει παρ' αὐτοῦ ἀληθὲς εἶναι τὸ ὅραμα. Ἐντὸς δὲ ἡμερῶν ὀλίγων τῶν τῆς Θράκης ἐλθόντων ἐφόρων καὶ τῷ βασιλεῖ ἀπαγγειλάντων ὅσας μυριάδας ἀνεῖλεν ὁ Θεοδόσιος, κατεπλάγη τε ὡς εἰκὸς ὁ βασιλεὺς καὶ διὰ θαύματος ἐποιεῖτο τὸν Θεοδόσιον· συμβαλὼν δὲ μὴ ἀθεεὶ τοῦτο γενέσθαι, καὶ ἑαυτὸν μὴ ἐπαρκοῦντα πρὸς τὴν τοσαύτην τῶν πραγμάτων ὁρῶν οἰκονομίαν, κοινωνὸν λαμβάνει τῆς βασιλείας τὸν Θεοδόσιον, καὶ εὐθέως βασιλέα τοῦτον χειροτονεῖ Κωνσταντινουπόλεως καὶ πάσης τῆς ἕω, αὐτὸς δὲ ἐπὶ τὰς Γαλλίας ἐχώρει. Τούτου γυνὴ βασίλισσα Λαΐτα, καὶ θυγάτηρ Πλακίδα. Τοσοῦτον δέ φασι τοῦτον εὐστόχως τοξεύειν, ὡς ᾄδεσθαι παρὰ πάντων τὰ Γρατιανοῦ βέλη φρένας ἔχειν.

Θεοδόσιος ὁ μέγας, ἔτη ιϛ'. Οὗτος ὁ θειότατος βασιλεὺς ὀρθοδοξότατος ὢν ὅτε τὸ πρῶτον εἰς Κωνσταντινούπολιν εἰσῆλθε, παραυτὰ δηλοῖ τῷ τῶν Ἀρειανῶν πατριάρχῃ Δημοφίλῳ, ἢ τῆς Ἀρείου πλάνης ἀποστῆναι, ἢ τῆς ἐκκλησίας τάχιον ἐξελθεῖν. Ὁ δὲ τὸ πλῆθος τῶν ἀρειανιζόντων ἐπισυνάξας, ἔξω τῆς πόλεως μετ' αὐτῶν συνδιῆγεν, ἔχων καὶ τὸν Ἀλέξανδρον Λούκιον σὺν αὐτῷ. Καὶ οὕτω λοιπὸν ὁ Θεολόγος θεῖος Γρη-

γόριος παρρησίᾳ τὰς ἐκκλησίας παραλαβὼν ἐδίδασκε τὴν ὀρθοδοξίαν, καὶ παρὰ τοῦ βασιλέως Θεοδοσίου καὶ ἄκων εἰς τὸν πατριαρχικὸν θρόνον ἀναβιβάζεται, καὶ κρατεῖ ἔτη ἕξ. Οἱ δὲ Ἀρειανοὶ ἔτη πεντήκοντα τῶν ἐκκλησιῶν κρατήσαντες, τότε βασιλικῇ κελεύσει διώκονται. Θεοδόσιος δὲ ὁ βασιλεὺς ἐν Θεσσαλονίκῃ νόσῳ περιπεσὼν ὑπὸ Ἀχολίου ἐπισκόπου βαπτίζεται, καὶ νόμον ἐκτίθησι πρεσβεύοντα τὸ τῆς ἁγίας Τριάδος ὁμοούσιον, καὶ κελεύοντα τοὺς ἁπανταχοῦ εὑρισκομένους τῶν εἰδώλων ναοὺς ἕως τῶν θεμελίων ἐδαφίζεσθαι· ὁ γὰρ μέγας Κωνσταντῖνος κλεισθῆναι τούτους ἐκέλευσεν, Ἰουλιανὸς δὲ ὁ Παραβάτης ἀνοίξας, μᾶλλον καὶ ἐπεκόσμησεν, ὁ δὲ θεῖος Θεοδόσιος ἐξ αὐτῶν βάθρων κατηρείπωσε καὶ ἠφάνισε.

Τούτου τῷ ἕκτῳ τῆς βασιλείας ἔτει ἡ ἁγία καὶ οἰκουμενικὴ δευτέρα σύνοδος ἐν Κωνσταντινουπόλει συνεκροτήθη τῶν ρν' πατέρων· ἡγοῦντο δὲ ταύτης Δάμασος πάπας Ῥώμης, ὁ Θεολόγος Γρηγόριος Κωνσταντινουπόλεως καὶ Νεκτάριος, Μελέτιος ὁ Ἀντιοχείας, Τιμόθεος Ἀλεξανδρείας, Κύριλλος Ἱεροσολύμων καὶ ὁ Νύσσης Γρηγόριος. Ἦσαν δὲ καὶ ἐκ τῆς τοῦ Μακεδονίου αἱρέσεως ἐπίσκοποι, ὧν ἡγεῖτο Ἐλεύσιος. Διῆλθον δὲ ἀπὸ τῆς πρώτης συνόδου ἕως τῆς δευτέρας ἔτη νς', ἢ ξ' καὶ γ' καθ' ἑτέρους, ἀπὸ δὲ κτίσεως κόσμου ἔτη ͵εωοδ'· ἥτις καὶ ἐκύρωσε καὶ τὸ πνεῦμα τὸ ἅγιον μετὰ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ συμπροσκυνεῖσθαι καὶ συνδοξάζεσθαι, ἀπελέγξασα Μακεδονίου τὴν αἵρεσιν τοῦ ληστρικῶς τὸν πατριαρχικὸν τῆς Κωνσταντινουπόλεως θρόνον ἁρπάσαντος, καὶ μὴ θεὸν εἶναι τὸ πνεῦμα τὸ ἅγιον βλασφημήσαντος· ἐφ' ᾧ καὶ κυρώσασα τὸ τῆς ἐν Νικαίᾳ πρώτης συνόδου ἅγιον σύμβολον, τῶν τιη' ἁγίων πατέρων, προσέθετο καὶ τὸ περὶ τοῦ ἁγίου πνεύματος δόγμα, ὃ καὶ αὐτοὶ τῇ τοῦ ἁγίου πνεύματος χάριτι ἐμπνευσθέντες ἐξεφώνησαν, Καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ κύριον, τὸ ζωοποιὸν, ἕως τέλους. Οὐ μὴν ἀλλὰ καὶ τὴν Ἀπολλιναρίου ἄλλην αἵ-

ρεσιν καὶ βλασφημίαν διήλεγξαν, ὃς ἄνουν ὑπάρχειν καὶ ἄψυχον τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐδογμάτισε σάρκα, ἔμψυχον αὐτὴν καὶ ἔννουν εἶναι θεσπίσασα ταῖς εὐαγγελικαῖς ἐξακολουθοῦσα διαταγαῖς, ὡς ἂν κατὰ πάντα ὁμοουσίου ἡμῖν τοῦ θεοῦ γενομένου χωρὶς ἁμαρτίας, τέλειος γὰρ ἐν θεότητι ὁ Ἐμμανουὴλ, ἵνα καὶ ὅλον ἀναπλάσῃ τὸν ἄνθρωπον δι' ἑαυτοῦ· ἀνεθεμάτισε δὲ Ἀπολινάριον, Εὐνόμιον, Εὐδόξιον, Εὐσέβιον, Ἄρειον, Μακεδόνιον, Εὐζώϊον, Ἀκάκιον, Θέογνιν, Εὐφρόνιον, Δημόφιλον καὶ Σαβέλιον καὶ πάντας τοὺς ὁμόφρονας αὐτῶν.

Γρηγορίῳ δὲ τῷ Θεολόγῳ | τὴν ἐπισκοπὴν Κωνσταντινου- φ. 21ᵛ
πόλεως ἡ σύνοδος ἐπεκύρωσεν, ὡς πολλὰ καμόντι καὶ τῆς λώβης τῶν αἱρέσεων τὴν ἐκκλησίαν ἐλευθερώσαντι· ὁ δ' ἀλλ' ἐπεὶ μὴ ἐπευδοκοῦντας τινὰς τῶν ἐπισκόπων ἐπύθετο, τὸν συντακτήριον ἀναγνοὺς λόγον, ἑκουσίως τοῦ θρόνου ἀνεχώρησε, καὶ χειροτονεῖται παρὰ τῆς συνόδου πατριάρχης Νεκτάριος, συγκλητικὸς ἄρχων τῷ θείῳ τηνικαῦτα βαπτίσματι φωτισθείς· ἔτι γὰρ ἀβάπτιστος ἦν· καὶ κρατεῖ ἔτη ἕξ.

Τότε καὶ ὁ ἅγιος Ἀμφιλόχιος ὁ Ἰκονίου, εἷς ὢν τῆς συνόδου, παρεκάλει τὸν βασιλέα, τοὺς Ἀρειανοὺς ἐκ πασῶν ἐξελασθῆναι τῶν πόλεων· ὁ δὲ ἀπηνεστέραν ὑπολαβὼν τὴν αἴτησιν, οὐχ ὑπήκουσε· καὶ ὁ Ἀμφιλόχιος τότε μὲν ἐσίγησε, σοφώτατα δὲ μετὰ ταῦτα τὸ πρᾶγμα μετέρχεται· ἐλθὼν γὰρ εἰς τὰ βασίλεια, καὶ τὸν υἱὸν Ἀρκάδιον τῷ πατρὶ συνεδριάζοντα θεασάμενος, τῷ μὲν πατρὶ τὴν προσήκουσαν ὡς βασιλεῖ τιμὴν ἀπένειμε, τὸν δὲ υἱὸν οὕτως παρέδραμε· καὶ ὁ βασιλεὺς νομίσας ἐπιλησθῆναι τὸν Ἀμφιλόχιον, τιμῆσαι καὶ τὸν υἱὸν ὡς βασιλέα προσέταξεν· ὁ δὲ, ἀπόχρη, ἔφη, τὴν αὐτῷ προσενεχθεῖσαν τιμὴν, καὶ μὴ ἐπιζητεῖν ἑτέραν τὴν τοῦ υἱοῦ· πρὸς ὃν ὁ βασιλεὺς χαλεπήνας, οἰκείαν ἔλεγε παροινίαν τὴν τοῦ υἱοῦ παρόρασιν. Καὶ ὁ Ἀμφιλόχιος ἐξεβόησεν, Ὁρᾷς, ὦ βασιλεῦ, πῶς οὐ φέρεις τὴν τοῦ υἱοῦ περιφρόνησιν; ἴσθι οὖν

καὶ τὸν θεὸν τοὺς εἰς τὸν υἱὸν αὐτοῦ βλασφημοῦντας βδελύττεσθαι καὶ μισεῖν. Τοῦτο ἀκούσας ὁ βασιλεὺς καὶ θαυμάσας τὸν Ἀμφιλόχιον, νόμον ἔγραψε τοὺς τῶν αἱρετικῶν συλλόγους κωλύοντα.

Ἐπὶ τούτου τοῦ βασιλέως καὶ ἡ ἁγία κεφαλὴ τοῦ Προδρόμου ἐν Κωνσταντινουπόλει ἤχθη, καὶ ἡ ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ἁγίου Παύλου τοῦ ὁμολογητοῦ γέγονε, καὶ κατετέθη ἐν τῷ ναῷ τῷ παρὰ τοῦ Μακεδονίου οἰκοδομηθέντι ἐν τῷ Τρικόγχῳ, τοῦ λαοῦ παντὸς σὺν τῷ βασιλεῖ καὶ τῷ πατριάρχῃ μετὰ λαμπάδων ἀκολουθοῦντος εἰς τιμὴν τοῦ ἁγίου. Τότε καὶ ὁ θρόνος τῆς Κωνσταντινουπόλεως τὸ πρεσβεῖον εἴληφε, καὶ μετὰ τὸν πάπαν Ῥώμης τελεῖν τὸν Κωνσταντινουπόλεως πατριάρχην ὥρισται, καὶ τῶν ἄλλων τοῦτον προτιμᾶσθαι πατριαρχῶν.

Τούτου τοῦ βασιλέως κατελθόντος ἐν Θεσσαλονίκῃ μετὰ τοῦ στρατοῦ, ἐταράχθη ἡ πόλις Θεσσαλονικέων διὰ τὰ μιτάτα, καὶ τὸν μὲν βασιλέα ὕβρισαν, τὸν ὕπαρχον δὲ ἐφόνευσαν· καὶ τοῦ βασιλέως ὑποκριθέντος μακροθυμίαν, καὶ τῆς ταραχῆς κατασιγασθείσης, ἱππικὸν τῇ ἐπαύριον ἐγένετο θέατρον, καὶ τοῦ δήμου παντὸς εἰς τὸ θέατρον συνεληλυθότος, ἐκέλευσεν ὁ βασιλεὺς τῷ στρατῷ τοξεύειν τὸ πλῆθος· καὶ ἀπώλοντο χιλιάδες ιε'. Ἐπεὶ δὲ μετὰ ταῦτα ἐν Μεδιολάνοις ἀπῆλθεν ὁ βασιλεύς, καὶ ὡς ἔθος εἰσελθεῖν εἰς τὴν ἐκκλησίαν ἐβούλετο, ὁ ἐν ἁγίοις Ἀμβρόσιος οὐκ εἴασεν αὐτὸν εἰσελθεῖν εἴσω, ἀλλ' ἔξω ἑστῶτα ἤλεγξεν ἐπὶ τῇ γενομένῃ μιαιφονίᾳ, καὶ οὐ πρότερον ἀφῆκεν αὐτὸν εἰσελθεῖν, καίτοι πολλὰ καὶ πολλάκις ἐπὶ πολλαῖς ἡμέραις δυσωποῦντα, ἕως εἰλικρινῆ τε μετάνοιαν ἐπεδείξατο, καὶ νόμον ἔγραψε τοῖς καταδικαζομένοις ἐπὶ θανάτῳ προθεσμίαν μεσολαβηθῆναι ἡμερῶν τριάκοντα παρακελευόμενον, χάριν ἀκριβοῦς διασκέψεως, τοῦ θυμοῦ λήξαντος, καθὼς ὁ Ἀμβρόσιος ὑπέθετο.

Τότε καὶ ὁ βασιλεὺς Ρώμης Γρατιανὸς ἐδολοφονήθη ὑπὸ Ἀνδραγαθίου τοῦ στρατηγοῦ, καὶ ὁ Μάξιμος ἐτυράννησεν. Ἰουστίνα δὲ ἡ γυνὴ τοῦ μεγάλου Οὐαλεντινιανοῦ, Ἀρειανὴ οὖσα καὶ τὸν υἱὸν Οὐαλεντινιανὸν τῆς αὐτῆς εἶναι παρέπεισεν αἱρέσεως· ἀκούσασα δὲ τὸν τοῦ Γρατιανοῦ φόνον καὶ ὅτι Μάξιμος ἐν τῇ Ρώμῃ ἐτυράννησεν· αὐτὴ γὰρ ἐν Μεδιολάνοις διέτριβεν· εἰς Θεσσαλονίκην ἐκτρέχει μετὰ τῶν τέκνων αὐτῆς καὶ προσπίπτει δεομένη τοῦ βασιλέως Θεοδοσίου εἰς ἐκδίκησιν τοῦ Γρατιανοῦ ἀναστῆναι· ὃ καὶ πεποίηκεν ὁ βασιλεύς· καὶ ἀνελθὼν ἐν Ρώμῃ αὐτόν τε τὸν Μάξιμον καὶ τοὺς φονεῖς ἅπαντας κτείνει, καὶ τὴν βασιλείαν τῷ Οὐαλεντνιανῷ ἀποδίδωσι, καὶ λαμβάνει τὴν αὐτοῦ ἀδελφὴν Γάλβαν εἰς γυναῖκα, ἁλοὺς ἔρωτι τοῦ κάλλους αὐτῆς.

Ἀλλὰ τοῦ βασιλέως εἰς Κωνσταντινούπολιν ὑποστρέψαντος, Εὐγένιός τις ἐν Ρώμῃ ἐτυράννησε|, βασιλικὸν διάδημα πε-φ. ριθέμενος· ὅπερ ἀκούσας Οὐαλεντινιανὸς, ἀφρόνως ἑαυτὸν ἀπηγχόνησε. Καὶ ὁ βασιλεὺς Θεοδόσιος τὰ ἐκεῖσε πάλιν καταλαβὼν, τόν τε τύραννον ἀναιρεῖ, καὶ τὸν ἴδιον υἱὸν Ὀνώριον βασιλέα χειροτονεῖ Ρώμης, συζεύξας αὐτῷ εἰς γυναῖκα Πλακιδίαν τὴν θυγατέρα Γρατιανοῦ.

Οὗτος ὁ βασιλεὺς εἶχε γυναῖκα βασίλισσαν τὴν μακαρίαν Πλακίλλαν, ἧς τὴν ὀρθόδοξον πίστιν καὶ τὰς πολλὰς ἐλεημοσύνας καὶ τὸ τῆς ταπεινώσεως μέγεθος καὶ τὰς ἄλλας ἀρετὰς τίς ἂν ἀξίως καὶ διηγήσαιτο· αὐτὴ γὰρ δι' ἑαυτῆς ἡ βασίλισσα διηκόνει τοῖς πένησι καὶ λωβοῖς ἐν πάσαις ταῖς χρείαις αὐτῶν· ἀλλὰ καὶ τῷ ἀνδρὶ καθ' ἑκάστην εἰώθει λέγειν, χρή σε, ὦ ἄνερ, ἀεὶ μνημονεύειν τίς μὲν ἦς ἄρα τὸ πρότερον, τίς δὲ τυχάνεις τανῦν, καὶ εὐχαριστεῖν τῷ δεδωκότι σοι τὴν τῆς βασιλείας περιωπήν· οὕτω γὰρ ποιῶν, οὐκ ἔσῃ περὶ τὸν εὐεργέτην ἀχάριστος. Ἐξ αὐτῆς οὖν παῖδας ἔσχεν ὁ Θεοδόσιος Ὀνώριον καὶ Ἀρκάδιον, οὓς καὶ τῷ μεγάλῳ ἐν ἁγίοις Ἀρσενίῳ

παιδεύεσθαι παραδέδωκε, βασιλεωπάτορα τιμήσας αὐτὸν, ὃς οὐ μετ' οὐ πολὺ ἐκ θείας φωνῆς πάντα καταλιπὼν φεύγει, καὶ ἐπὶ πεντήκοντα ἔτεσι καταμόνας ἐν τῷ Σιναίῳ ὄρει δουλεύσας θεῷ, ἠξίωται τῆς μετ' ἀγγέλων διαγωγῆς. Πλακίλλα δὲ προτεθνηκυῖα, θάπτεται παρὰ τοῦ βασιλέως λαμπρῶς ἐν τῷ τῶν Ἀποστόλων ναῷ.

Ἐπὶ τούτου τοῦ βασιλέως Πρόκλος τις ἔπαρχος τῆς πόλεως καὶ Τατιανὸς ἔπαρχος τῆς αὐλῆς προβληθέντες ἔστησαν τὸν λίθινον ὀβελίσκον ἐν τῷ ἱππικῷ.

Εἶχε δὲ καὶ θυγατέρα Θεοδόσιος ὁ βασιλεὺς Πλακιδίαν. Οὗτος θνήσκει ἐν Μεδιολάνοις, καὶ ἀνεκομίσθη τὸ λείψανον αὐτοῦ καὶ ἐτέθη ἐν τῷ τῶν ἁγίων Ἀποστόλων ναῷ μετὰ Πλακίλλης τῆς γαμετῆς.

Ἀρκάδιος ὁ υἱὸς αὐτοῦ ἔτη ιδ'. οὗτος ἄγεται γυναῖκα Εὐδοξίαν, θυγατέρα Προμότου μεγάλα δυνηθέντος παρὰ τῷ βασιλεῖ καὶ πατρὶ αὐτοῦ, καὶ ἐξ αὐτῆς τίκτει τὴν μακαριωτάτην Πουλχερίαν, Ἀρκαδίαν, καὶ Μαρίναν καὶ Θεοδόσιον τὸν νέον.

Τούτου τοῦ βασιλέως Ἀρκαδίου ἕκτῳ ἔτει θνήσκει ὁ πατριάρχης Νεκτάριος, καὶ ἀντ' αὐτοῦ χειροτονεῖται ἀπὸ Ἀντιοχείας ἀχθεὶς τῆς μεγάλης, ἐκεῖθεν γὰρ ὥρμητο, Ἰωάννης ὁ οἰκουμενικὸς διδάσκαλος ὁ χρυσορρήμων, καὶ κρατεῖ ἔτη ἕξ· οὗ ταῖς κατὰ τῶν ἀδικούντων καὶ πλεονεκτῶν διδασκαλίαις εἰς ὀργὴν ἐξαφθεῖσα ἡ χρυσομανὴς Εὐδοξία, καὶ μὴ φέρουσα τοὺς ἐλέγχους, ὥσπερ πάλαι ἡ μοιχαλὶς Ἡρωδιὰς τὰς τοῦ Προδρόμου, ἐξωθεῖ τοῦτον τοῦ θρόνου, συνεργὸν εἰς τοῦτο καὶ σύμβουλον εὑροῦσα τὸν Ἀλεξανδρείας Θεόφιλον, ἄνδρα κατὰ τὴν καρδίαν αὐτῆς, καὶ πολλοὺς ἄλλους τῶν ἐπισκόπων καὶ κληρικῶν Κωνσταντινουπόλεως· ἦν δὲ τότε ὅτε ὁ ἅγιος ἐξεβλήθη δωδέκατον ἔτος τῆς βασιλείας Ἀρκαδίου τοῦ ἁπλοϊκοῦ· ὃς καὶ πολλὰ δεινὰ παθὼν ἐν διαφόροις ἐξορίαις, ἐκεῖσε καὶ θνήσκει· καὶ χειροτονεῖται πατριάρχης Κωνσταντινουπόλεως Ἀρσάκιος,

τὸ γεράνδριον, ὁ ἀδελφὸς Νεκταρίου, καὶ κρατεῖ ἔτη δύο· καὶ τούτου τελευτήσαντος, ὁ ἐν ἁγίοις Ἀττικὸς χειροτονεῖται, καὶ κρατεῖ ἔτη εἴκοσιν.

Οὗτος ὁ βασιλεὺς τὸν τοῦ Ξηρολόφου κίονα ἔστησε, καὶ ἄνωθεν τούτου τὸν ἑαυτοῦ ἀνδριάντα. Εὐδοξία δὲ τὸν εἰς τὰ Πιττάκια ἔστησε κίονα. Ἔκτισε δὲ ὁ Ἀρκάδιος καὶ πόλιν ἐν τῇ Θρᾴκῃ, ἣν καὶ Ἀρκαδιούπολιν ὠνόμασε· καὶ τελευτᾷ καταλείψας Θεοδόσιον βασιλέα τὸν υἱὸν αὐτοῦ, κομιδῇ νέον· ἡ δὲ Εὐδοξία προετεθνήκει τοῦ ἀνδρός· καὶ ἐτάφησαν ἀμφότεροι εἰς τὸν τῶν Ἀποστόλων ναόν.

Ὀνώριος δὲ λαμβάνει γυναῖκα τὴν θυγατέρα Στελεχίωνος τοῦ ἐπιτρόπου αὐτοῦ Μαρίαν· τούτῳ γὰρ τὴν φροντίδα ὁ μέγας Θεοδόσιος ἀνέθετο· καὶ τελευτησάσης αὐτῆς, γαμεῖ τὴν μικροτέραν ἀδελφὴν αὐτῆς Θερμαντίαν, θελούσης καὶ τῆς μητρὸς αὐτῆς Σερίνης, καὶ τοῦ πενθεροῦ Στελεχίωνος μὴ παραχωροῦντος διὰ τὸ ἀτελὲς τῆς ἡλικίας τῆς θυγατρός, ἥτις ὡς ἔτι παῖς ἐν τῷ γάμῳ θνήσκει. Ὀνώριος δὲ μισηθεὶς ἀπὸ τῶν δυνατῶν τῆς Ῥώμης, καὶ γνούς τινας κατ' αὐτοῦ βουλευομένους, ὑποχωρεῖ μὲν τῆς Ῥώμης|, ἀπέρχεται δὲ εἰς Ῥάβενναν πόλιν τῆς Ἰταλίας φ. 2 παράλιον, καὶ πέμψας μετακαλεῖται Ἀλλάριχον ἀπὸ Γαλλιῶν ἐπὶ τῷ αἰχμαλωτίσαι τὴν Ῥώμην· ὅς καὶ ἐλθὼν εἰς Ῥώμην, τοῖς μὲν ἐκεῖσε πᾶσιν ἐφιλιώθη, καὶ οὐδένα τῶν πολιτῶν ἔβλαψεν, εἰς δὲ τὰ βασίλεια εἰσελθὼν λαμβάνει πάντα τὰ εὑρεθέντα χρήματα καὶ τὴν ἀδελφὴν Ὀνωρίου Πλακιδίαν, παρθένον οὖσαν, καὶ ὑποστρέφει εἰς Γαλλίας. Κωνστάντιος δέ τις κόμης αὐτοῦ πιστευθεὶς τὴν κόρην εἰς φυλακήν, ἔφυγε λάθρα καὶ πρὸς Ὀνώριον αὐτὴν ἤγαγεν· ὁ δὲ πολλὰ εὐχαριστήσας συγκλητικὸν αὐτὸν ἐποίησεν· ἀνεῖλε δὲ σὺν αὐτῷ τοὺς τέσσαρας τυράννους συγκλητικούς, Ἄταλον, Σεβαστειανὸν, Μάξιμον καὶ Κώνσταν, καὶ δίδωσι Κωνσταντίῳ τὴν ἀδελφὴν αὐτοῦ Πλακιδίαν εἰς γυναῖκα, χειροτονήσας ἀμφοτέρους βασιλεῖς Ῥώμης, ἐξ ὧν ἐτέχθη

παῖς Οὐαλεντινιανός. Καὶ μετ' ὀλίγον ἐφονεύθη Κωνστάντιος, καὶ τυραννήσας Ἰωάννης τις συγκλητικός ἐκράτησε τῆς βασιλείας. Θνήσκει δὲ καὶ Ὀνώριος ἐτῶν τεσσαράκοντα· ἡ δὲ ἀδελφὴ αὐτοῦ Πλακιδία μετὰ Ὀνωρίου καὶ Πλακιδίας τῶν τέκνων διωχθεῖσα παρὰ τοῦ τυραννήσαντος Ἰωάννου, ἦλθεν εἰς Κωνσταντινούπολιν. Θνήσκει δὲ καὶ Ἀρκάδιος, καὶ ἐτέθη ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων.

Θεοδόσιος ὁ Νέος, υἱὸς Ἀρκαδίου, ἔτη μβ'. οὗτος ὁ βασιλεὺς παῖς ὤν, ὀκτὼ γὰρ ἐτῶν ἦν ὅτε ὁ πατὴρ ἐτεθνήκει Ἀρκάδιος, ἀνετρέφετο παρὰ τῆς ἀδελφῆς Πουλχερίας· αὕτη γὰρ μὴ βουληθεῖσα συζευχθῆναι ἀνδρί, ἀλλὰ τὴν παρθενίαν αὐτῆς τῇ Παρθένῳ καὶ Θεοτόκῳ ἀναθεῖσα, πάσαις ἀρετῶν ἰδέαις αὐτή τε διέπρεψε, καὶ τὸν ἀδελφὸν ἐξεπαίδευε, καὶ μᾶλλον ἐν τῇ κατὰ θεὸν εὐσεβείᾳ· ἥτις ἀνῳκοδόμησε καὶ τοὺς περιωνύμους δύο μεγάλους οἴκους τῆς Θεοτόκου, τόν τε ἐν τοῖς Χαλκοπρατίοις καὶ τὸν ἐν ταῖς Βλαχέρναις. Αὕτη ζεύγνυσι τῷ ἀδελφῷ γυναῖκα Εὐδοξίαν τὴν ἐξ Ἀθηνῶν, ἥτις πατέρα εἶχε φιλόσοφον ἐν Ἀθήναις Λεόντιον, ὅς καὶ τελευτῶν ἔγραψεν ἐν διαθήκῃ « καταλιμπάνω πᾶσάν μου τὴν περιουσίαν τοῖς δυσί μου παισίν, Οὐαλερίῳ καὶ Γενεσίῳ, Ἀθηναΐδι δὲ τῇ ποθεινοτάτῃ μου θυγατρί (τοῦτο γὰρ ὄνομα πρῴην τῇ βασιλίδι Εὐδοκίᾳ) βούλομαι δοθῆναι μόνα νομίσματα ἑκατόν· ἀρκεῖ γὰρ αὐτῇ ἡ ἑαυτῆς τύχη ὑπερέχουσα πᾶσαν γυναικείαν τύχην τῶν νῦν. Μετὰ δὲ τὴν τοῦ πατρὸς ἀποβίωσιν, παρεκάλει τοὺς ἀδελφοὺς μὴ προσχεῖν τῇ τοῦ πατρὸς διαθήκῃ, ἀλλ' ἐπιμερισθῆναι τὴν πατρικὴν οὐσίαν ἐπίσης· οἱ δέ, οὐ μόνον τοῖς δάκρυσιν αὐτῆς οὐ προσέσχον, ἀλλὰ καὶ αὐτοῦ τοῦ οἴκου ταύτην ἐξέπεμψαν. Λαβοῦσα δὲ ταύτην ἡ πρὸς πατρὸς (1) αὐτῆς θεία, πρὸς τὴν βασίλιδα πόλιν ἀνέδραμε, καὶ τῇ βασιλίδι Πουλχερίᾳ προσ-

(1) Ἐν περιθεωρίῳ « γράφε, μητρός. »

ελθοῦσα, ἐδέοντο κατὰ τῶν ἀδικησάντων ἀδελφῶν. Ἡ δὲ Πουλχερία ὁρῶσα τὴν νεᾶνιν οὕτως εὐπρεπῆ καὶ ἐλλόγιμον, ἐρωτᾷ τὴν αὐτῆς θείαν, εἰ παρθένος ἡ ἀνεψιά· τῆς δὲ παρθένον εἶναι εἰπούσης καὶ λίαν συνετωτάτην, λαμβάνει ταύτην εἰς τὰ βασίλεια, καὶ βαπτίσασα καὶ μετονομάσασα Εὐδοκίαν, εἰς γάμον ἐκδίδωσι τῷ βασιλεῖ, καὶ Παυλίνου πρὸς τοῦτο συνδεδραμηκότος τὰ ἱκανά, τοῦ φίλου τοῦ βασιλέως. Τοῦτο ἀκούσαντες οἱ τῆς Εὐδοκίας ἀδελφοί, φόβῳ ληφθέντες ἔφυγον· ἡ δὲ ἀποστείλασα ἤγαγεν αὐτοὺς καὶ εἶπεν· εἰ μὴ ὑμεῖς ἠδικήσατέ με, οὐκ ἠναγκαζόμην ἐλθεῖν καὶ βασιλεῦσαι· ἡ γὰρ ἐμὴ ἀγαθὴ τύχη ἐποίησεν ὑμᾶς ἀπειθεῖς εἰς ἐμέ, καὶ οὐχὶ ἡ ὑμετέρα γνώμη. Ὁ δὲ βασιλεὺς τὸν μὲν Γενέσιον ἔπαρχον τοῦ Ἰλλυριῶν ἔθνους, μάγιστρον δὲ τὸν Οὐαλέριον ἐτίμησεν, ὁμοίως καὶ Παυλῖνον ὡς τὰ πρὸς τὸν γάμον συγκροτήσαντα. Ἔτεκεν οὖν ὁ βασιλεὺς μετὰ τῆς Εὐδοκίας θυγατέρα Εὐδοξίαν.

Τότε καὶ ὁ πατριάρχης Ἀττικὸς Ἰουδαῖόν τινα νουθετήσας καὶ πείσας καὶ βαπτίσας, ὄντα παράλυτον, ὑγιῆ ἐκ τῆς κολυμβήθρας ἐξήγαγεν. Οὗτος καὶ τὸ τοῦ Χρυσοστόμου ὄνομα ἐν τοῖς ἱεροῖς διπτύχοις ἐνέταξε. Καὶ τῷ εἰκοστῷ ἔτει τῆς βασιλείας Θεοδοσίου θνήσκει Ἀττικὸς ὁ πατριάρχης, καὶ χειροτονεῖται Σισίνιος, καὶ κρατεῖ ἔτη δύο.

Τῷ δὲ εἰκοστῷ δευτέρῳ ἔτει Θεοδοσίου ἀπολιμπάνει τὸ ζῆν ὁ Σισίνιος, καὶ προβέβληται Νεστόριος ὁ αἱρετικὸς πατριάρχης, καὶ κρατεῖ ἔτη τρία. Καὶ τῷ κε΄ ἔτει τῆς βασιλείας Θεοδοσίου συνέστη ἡ ἐν Ἐφέσῳ τρίτη οἰκουμενικὴ ἁγία σύνοδος], φ. ἔτει ἀπὸ κτίσεως κόσμου ͵εϡιε΄. ἐξῆρχον τῆς συνόδου Κύριλλος Ἀλεξανδρείας, αὐτὸς ἐπέχων καὶ τὸν τόπον Κελεστίνου πάπα Ῥώμης, καὶ ὁ τῶν Ἱεροσολύμων Ἰουβενάλιος, καὶ Μέμνων Ἐφέσου. Οὗτος ὁ Νεστόριος ἅμα τῷ ἐπιβῆναι τοῦ θρόνου ἤρξατο ἐκκαλύπτειν τὴν οἰκείαν κακοπιστίαν καὶ παρρησίᾳ διδάσκειν μὴ ὀνομάζεσθαι Θεοτόκον τὴν ἀειπαρθένον Μαρίαν, ἀλλὰ Χρι-

στοτόκον· ἐβλασφήμει δὲ καὶ εἰς τὴν ἐνανθρώπησιν τοῦ θεοῦ Λόγου, καὶ τὸν ἕνα Χριστὸν εἰς δύο διαιρεῖν ἐτόλμα καὶ κατατέμνειν, καὶ ψιλὸν αὐτὸν ἄνθρωπον ἔλεγε καὶ οὐ θεὸν σεσαρκωμένον, οὐδὲ τὸν λόγον καὶ υἱὸν τοῦ θεοῦ σάρκα ἀτρέπτως γεγενῆσθαι ἔφασκεν, ἀλλ' εἴς τινα ἄνθρωπον ἐνοικῆσαι ὡς εἰς ἕνα τῶν προφητῶν, καὶ ἄλλον μὲν εἶναι τὸν υἱὸν καὶ λόγον, ἄλλον δὲ λέγεσθαι μὲν, μὴ εἶναι δὲ γνήσιον, θετὸν δὲ υἱὸν τὸν λεγόμενον Χριστὸν, ὡς ἐνθένδε δύο υἱοὺς καὶ μὴ ἕνα. Τοιαῦτα τούτου ἐρεσχελοῦντος, πάντες διεταράττοντο. Κύριλλος δὲ ὁ ἁγιώτατος Ἀλεξανδρείας, ὅς μετὰ Θεόφιλον, τὸν πρὸς πατρὸς θεῖον, ἦρξε τῆς ἐκκλησίας, ἀκηκοὼς τῶν τοῦ Νεστορίου βλασφημιῶν, γράφει πρὸς αὐτὸν νουθετῶν καὶ παρακαλῶν ἀποστῆναι τῶν διεστραμμένων δογμάτων, ὡς ἔστι σαφῶς ἐπιγνῶναι ἐκ τῶν πρὸς αὐτὸν ἐπιστολῶν αὐτοῦ. Ὁ δὲ Νεστόριος μᾶλλον ὀργιζόμενος, ὕβρεσιν αὐτὸν διὰ γραμμάτων ἠμείβετο. Τότε ὁ Κύριλλος ἀναδιδάσκει πάντα διὰ γραφῆς τῷ Ῥώμης πάπᾳ Κελεστίνῳ. Κελεστῖνος δὲ δηλοῖ τῷ Νεστορίῳ, ἢ παύσασθαι τῆς βλασφημίας καὶ μετανοῆσαι, ἢ γινώσκειν μὴ εἶναι αὐτοῦ κοινωνόν. Γράφουσι δὲ ὅ τε Ῥώμης Κελεστῖνος καὶ Κύριλλος περὶ τούτων καὶ Ἰωάννῃ τῷ Ἀντιοχείας καὶ τῷ Γεροσολύμων Ἰουβεναλίῳ, καὶ πολλὰ κἀκεῖνοι παραινέσαντες τὸν Νεστόριον διὰ γραμμάτων, οὐκ ἠδυνήθησαν τὸν μιαρὸν τῆς οἰκείας μετακινῆσαι αἱρέσεως. Ἀλλὰ καὶ αὐτὸς πείθει τὸν βασιλέα Θεοδόσιον ἀποστεῖλαι Κυρίλλῳ γραφὴν βασιλικὴν πλήρη ἀπειλῶν καὶ ἀγανακτήσεων, δόξας ἐκ τούτων πτοῆσαι τὸν ἅγιον, ὃ μᾶλλον τοῦτον διήγειρε· δραξάμενος γὰρ ἀφορμῆς τῆς γραφῆς γράφει πρός τε τὸν βασιλέα καὶ τὴν μακαρίαν Πουλχερίαν περὶ τῆς ὀρθῆς πίστεως καὶ τῆς Νεστορίου κακοδοξίας, καὶ αἰτεῖ σύνοδον οἰκουμενικὴν γενέσθαι εἰς τὸ γυμνασθῆναι κανονικῶς τὰ κατὰ Νεστόριον.

Τότε ὁ βασιλεὺς γράφει πᾶσι τοῖς ἐπισκόποις εἰς Ἔφεσον

παραγενέσθαι χωρὶς πάσης ὑπερθέσεως, ὁρίσας ἡμέραν ἐμπρόθεσμον τὴν μετὰ τὸ Πάσχα ἁγίαν Πεντηκοστήν, ὥστε μὴ ἔχειν τινὰ ἀπολογίαν πρὸς τὸν θεὸν τὸν μὴ τὴν αὐτὴν ἡμέραν εὑρεθησόμενον εἰς Ἔφεσον. Ὁ μὲν οὖν τῆς Ῥώμης Κελεστῖνος γράφει Κυρίλλῳ τὸν αὐτοῦ ἀναπληρῶσαι τόπον.

Καὶ συνηθροίσθη ἡ ἁγία σύνοδος τῶν σ ἁγίων πατέρων ἐν Ἐφέσῳ. Ἰωάννης δὲ ὁ Ἀντιοχείας καί τινες τῶν ἀνατολικῶν ἐπισκόπων οὐκ ἀπήντησαν τῇ ὁρισθείσῃ προθεσμίᾳ. Μετὰ δὲ ἡμέρας δεκαὲξ τῆς Πεντηκοστῆς ἔφθασε Νεστόριος μετὰ πολλῆς κοσμικῆς φαντασίας καὶ ἀλαζονείας, καὶ τῇ εἰκοστῇ τοῦ Ἰουνίου μηνὸς ἐκροτήθη ἡ σύνοδος, Νεστορίου καὶ Κυρίλλου καὶ Ἰουβεναλίου τῶν πατριαρχῶν προκαθισθέντων, Κυρίλλου καὶ τὸν τόπον τοῦ Ῥώμης ἐπέχοντος καὶ πάντων τῶν περὶ τῆς ὀρθῆς πίστεως θεολογούντων. Λέγει Νεστόριος· ἐγὼ τὸν γενόμενον διμηνιαῖον καὶ τριμηνιαῖον οὐκ ἂν θεὸν ὀνομάσαιμι, καὶ διὰ τοῦτο καθαρός εἰμι ἀπὸ τοῦ αἵματος ὑμῶν, καὶ ἀπὸ τοῦ νῦν πρὸς ὑμᾶς οὐκ ἐπανέρχομαι. Καὶ ταῦτα εἰπὼν ἐξῆλθε τῆς συνόδου μετά τινων ἓξ ἐπισκόπων ὁμοφρόνων αὐτῷ. Ἡ δὲ ἁγία σύνοδος τρεῖς ἐπισκόπους ἀπέστειλε καλοῦσα αὐτόν· ὁ δὲ οὐχ ὑπήκουσεν· ἀλλὰ δὶς καὶ τρὶς καὶ τετράκις προσκληθεὶς ὑπὸ τῆς συνόδου, οὐ μόνον οὐ παρεγένετο, ἀλλὰ καὶ τοὺς καλέσαντας ὕβρεσι καὶ ἀτιμίαις ἐξεδίωξε. Τότε ἡ σύνοδος ἀπεφήνατο κατ' αὐτοῦ, ἀλλότριον ὁρίσασα εἶναι παντὸς ἱερατικοῦ ἀξιώματος, καὶ ἀπέστειλεν αὐτῷ εἰς πρόσωπον τὴν οἰκείαν καθαίρεσιν· τὴν δὲ ἀειπάρθενον Μαρίαν κυρίως καὶ ἀληθῶς Θεοτόκον ἐτράνωσε, καὶ τὸν ἐξ αὐτῆς ἀσπόρως σαρκωθέντα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν υἱὸν τοῦ θεοῦ καὶ θεοῦ ἀληθινὸν ἐδογμάτισεν, ἀκολούθως τῇ ἐπιστολῇ τοῦ πάπα Ἀλεξανδρείας Κυρίλλου, ἣν πρὸς τὸν αὐτὸν Νεστόριον προαπέστειλεν, ἣν καὶ τότε ἡ πᾶσα σύνοδος ἀναγνοῦσα ἐκύρωσέ τε καὶ ἐπεσφράγισε καὶ ἐν τοῖς ὑπομνήμασι κατέταξεν, ὥσπερ τινα

στήλην ὀρθοδοξίας συνᾴδουσαν τῇ πίστει τῆς ἐν Νικαίᾳ πρώτης συνόδου.

23'. | Εἰς δὲ πλείονα ἔλεγχον τῆς Νεστορίου δυσσεβείας καὶ τρανοτέραν διασάφησιν τῆς περὶ τὸν Χριστὸν ἡμῶν πίστεως καὶ ὁμολογίας, καὶ κεφάλαια δώδεκα ὁ μέγας Κύριλλος συντάξας ἐξέθετο ἐπὶ τῆς συνόδου ταύτης καὶ τῇ ἐκκλησίᾳ παρέδωκεν, ἅπερ ὁ βασιλεὺς Θεοδόσιος ἐπεκύρωσε καὶ ἐκράτυνε. Τούτων οὕτω τελεσθέντων, ἔφθασε καὶ ὁ πατριάρχης Ἀντιοχείας Ἰωάννης μετὰ ἐπισκόπων εἰκοσιὲξ, ἐξ ὧν ἦν καὶ ὁ Κύρου Θεοδώριτος ὁ σοφώτατος, καὶ Ἴβας Ἐδέσης, οἵ καὶ, ὡς τῆς αὐτῶν παρουσίας ἄνευ καθαιρεθέντος τοῦ Νεστορίου, ἀπεσχίσθησαν τῆς συνόδου καὶ μετὰ Νεστορίου συνεδριάσαντες καθεῖλον ὅσον τὸ ἐπ' αὐτοῖς Κύριλλον τὸν ἁγιώτατον καὶ Μέμνονα τῆς Ἐφέσου. Θεοδώριτος δὲ καὶ κατὰ τῶν κεφαλαίων τοῦ ἁγίου Κυρίλλου ἔγραψεν, οὐ καλῶς γεγράφθαι αὐτὰ σοφιζόμενος. Ἀλλ' ὁ μακάριος Κύριλλος ἕτερα συντάξας πάλιν κεφάλαια πρὸς ἑρμηνείαν τῶν προτέρων, πλοῦτον τῇ ἁγίᾳ ἐκκλησίᾳ ἀνέθετο, ἀνακαλύπτων τὸν ἐν αὐτοῖς θησαυρὸν τῆς ὀρθοδοξίας, καὶ τὸν οἰκεῖον τούτοις εὐσεβῆ σκοπὸν πᾶσι ποιῶν φανερόν.

Ἰωάννης δὲ ὁ Ἀντιοχείας ὑπὸ τῆς συνόδου προσκληθεὶς, καὶ μὴ παραγεγονὼς, ἀπόφασιν ἐδέξατο σὺν τοῖς μετ' αὐτοῦ, ἀλλοτριοῦσαν αὐτοὺς πάσης ἐκκλησιαστικῆς κοινωνίας, ἄχρις ἂν ἑαυτῶν καταγνόντες τὸ οἰκεῖον ὁμολογήσουσι σφάλμα. Τούτων δὲ δι' ἀναφορᾶς ἐπιγνωσθέντων τῷ βασιλεῖ, ἐκελεύσθησαν ἐν Κωνσταντινουπολει ἀνελθεῖν ἅπαντες· καὶ συνελθόντων τῇ τοῦ θεοῦ συνεργείᾳ ἐνίκησαν οἱ τῆς συνόδου, καὶ ὁ Νεστόριος καθηρέθη ἐνώπιον τοῦ βασιλέως, καὶ ἀνεθεματίσθη, καὶ ἐξωρίσθη εἰς Ὄασιν τῆς Ἀνατολῆς. Ὕστερον δὲ καὶ ὁ τῆς Ἀντιοχείας Ἰωάννης ἡνώθη τῇ ἐκκλησίᾳ μετὰ τῶν σὺν αὐτῷ, καὶ γράφει Κυρίλλῳ τὴν ἑαυτοῦ ὀρθόδοξον πίστιν, τὴν ἐν Νικαίᾳ

τῶν τιη´ πατέρων ὁμολογίαν καὶ τῶν ρν´ ἐν Κωνσταντινουπόλει, καὶ πρὸς τούτοις τὰ τῶν ἐν Ἐφέσῳ ἀποδεχόμενος. Τότε ὁ τῆς εὐσεβείας πρόμαχος ἅγιος Κύριλλος γράφει πρὸς τὸν Ἀντιοχείας Ἰωάννην καὶ τοὺς ἀνατολικοὺς ἐπισκόπους ὡς συμφρονήσαντας ὀρθοδόξου σοφίας πλήρη ἐπιστολὴν, ἧς ἡ ἀρχὴ, Εὐφραινέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ. Χειροτονεῖται δὲ Μαξιμιανὸς πατριάρχης Κωνσταντινουπόλεως, πρεσβύτερος ὢν τῆς ἁγίας ἐκκλησίας, καὶ κρατεῖ ἔτη δύο.

Ὁ δὲ βασιλεὺς Θεοδόσιος δοὺς τὴν ἑαυτοῦ θυγατέρα Εὐδοξίαν Οὐαλεντινιανῷ τῷ βασιλεῖ Ῥώμης, πρὸς τὰ δυτικὰ ἐξαπέστειλε μέρη, καὶ ἐτέχθησαν αὐτοῖς παῖδες Πλακιδία ἣν πρὸς γάμον ἐξέδωκε τῷ πατρικίῳ Ὀλυβρίῳ, καὶ Εὐδοκία. Τὸν δέ γε τυραννήσαντα ὡς εἰρήκαμεν, Ἰωάννην ἐν Ῥώμῃ, οὗτος ὁ βασιλεὺς Θεοδόσιος κατέστρεψεν Ἄσπαρα τὸν υἱὸν Ἀρδαβουρίου ἐξαποστείλας κατ᾽ αὐτοῦ, καὶ ἀπέκτεινε.

Ἡ δὲ τοῦ Οὐαλεντινιανοῦ γυνὴ Εὐδοξία, χήρα οὖσα, Γιζέριχον τὸν ῥῆγα τῶν ἐν τῇ Ἀφρικῇ Οὐανδήλων προετρέψατο ἀπελθεῖν κατὰ τῆς Ῥώμης· ὃς καὶ ἐξαίφνης ἐπεισπεσὼν, πολλοὺς τῶν ἐν Ῥώμῃ ἐφόνευσε, τὴν πόλιν παραλαβὼν, καὶ συλήσας τά τε βασίλεια καὶ ὅλην τὴν πόλιν, καὶ θησαυρὸν ἄπειρον ἐπισυναγαγὼν, καὶ αἰχμαλώτους λαβὼν τάς τε τῶν πεφονευμένων γυναῖκας καὶ τὰ τέκνα καὶ αὐτὴν τὴν βασίλισσαν Εὐδοξίαν, καὶ τὰς δύο αὐτῆς θυγατέρας, Πλακιδίαν τε καὶ Εὐδοκίαν· ὁ γὰρ Ὀλύβριος τότε ἐν Κωνσταντινουπόλει ἐτύγχανεν ὤν· ἀπήγαγε πάντα εἰς Ἀφρικὴν, ἐν πόλει Καρθαγένῃ, καὶ τῷ ἰδίῳ υἱῷ Ὀνωρίχῳ τὴν Εὐδοκίαν εἰς γυναῖκα ἔζευξεν.

Ἐν τοῖς χρόνοις τοῦ βασιλέως τοῦδε Θεοδοσίου ἐφάνησαν καὶ οἱ ἐν Ἐφέσῳ ἑπτὰ ἅγιοι μάρτυρες, οἵτινες πρὸ χρόνων διακοσίων ὑπὸ Δεκίου διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν βασανισθέντες καὶ μαρτυρήσαντες, προστάξει τοῦ τυράννου ὑφ᾽ ἑνὶ τῶν ὀρέων Μοχλῷ ἐγχωρίως καλουμένῳ ὑπό τι σπήλαιον βαθὺ

καθειρχθέντες, τοῦ στομίου ἀναφραγέντος τείχει ὀχυρωτάτῳ, ἀλώβητοι διετηρήθησαν ὡς ὑπνώττοντες· τότε δὲ τοῦ τείχους καταλυθέντος, ὡς ἐξ ὕπνου ἐξανέστησαν, μηδ' αὐτοὶ τὸ τοῦ θαύματος μυστήριον συνειδότες· οὓς καὶ ὁ βασιλεὺς κατιδὼν, ἐκεῖσε μετὰ τῆς συγκλήτου ἐπιδεδημηκὼς, ὡς διὰ γραφῶν τοῦ ἐπισκόπου καὶ τοῦ ἐπάρχου τὰ περὶ τούτων ἤκουσε, καὶ εὔχεσθαι ὑπὲρ αὐτοῦ παρακλητεύσας, χαίρων καὶ εὐχαριστῶν τῷ θεῷ, εἰς τὴν Κωνσταντινούπολιν πάλιν ὑπέστρεψε. Τούτου τῷ εἰκοστῷ ὀγδόῳ ἔτει ἀπεβίω ὁ πατριάρχης Μαξιμιανὸς, καὶ ἐνθρονίζεται Πρόκλος ὁ τοῦ Χρυσοστόμου μαθητὴς, ὃς ὑπὸ Σισινίου Κυζίκου ἐπίσκοπος χειροτονηθεὶς καὶ μὴ προσδεχθεὶς παρὰ τῶν ἐν Κυζίκῳ, διὰ τὸ ἕτερον ἐπίσκοπον παρ' ἐκείνων
24 προκριθῆναι |, τὸν μεταξὺ χρόνον ἐσχόλαζε. Τότε δὲ ἐνθρονίζεται τῷ θρόνῳ τῆς Κωνσταντινουπόλεως καὶ πατριάρχης παρὰ πάντων ἀναγορεύεται, ὃς καὶ ἀξιοῖ τὸν βασιλέα μετακομισθῆναι τὸ σῶμα τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου, ὃ δὴ καὶ γέγονεν, ἀξιολόγους ἄνδρας σὺν ἐπισκόποις τοῦ βασιλέως ἐξαποστείλαντος, ὅτε καὶ τὸ περὶ τὸν τῆς χήρας ἀμπελῶνα θαῦμα, καὶ τὸν σειόμενον τῆς Εὐδοξίας τάφον, καὶ ἄλλά τα τεράστια ἐτελέσθησαν ὅσα καὶ βίβλοι φέρουσιν.

Ἐπεὶ δὲ καὶ ὁ τρισάγιος ὕμνος προσθήκην τότε ἐδέξατο τὴν, ἅγιος ἀθάνατος ὁ σταυρωθεὶς δι' ἡμᾶς, λιτανευόντων τοῦ πατριάρχου Πρόκλου καὶ πλείστου ὄχλου ἔξω τῆς πόλεως, παιδίον ἡρπάγη ὑπὸ δυνάμεως θείας εἰς τὸν ἀέρα, πάντων ἱσταμένων καὶ τὸ Κύριε ἐλέησον βοώντων περὶ τρίτην τῆς ἡμέρας ὥραν· ὃ δὴ παιδίον αὖθις κατελθὸν, ἔλεγεν ἀκοῦσαι θείας φωνῆς προσταττούσης ἀναγγεῖλαι τῷ ἐπισκόπῳ καὶ τῷ λαῷ, οὕτω λέγειν τὸν τρισάγιον ὕμνον λιτανεύοντας, Ἅγιος ὁ θεὸς, ἅγιος ἰσχυρὸς, ἅγιος ἀθάνατος ἐλέησον ἡμᾶς, μηδὲν ἕτερον προστιθέντας, ὃ καὶ ἐκράτησεν ἐν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ διὰ βασιλικοῦ τύπου καὶ συνοδικῆς διατάξεως.

Οὗτος ὁ βασιλεὺς προεβάλετο ἔπαρχον Κῦρον τὸν φιλόσοφον, ὃς καὶ προστάξει τοῦ βασιλέως, τὸ τεῖχος τῆς Κωνσταντινουπόλεως ἐπηύξησεν ἀπὸ τοῦ Ξηρολόφου, ἀπὸ θαλάσσης ἕως θαλάσσης, ἤγουν ἀπὸ τοῦ Εὐεργέτου ἕως εἰς τὴν Περίβλεπτον· τὸ δὲ τοιοῦτον μέγιστον ἔργον, δι' ἡμερῶν ἑξήκοντα ἐτελείωσεν εἰς ὃ νῦν ὁρᾶται κάλλος καὶ μέγεθος· τούτου τοῦ ἐπάρχου Κύρου ἀνερχομένου ἐν τῷ ἱππικῷ, τοῦ βασιλέως ὁρῶντος, ὁ σύμπας δῆμος ἀνέκραξε, Κωνσταντῖνος ἔκτισε, Κῦρος ἀνεκαίνισεν. Ὅθεν καὶ φθονηθεὶς ὑπὸ τοῦ βασιλέως, γίνεται κληρικὸς καὶ ἐπίσκοπος Κοτυαείου.

Τῷ δὲ λθ' ἔτει τῆς βασιλείας Θεοδοσίου, μεθίσταται πρὸς τὴν ἀγήρω ζωὴν ὁ Πρόκλος, καὶ καθίσταται πατριάρχης Φλαβιανὸς, καὶ κρατεῖ ἔτη β'· τότε καὶ ταῖς ὑποθήκαις Χρυσαφίου τοῦ εὐνούχου, μέγιστα δυναμένου, εἴργεται ἡ μακαρία Πουλχερία παρὰ τοῦ βασιλέως τῆς τῶν πραγμάτων διοικήσεως, ἥτις καὶ τῶν βασιλείων κατελθοῦσα εἰς τὸ Ἕβδομον ἡσύχαζε.

Χρυσάφιος δὲ ὁ εὐνοῦχος, αἱρετικὸς ὢν καὶ φίλος τοῦ ἀρχιμανδρίτου Εὐτυχοῦς καὶ Διοσκόρου Ἀλεξανδρείας, ὁ γὰρ ἅγιος Κύριλλος ἐτεθνήκει, ἔσπευδε πάντα τρόπον τὴν ἐν Ἐφέσῳ σύνοδον ἀνατρέψαι· ἔλεγεν οὖν ὁ Εὐτυχὴς ἔκτοτε παρρησίᾳ κατὰ τοῦ πατριάρχου Φλαβιανοῦ, καὶ τὴν οἰκείαν αἵρεσιν ἐξεκάλυπτε, τὸν Κύριον Ἰησοῦν Χριστὸν, τὸν θεὸν ἡμῶν, τὸν ἐκ δύο φύσεων καὶ ἐν δυσὶ προσκυνούμενον, εἰς μίαν φύσιν δυσσεβῶς καὶ ἀφρόνως ἀνακιρνῶν καὶ συγχέων. Τρύτου τὴν λοιμώδη νόσον ὁ κλεινὸς Φλαβιανὸς κατιδὼν, καὶ δείσας μὴ περαιτέρω προβῇ, σύνοδον συναθροίσας τεσσαράκοντα ἱεραρχῶν, καθεῖλε τὸν ἀτυχέστατον Εὐτυχῆ· ὁ δὲ προσέρχεται τῷ συναιρεσιώτῃ Χρυσαφίῳ, καὶ δι' αὐτοῦ τῷ βασιλεῖ, καταβοῶν Φλαβιανοῦ, καὶ ἀδίκως καθαιρεθῆναι διατεινόμενος· καὶ πείθουσι τὸν εὐάγωγον, ἀλλ' οὐκ εὐσταθῆ βασιλέα Θεοδόσιον, μετακαλέσασθαι τὸν Ἀλεξανδρείας Διόσκορον καὶ κριτὴν γενέσθαι τῶν

ἤδη κεκριμένων· καὶ ὃς ἐν Ἐφέσῳ γεγονώς, ἐκεῖ γὰρ ἀθροισθῆναι τούτους ἡ βασιλικὴ κέλευσις διελάμβανε, σύνοδον ληστρικὴν συστησάμενος, ἐκάλει Φλαβιανόν· τοῦ δὲ παραγενομένου, προκαθίσας Διόσκορος τῶν συνειλεγμένων, οὐ συνεχώρησε νοτάριον ἕτερον παρεῖναι, καὶ τὰ πραττόμενα σημειώσασθαι, ἀλλὰ τοὺς αὐτοῦ μόνους γράφειν ἐκέλευσε. Ζητήσεως οὖν γεγονυίας, ἀπῃτεῖτο Εὐτυχὴς τὴν ἰδίαν δόξαν ἐκφάναι ἣν εἶχε περὶ Χριστοῦ· ὃς καὶ ἔφησεν, Ὁμολογῶ τὸν Χριστὸν ἐκ δύο φύσεων γεγενῆσθαι πρὸ τῆς ἑνώσεως, μετὰ δὲ τὴν ἕνωσιν, μιᾶς τὸν αὐτὸν φύσεως ὁμολογῶ. Καὶ εὐθὺς ὁ Διόσκορος, Τούτοις συντιθέμεθα καὶ ἡμεῖς. Τῶν δὲ λοιπῶν ἐπισκόπων καὶ τοποτηρητῶν μὴ συνευδοκησάντων αὐτοῖς, ἀλλὰ καὶ τοῦ ἐν ἁγίοις Φλαβιανοῦ ἀντιλέγοντος, ἀναπηδήσας Διόσκορος ὀνικῶς τῷ οἰκείῳ ποδὶ καιρίαν πληγὴν τῷ Φλαβιανῷ κατὰ τοῦ στήθους 24*. ἐπαγαγὼν [, ὠθισμοῖς καὶ πληγαῖς τύπτων, τοῦ συνεδρίου ἐξέβαλε. Καὶ ὁ μὲν Φλαβιανὸς μετὰ τρίτην τῆς πληγῆς ἡμέραν, τὴν πρὸς θεὸν ἐστείλατο. Ὁ δὲ Διόσκορος τοὺς εὑρεθέντας ἐπισκόπους βίᾳ στρατιωτῶν ὡπλισμένων κατηνάγκασεν ὑπογράψαι τῷ παρ' αὐτῷ ἐκτεθέντι ὅρῳ τῆς Εὐτυχοῦς αἱρέσεως. Δόμνος δὲ ὁ τῆς Ἀντιοχέων πατριάρχης μετὰ Ἰωάννου ἐκεῖ τότε συνὼν καὶ μετὰ τῶν ἄλλων ὑπογράψας τῇ καθαιρέσει τοῦ Φλαβιανοῦ, εἰς ἑαυτὸν τάχιον ἐπανῆλθε, καὶ Διοσκόρῳ καὶ τοῖς ἄρχουσιν ἐπανέστη καταβοῶν τῶν πραχθέντων, καὶ ἀσεβῆ κατονομάζων τὴν σύνοδον, ἀπῄτει τε τὴν ἰδίαν ὑπογραφήν. Ὁ μέντοι Διόσκορος σὺν τῷ Εὐτυχεῖ ταῦτα καταπραξάμενος πρὸς τὴν Κωνσταντινούπολιν ἐπανήρχετο. Τότε ὁ βασιλεὺς γνοὺς τὰ κατὰ Φλαβιανοῦ, ἠγανάκτει κατὰ τοῦ Χρυσαφίου· συνέβη δέ τι καὶ τοιοῦτον.

Ἀπερχομένῳ τῷ βασιλεῖ εἰς προέλευσιν, πένης τις μῆλον ὑπερμέγεθες ἐπιδίδωσιν· ὁ δέ, τοῦ μεγέθους θαυμάσας, τῷ μὲν προσαγαγόντι νομίσμασιν ἑκατὸν ἀντημείψατο, τὸ δὲ μῆλον

τῇ βασιλίδι Εὐδοκίᾳ πέμπει· ἡ δὲ, εὐθὺς τῷ μαγίστρῳ Παυλίνῳ νοσοῦντι τότε, τιμωμένῳ καὶ φιλουμένῳ παρ' αὐτῆς ὡς συνεργῷ τοῦ γάμου, καθά μοι καὶ εἴρηται καὶ τῆς βασιλείας, τοῦτο ἀπέστειλε. Παυλῖνος δὲ ἀγνοῶν, ὡς καινὸν χρῆμα στέλλει τῷ βασιλεῖ, καὶ ὁ βασιλεὺς ἰδὼν καὶ γνωρίσας, ἀπέκρυψε· καὶ εἰσελθὼν, ἐρωτᾷ περὶ αὐτοῦ τὴν βασίλισσαν· ἡ δὲ, φαγεῖν αὐτὸ εἶπεν· ὁ δὲ, ὥρκισεν αὐτὴν τί γέγονεν· ἡ δὲ ἀντώμοσε, φαγεῖν αὐτό. Τότε ὑποδείξας τὸ μῆλον, ἐμίσησε μὲν τὴν βασίλισσαν, τὸν δὲ Παυλῖνον πέμψας ἀπεκεφάλισε. Γνοῦσα δὲ ἡ βασίλισσα τὴν ἄδικον τοῦ Παυλίνου σφαγὴν δι' αὐτὴν, καὶ τὸ τοῦ βασιλέως μῖσος, αἰτεῖ ἀπελθεῖν εἰς Ἱεροσόλυμα· ὃ καὶ προέτρεψεν ὁ βασιλεύς· ἥτις πολλὰς ἐλεημοσύνας ἐκεῖ πᾶσιν ἐνδειξαμένη, αὐτοῦ καὶ θνήσκει πρὸς τὴν ζωὴν τὴν ἀγήρω μεταχωρήσασα.

Ὁ δὲ Διόσκορος δεδιὼς διὰ τὸν εἰς Φλαβιανὸν φόνον, καὶ ὡς οὐκ ἂν ὁ γενησόμενος πατριάρχης ἀνάσχοιτο καταλιπεῖν τὰ πραχθέντα ἀνεκδίκητα, βουλεύεται μετὰ Εὐτυχοῦς καὶ Χρυσαφίου βουλὴν ὡς ᾤετο ἀσφαλῆ, ἐγκαταστῆναι τῷ πατριαρχείῳ τῆς Κωνσταντινουπόλεως τὸν ἑαυτοῦ ἀποκρισιάριον Ἀνατόλιον, οὕτω γὰρ τὰ κατ' αὐτοὺς εὖ ἂν ἔξοι· ὅτε γὰρ Εὐτυχὴς ἔσται συλλειτουργῶν αὐτῷ, καὶ τὰ τοῦ δόγματος ἀζήτητα ἐαθείη. Καὶ δὴ πείθουσι τὸν βασιλέα, καὶ χειροτονεῖται ὁ Ἀνατόλιος πατριάρχης Κωνσταντινουπόλεως, καὶ ἐκράτησεν ἔτη ὀκτώ.

Ὁ δὲ βασιλεὺς γνοὺς ὕστερον τὴν ἀπάτην καὶ ἣν παρεχώρησε γενέσθαι μιαιφονίαν εἰς τὸν ἐν ἁγίοις Φλαβιανὸν, ἄλλως τε καὶ εἰς ὀργὴν ἐξαφθεὶς κατὰ τοῦ μιαροῦ Χρυσαφίου, ὑφ' οὗ παρακινηθεὶς ἐλύπησε τὴν μακαριωτάτην Πουλχερίαν, τὸν μὲν Χρυσάφιον δημεύσας ἐξώρισε, τὴν δὲ ἀδελφὴν μετακαλεσάμενος, προσπίπτων ᾔτει συγγνώμην, ὧν εἰς αὐτὴν καὶ τὸν πατριάρχην πεπαρῴνηκε, καὶ τὰ τῆς βασιλείας πάλιν αὐ-

τῇ ἀνέθετο. Καὶ ἀπέθανεν ὢν ἐτῶν πεντήκοντα, καὶ ἐτέθη εἰς τὸν ναὸν τῶν ἁγίων Ἀποστόλων. Ἡ δὲ βασίλισσα Πουλχερία στείλασα εἰς Ἔφεσον ἤνεγκεν ἐκεῖθεν τὸ λείψανον τοῦ ἁγίου Φλαβιανοῦ, καὶ κατέθετο ἐν τῷ τῶν Ἀποστόλων ἱερωτάτῳ τεμένει.

Μαρκιανὸς ἔτη ἓξ πρὸς τῷ ἡμίσει. Ἡνίκα γὰρ ὁ Θεοδόσιος ἐτελεύτησεν, ἡ ἀδελφὴ αὐτοῦ Πουλχερία, μήπω τινὸς αἰσθομένου, μετακαλεσαμένη τὸν Μαρκιανὸν, ἄνδρα γεραρὸν καὶ διαπρέποντα σωφροσύνῃ καὶ σεμνότητι, λέγει πρὸς αὐτόν· ἐπειδὴ σὲ ἐξελεξάμην ἀπὸ τῆς συγκλήτου ὡς ἀρετῇ καλλυνόμενον, δός μοι λόγον ὅτι φυλάττεις τὴν παρθενίαν μου ἣν ἀνεθέμην τῷ θεῷ, καὶ ἀναγορεύω σε βασιλέα. Τοῦ δὲ συνθεμένου, μετακαλεῖται τὸν πατριάρχην καὶ τὴν σύγκλητον, καὶ ἀναγορεύει τοῦτον βασιλέα.

Οὗτος, ἅμα τῷ βασιλεῦσαι, τοὺς ἐν ἐξορίᾳ ἀνεκαλέσατο· ἡ δὲ Πουλχερία ἀποστείλασα τὸν μιαρὸν ἀνεῖλε Χρυσάφιον.

Ἄξιον δέ ἐστι σημᾶναι καί τινα τῶν πρὸ τῆς βασιλείας Μαρκιανοῦ· οὗτος ἐν τῷ πρὸς Πέρσας πολέμῳ, στρατιώτης ἦν λιτὸς ἔν τινι τάγματι τῆς Ἑλλάδος καταλεγόμενος, καὶ ἐν Λυκίᾳ νόσῳ περισχεθεὶς γνωρίζεταί τισιν ἐκεῖσε ἀδελφοῖς, Ἰουλίῳ καὶ Τατιανῷ, οἵτινες καὶ παραλαβόντες αὐτὸν εἰς τὸν οἶ-
25. κον αὐτῶν, ἐθεράπευον· | καί ποτε μετ' αὐτοῦ ἐξελθόντες πρὸς θήραν καὶ κοπιάσαντες περὶ τὸ μεσημβρινὸν ὑπνώττουσι· Τατιανὸς δὲ πρὸ τῶν ἄλλων γρηγορήσας, ὁρᾷ Μαρκιανὸν μὲν κοιμώμενον, ἀετὸν δὲ μέγιστον ἄνωθεν αὐτοῦ, τὰς ἑαυτοῦ πτέρυγας διαπετάσαντα καὶ σκιὰν τούτῳ περιποιούμενον· τοῦτο θεασάμενος ἐγείρει καὶ τὸν ἀδελφὸν καὶ ποιεῖται κοινωνὸν τοῦ ὁράματος· καὶ διεγερθέντι τῷ Μαρκιανῷ λέγουσιν αὐτῷ, ἐὰν βασιλεύσῃς, τί ἡμῖν χαρίζῃ; Ὁ δέ φησι, καὶ τίς εἰμι ἐγὼ, ἵνα εἰς ἐμὲ τοῦτο γένηται; Οἱ δὲ, πάλιν τὸ αὐτὸ ἐρωτῶσι, καὶ ὁ Μαρκιανὸς ἀπεκρίνατο, ἐὰν ἐκ θεοῦ τοῦτο γένηται, πατέρας

ὑμᾶς ἀνακηρύξω. Τότε παρέχουσιν αὐτῷ νομίσματα διακόσια, καὶ λέγουσι, πορεύου εἰς Κωνσταντινούπολιν, καὶ ὅτε σὲ ὁ θεὸς ὑψώσῃ, μέμνησο ἡμῶν. Ὁ δὲ τὴν Κωνσταντίνου εἰσελθὼν προσέρχεται Ἀρδαβουρίῳ καὶ Ἄσπαρι τοῖς στρατηγοῖς, καὶ χρονίσας μετ' αὐτῶν ἔτη δεκαπέντε, ἀπέρχεται μετὰ Ἄσπαρος εἰς Ἀφρικὴν ἐν τῷ πρὸς Γιζέριχον πολέμῳ, κἀκεῖ ἑάλω μετὰ καὶ ἄλλων πολλῶν· πάντες οὖν οἱ αἰχμάλωτοι ἐν τῇ τοῦ Γιζερίχου ἦσαν αὐλῇ καθειρχθέντες, ὑπαίθρῳ οὔσῃ καὶ μεγάλῃ. Γιζέριχος οὖν προκύψας ἐκ τοῦ ὑπερῴου ἰδεῖν αὐτούς, ὁρᾷ Μαρκιανὸν καθεύδοντα, καὶ ἀετὸν τοῖς πτέρυξι τοῦτον κατασκιάζοντα. Συμβαλὼν οὖν Γιζέριχος θείαν οἰκονομίαν εἶναι τὸ ὁραθέν, μεταπεμψάμενος καὶ μαθὼν εἶναι τοῦτον τοῦ Ἄσπαρος, ἐλογίσατο εἰς βασιλείαν ἀνάγεσθαι μέλλειν· διὸ καὶ ἀποκτεῖναι οὐκ ἠθέλησεν, εἰπών, τὴν τοῦ θεοῦ βουλήν, ἀδύνατον ἄνθρωπον κωλῦσαι· ὅρκον δὲ ἀπήτησεν, εἰ τῷ θεῷ φίλον βασιλεύειν, οὐδέποτε Οὐανδήλοις πολεμήσειν αὐτόν. Καὶ οὕτως ἀπολυθεὶς ἦλθεν εἰς τὸ Βυζάντιον· οὗ καὶ δι' ὀλίγου τελευτήσαντος Θεοδοσίου, βασιλεὺς ἀνεδείχθη. Καὶ γίνεται χρηστὸς περὶ πᾶν τὸ ὑπήκοον. Ἐπιμνησθεὶς δὲ καὶ τῶν ἐν Λυκίᾳ ἀδελφῶν, μεταπεμψάμενος αὐτούς, τὸν μὲν Τατιανὸν ἔπαρχον προεχειρίσατο τῆς βασιλίδος τῶν πόλεων, Ἰουλίῳ δὲ τὴν τῶν Ἰλλυριῶν ἀρχὴν παραδέδωκε.

Τότε καὶ Πουλχερία ἡ βασιλὶς τὸν ἐν Βλαχέρναις ναὸν τῆς Θεοτόκου κτίζει. Λέων δὲ ὁ μακαριώτατος πάπας Ῥώμης, καὶ ὁ Κωνσταντινουπόλεως Ἀνατόλιος αἰτοῦνται τὸν βασιλέα ὑπὸ οἰκουμενικὴν ζητηθῆναι σύνοδον τὰ τολμηθέντα κατὰ Φλαβιανοῦ ὑπὸ Διοσκόρου καὶ Εὐτυχοῦς· ὃ καὶ γέγονε. Καὶ συνηθροίσθη κελεύσει βασιλικῇ Μαρκιανοῦ τῷ δευτέρῳ τῆς βασιλείας ἔτει ἐν Χαλκηδόνι, ἀπὸ κτίσεως δὲ κόσμου πεντακισχιλιοστῷ ἐννακοσιοστῷ τεσσαρακοστῷ πέμπτῳ, ἡ τῶν ἑξακοσίων τριάκοντα ἁγίων καὶ θεοφόρων πατέρων τετάρτη οἰκουμενικὴ

σύνοδος, ὧν ἡγοῦντο Λέων πάπας Ῥώμης διὰ τοποτηρητῶν Πασκασίνου καὶ Λουκινσίου ἐπισκόπων, καὶ Βονιφατίου πρεσβυτέρου, Ἀνατόλιος Κωνσταντινουπόλεως, Ἰουβενάλιος Ἱεροσολύμων, Ἀντιοχείας Μάξιμος, καὶ οἱ λοιποί· συνῆλθον δὲ κατὰ Διοσκόρου Ἀλεξανδρείας καὶ Εὐτυχοῦς· οὗτοι γὰρ τὴν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐνανθρώπησιν σχεδὸν ἀπηρνοῦντο, ἐν φαντασίᾳ σάρκα φορέσαι μυθολογοῦντες αὐτὸν, ὅθεν καὶ ἐν μιᾷ φύσει ὑπάρχειν ἔλεγον, τῇ θεότητι τὰ πάθη προσνέμοντες. Διὰ τοῦτο τούτους μὲν ἀνεθεμάτισαν οἱ θεῖοι πατέρες, τοῖς δέ γε τῆς καθολικῆς ἐκκλησίας ἐγγράφως παραδεδώκασιν ἐκ δύο καὶ ἐν δυσὶ φύσεσι, θεότητός τε καὶ ἀνθρωπότητος, τὸν Σωτῆρα ὁμολογεῖν ἀτρέπτως καὶ ἀσυγχύτως καὶ ἀδιαιρέτως καὶ ἀχωρίστως γνωριζόμενον, οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν, σωζομένης δὲ μᾶλλον τῆς ἰδιότητος ἑκατέρας φύσεως, καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συντρεχούσης, οὐκ εἰς δύο πρόσωπα μεριζόμενον ἢ διαιρούμενον, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν υἱὸν μονογενῆ θεοῦ λόγον Κύριον Ἰησοῦν Χριστὸν, καθάπερ ἄνωθεν οἱ προφῆται περὶ αὐτοῦ προεθέσπισαν, καὶ αὐτὸς δὲ ἡμᾶς Ἰησοῦς ὁ Χριστὸς ἐξεπαίδευσε, καὶ τὸ τῶν πατέρων ἡμῖν διετράνωσε σύμβολον. Καὶ ὥρισεν ἡ ἁγία αὕτη οἰκουμενικὴ σύνοδος, μηδενὶ ἐξεῖναι προφέρειν ἑτέραν πίστιν, ἤγουν συγγράφειν ἢ συντιθέναι, ἢ φρονεῖν, ἢ διδάσκειν ἑτέρως, τοὺς δὲ τολμῶντας, ἐπισκόπους μὲν, τῆς ἐπισκοπῆς ἀλλοτρίους εἶναι, κληρικοὺς δὲ, τοῦ κλήρου, εἰ δὲ μονά-
.25ᵛ-ζοντες εἶεν ἢ λαϊκοὶ, ἀναθεματίζεσθαι αὐτούς | . Ὁ δὲ Διόσκορος ἐγκαλούμενος περὶ ὧν κατεπράξατο, ἐπὶ τὴν ἀγνωσίαν κατέφυγε· μὴ δυνηθεὶς δὲ τὸν ἔλεγχον ἐκφυγεῖν, οἱ γὰρ συνεδριάσαντες αὐτῷ ἐν τῇ λῃστρικῇ συνόδῳ ἤλεγχον τὴν βίαν ἣν ὑπέστησαν παρ' αὐτοῦ, κατεκρίνετο, καὶ μετανοῆσαι παρεκαλεῖτο. Ἀλλ' ἔμεινεν ἀδιόρθωτος, διὸ καὶ ἀναθέματ καθυπεβλήθη καθαιρεθείς· οἱ δὲ παρ' αὐτοῦ βιασθέντες, συγγνώμην αἰτήσαντες, ἐδέχθησαν·

Ἐδέξατο δὲ ἡ ἁγία σύνοδος καὶ Θεοδώριτον καὶ Ἴβαν ὡς ἀναθεματίσαντας Νεστόριον καὶ ἅπερ αὐτοὶ συνεγράψαντο κατὰ τοῦ ἁγίου Κυρίλλου δώδεκα κεφάλαια. Ὁ δὲ θειότατος βασιλεὺς τὸν μὲν Διόσκορον εἰς Γάγγραν ἐξώρισεν, ὁ γὰρ Εὐτυχὴς προτεθνηκὼς ἦν τῆς συνόδου, πρὸς δὲ τὴν ἁγίαν σύνοδον εἶπεν, χάριν μεγίστην ὁμολογῶ τῷ θεῷ, ὅτι διχονοίας ἀναιρεθείσης, εἰς μίαν καὶ τὴν αὐτὴν ὁμολογίαν πάντες συνεληλύθαμεν· καὶ πολλὰ ἐγκωμιάσας καὶ φιλοτιμησάμενος τοὺς ἁγίους πατέρας, ἀπέστειλεν εἰς τὰ ἴδια. Προτέριος δὲ ὁ ἅγιος ἀντὶ τοῦ Διοσκόρου πατριάρχης Ἀλεξανδρείας κατέστη.

Τούτων οὕτω Χριστοῦ χάριτι περατωθέντων καλῶς καὶ ὡς θεῷ φίλον, οἱ τοῦ Διοσκόρου, τὴν αἰσχύνην μὴ φέροντες, τὰ παρὰ τῆς συνόδου διορισθέντα ἀνὰ τὰς ἀγυιὰς Κωνσταντινουπόλεως πολλῶν ἀκοαῖς διεχλεύαζον, καὶ τὸ Νεστορίου καὶ Εὐτυχοῦς ἔσπευδον δόγμα κρατύνειν, ἱερεῖς ὄντες οἱ πλείους καὶ μονάζοντες. Τοῦτο ὁ ἐν ἁγίοις ἀκηκοὼς Ἀνατόλιος πατριάρχης Κωνσταντινουπόλεως πάντας προσκαλεσάμενος τούς τε ὀρθοδόξους καὶ τοὺς τῆς ἐναντίας μοίρας καὶ ἐκκλησιάσας λέγει πρὸς ἅπαντας· ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος νίκην ἡμῖν τοῖς ὀρθοτομοῦσι τὸν λόγον αὐτοῦ, λαμπρὰν ἐχαρίσατο. Ἐπεὶ δὲ καὶ ἔτι παρά τινων τῶν τῆς Χριστομάχου αἱρέσεως ληρωδεῖται ὡς ἡ νῦν συγκροτηθεῖσα ἱερὰ καὶ μεγάλη σύνοδος ἐν Χαλκηδόνι τὸ Νεστορίου κατάπτυστον προσεδέξατο δόγμα, γραφήτω φανερῶς τό τε τῆς ὑμετέρας πίστεως δόγμα ἐν τόμῳ, καὶ τὸ τῆς ἡμετέρας ὀρθοδοξίας ἐν ἑτέρῳ, καὶ τεθήτωσαν ἀμφότερα ἐν τῇ θήκῃ τῆς ἁγίας μάρτυρος Εὐφημίας, καὶ πάντως ὅ ἂν ᾖ τῷ θεῷ φίλον ἐκεῖνο καὶ ἡ τούτου μάρτυς γνωρίσει ἡμῖν, καὶ ἐκεῖνο τιμητέον πᾶσι. Ταῦτα τοῦ πατριάρχου εἰπόντος, τὸ πλῆθος ἀπεκρίθη· πιστεύομεν μὴ ἀθεεὶ ταῦτα παρὰ τῆς σῆς ἁγιότητος λαληθῆναι, ἀλλὰ γὰρ θείῳ κινούμενος πνεύματι ταῦτα ἐλάλησας,

καὶ ποιήσωμεν οὕτως. Ἐγένετο ταῦτα, καὶ τεθείκασι τοὺς ἀμφοτέρους τόμους ὁμοῦ ἐπάνω τοῦ μαρτυρικοῦ σώματος ἐν τῇ λάρνακι, καὶ σφραγῖσιν ἀμφότερα τὰ μέρη σὺν τῷ βασιλεῖ καὶ τῷ πατριάρχῃ κατασφαλισάμενοι, ἐξῆεσαν τοῦ ἱεροῦ, καὶ παννύχοις ψαλμῳδίαις καὶ στάσεσι, δάκρυσί τε καὶ νηστείαις ἐξελιπάρουν τὸν θεὸν καὶ τὴν μάρτυρα, ὡς ἂν ἡ μὲν ἀλήθεια διαλάμψῃ, τὸ δὲ ψεῦδος ἐγκαλύψηται. Καὶ δὴ μετὰ τρίτην ἡμέραν, οἵ τε τοῦ ὀρθοῦ λόγου καὶ οἱ αἱρεσιῶται σὺν τῷ βασιλεῖ καὶ ἀρχιερεῖ ἐπὶ τὸ τῆς μάρτυρος ᾖεσαν ἱερὸν, καὶ ταύτην τὴν θήκην σὺν οἰμωγαῖς καὶ δάκρυσιν ἀνοίξαντες, ὢ τῆς ἀφάτου σου πρὸς ἡμᾶς φιλανθρωπίας Χριστὲ, εὗρον τὸν μὲν τῶν δυσσεβῶν τόμον πρὸς τοῖς ποσὶ τῆς μάρτυρος ἐρριμμένον, τὸν δὲ τῶν ὀρθοδόξων τῇ δεξιᾷ χειρὶ ταύτης κρατούμενον ἀσφαλῶς, ὃς καὶ ἐπεδόθη τῷ βασιλεῖ παρὰ τῆς μάρτυρος τῇ ἐκτάσει τῆς οἰκείας χειρός. Καὶ οὕτως οἱ μὲν ὀρθόδοξοι μετὰ πολλῆς χαρᾶς ὑποστρέψαντες, ἐδόξαζον τὸν θεὸν καὶ τὴν αὐτοῦ μάρτυρα· οἱ δὲ τῆς αἱρέσεως αἰσχύνῃ συγκαλυψάμενοι ἀπηλλάγησαν. Καὶ τῇ τοῦ θεοῦ ἐκκλησίᾳ παρεδόθη τὴν μνήμην τοῦ θαύματος τελεῖσθαι κατὰ καιρὸν, μηνὶ Ἰουλίῳ ια', ὃ καὶ γίνεται.

Τότε καὶ ἡ μακαρία Πουλχερία θνήσκει ἡ βασιλὶς καὶ παρθένος, πολλοὺς εὐκτηρίους οἴκους καὶ γηρωκομεῖα καὶ ξενῶνας κτίσασα, καὶ τὸν ἑαυτῆς πάντα βίον πένησι διανείμασα.

Ἐν τῇ Ῥωμαίων δὲ Μαξιμιανός τις συγκλητικὸς πατρίκιος τυραννήσας, τὸν βασιλέα Οὐαλεντινιανὸν ἀνεῖλε καὶ τῇ βασιλίδι Εὐδοξίᾳ, τῇ θυγατρὶ τοῦ νέου Θεοδοσίου, βίᾳ συνεγένετο, καὶ τῆς βασιλείας ἐκράτησεν. Εὐδοξία δὲ ἀχθομένη, καὶ μηδεμίαν βοήθειαν ἀπὸ Κωνσταντινουπόλεως λογισαμένη, τοῦ πατρὸς καὶ τῆς Πουλχερίας τετελευτηκότων, ἀπογνοῦσα, μετα-
26. καλεῖται ἐξ Ἀφρικῆς τὸν | τῶν Οὐανδήλων ῥῆγα, ὥστε ἐλευθερωθῆναι τῆς τυραννίδος Μαξιμιανοῦ. Ὁ δὲ σὺν στόλῳ βαρεῖ

ἐκπλεύσας εἰς Ρώμην, μηδενὸς ἀντιστάντος, ὁ γὰρ Μαξιμιανὸς ἐδολοφονήθη παρὰ τῶν σὺν αὐτῷ Ρωμαίων, εἰσῆλθεν εἰς τὴν Ρώμην μετὰ τρίτην ἡμέραν τῆς τοῦ Μαξιμιανοῦ σφαγῆς, καὶ λαβὼν σὺν ἀδείᾳ πολλῇ πάντα τὰ τῆς πόλεως χρήματα καὶ τὰ τοῦ παλατίου ἐκ χρυσοῦ κειμήλια καὶ ἱερὰ σκεύη, καὶ τὰ Ἑβραϊκὰ ἅπερ Τῖτος ὁ βασιλεὺς μετὰ τὴν τῆς Ἱερουσαλὴμ ἅλωσιν εἰς Ρώμην ἤγαγε, σὺν αὐτοῖς δὲ καὶ τὴν βασίλισσαν Εὐδοξίαν καὶ τὰς δύο θυγατέρας αὐτῆς, ὑπέστρεψεν εἰς Ἀφρικὴν, καὶ τὴν μὲν παρθένον Εὐδοκίαν Ὀνωρίχῳ τῷ πρωτοτόκῳ αὐτοῦ συνέζευξε, τὴν δὲ Πλακιδίαν ἄνδρα ἔχειν μαθὼν ἐν Κωνσταντινουπόλει, τὸν πατρίκιον Ὀλύβριον, ἐφύλασσε μετὰ τῆς μητρὸς αὐτῆς σὺν πολλῇ τιμῇ.

Θνήσκει δὲ καὶ ὁ βασιλεὺς Μαρκιανὸς ὢν ἐτῶν ξε', καὶ ἐτέθη εἰς τὸν ναὸν τῶν ἁγίων Ἀποστόλων μετὰ Πουλχερίας. Οὗ μετὰ τὴν ἀποβίωσιν, ἡ σύγκλητος καὶ ὁ δῆμος ἅπας τῷ Ἄσπαρι πατρικίῳ δεδώκασιν ἐξουσίαν ἐπιλέξασθαι τὸν ὀφείλοντα βασιλεῦσαι, αὐτὸν γὰρ ὡς Ἀρειανὸν οὐκ ἐνεχώρει γενέσθαι, ὁ δὲ τὸν προνοητὴν τῶν ἑαυτοῦ ἀγαγὼν κτήσεων Λέοντα τὸν Μέγαν καὶ ὑποσχόμενον ποιῆσαι τὸν υἱὸν αὐτοῦ Καίσαρα, ἅμα τῇ συγκλήτῳ ἐποίησε βασιλέα.

Λέων ὁ Μέγας ἔτη ιζ'. Οὗτος τὰς Κυριακὰς ἡμέρας ἀπράκτους ἐκέλευσεν εἶναι, ἐκφωνήσας καὶ θεῖον νόμον αὐτοῦ, ὥστε μήτε αὐλὸν, μήτε κιθάραν, μήτε τι ἄλλο μουσικὸν ἠχεῖν ἐν Κυριακῇ, μήτε ἱπποδρόμιον τελεῖσθαι, ἀλλὰ πάντα ἀργεῖν, καὶ πάντας τοῖς θείοις ναοῖς σχολάζειν· καὶ ἔχαιρεν ἐπὶ τούτῳ πᾶς ἄνθρωπος.

Τούτῳ τῷ βασιλεῖ Ἰσοκάσιος ὁ κοιαίστωρ ὁ σοφώτατος διεβλήθη ὡς Ἕλλην, καὶ καθῃρέθη τῆς ἀξίας, καὶ τῷ ἐπάρχῳ τῆς πόλεως πρὸς τὸ ἐξετασθῆναι παρεδόθη. Ἐπεὶ δὲ εἰσήχθη πρὸς τὸ πραιτώριον γυμνὸς καὶ τὰς χεῖρας ἐξ ἀγγώνων ἔχων ὄπισθεν πεπεδημένας, λέγει πρὸς αὐτὸν ὁ ἔπαρχος Ποσῆς, ὁρᾷς

ἑαυτὸν, Ἰσοκάσιε, ἐν ποίῳ καθέστηκας σχήματι; Ὁ δὲ, ὁρῶ, ἔφη, καὶ οὐ ξενίζομαι, ἄνθρωπος γὰρ ὢν ἀνθρωπίναις περιέπεσα συμφοραῖς· ἀλλὰ δίκασον ἐπ' ἐμοὶ, ὡς ἐδίκαζες σὺν ἐμοί. Ταῦτα ἀκούσας ὁ δῆμος, τὸν μὲν βασιλέα εὐφήμησε, τὸν δὲ Ἰσοκάσιον ἁρπάσαντες ἤγαγον εἰς τὴν ἐκκλησίαν καὶ ἐβάπτισαν. Ὃ καὶ ὁ βασιλεὺς γνοὺς εὐφροσύνης αἴτιον ἔσχηκεν.

Ὁ αὐτὸς βασιλεὺς παρὰ τοῦ Ἄσπαρος ποιῆσαι τὸν υἱὸν αὐτοῦ, Πατρίκιον καλούμενον, καίσαρα κατὰ τὴν ὑπόσχεσιν ἀπαιτούμενος, ἥπτετο γὰρ τῆς βασιλικῆς πορφύρας καὶ ἔλεγε, τὸν ταύτῃ ἐνδεδυμένον οὐ χρὴ ψεύδεσθαι, ἐκεῖνος ἀνθυπέφερεν, ἀλλ' οὐδὲ παρά τινος ἄγεσθαι ὡς δοῦλον, καὶ οὕτως ἀπεκρούετο τοῦτον ἐπὶ πολὺ, ἐπινοῶν τὸ τοῦ πράγματος ἄτοπον· ὕστερον δὲ πείθεται καὶ χειροτονεῖ τοῦτον καίσαρα· καὶ εὐθὺς στάσις εἶχε τὴν σύγκλητον· ἐμέμνηντο γὰρ οἷα κακὰ ἐνεδείξαντο οἱ τῆς Ἀρείου αἱρέσεως βασιλεῖς πᾶσι τοῖς ὀρθοδόξοις. Ὅθεν πτοούμενοι μὴ πρὸς τὸν τοῦ Ἄσπαρος μεταβιβασθῇ ἡ βασιλεία, συνιόντες ἅπαντες, κληρικοὶ, μονάζοντες, λαϊκοὶ μετὰ τοῦ πατριάρχου ἐδέοντο περὶ καίσαρος ὀρθοδόξου. Ὁ δὲ βασιλεὺς εἰρηνεύσας τὸν λαὸν ἀπέλυσε, καὶ μετὰ ταῦτα αὐτόν τε Ἄσπαρα καὶ τοὺς δύο υἱοὺς αὐτοῦ ἀπέκτεινε, καὶ κατὰ τῶν εὑρισκομένων ἐν τῇ πόλει Ἀρειανῶν διωγμὸν ἐκίνησε καὶ πάντας ἐξώρισε.

Θνήσκει δὲ καὶ ὁ πατριάρχης Ἀνατόλιος τῷ δευτέρῳ τῆς βασιλείας αὐτοῦ ἔτει, καὶ χειροτονεῖται ὁ ἐν ἁγίοις Γεννάδιος, καὶ κρατεῖ ἔτη ιγ'. Οὗτος προεχειρίσατο οἰκονόμον τῆς μεγάλης ἐκκλησίας τὸν ὁσιώτατον Μαρκιανὸν, ὃς τὰ προσφερόμενα ἐν ἑκάστῃ ἐκκλησίᾳ τοὺς κληρικοὺς αὐτῆς κομίζεσθαι ἐτύπωσεν, ἕως τότε πάντα τῇ μεγάλῃ ἐκκλησίᾳ εἰσοδιαζόμενα.

Οὗτος ὁ βασιλεὺς εἶχε γυναῖκα τὴν βασίλισσαν Βερίναν, τὴν ἀδελφὴν Βασιλίσκου τοῦ πατρικίου, ἐξ ἧς καὶ θυγατέρας δύο ἀπέτεκε, Ἀριάδνην ἣν ἐξέδοτο Ζήνωνι τῷ Ἰσαύρῳ πρὸς

γάμον, καὶ Λεοντίαν ἣν συνέζευξε τῷ πατρικίῳ Μαρκιανῷ τῷ υἱῷ Ἀνθεμίου τοῦ ἐν Ῥώμῃ βασιλεύσαντος.

Χρήματα δὲ πολλὰ εὑρηκὼς ὁ βασιλεύς, στόλον μέγιστον κατὰ Γιζερίχου ἐν Ἀφρικῇ ἐξαπέστειλε μετὰ στρατοῦ πολλοῦ, προχειρισάμενος στρατηγὸν τοῦ τοσούτου στόλου Βασιλίσκον τὸν τῆς βασιλίδος αὐτάδελφον· ὃς κατὰ Οὐανδήλων ἐκπλεύσας | καὶ χρήματα πολλὰ παρὰ Γιζερίχου λάθρα λαβών, φ. 2 τὸν σύμπαντα στόλον ἀπώλεσεν, αὐτοῦ τοῦ Βασιλίσκου μετὰ τοῦ ἰδίου πλοίου ἐν τῇ τοῦ πολέμου συμβολῇ εἰς φυγὴν τραπέντος, καθὰ μετὰ Γιζερίχου συνεφώνησε, τῶν πλοίων δὲ βυθισθέντων αὐτάνδρων, καὶ αὐτοῦ μὲν τοῦ Βασιλίσκου ἐν Κωνσταντινουπόλει διασωθέντος, τοῦ δὲ τοσούτου λαοῦ καὶ ἀρχόντων ἐνδόξων πολλῶν τῷ τῆς θαλάσσης ἐναποπνιγέντων βυθῷ.

Ἐγεννήθη δὲ τῷ Ζήνωνι μετὰ Ἀριάδνης παῖς, ὃν ὁ βασιλεὺς καὶ Λέοντα ὠνόμασε καὶ βασιλικῷ ἔστεψε διαδήματι.

Γενναδίου δὲ τοῦ πατριάρχου τῷ πεντεκαιδεκάτῳ ἔτει τῆς βασιλείας Λέοντος τελευτήσαντος, Ἀκάκιος καθίσταται πατριάρχης Κωνσταντινουπόλεως, καὶ ἐκράτησεν ιζʹ.

Εὐδοξία δὲ ἡ βασίλισσα δύο μόνα ἔτη ἐν Ἀφρικῇ ποιήσασα μετὰ Πλακιδίας τῆς θυγατρὸς αὐτῆς ἐπανῆλθεν ἐν Κωνσταντινουπόλει ἐπὶ Μαρκιανοῦ τοῦ βασιλέως. Ἡ δὲ θυγάτηρ αὐτῆς Εὐδοκία δεκαὲξ ἔτη μετὰ τοῦ ἀνδρὸς αὐτῆς Ὀνωρίχου συμβιώσασα, καὶ παῖδα τεκοῦσα Ἰλδέριχον, σφόδρα ἠνιᾶτο Ἀρειανῷ συνοικοῦσα· καί ποτε ἀδείας δραξαμένη, ἀπέδρα, καὶ τὴν Κωνσταντινούπολιν καταλαμβάνει, εὑρίσκει δὲ καὶ τὴν μητέρα προτεθνηκυῖαν, ἐφ᾽ ᾧ καὶ τὰ Ἱεροσόλυμα καταλαμβάνει, καὶ προσκυνήσασα τὸν τοῦ Κυρίου τάφον καὶ τῷ τῆς ἰδίας μάμμης Εὐδοκίας σεμνείῳ προσμείνασα, ἐκεῖσε καὶ θνήσκει, πολλὰ φιλοτιμησαμένη τοῖς ἐκεῖ ἅπασιν.

Ἀπεβίω δὲ καὶ ὁ βασιλεὺς Λέων, ὢν ἐτῶν ξʹ, καὶ ἐτέθη

ἐν τῷ ναῷ τῶν Ἀποστόλων· καὶ μετὰ χρόνους συνεσοριάσθη καὶ ἡ γυνὴ αὐτοῦ Βηρίνα.

Ἐπὶ τούτου τοῦ βασιλέως μετεκομίσθη ἡ τιμία ἐσθὴς τῆς ὑπεραγίας δεσποίνης ἡμῶν τῆς Θεοτόκου εἰς Κωνσταντινούπολιν, καὶ ἐτέθη εἰς τὸν ναὸν τῶν Βλαχερνῶν, καὶ τὰ λείψανα τῆς μεγαλομάρτυρος Ἀναστασίας.

Τότε καὶ ἐν Ῥώμῃ μετὰ Μαξιμιανὸν ἐβασίλευσεν Ἀνθέμιος, καὶ μετὰ αὐτὸν Ὀλύβριος ὁ ἀνὴρ Πλακιδίας, καὶ μετ' αὐτὸν Μαΐωρ, καὶ μετὰ τοῦτον Γλυκέριος· ἔτι τε Νεπωτιανὸς, καὶ ἐφεξῆς Ὀρέστης· εἶτα ὁ υἱὸς αὐτοῦ Ῥωμύλος· καὶ οὐκέτι μετὰ τοῦτον βασιλεὺς ἐν Ῥώμῃ ἐγένετο. Οὗτοι γὰρ ἐν ὀλίγοις ἔτεσι βασιλεύσαντες ἀπηλλάγησαν, καὶ ἔκτοτε ἡ Ῥώμη κατεσχέθη ὑπὸ ἐθνῶν καὶ ἐκράτουν ἐν αὐτῇ ῥῆγες. Καὶ σημειωτέον ὡς Ῥωμύλος ἦν ὁ κτίσας Ῥώμην βασιλεὺς, καὶ μετὰ ἔτη χίλια τριακόσια τρία πάλιν ἐπὶ Ῥωμύλου ἡ βασιλεία ἐπαύθη.

Λέων ὁ παῖς Ζήνωνος ἔτος ἕν· ὅς καὶ ἔστεψε τὸν πατέρα αὐτοῦ Ζήνωνα.

Ζήνων ὁ Ἴσαυρος ἔτη ιζ', συναριθμοῦνται γὰρ αὐτῷ καὶ τὰ δύο κέρατα τῆς ἀρχῆς. Βασιλίσκος δὲ Βασιλίσκου ὁ Βηρίνης ἀδελφὸς ἐν τῇ τῆς Θράκης Ἡρακλείᾳ διάγων, συνεργούσης αὐτῷ τῆς ἀδελφῆς καὶ τινων συγκλητικῶν, ἐτυράννησε κατὰ Ζήνωνος, ὃν καὶ πτοηθεὶς ὁ Ζήνων μετὰ καὶ τῆς γυναικὸς Ἀριάδνης ἐν Ἰσαυρίᾳ ἀποδιδράσκει. Βασιλίσκος δὲ ἀναγορευθεὶς βασιλεὺς σὺν Ζηνωνίδι τῇ γαμετῇ, καὶ υἱῷ Μάρκῳ καίσαρι, εἰσῆλθεν εἰς Κωνσταντινούπολιν. Οὗτος ἔκτισε παλάτια ἴδια καὶ κλῆσιν αὐτοῖς ἔθετο τὰ Βασιλίσκου· καὶ τῆς ἀρχῆς δραξάμενος κατὰ τῆς ὀρθοδόξου πίστεως παρετάξατο, ὑπὸ τῆς γαμετῆς μάλιστα παρορμώμενος, κακοδόξου τελούσης, καὶ πολλὰ ἐν ὀλίγῳ χρόνῳ κατὰ τῆς ἐκκλησίας χαλεπὰ ἐπεδείξατο.

Ζήνων δὲ πάλιν μετὰ πλήθους τὴν βασιλίδα πάλιν κατέλαβε. Βασιλίσκος δὲ κατ' αὐτοῦ τὸν ἀνεψιὸν ἐκπέμπει. Ζήνων

δὲ πολλαῖς ὑποσχέσεσι τὸν Ἁρμάτιον ὑποποιησάμενος, καὶ τὸν υἱὸν αὐτοῦ καίσαρα ποιῆσαι ὀμωμοκώς, πείθει συνθέσθαι αὐτῷ. Καὶ οὕτως ἀπονητὶ τῆς βασιλείας κρατεῖ, μίσει τῷ πρὸς τὸν Βασιλίσκον τῶν πολιτῶν ὑποδεξαμένων αὐτόν. Ὁ δὲ Βασιλίσκος προσφεύγει τῇ ἐκκλησίᾳ, ὅν ὁ Ζήνων μὴ ἀποκτεῖναι ξίφει ὀμόσας, ἐξάγει, καὶ εἴς τι φρούριον ἐξορίζει μετὰ Ζηνωνίδος καὶ τοῦ υἱοῦ Μάρκου· κἀκεῖ πύργῳ ἐναποκλείσας, καὶ τὴν θύραν ἀναφράξας, λιμῷ τούτους ἀνάλωσε. Τὸν μέντοι υἱὸν Ἁρματίου ποιεῖ καίσαρα ὡς ὑπέσχετο, αὐτὸν δὲ Ἁρμάτιον ὡς προδότην κτείνει· καὶ τότε τὸν αὐτοῦ υἱόν τὸν καίσαρα κληρικὸν κείρει, ὕστερον δὲ καὶ τῆς Κυζίκου ἐπίσκοπον ποιεῖ. Ἐξορίζει δὲ καὶ Βερίναν τὴν πενθεράν.

|Τούτῳ καὶ ἕτεροι πολλοὶ ἐπανέστησαν οὓς καὶ κατετροπώσατο. Ἀκακίῳ δὲ τῷ πατριάρχῃ κοινολογησάμενος ἐξέθετο τὸ καλούμενον Ἑνωτικόν· τοὺς γὰρ μὴ δεχομένους τὴν ἐν Χαλκηδόνι σύνοδον, ἑνώσας ἐπισκόπους φίλους ἐκτήσατο, καὶ τοὺς μὴ θελήσαντας ὑπογράψαι τῷ Ἑνωτικῷ ἐκάκωσε καὶ ἐξώρισε, καὶ τάραχος πάλιν τὴν ἐκκλησίαν κατεῖχε. Τοῦ γὰρ βασιλέως καὶ Ἀκακίου τοῦ πατριάρχου πάντας ἐπισκόπους βιαζομένων φιλιωθῆναι καὶ ὁμοφρονῆσαι τῷ Ἀλεξανδρείας πατριάρχῃ Πέτρῳ τῷ Μογγῷ, αἱρετικῷ ὄντι, ἠναγκάσθησαν οἱ τῆς ὀρθοδόξου μοίρας τῷ πάπᾳ Ῥώμης Φίληκι προσελθεῖν καὶ τὰ κατὰ Ἀκάκιον καὶ τὸν Μογγὸν ἔτι δὲ καὶ περὶ τοῦ Ἑνωτικοῦ δηλῶσαι. Ὁ δὲ Φίληξ γράφει πρὸς Ζήνωνα καὶ Ἀκάκιον ἀποστῆναι τῆς κοινωνίας Πέτρου ὡς αἱρετικοῦ. Ἀκάκιος δὲ ταῦτα ἀκηκοώς, καὶ τὸ τοῦ Φίληκος ὄνομα τῶν διπτύχων ἐξέβαλε, καὶ τῇ κακοδοξίᾳ συντέθνηκε τῷ πεντεκαιδεκάτῳ τῆς βασιλείας Ζήνωνος ἔτει, καὶ χειροτονεῖται Φραβύτας ὁ ὁμόφρων Ἀκακίῳ καὶ Ζήνωνι, καὶ κρατεῖ μῆνας τρεῖς, ἡμέρας ιε. καὶ θνήσκει, καὶ ἀνάγεται εἰς τὸν θρόνον τῆς Κωνσταντινουπόλεως Εὐφήμιος, ἀνὴρ ὅσιος καὶ ὀρθοδοξότατος· καὶ ἐκράτησεν ἔτη ζ΄. οὗτος

οἰκειοχείρως τὸ τοῦ Μογγοῦ ὄνομα τῶν διπτύχων ἀπήλειψε, καὶ τὸ τοῦ Ρώμης Φίληκος τέθεικε.

Ζήνων δὲ ἐρωτήσας Μαριανόν τινα φιλόσοφον, τίς μετ' ἐμὲ βασιλεύσει, καὶ ἀκούσας ὅτι καὶ βασιλείαν καὶ τὴν γυναῖκα διαδέχεταί τις ἀπὸ σελεντιαρίων, πολλοὺς τῶν μεγίστων καὶ συγκλητικῶν ἀπέκτεινε, μεθ' ὧν καὶ Παλλάδιον τὸν σοφώτατον. Καὶ θνήσκει καὶ αὐτὸς, ὢν ἐτῶν ξα'. καὶ ἐτάφη ἐν τῷ ἡρῴῳ τοῦ μεγάλου Κωνσταντίνου.

Ἀναστάσιος ὁ Δίκορος ἔτη κζ'. Οὗτος ὁ Ἀναστάσιος πατρίδα τὴν Ἐπίδαμνον εἶχεν, ὃ νῦν Δυρράχιον προσηγόρευται· τῆς δὲ Εὐτυχοῦς αἱρέσεως ὢν καὶ τῶν Μανιχαίων, δεινὸν ἐξήγειρε κατὰ τῶν ὀρθοδόξων πόλεμον· ὃς καὶ πρὸ τῆς βασιλείας ὑπὸ τοῦ πατριάρχου Εὐφημίου ὡς κακόδοξος ὠνειδίζετο· μέλλων δὲ βασιλεύειν, ὑπὸ τῆς βασιλίσσης Ἀριάδνης πρῶτον ἀπητήθη ἔγγραφον ὁμολογίαν περὶ τῆς ὀρθοδόξου πίστεως καὶ τῶν τοῦ θεοῦ ἐκκλησιῶν, καὶ τότε ἐστέφθη. Ἀλλὰ μετ' ὀλίγον βίᾳ ἀπὸ τοῦ πατριάρχου τὸ ἔγγραφον ἀφεῖλε καὶ διέρρηξε, καὶ τὸν πατριάρχην τῷ πέμπτῳ ἔτει τῆς βασιλείας αὐτοῦ τοῦ πατριαρχείου κατάγει, καὶ ἀντ' αὐτοῦ ἀνάγει τὸν Μακεδόνιον, ὃς καὶ κρατεῖ ἔτη ις'. Οὗτος μέλλων προβληθῆναι πατριάρχης, τῷ Ἑνωτικῷ Ζήνωνος ὑπέγραψε καὶ τῷ βασιλεῖ συμφρονεῖν συνέθετο· μετὰ δὲ τὸ χειροτονηθῆναι ὁλικῶς τῆς ὀρθοδόξου ἀντείχετο πίστεως καὶ τὴν ἐν Χαλκηδόνι σύνοδον διὰ συνόδου ἰδίας ἐπεκύρωσεν, ἣν ὁ βασιλεὺς Ἀναστάσιος ὡς αἱρετικός, οὐ παρεδέχετο. Εὐφήμιος δὲ μέλλων ἐξορισθῆναι εἰς Εὐχάϊτα, λόγον περὶ τοῦ μὴ ἐπιβουλευθῆναι ᾔτησε. Προτραπεὶς δὲ Μακεδόνιος δοῦναι αὐτῷ λόγον, ἄνευ ὠμοφορίου πρὸς αὐτὸν εἰσῆλθε, καὶ λόγον αὐτῷ δοὺς, καὶ χρήματα εἰς οἰκείαν ἀποτροφὴν, παρὰ πάντων ἐπῃνέθη· ᾔδεσαν γὰρ ἅπαντες τὸν Εὐφήμιον ὅσιον, καὶ διὰ τὴν ὀρθοδοξίαν ἐκβληθῆναι.

Μακεδόνιος δὲ χρηστὸς ὢν καὶ ἐπιεικὴς, πολλοῖς ἐνυβρίσασιν

εἰς αὐτὸν, καὶ ἀνόνας ἐτύπωσε δίδοσθαι μηνιαίας, μιμητὴς ὢν τοῦ Γενναδίου πατριάρχου καὶ συγγενής. Τοῦτον ὁ βασιλεὺς ἠνάγκαζεν ἀναθεματίσαι τὴν ἐν Χαλκηδόνι σύνοδον, καὶ μὴ δυνηθεὶς μεταγαγεῖν εἰς τὴν οἰκείαν κακοπιστίαν, τοὺς προσφεύγοντας τῇ ἐκκλησίᾳ βίᾳ ἀπέσπα καὶ ἐτιμώρει, ταῖς δὲ τῶν αἱρετικῶν ἐκκλησίαις ἀσυλίαν ἐδωρήσατο. Τοῦτον πολλοὶ καὶ ἡ γυνὴ Ἀριάδνη καὶ οἱ προσγενεῖς αὐτῆς παρεκλήτευον ἐνδοῦναι τῆς κατὰ τῶν ὀρθοδόξων μανίας, ἀλλ᾽ οὐκ ἐβούλετο· ὅθεν καὶ ὁ τῆς πόλεως δῆμος ἐξαφθέντες εἰς ὁρμήν, εἰς πρόσωπον ὕβριζον. Ὁ δὲ λογισάμενος παρὰ τοῦ πατριάρχου ταῦτα γίνεσθαι, νυκτὸς ἀποστείλας τὸν ἔπαρχον, κατήγαγε τοῦ πατριαρχείου τὸν Μακεδόνιον τῷ εἰκοστῷ πρώτῳ ἔτει τῆς αὐτοῦ βασιλείας, καὶ εἰς Εὐχάϊτα αὐτόν ἐξορίζει, ἔνθα καὶ ὁσίως βιώσας ἐτελεύτησεν· ὅν φασι καὶ νεκρὸν κείμενον τῇ χειρὶ σφραγίσαι τὸν λαόν καὶ ἐπειπεῖν, Εἰρήνη πᾶσι.

Χειροτονεῖται δὲ ἀντ᾽ αὐτοῦ Τιμόθεος πατριάρχης Κωνσταντινουπόλεως, αἱρετικός καὶ ὁμόφρων Ἀναστασίῳ. Οὗτος πλεῖστα κατὰ τῆς ὀρθοδοξίας ἐπήγαγε. Βουληθεὶς δὲ ὁ Ἀναστάσιος προσθεῖναι τῷ Τρισαγίῳ τὸ, ὁ σταυρωθεὶς δι᾽ ἡμᾶς, πειθόμενος Σεβήρῳ τῷ Ἀκεφάλῳ, τὸν ἔπαρχον ἀπέστειλεν εἰς τὴν μεγάλην ἐκκλησίαν καὶ τὸν λογοθέτην | ἐκφωνῆσαι τοῦτο ἐπὶ τοῦ ἄμβωνος· ὡς δὲ ὥρμησαν ἐξειπεῖν, ὑπὸ τοῦ πλήθους ἐδιώχθησαν, καὶ γέγονε ταραχὴ μεγάλη, καὶ οἱ ὄχλοι πολλοὺς οἴκους ἐνέπρησαν, καὶ μοναχούς τινας φίλους τοῦ βασιλέως ἐφόνευσαν, ὧν εἷς ἦν καὶ ὁ ἐν τῷ ναῷ τοῦ ἁγίου Φιλίππου ἔγκλειστος πλησίον τῆς Μωκησίας κινστέρνης, ἥν ὁ Ἀναστάσιος ἔκτισε καὶ τὸν τοῦ ἁγίου Φιλίππου ναόν· ἀλλὰ καὶ τὸ ἀπὸ Σηλυβρίας ἕως τῆς Μεγάλης θαλάσσης παρεκτεινόμενον Μακρὸν τεῖχος αὐτὸς ἤγειρε.

Τότε δὲ φόβῳ συσχεθείς, ὑπέσχετο παύσασθαι τῆς κατὰ τῶν ἐκκλησιῶν μανίας, καὶ μόλις πεισθεὶς ἡσύχασεν ὁ λαός.

Τῷ δὲ εἰκοστῷ ἑβδόμῳ ἔτει τῆς βασιλείας αὐτοῦ, Τιμοθέου τοῦ αἱρετικοῦ τεθνηκότος, γίνεται πατριάρχης Ἰωάννης ὁ Καππαδόκης, καὶ κρατεῖ ἔτη β'. Ὁ δὲ βασιλεὺς Ἀναστάσιος εἶδεν ἐν ὁράματι ἄνδρα φοβερὸν κατέχοντα κώδικα, ὅν καὶ ἀναπτύξαντα καὶ τὸ τοῦ Ἀναστασίου ὄνομα εὑρηκότα, εἰπεῖν πρὸς αὐτόν· ἰδοὺ διὰ τὴν κακοπιστίαν σου ἀπαλείφω τῆς ζωῆς σου ἔτη ιδ'. καὶ ἀπήλειψε ταῦτα τῷ δακτύλῳ. Καὶ ἀστραπόβλητος γενόμενος ὁ Ἀναστάσιος θνήσκει ἐτῶν ϙχ', καὶ ἐτάφη ἐν τῷ ἡρῴῳ τοῦ μεγάλου Κωνσαντίνου, μετὰ Ἀριάδνης γυναικὸς αὐτοῦ, ἥτις καὶ προετεθνήκει αὐτοῦ.

Τοῦτον τὸν Ἀναστάσιον λέγεται ἀκούσαντα περί τινος ἐπισκόπου ὀρθοδόξου σοφοῦ καὶ διαλεκτικοῦ, προσκαλεσάμενον εἰπεῖν· γενοῦ τῆς ἐμῆς μοίρας, θαυμασιώτατε, καὶ πᾶν ὅπερ ἄν αἰτήσῃς, λήψῃ τάχιστα. Πρὸς ὅν ὁ ἐπίσκοπος· σὺ μᾶλλον τῆς τῶν ὀρξοδόξων μοίρας γενοῦ, καὶ μὴ τῇ αἱρέσει τῶν ἀσεβῶν Σεβήρου καὶ Εὐτυχοῦς ἑπόμενος, κληρονομήσῃς τὸ πῦρ τὸ αἰώνιον· καὶ δραξάμενος τῆς χλαμύδος τοῦ βασιλέως ἔφη· τοῦτο τὸ ἱμάτιον εἰς ᾅδην οὐ συγκαταβήσεταί σοι, βασιλεῦ, ἀλλὰ μόνη ἡ θεοσέβεια καὶ ἡ τῶν ἀρετῶν κτῆσις· ἄφες τὴν ἐκκλησίαν εἰρηνεῦσαι, ἥν ὁ Χριστὸς διὰ τοῦ ἰδίου αἵματος ἐξηγόρασεν· ἀμαθὴς γὰρ ὤν καὶ ἀσυλλόγιστος, οὐδὲν τῶν τῆς ἐκκλησίας δογμάτων ἐπίστασαι ἀκριβῶς, ἀλλ' ἤ πλάναις καὶ βωμολοχίαις μορμολύττεις τοὺς ἄφρονας· ἀρκοῦ εἰς τὸ σὸν ἀξίωμα, καὶ τοὺς τῶν ἐκκλησιῶν προστάτας μὴ κόλαζε. Ἐφ' οἷς καὶ καταισχυνθεὶς ἔμεινεν ἄφωνος. Ὁ δὲ σοφὸς ἐκεῖνος ἐπίσκοπος, καίτοι παντελῶς πένης ὤν, οὐκ ἐπείσθη παρὰ τοῦ βασιλέως λαβεῖν ἕως ἑνὸς νομίσματος· οὕτως ἦν ὁ ἐπίσκοπος ἐλευθέριος, καὶ μόνον τοῦ θεϊκοῦ σκοποῦ ἐξεχόμενος.

Φασὶ δὲ τοῦτον τὸν βασιλέα μεθ' ἡμέρας τοῦ ταφῆναι αἴφνης βοᾶν· ἐλεήσατε καὶ ἀνοίξατέ μοι. Τῶν δὲ μνημοραλίων (*)

(*) Σημείωσαι μνημωριαλίους οἱ πάλαι Ρωμαῖοι ἐκάλουν τοὺς τῷ

εἰπόντων, Ἄλλος βασιλεύει, εἰπεῖν, οὐδέν μοι μέλει, εἰς μοναστήριον ἀπαγάγετέ με· τῶν δὲ τότε μὴ ἀνοιξάντων, ὡς μετὰ καιρὸν συνέβη ἀνοιγῆναι τὸ μνῆμα, εὑρεθῆναι αὐτὸν ὑπὸ πείνης φαγόντα τοὺς βραχίονας αὐτοῦ καὶ τὰ καλήγια. Ἄλλοι δὲ φασι Ζήνωνα τοῦτο παθεῖν, διὰ τὸ συνεχῶς κρατεῖσθαι κατόχῳ νοσήματι, καὶ προσφιλιωθῆναι ζῶντος αὐτοῦ τὴν Ἀριάδνην τῷ Ἀναστασίῳ.

Ὑπερμέγεθες δὲ κατεπράχθη τῷ βασιλεῖ Ἀναστασίῳ καὶ θεῖόν τι χρῆμα, ἡ τοῦ καλουμένου χρυσαργύρου τελεία κωλύμη· τοῦτο δὲ τοιοῦτόν τι ἦν· ἐπέκετο τῇ τηλικαύτῃ τῶν Ῥωμαίων πολιτείᾳ τέλος ἐλεεινὸν καὶ θεομισὲς καὶ βαρβάρων αὐτῶν ἀνάξιον, μήτοι γε τῆς Ῥωμαίων χριστιανικωτάτης βασιλείας, ὅ μέχρις αὐτοῦ παροφθέν, αὐτὸς ἀνεῖλε βασιλικώτατα· ἐπέκειτο δὲ ἑτέροις τε πολλοῖς ἐξ ἐράνου τὴν τροφὴν πορίζουσι καὶ ταῖς ἀπεμπωλούσαις τὴν ὥραν τοῦ σώματος καὶ χύδην πορνείαις ἐπὶ χαμαιτυπείοις ἐκδεδομέναις, καὶ τοῖς ἡταιρηκόσι, καὶ μὴ μόνον τὴν φύσιν, ἀλλὰ καὶ τὸ πολίτευμα καθυβρίζουσιν, ὡς ἀντὶ νόμου τινὸς τὴν εἰσκομιδὴν βοᾷν, ἐπ' ἀδείας εἶναι τὴν τοιαύτην ἀθεμιτουργίαν τοῖς βουλομένοις, καὶ τὸν ἐντεῦθεν ἀθροιζόμενον πόρον ἀνόσιόν τε καὶ ἐναγῆ, ἀνὰ τετραετηρίδα οἱ τοῦτον ἑκασταχοῦ συλλέγοντες, εἰσῆγον ἐπὶ τὴν πρώτην τῶν ἀρχῶν, τὴν βασιλείαν φημί, ὡς καὶ μέρος οὐκ ἐλάχιστον τῆς ἀρχῆς καθεστάναι. Ὁ μεμαθηκὼς Ἀναστάσιος ἐπί τε τὴν γερουσίαν προθείς, καὶ μῦσος εἶναι καὶ ἄγος τὸ πρᾶγμα ἀποφηνάμενος, τεθέσπικε καθάπαξ ἀναιρεθῆναι, καὶ τοὺς τὴν εἴσπραξιν δηλοῦντας χάρτας πυρὶ παραδεδωκέναι· εἶτα τέλειον ἱερουργῆσαι τὴν πρᾶξιν τῷ θεῷ βουληθεὶς |, ἵνα μή τινι τῶν μετ' αὐτὸν ἐξῇ τοῦτο ἀνακαλέσασθαι, προσποιεῖται τὸν ἀσχάλλοντα, ἀβουλίας τε ἑαυτοῦ φ.

ἱερῷ τῆς Μνημοσύνης προσεδρεύοντας, ἐν ᾧ τὰ τῆς Ῥωμαϊκῆς βασιλείας ἀρχεῖα διεσώζετο, σπονδῶν τε ἐθνικῶν συνθῆκαι. (περιθ.)

κατηγορεῖ, ὅτι τὸν τοσοῦτον πόρον ἀνέκαθεν ἐφευρημένον εἰκῆ καὶ ἀπερισκέπτως ἀνῄρηκεν, οὐ συνεὶς τὰ ἐπαρτώμενα κινδυνεύματα, καὶ τὰς τῶν στρατιωτῶν δαπάνας, οἵ ζῶν τοῦ πολιτεύματος τεῖχος. Καὶ δὴ τοὺς ἐφεστηκότας προσκαλεσάμενος, ἔφασκε μεταμελεῖσθαι μὲν, οὐκ ἔχειν δὲ ὅτι καὶ πράξειν, τῶν χαρτῶν καυθέντων τῶν δηλούντων τὴν εἴσπραξιν, προὔτρεπέ τε καὶ παρεκάλει διὰ πάσης ἰόντας ἐρεύνης ζητῆσαι, εἴπερ εὑρεῖν δυνηθεῖεν χάρτην ταῦτα σαφηνίζειν δυνάμενον, καὶ τοῦτον πρὸς αὐτὸν ἀποκομισθῆναι. Ὡς δὲ μετὰ καιρὸν ἧκον οἱ πρὸς τοῦτο διακονούμενοι, καὶ πάντα χάρτην ὅς περὶ τούτων ἐδήλου προκεκομίκασιν, ἀνηρώτα ὅπως τε εὕρηται καὶ παρὰ τίσι, καὶ εἴ τι τοιοῦτο καταλέλειπται· τῶν δὲ πολλὰ κακῶς ἐπὶ τῇ τούτων συλλογῇ διϊσχυριζομένων, ὀμνύοντων τε ὡς οὐδεὶς χάρτης ταῦτα δηλοῦν δυνάμενος ἀνὰ πᾶν ἀπόκειται τὸ πολίτευμα, αὖθις πυρὰν ἐξῆψεν ἐκ τούτων, καὶ τὴν σποδιὰν ἐπέκλυσεν ὕδασιν ἀφανίσαι τέλεον τὴν πρᾶξιν βουλόμενος. Οὕτως ἔπραξέ τι καὶ θεοφιλὲς Ἀναστάσιος, εἰ καὶ τῷ πλείστῳ μέρει τὸ σέβας ἦν κάκιστος.

Ἰουστῖνος ὁ γέρων ἔτη θ΄. τούτῳ κόμητι ὄντι τῶν ἐξκουβιτόρων, δέδωκεν Ἀμάντιος ὁ πραιπόσιτος, ὁ τὸν ἐν τῇ Σιδηρᾷ ναὸν τοῦ ἁγίου ἀποστόλου Θωμᾶ κτίσας, ἐν τῷ θανάτῳ Ἀναστασίου, χρυσίον ἱκανὸν ἐπὶ τῷ ρογεῦσαι τὸν ὑπ' αὐτὸν λαὸν, δέξασθαι βασιλέα Θεόκριτον τὸν αὐτοῦ προσγενῆ· ὁ δὲ λαβὼν, ὑπὲρ ἑαυτοῦ τοῦτο ἐρρόγευσε, καὶ εὐθέως ἀνηγορεύθη βασιλεύς. Ἦν δὲ εὐσεβὴς, ὀρθόδοξος, καὶ δίκαιος· ἡνίκα γὰρ ἐβασίλευσεν, ἐκέλευσε διὰ θείου αὐτοῦ ἐγγράφου καὶ ἀποστολῆς τοὺς τῆς ἁγίας συνόδου τῆς ἐν Χαλκηδόνι χλ΄ ἐπισκόπους ἐν τοῖς ἱεροῖς διπτύχοις καταταγῆναι ἐν ἑκάστῃ ἐκκλησίᾳ. Τούτῳ γυνὴ βασίλισσα, Λουπικία, ἣ καὶ μετονομασθεῖσα Εὐφημία.

Τούτου τῷ τρίτῳ ἔτει τῆς βασιλείας τέθνηκεν ὁ πατριάρχης Ἰωάννης, καὶ χειροτονεῖται Ἐπιφάνιος, ὅς καὶ ἐκράτησεν ἔτη

ις'. Ὁ δὲ βασιλεὺς Ἀμάντιον καὶ Θεόκριτον καὶ Ἀνδρέαν ἀπέκτεινε, καὶ ἄλλους πολλοὺς τοὺς ὁμόφρονας Ἀναστασίῳ ἐξήλασε, καὶ πάντας δὲ τοὺς αἱρετικοὺς ἐπισκόπους τοὺς μὴ στοιχοῦντας τῇ ἁγίᾳ ἐν Χαλκηδόνι συνόδῳ τῶν ἁγίων ἐκκλησιῶν ἐξῶσε καὶ εἰς ἐξορίαν ἔπεμψεν. Ἐπὶ τούτου τοῦ βασιλέως καὶ τὰ κατὰ τὸν ἅγιον Ἀρέθαν τὸν μάρτυρα ἐπράχθη παρὰ τῶν Ὁμηριτῶν, καὶ ὁ κατ' αὐτῶν πόλεμος τοῦ βασιλέως Αἰθιόπων. Καὶ ἐν τῇ μεγάλῃ δὲ ἐκκλησίᾳ στάσεως γενομένης ὑπὸ τοῦ πάπα Ῥώμης Ἰωάννου, ἐλθόντος ἐν Κωνσταντινουπόλει διά τινα χρείαν, ἀφῃρέθησαν τῶν ἱερῶν διπτύχων τῇ συναινέσει πάντων Ἀκάκιος, Φραβίτας, καὶ Τιμόθεος οἱ ἐπίσκοποι Κωνσταντινουπόλεως, καὶ Ἀναστάσιος καὶ Ζήνων οἱ βασιλεῖς ὡς αἱρετικοί. Γέγονε δὲ καὶ διωγμὸς μέγιστος παρὰ τοῦ βασιλέως πάντων τῶν Μανιχαίων καὶ Νεστοριανῶν καὶ Σεβηριανῶν καὶ Εὐτυχιανῶν καὶ τῶν λοιπῶν αἱρετικῶν, καὶ οὕτως κατεπαύθη ἡ στάσις, καὶ ἡ πόλις εἰρήνευσεν. Ὁ δὲ βασιλεὺς Ἰουστῖνος, ἀναγορεύσας βασιλέα τὸν ἴδιον ἀνεψιὸν Ἰουστινιανὸν, θνήσκει ὡς ἐτῶν οε'. ζήσας καὶ βασιλεύσας εὐσεβῶς καὶ θεοφιλῶς.

Ἰουστινιανὸς ὁ μέγας ἔτη λθ'. τούτῳ ἦν βασίλισσα Θεοδώρα. Οὗτος ὁ βασιλεὺς διωγμὸν ἐκίνησε σφοδρὸν κατὰ Ἑλλήνων, καὶ πολλοὺς εὑρεθέντας ἐκόλασε· καὶ πᾶσαν δὲ ἄλλην αἵρεσιν ἐξεδίωξε τῶν ἐκκλησιῶν καὶ τῆς πόλεως, καὶ νόμους ἰδίους εὐσεβεστάτους ἐξέθετο, καὶ περὶ ἐπισκόπων καὶ ἡγουμένων καὶ οἰκονόμων ἐξεφώνησε, καὶ (γρ. μὴ) ἐξεῖναι διαθήκας συντάττειν, εἰ μὴ εἰς ἃ εἶχον πρὸ τοῦ γενέσθαι ἐπίσκοποι, ἢ ἐκ κληρονομίας περιῆλθον αὐτοῖς, ἃ δὲ ἐκτήσαντο μετὰ ταῦτα πάντα τῇ ἐκκλησίᾳ ἀφιεροῦσθαι. Ἐπὶ τούτου ἐγένετο καὶ στάσις μεγάλη δημοτικὴ ἐν τῇ πόλει, καὶ ἀνηγόρευσαν ἐν τῷ ἱπποδρομίῳ βασιλέα ἄλλον οἱ τοῦ Πρασίνου μέρους, Ὑπάτιόν τινα, ἀνεψιὸν τοῦ προβεβασιλευκότος Ἀναστασίου, πατρίκιον καὶ εὐφήμουν αὐτόν· καὶ πολλοὺς οἴκους κατέκαυσαν, ὥστε καὶ τὸν Ἰου-

*. στινιανὸν φοβηθέντα, βουληθῆναι φυγεῖν· ἀλλ' ὑπὸ θεοῦ προθυμοποιηθέντα, ἐγερθῆναι πρὸς ἄμυναν. Καὶ δὴ Ναρσῆς ὁ εὐνοῦχος καὶ ὁ στρατηγικώτατος καὶ εὐσεβὴς Βελισάριος διαναστάντες, τόν τε Ὑπάτιον τὸν νόθον βασιλέα ἀπέκτειναν, καὶ τοῦ τυραννήσαντος λαοῦ καὶ εὑρεθέντος τότε ἐν τῷ ἱππικῷ πλῆθος πολὺ, ὡσεὶ χιλιάδες τριάκοντα πέντε.

Οὗτος ὁ θειότατος βασιλεὺς, ὑπὸ τοῦ ἁγίου πνεύματος κινηθεὶς, ἐκ βάθρων αὐτῶν ἀνήγειρε τὸν θεοφύλακτον καὶ περιώνυμον ναὸν τῆς ἁγίας τοῦ θεοῦ λόγου Σοφίας, τοῦ πρότερον ὄντος πυρποληθέντος, καὶ ἀπετέλεσε θείᾳ χάριτι τὸν τοῦ θεοῦ οἶκον, οἷον ὅλος ὁ κόσμος οὗτος οὐδέποτε ἐκτήσατο, οὐδὲ μὴν κτήσαιτο, μεγέθει καὶ κάλλει καὶ ὀχυρότητι πάντας τοὺς ἀπ' αἰῶνος κτισθέντας ὑπερνικῶντα ναούς· ἤρχθη δὲ κτίζεσθαι τῷ [πέμπτῳ] ἔτει τῆς αὐτοῦ βασιλείας, ἀπὸ δὲ κτίσεως κόσμου ἔτους ϛμ'.

Τούτῳ τῷ δεκάτῳ ἔτει τῆς βασιλείας τελευτᾷ ὁ πατριάρχης Ἐπιφάνιος, καὶ μετατίθεται ἀπὸ τῆς ἐπισκοπῆς Τραπεζοῦντος Ἄνθιμος εἰς τὸ πατριαρχεῖον Κωνσταντινουπόλεως, καὶ ἐκράτησεν ἔτος ἕν· ἀλλὰ τοῦτον Ἀγαπητὸς ὁ πάπας Ῥώμης, ἐλθὼν ἐν Κωνσταντινουπόλει, ὡς αἱρετικὸν εὑρεθέντα καθεῖλε τῆς ἱερωσύνης, καὶ χειροτονεῖται ἀντ' αὐτοῦ ὑπὸ τοῦ αὐτοῦ πάπα πατριάρχης Μηνᾶς, ἀνὴρ εὐσεβέστατός τε καὶ ὁσιώτατος, καὶ κρατεῖ ἔτη ιϛ'. σύνοδόν τε ποιήσας μετὰ Ἀγαπητοῦ πάπα Ῥώμης καὶ ἐπισκόπων, ἀνεθεμάτισε Σεβῆρον καὶ Πέτρον καὶ Ἰουλιανὸν τὸν Ἁλικαρνασσέα, καὶ τὸν εἰρημένον Ἄνθιμον ὡς ὁμόφρονα τούτοις, καὶ ὅρον ἐξέθετο περὶ τῆς ὀρθοδόξου πίστεως, ὃν καὶ ἡ ἁγιωτάτη μεγάλη ἐκκλησία ἐτησίως συνήθειαν παρέλαβεν ἀναγινώσκειν μετὰ τῶν ἄλλων ἁγίων ἓξ συνόδων, ἀντὶ τοῦ τῆς πέμπτης συνόδου τοῦτον ἀναγινώσκοντες (1)· ἡ γὰρ ἁγία

(1) Σημείωσον ὅτι δύο σύνοδοι ἐπὶ τοῦ Ἰουστινιανοῦ ἐν Κωνσταν-

πέμπτη σύνοδος, εἰ καὶ ἐπὶ τοῦ αὐτοῦ βασιλέως Ἰουστινιανοῦ συνεκροτήθη, ἀλλ' ὁ πατριάρχης Εὐτύχιος Κωνσταντινουπόλεως πρόεδρος τότε τῆς συνόδου, ὅς μετὰ τὸν Μηνᾶν ἦν, καὶ σύνοδον κατὰ Ὠριγένους καὶ τῶν ἄλλων αἱρετικῶν συνεκρότησεν οἰκουμενικὴν, καὶ οὐχὶ κατὰ Σεβήρου· καὶ ἀπὸ τῆς ὑπὸ τοῦ Μηνᾶ προβάσης μερικῆς συνόδου καὶ τοῦ πάπα Ἀγαπητοῦ μέχρι τῆς ἐπὶ Εὐτυχίου τοῦ ἁγιωτάτου οἰκουμενικοῦ πέμπτης ἁγίας συνόδου ἔτη παρίππευσαν ὡσεὶ ὀκτωκαίδεκα. Ὁ δὲ πάπας Ἀγαπητὸς ἔτι ἐνδημῶν τῇ Πόλει θνήσκει.

Ἐπὶ τούτου τοῦ βασιλέως συνέστησαν οἱ Οὐανδηλικοὶ πόλεμοι, καὶ ἐχειρώσατο ὁ μέγας τῶν Ρωμαίων στρατηγὸς Βελισάριος τὴν Ἀφρικήν· ἔχει δὲ τὰ τῆς ὑποθέσεως ὡς ἐν ἐπιτομῇ ὧδε. Γιζερίχου τοῦ ρηγὸς Οὐανδήλων τεθνηκότος, καὶ τοῦ μετ' αὐτὸν Ὀνωρίχου, υἱοῦ αὐτοῦ, τῶν τῆς αἱρέσεως Ἀρείου, γέγονε ρὴξ τῶν αὐτῶν Οὐανδήλων, Ἰλδέριχος ὁ Ὀνωρίχου παῖς, ἀνὴρ πρᾶος καὶ οὐ βιαζόμενος τοὺς χριστιανοὺς ὡς οἱ πρὸ αὐτοῦ, ἀλλὰ καὶ πρὸς πολέμους λίαν μαλακός· ἦν δὲ Ἰουστινιανοῦ πρὸ τοῦ βασιλεῦσαι φίλος γνησιώτατος· τοῦτον Γελίμερ τις, συγγενὴς αὐτοῦ, ἀνὴρ δεινότατος, ἐπαναστὰς καθεῖλε τῆς ἀρχῆς, καὶ ἐν εἱρκτῇ καθεῖρξε σὺν τῇ γυναικὶ αὐτοῦ· ἐπαρθεὶς δὲ τῇ τυραννίδι, γράφει πρὸς Ἰουστινιανὸν βασιλέα περὶ ἑαυτοῦ ὑπεραπολογούμενος δῆθεν, καὶ αἰτῶν τὴν παρ' ἐκείνου εὔνοιαν. Ὁ δὲ βασιλεὺς πάνυ λυπηθεὶς ὑπὲρ τοῦ φίλου, στόλον ἐξοπλίζει μετὰ στρατοῦ πολλοῦ κατὰ Λιβύης καὶ Γελίμερ, καὶ στρατηγὸν αὐτοκράτορα πάντων ἀποδείξας τὸν ἐνδοξότατον πατρίκιον Βελισάριον, πέμπει κατ' αὐτοῦ. Ὁ δὲ Βελισάριος καταλαβὼν τὴν Λιβύην, ἐξῆλθε μετὰ παντὸς τοῦ στρατοῦ εἰς τὴν ἤπειρον· ἀλλὰ τοῦ λαοῦ παντὸς εἰς ἁρπαγὰς

τινουπόλει συνεκροθήτησαν, ὧν ἡ μία καὶ οἰκουμενικὴ πέμπτη ἐτάχθη λέγεσθαι (περ.).

χωροῦντες καὶ κοῦρσα, ὁ εὐσεβὴς στρατηγὸς καὶ θειότατος, συναγαγὼν ἅπαν τὸ πλῆθος καὶ τοὺς αὐτῶν ἡγεμόνας, ἐφ' ὑψηλοῦ στὰς ἐν τῷ μέσῳ λέγει πρὸς αὐτούς· Οἴδατε, ἀδελφοὶ καὶ φίλοι, ὅτι τὸ βιάζεσθαι καὶ τὰ ἀλλότρια σιτίζεσθαι, ἄδικόν ἐστι καὶ βλαβερὸν ἐν παντὶ μὲν καιρῷ, ἐξαιρέτως δὲ ἐν κινδύνοις, ὅτε καὶ τὸν δίκαιον θεὸν εἰς βοήθειαν ἐπικαλούμεθα· ἐγὼ γὰρ ἐν αὐτῷ τὸ θαρρεῖν ἔχων, εἰς τὴν γῆν ταύτην ἡμᾶς ἐξήγαγον, ὅπως τῇ δικαιοσύνῃ καὶ τῇ ἀγαθοεργίᾳ τόν τε θεὸν θεραπεύσωμεν, καὶ τοὺς ἐν Λιβύῃ πρὸς ἡμᾶς ἐπισπασώμεθα· αὕτη δὲ ἡ ὑμῶν ἀπληστία εἰς τοὐναντίον ἡμῖν ἀποβήσεται· τόν τε γὰρ θεὸν ἐχθρανοῦμεν, καὶ τοὺς ἐνταῦθα Λίβυας συμμαχεῖν Οὐανδήλοις παρασκευάσομεν· ἀλλὰ τῷ ἐμῷ λόγῳ πειθόμενοι, ὠνούμενοι τὰς τροφὰς κομίζεσθαι, καὶ μήτε ἄδικοι δόξωμεν εἶναι, μήτε τῶν Λιβύων τὴν φιλίαν εἰς ἔχθραν μετατρέψωμεν· ἀποσείσασθε κέρδος μεστὸν κινδύνων, καὶ θεὸν ὑπὲρ τῶν προημαρτημένων ἐξιλεώσασθε. Ταῦτα τῷ στρατῷ ὑποθέ-
9. μενος ὁ στρατηγὸς, καὶ νουθετήσας, | τοσοῦτον ἀπέστησε τοῦ ἀδικεῖν τινας, ὥστε καὶ πάσας τὰς ἐκεῖσε πόλεις καὶ τὰ χωρία ἔξω τειχῶν ἀγορὰς ποιεῖν, καὶ προτίθεσθαι τὰ χρειώδη εἰς ἐξώνησιν, ὡς μηδενὸς πολεμίου ὄντος, ἀλλὰ συνήθων πάντων καὶ φίλων, καὶ βαδίζειν ἀδεῶς ἕκαστον πᾶν ὅτι βούλοιτο ἐπιφερόμενον ἐν μέσῳ τοσούτου πλήθους. Ὅθεν καὶ τῷ καινῷ τούτῳ πράγματι πάντες οἱ τῆς χώρας ἐκείνης ἄνθρωποι τὰς πύλας τῶν πόλεων ἀναπεταννύοντες, τὸν Βελισάριον ὡς θεοῦ ἄνθρωπον εἰσεδέχοντο, χαίροντες καὶ εὐφημοῦντες, τοὺς δὲ τοῦ Γελίμερ στρατηγοὺς καὶ φύλακας αὐτῷ παρεδίδουν. Καὶ πρώτη τῶν ἄλλων πόλεων ἡ μεγάλη Καρχηδὼν, ἡ βασιλὶς καὶ μητρόπολις τῶν ἐν Λιβύῃ, τοῦτον μετὰ κηρῶν καὶ λαμπάδων καὶ λιτανείας εἰσεδέξατο, ἔνθα καὶ τὰ βασίλεια ἦν τοῦ Γελίμερ. Πολέμων δὲ διαφόρων κινηθέντων μεταξὺ Βελισαρίου καὶ Γελίμερ, πάντας θεοῦ συνεργίᾳ ὁ τῶν Ῥωμαίων στρατηγὸς ἐνί-

κησε, καὶ τὰς ὅλας τῶν Μαυρουσίων ἐθνῶν καὶ Οὐανδήλων χώρας σὺν τῇ Ἰταλίᾳ καὶ τοῖς ἑσπερίοις μέρεσι καὶ αὐτῇ δὲ τῇ περιδόξῳ παλαιᾷ Ῥώμῃ τῇ Ῥωμαϊκῇ ὑπέταξεν ἐπικρατείᾳ· τεσσαράκοντα γὰρ ἡμερῶν ὁδὸν ἀπὸ τῆς θαλάσσης ἐληΐσατο, καὶ ἐκυρίευσε πάντων, αὐτόν τε τὸν Γελίμερ σὺν γυναικὶ καὶ τέκνοις, καὶ τὸν ἅπαντα πλοῦτον τῆς Ἀφρικῆς, καὶ ὃν Γιζέριχος τὴν Ῥώμην ἐξανδραποδισάμενος θησαυρὸν ἀφείλετο, χρυσόν τε καὶ ἄργυρον, ὧν τὸν ἀριθμὸν εἰπεῖν οὐκ ἔστι, συναγαγών, στρατηγούς τε καὶ λαοῦ πλῆθος Ῥωμαϊκὸν ἐκεῖσε καταλείψας, νικητὴς μέγας εἰς Κωνσταντινούπολιν ὁ στρατηγὸς ἐπανέζευξεν. Ὃν καὶ φιλοτίμως ὁ βασιλεὺς Ἰουστινιανὸς ἀπεδέξατό τε καὶ ἐφιλοτιμήσατο, θρίαμβόν τε ἐποίησε λαμπρότατον ἐν μέσῃ τῇ πόλει, αὐτόν τε τὸν Βελισάριον λαμπρῶς ἠμφιεσμένον, καὶ τούτου ἔμπροσθεν πάντα τὰ λάφυρα, καὶ αὐτὸν τὸν ῥῆγα Γελίμερ πεζῇ προπομπεύοντα παρήγαγον ὡς εἰκός· ἀλλὰ καὶ ἐν τῷ ἑνὶ μέρει τοῦ νομίσματος ἑαυτὸν ἠθέλησεν ἐγχαράξαι, Βελισάριον δὲ ἔνοπλον ἐν τῷ ἑτέρῳ, καὶ ἐπιγράψαι, Βελισάριος ἡ δόξα τῶν Ῥωμαίων.

Οὐκ ἐν τούτῳ δὲ μόνῳ τῷ πολέμῳ τὸ τοῦ Βελισαρίου ὑπερβάλλον φρόνημα ἐφάνη, ἀλλὰ καὶ ἐν αὐτῇ τῇ Ῥώμῃ διαφόρως πολεμήσας τοὺς ἐκεῖ πάντας ὑπέταξε· καὶ ἐν τῇ Ἀνατολῇ δὲ πρὸς τῶν Περσῶν βασιλέα ἐκστρατεύσας, τοσοῦτον αὐτὸν ἐπτόησε τῷ μεγέθει τῆς παρατάξεως καὶ τοῦ φρονήματος, ὡς παρασκευάσαι αὐτὸν παρακαλεῖν περὶ εἰρήνης, καὶ μείζονα γενέσθαι τῇ δόξῃ τότε ἢ ὅτε πᾶσαν Λιβύην ὑπέταξεν. Ἀλλὰ καὶ τοῖς Θρακῴοις μέρεσι καὶ αὐτοῦ που τῆς Κωνσταντινουπόλεως ἐγγὺς ἐπελθόντας καὶ ληϊζομένους Γότθους, πλῆθος ἄπειρον, φρονήσει καὶ εὐτυχίᾳ μόνῃ καταστρατηγησάμενος, ἐτροπώσατο, δειλίαν αὐτοῖς ἐμβαλών, καὶ φεύγειν ἀναγκάσας, ὡς καὶ ὑπ' ἀλλήλων συμπατουμένους θνήσκειν, καὶ τὰ αὐτῶν ἅπαντα ῥίπτοντας καθ' ὁδὸν ἀφανίζεσθαι. Ἀλλ' οὐκ εἰς τέλος

ὁ τοιοῦτος καὶ τοσοῦτος τὰ τοῦ φθόνου διέδρασεν, ἀλλὰ διαβληθεὶς μετέστη τῆς ἀρχῆς καὶ τῆς δόξης, καὶ τῇ λύπῃ καταπο[νη]θείς, θνήσκει ἐν τῷ οἴκῳ αὐτοῦ.

Τῷ δὲ εἰκοστῷ ἕκτῳ ἔτει τῆς βασιλείας Ἰουστινιανοῦ θνήσκει ὁ πατριάρχης Μηνᾶς, καὶ καθίσταται ὁ ἐν ἁγίοις Εὐτύχιος, καὶ ἐπεσκόπησεν ἔτη ιβʹ καὶ μῆνας εʹ.

Τῷ δὲ κζʹ ἔτει τῆς βασιλείας Ἰουστινιανοῦ, ἀπὸ δὲ κτίσεως κόσμου ἔτει ͵ςμζʹ. συνεκροτήθη ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος τῶν ρξεʹ ἁγίων πατέρων ἐν Κωνσταντινουπόλει, ὧν οἱ ἐπισημότεροι Βιγίλλιος πάπας Ῥώμης ἐν Κωνσταντινουπόλει παρών, μὴ θελήσας δὲ συνεδριάσαι τῇ συνόδῳ, ἀλλὰ διὰ Λιβερίου (*) αὐτοῦ καὶ τοποτηρητῶν σύμψηφος γεγονώς, Εὐτύχιος Κωνσταντινουπόλεως, Ἀπολινάριος Ἀλεξανδρείας, Δόμνος Ἀντιοχείας καὶ ἀντὶ τοῦ Ἱεροσολύμων, Εὐτύχιος, Δίδυμος, καὶ Εὐάγριος, καὶ οἱ λοιποί· συνῆλθον δὲ κατὰ Ὠριγένους καὶ τῶν τὰ ἐκείνου μυσαρὰ δόγματα διαδεξαμένων Εὐαγρίου καὶ Διδύμου, τῶν πάλαι ἀκμασάντων, οἵτινες ἐληρῴδουν προϋπάρχειν τὰς ψυχὰς τῶν σωμάτων, καὶ τέλος εἶναι τῆς κολάσεως, καὶ μὴ ἀνίστασθαι αὐτὰ ἃ νῦν περικείμεθα σώματα· καὶ ταῦτα, τοῦ Ἀποστόλου λέγοντος, δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν· τοῦτο οὐκ ἄλλο· καὶ παράδεισον αἰσθητὸν μὴ γενέσθαι ὑπὸ θεοῦ, μήτε εἶναι, καὶ ἐν σαρκὶ μὴ πλασθῆναι τὸν Ἀδάμ, καὶ δαιμόνων εἰς τὸ ἀρχαῖον ἀποκατάστασιν, καὶ ἕτερα βλασφημίας καὶ ἀσεβείας μεστά· ἅπαντα ἕως μὲν εἰς τὸν φανερὸν οὐκ ἐξεφέροντο, ἀλλ' ἐν τῷ κρυπτῷ ὑπο-
29'. σμυχόμενα ἦσαν, οὐδὲ ἐθριαμβεύθησαν, | ὁπηνίκα δὲ ἐξεφάνη, καὶ λαὸν ἤρξατο κατανέμεσθαι, ὑπὸ τῆς εἰρημένης τῶν ρξεʹ πατέρων συνόδου ἀπηλέγχθη καὶ ἀνεθεματίσθη. Πρὸς τούτοις,

(*) Πιθανῶς γραπτέον διὰ λιβέλλου· βλ. Κεδρηνόν, 1, 720, ἔκδ. Migne.

τῷ Ὠριγένει δηλονότι καὶ Διδύμῳ καὶ Εὐαγρίῳ, ἀπεκηρύχθη καὶ Θεόδωρος ὁ Μοψουεστίας, ὁ τοῦ Νεστορίου διδάσκαλος, σὺν τοῖς αὐτοῦ βλασφήμοις συντάγμασιν, ἄλλον εἶναι τὸν θεῖον λόγον τερατευόμενος, καὶ ἄλλον τὸν Χριστὸν, ὑπὸ τῶν τῆς ψυχῆς καὶ τῶν σαρκικῶν ἐπιθυμιῶν ἐνοχλούμενον, καὶ τῶν χειρόνων κατὰ μικρὸν ἀφιστάμενον, καὶ πρὸς τὰ κρείττω, τῇ προκοπῇ τῶν ἔργων ἀναδραμόντα, καὶ τῇ ἀρίστῃ πολιτείᾳ γενόμενον ἄμωμον· ἔτι ἐβλασφήμει, καὶ ὡς ψιλὸν ἄνθρωπον, ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος βαπτισθῆναι, καὶ διὰ τοῦ βαπτίσματος τὴν χάριν τοῦ ἁγίου πνεύματος εἰληφέναι, καὶ υἱοθεσίας ἀξιοῦσθαι, καὶ καθ' ὁμοίωσιν βασιλικῆς εἰκόνος εἰς πρόσωπον τοῦ θεοῦ λόγου τὸν Χριστὸν προσκυνεῖσθαι, καὶ μετὰ τὴν ἀνάστασιν ἄτρεπτον ταῖς ἐννοίαις γεγενῆσθαι, καὶ ἕτερα βλασφημίας πάσης ἐπέκεινα. Πρὸς τούτοις ἠθέτησεν ἡ ἁγία αὕτη σύνοδος καὶ τὰ κακῶς παρὰ Θεοδωρίτου συγγραφέντα κατὰ τῶν δώδεκα κεφαλαίων τοῦ ἐν ἁγίοις Κυρίλλου, καὶ τὴν τοῦ Ἴβα πρὸς Μάρην τινὰ Πέρσην ἐπιστολήν.

Οὗτος ὁ βασιλεὺς κτίζει καὶ τὸν ἐν τῇ Πηγῇ τῆς Θεοτόκου θεῖον οἶκον, καὶ ἄλλους δὲ πλείστους ναοὺς ἀνεγείρει κατά τε τὴν Κωνσταντινούπολιν καὶ ἐν πάσαις ταῖς ὑπὸ τὴν Ῥωμαϊκὴν ἐπικράτειαν χώραις καὶ πόλεσι.

Τῷ δὲ λʹ ἔτει αὐτοῦ τὸ περὶ φθαρτοῦ καὶ ἀφθάρτου κινήσας δόγμα, καὶ ἴδικτον ἐκθέμενος ἀλλότριον τῆς ἐκκλησίας, τὸν πατριάρχην Εὐτύχιον ἠνάγκαζεν ἐν αὐτῷ ὑπογράψαι· οὕτως δογματίζων τὸν Κύριον πρὸ τοῦ πάθους φαγεῖν, ὥσπερ μετὰ τὴν ἀνάστασιν ἔφαγεν, ὡς τῶν φυσικῶν καὶ ἀδιαβλήτων παθῶν ἀνεπίδεκτον· εἰ δὲ τοῦτο φαντασία, καὶ τὰ τοῦ κυριακοῦ πάθους πάντα, αἵ τε τρήσεις τῶν ἥλων, καὶ τῆς λόγχης ἡ νύξις, καὶ ἡ ῥύσις τοῦ αἵματος, οὕτως τὸ ἄτοπον τῶν λεγόντων ἄφθαρτον πρὸ τῆς ἀναστάσεως τὸ τοῦ Κυρίου σῶμα ἐλέγχεται. Ἔνθεν τοι καὶ μὴ πεισθέντα ὑπογράψαι τὸν Εὐτύχιον, τῆς ἐκ-

κλησίας ἐξῶσε, καὶ εἰς Ἀμάσειαν, ὅθεν καὶ ὥρμητο, ἐξαπέστειλεν· ἀνάγεται δὲ εἰς τὸν θρόνον Ἰωάννης ὁ Σχολαστικός, καὶ ἐκράτησεν ἔτη ιϐ΄.

Θεοδώρα δὲ ἡ βασιλίς προετεθνήκει τοῦ ἀνδρός ἄπαις· ἀπεϐίω δὲ καὶ Ἰουστινιανός, ὢν ἐτῶν πδ΄, καὶ ἐτέθη ἐν τῷ ναῷ τῶν Ἀποστόλων.

Ἰουστῖνος ὁ ἀνεψιός αὐτοῦ ἔτη ιγ΄. Τούτῳ ἦν γαμετὴ βασίλισσα Σοφία, πάνυ εὐσεϐεστάτη, ἥτις ἐπισυναγαγοῦσα διὰ βασιλικῆς κελεύσεως πάντα τὰ ἐν Κωνσταντινουπόλει ἐνέχυρα καὶ γραμματεῖα τῶν δανείων, οἴκοθεν αὐτὴ ἀνελλιπῶς ἀπέδωκε τοῖς δανείσασι τὰ χρέη, καὶ τὰ ἐνέχυρα τοῖς ἰδίοις ἐδωρήσατο δεσπόταις, διαρρήξασα τὰ γραμματεῖα, ἃ συνήθως ἀποδείξεις καλοῦμεν· καὶ μεγάλως ἐν τούτῳ ὑπὸ πάντων ἐδοξάσθη.

Οὗτος ὁ βασιλεὺς, φιλοκτίστης ὢν καὶ φιλόκαλος, μεγάλως ἐπεκόσμησε τὰς ὑπὸ τοῦ Ἰουστινιανοῦ κτισθείσας ἐκκλησίας, τήν τε ἁγίαν Σοφίαν, καὶ τοὺς ἁγίους Ἀποστόλους, χαρισάμενος αὐταῖς ἱερὰ κειμήλια καὶ προσόδους. Οὗτος κτίζει καὶ παλάτια ἐξαίσια, καὶ ὠνόμασεν αὐτὰ τῷ τῆς βασιλίσσης ὀνόματι, τὰ Σοφίας. Ἀλλὰ καὶ τὸν ἐν παλατίῳ λεγόμενον χρυσοτρίκλινον ἐκ θεμελίων, καὶ τὸν ἐν τῷ ὀρφανοτροφείῳ ναὸν τῶν ἁγίων Ἀποστόλων Πέτρου καὶ Παύλου, καὶ τὰς δύο δὲ ἀψῖδας ἐν τῷ μεγάλῳ ναῷ τῶν Βλαχερνῶν οὗτος προσέθηκε. τὴν δὲ ἐσωτέραν ἐκκλησίαν τῆς ἁγίας Σοροῦ ὁ μέγας Λέων ἀνήγειρεν, ὅτε ἡ τῆς Θεοτόκου εὑρέθη ἐσθής. Οὗτος ὁ βασιλεὺς συνεχῶς νοσηλευόμενος ἐκωλύετο συχνὰ τὰς προελεύσεις ποιεῖν· ὅθεν οἱ πλούσιοι τὰ τῶν πενήτων ἥρπαζον· καί ποτε ὡς ἔθος ἐπὶ τὴν τῆς ἐκκλησίας προέλευσιν ἐρχομένῳ προσῆλθόν τινες ἐλέους τυχεῖν δεόμενοι, καὶ ῥυσθῆναι τῶν καὶ ὑπὲρ δύναμιν ἀδικιῶν· καὶ ὁ βασιλεὺς οὐ μικρῶς ἀνιαθεὶς, τὴν σύγκλητον προσκαλεσάμενος ἔφη: ἐγὼ μὲν ᾤμην ἅπαντας ὑμᾶς εὐσεϐεῖς τε καθίσταθαι, καὶ τοῖς ἰδίοις ἀρκεῖσθαι, καὶ μηδένα

τῶν πτωχῶν ἀδικεῖν· ὑμεῖς δὲ τὰ ἐναντία μᾶλλον, ἃ καὶ θεὸν παροξύνει, κἀμὲ λυπεῖ πράσσετε· ἀλλὰ παρακαλῶ, ἀπόδοτε τοῖς πένησι τὰ παρ' ὑμῶν ἀφῃρημένα, μή ποτε καὶ τὰ ἴδια ἀπολέσητε. Οἱ δὲ χείρονα ἔπραττον, ὑπὸ τῆς συνηθείας ἑλκόμενοι, καὶ τῆς τοῦ βασιλέως καταφρονοῦντες πρᾳότητος. Ὅθεν καὶ πολλοῦ πλήθους ἐν ἑτέρᾳ προελεύσει μετὰ δακρύων καταβοησάντων, πρὸς τὴν σύγκλητον ὁ βασιλεὺς αὐστηροτέροις ἐχρήσατο λόγοις, τὴν ἀδικίαν διορθούμενος. | Τότε τις τῶν ἐν φ. τέλει παρρησιασάμενος ἔφησε· βασιλεῦ, εἰ τῶν ἀδικουμένων κήδῃ, προχειρισάτω με ἡ βασιλεία σου ἁπάντων ἐνώπιον ἔπαρχον, καὶ διορισάτω μηδενὸς φείδεσθαι, τοῦ δικαίου ἕνεκα· δοθήτω δέ μοι καὶ ἀκωλύτως πρὸς σὲ εἰσέρχεσθαι, καὶ τὰ ἀνήκοντα ὑπομιμνήσκειν τὸ κράτος σου, καὶ βεβαιῶ ἐν ὅρκῳ ὡς ἕως ἡμερῶν τριάκοντα μὴ εὑρεθῆναι ἐν τῇ πόλει σου ἀδικούμενον, εἰ δὲ τις εὑρεθῇ, τὴν κεφαλήν μου ἀπότεμε. Τούτων ἀκούσας ὁ βασιλεύς, καὶ τὸν ἄνδρα ἀποδεξάμενος τῆς προθέσεως, παρευθὺ προχειρίσατο ἔπαρχον. Ἕωθεν οὖν τῷ τοιούτῳ ἐπάρχῳ ἐπὶ τοῦ συνήθους βήματος προκαθίσαντι, προσῆλθε χήρα τις γυνή, καταβοῶσα τινὸς τῶν μαγίστρων, συγγενοῦς τοῦ βασιλέως, ἁρπάσαντος ὅλην τὴν περιουσίαν αὐτῆς. Ὁ δὲ ἔπαρχος σφραγῖδα στείλας μετεκαλεῖτο τὸν μάγιστρον ἀπολογησόμενον· ἐκείνου δὲ μηδὲ ἀκοῦσαι τὸ μήνυμα καταδεξαμένου, πάλιν ἕνα τῶν τῆς τάξεως ἀποστείλας παρεκάλει ἐλθεῖν. Ὁ δὲ μάγιστρος καὶ τὸν σταλέντα παραλογισάμενος, εἰς τὸ τοῦ βασιλέως μᾶλλον ἀπῆλθε κλητώριον, ἐκεῖ γὰρ ἔτυχε τότε προσκληθείς. Ὁ δὲ ἔπαρχος μὴ φέρων τὴν καταφρόνησιν, ἐξαναστὰς ἐπορεύθη εἰς τὰ βασίλεια, καὶ μηνυθεὶς εἰσῆλθεν ἤδη τῆς ἑστιάσεως τελουμένης, καὶ προσκυνήσας ἔφη· εἰ μὲν ἃ προσέταξάς μοι, ὦ βασιλεῦ, μὴ φείδεσθαι τῶν ἀδικούντων τοὺς πτωχούς, εἴ τινες ἂν ὦσι, στέργεις, γνῶθί με πληροῦντα τὴν ὑπόσχεσιν· εἰ δὲ μεταμεληθείς, φίλους μᾶλλον σεαυτῷ ποιεῖς καὶ συνεστιᾷ τού-

τοις, ἴσθι κἀμέ τὴν τοιαύτην παραιτούμενον ἐνοχήν. Τότε ὁ δικαιότατος καὶ φιλόπτωχος βασιλεὺς φησὶ πρὸς αὐτόν· εἰ ἐγώ εἰμι ὁ ἀδικῶν, ἐξανάστησόν με τοῦ θρόνου· εἰ δὲ ἄλλος τις τῶν συνεστιωμένων μοι, μὴ φείδου. Καὶ ὁ ἔπαρχος αὐτίκα τὸν μάγιστρον καὶ τοῦ βασιλέως προσγενῆ τῆς τραπέζης ἄρας, ἐν τῇ λεγομένῃ Χαλκῇ ἀπήγαγε καὶ τὰ λεγόμενα ὑπό τε τῆς γυναικὸς καὶ τοῦ μαγίστρου ἀκριβολογησάμενος, καὶ γνοὺς ὡς ἠδίκηται ἡ χήρα χαλεπῶς ὑπ' αὐτοῦ, ἀπογυμνώσας τὸν μάγιστρον, βοείαις ἔτυψεν ἑκατὸν, καὶ τὴν κεφαλὴν καὶ τὸ γένειον ἀποκείρας τῶν τριχῶν, καὶ ψιλώσας, καὶ ὄνῳ γυμνῷ ἐπικαθίσας, ἐν πάσαις ταῖς ὁδοῖς τῆς πόλεως αὐτὸν ἐθριάμβευσε, στηλιτεύων τὴν αὐτοῦ πλεονεξίαν, τῇ τε ἀδικηθείσῃ γυναικὶ τὴν αὐτοῦ περιουσίαν καὶ τὸν οἶκον διὰ χρυσοβούλλου βασιλικοῦ ἐδωρήσατο. Καὶ ἐκ τούτου σωφρονισθέντες ἅπαντες, τό τε τοῦ βασιλέως ἰδόντες φιλοδίκαιον, καὶ τὸ τοῦ ἐπάρχου ἰσχυρογνώμον, τοῖς παρ' αὐτῶν ἠδικημένοις κατηλλάγησαν· καὶ γέγονεν εἰρήνη μεγάλη, ὥστε καὶ τὸν βασιλέα θαυμάσαντα παρ' ὅλην αὐτοῦ τὴν ζωὴν ἀδιάδοχον ἀφεῖναι τὸν ἔπαρχον.

Οὗτος ὁ βασιλεὺς καὶ τὸν ἀγωγὸν ἀνακτίζει τοῦ ὕδατος, καὶ τὸν ναὸν τοῦ Ἀρχιστρατήγου τοῦ Ἄδα οἰκοδομεῖ. Τούτου τῷ δωδεκάτῳ ἔτει μεθίσταται τοῦ βίου ὁ πατριάρχης Ἰωάννης, καὶ ἀναβιβάζεται πάλιν ὁ ἐν ἁγίοις Εὐτύχιος, καὶ κρατεῖ τὸ δεύτερον ἔτη τέσσαρα.

Ὁ δὲ βασιλεὺς ἰδιοποιησάμενος Τιβέριον, διὰ τὰς κατ' ἐχθρῶν νίκας, καίσαρα ἀνηγόρευσε, καὶ συγκαλεσάμενος τόν τε πατριάρχην καὶ τὴν σύγκλητον, προαγαγὼν τὸν Τιβέριον, προεβάλλετο αὐτὸν βασιλέα, εἰπὼν ταῦτα πρὸς αὐτόν: ὁ ἀγαθύνας σε θεὸς, αὐτός σοι τὸ σχῆμα τοῦτο δέδωκεν, οὐκ ἐγώ· δόξασον αὐτὸν, ἵνα δοξασθῇς ὑπ' αὐτοῦ· μὴ ἐπιχαρείης αἵμασι, μὴ κοινωνήσῃς φόνοις, μὴ κακὸν ἀντὶ κακοῦ ἀποδώσεις· μὴ ἐπὶ μήνιδι ὁμοιωθῇς ἐμοί· ἐγὼ γὰρ ὡς ἄνθρωπος ἔπταισα, καὶ ἀπέ-

λαβον κατὰ τὰς ἁμαρτίας μου· ἀλλὰ ἐπὶ τῷ θεῷ δικάσομαι μετὰ τῶν ποιησάντων μοι τοῦτο· μὴ ἐπαιρέτω σε τὸ τῆς βασιλείας ἀξίωμα· οὕτω βλέπε πάντας ὡς σεαυτὸν, καὶ γὰρ καὶ σὺ εἷς ἐξ αὐτῶν ὑπῆρχες, καὶ ὁ θεὸς ἀνήγαγέ σε εἰς ὅ νῦν διαπρέπεις. Οἶδα τίς ἤμην, καὶ τίς εἰμι νῦν, καὶ τίς ἔσομαι μετὰ μικρόν· τὸν θάνατον πρὸ τῶν ὀφθαλμῶν ὁρῶ. Οὗτοι πάντες δοῦλοί σού εἰσι καὶ τέκνα σου. Οἶδας ὅτι τῶν σπλάγχνων προετιμησάμην σέ· τίμησον τὴν μητέρα σου τὴν δέσποιναν πρῶτον, ἧς δοῦλος αὐτῆς, νῦν δὲ υἱός· πρόσεχε τῷ στρατῷ ἀνάνδρους καὶ ἀσυνέτους μὴ θέλε προχειρίζεσθαι· μή σέ τινες πειθέτωσαν λέγοντες, ὅτι καὶ οἱ πρὸ σοῦ οὕτως ἐποίουν· οἱ ἔχοντες περιουσίας, ἀπολαβέτωσαν αὐτῶν· τοῖς μὴ ἔχουσιν, εἰ ἀγαθοί εἰσι, δίδου. Ταῦτα τοῦ βασιλέως διαλεγομένου, ὁ καῖσαρ εἰς τοὺς πόδας αὐτοῦ πίπτει, ὅν καὶ ἀναστήσας λέγει ὁ βασιλεύς· εἰ θέλεις, εἰμί· ἤ οὐ θέλεις, οὐ ζῶ· ὁ θεὸς οὐρανοῦ καὶ γῆς ποιητὴς ἐμβαλεῖ σου εἰς τὴν καρδίαν καὶ ἅ ἐπελαθόμην σοι εἰπεῖν. Καὶ ὀλίγον ἐπιβιώσας θνήσκει ὡς ἐτῶν ἑξήκοντα καὶ ἑπτά.

Τιβέριος ἔτη τέσσαρα· οὗτος εἶχε γυναῖκα βασίλισσαν Ἀναστασίαν, καὶ θυγατέρας δύο, Χαριτὼ καὶ Κωνσταντίναν· καὶ τὴν μὲν Χαριτὼ πρὸς γάμον ἐξέδωκε Γερμανῷ πατρικίῳ | τῷ υἱῷ τοῦ πατρικίου Ἰουστινιανοῦ, τὴν δὲ Κωνσταντίναν τῷ κόμητι τῶν ἐξκουβιτόρων Μαυρικίῳ, ὅν καὶ ἀνηγόρευσε καίσαρα. Σοφίαν δὲ τὴν γυναῖκα Ἰουστίνου εἰς τὰ Σοφίας παλάτια κατήγαγε τὰ παρ' ἐκείνης κτισθέντα, καὶ πᾶσαν αὐτὴν ἔχειν ἐπέταξε θεραπείαν. Πάντα δὲ τὸν ὑπ' αὐτὸν λαὸν εὐηργέτησε, καὶ πολλὰς ἐκκλησίας καὶ ξενῶνας καὶ γηρωκομεῖα ᾠκοδόμησέ τε καὶ κατεκόσμησε, τὸν δὲ ὑπὸ Ἰουστίνου κτισθέντα χρυσοτρίκλινον κατεκόσμησε λαμπρῶς καὶ κατεκάλλυνε.

Τούτου τῷ τετάρτῳ ἔτει τῆς βασιλείας ἐκμετρεῖ τὸ βιώσιμον ὁ πατριάρχης Εὐτύχιος, καὶ προΐσταται τῆς ἐκκλησίας Ἰωάννης ὁ Νηστευτής, διαρκέσας ἐν τῇ ἀρχιερωσύνῃ ἔτη ιγ'.

Ὁ δὲ βασιλεὺς προχειρισάμενος τὸν γαμβρὸν αὐτοῦ Μαυρίκον τὸν καίσαρα, βασιλέα, τελευτᾷ τὸν βίον ἐτῶν ὢν πεντήκοντα ἕξ. Οὗτος ἤρξατο κτίζειν καὶ τὸν ναὸν τῶν ἁγίων Τεσσαρακοντα.

Μαυρίκιος ἔτη εἴκοσι, Καππαδόκης τὸ γένος. Οὗτος εἶχε γυναῖκα αὐγούσταν Κωνσταντίναν, μεθ' ἧς υἱοὺς ἔτεκεν ἕξ, ὧν τὸν πρῶτον Θεοδόσιον βασιλέα ἐποίησε, καὶ θυγατέρας τρεῖς. Ἠγάγετο δὲ καὶ ἐπὶ τῇ ἀδελφῇ αὐτοῦ Γορδίᾳ γαμβρὸν ἄνδρα σφόδρα πλούσιον καὶ γενναῖον καὶ θεοσεβῆ, ἄρτι ἀπὸ τῆς μεγάλης Ῥώμης ἐλθόντα, ὅθεν καὶ ὥρμητο, ὀνόματι Φιλιππικὸν, ὃν καὶ προχειρισάμενος στρατηγὸν πολλὰ δι' αὐτοῦ κατὰ Περσῶν κατώρθωσε τρόπαια, συνέσει καὶ ἐμπειρίᾳ ἀρίστου νικητοῦ ἀναδεδειγμένου. Οὗτος κτίζει τὴν ἐν Χρυσοπόλει μονὴν τῆς Θεοτόκου. Ὁ δὲ βασιλεὺς Μαυρίκιος ἀπήρτισε καὶ ἐκαλλώπισε τὸν ναὸν τῶν ἁγίων Τεσσαράκοντα. Οὗτος ἐτύπωσε γίνεσθαι τὴν λιτανείαν τῆς ὑπεραγίας Θεοτόκου τῶν Βλαχερνῶν, καὶ τῇ παρασκευῇ ἑκάστης ἑβδομάδος προέρχεσθαι ταύτην εἰς τὸν τῶν Χαλκοπρατείων ναὸν.

Τούτου τῷ τρεισκαιδεκάτῳ ἔτει ὁ πατριάρχης Ἰωάννης τὰ παρερχόμενα καταλελοιπὼς πρὸς τὰ μέλλοντα μεταβέβηκε· καὶ καθίσταται πατριάρχης Κωνσταντινουπόλεως Κυριακὸς, καὶ ἐκράτησεν ἔτη ια', ὅς ἔκτισε καὶ τὸν περιφανῆ οἶκον τῆς Θεοτόκου τὸν Διακονίσσης ὀνομαζόμενον. Πέτρος δὲ ὁ τοῦ βασιλέως ἀδελφὸς τὸν τοῦ Ἀρεοβίνδου τῆς Θεομήτορος ᾠκοδόμησε.

Χαγάνος δὲ ἐν τῷ πολέμῳ τῶν Ῥωμαίων ὑπερτερήσας πλῆθος ἀνελὼν, καὶ αἰχμαλώτους εἷλεν ὡς χιλιάδας δώδεκα, καὶ ἐδήλωσε τῷ Μαυρικίῳ δοῦναι αὐτῷ ἐφ' ἑκάστῳ ἀνδρὶ νόμισμα ἓν καὶ τούτους λυτρώσασθαι. Τοῦ δὲ δι' ἣν ἐνόσει φιλαργυρίαν μὴ καταδεξαμένου, ὁ Χαγάνος τὰ ἡμίση ἀπήτει, καὶ μηδὲ τοῦτο εὐδοκήσαντος ποιῆσαι τοῦ βασιλέως, τὸ τρίτον ἐκεῖνος ἐζήτησεν· ἀλλὰ τὸν φιλόχρυσον δοῦναι ταῦτα οὐκ ἔπεισεν. Ὅθεν

καὶ εἰς ὀργὴν ὁ βάρβαρος κινηθεὶς, πάντας ἀπέκτεινε. Τότε συνῆκεν ὁ βασιλεὺς τὸ ἑαυτοῦ πταῖσμα, καὶ μετανοῶν ὁλοψύχως ἐδεῖτο τοῦ θεοῦ κατὰ τὸν παρόντα αἰῶνα δοῦναι τὴν δίκην, καὶ τὴν ἀντέκτισιν τοῦ πταίσματος ἀπολήψεσθαι, ἀλλὰ μὴ εἰς τὸν μέλλοντα, καὶ πανταχοῦ δεήσεις ὑπὲρ τούτου τελεῖσθαι ἐκέλευσεν, ὥστε καὶ τὸν φιλάνθρωπον Κύριον δι' ὁράματος πληροφορῆσαι αὐτῷ, τυχεῖν τῆς αἰτήσεως· ὃ δὴ καὶ γέγονε. Τοῦ γὰρ στρατοῦ δι' ἐκκοπήν τινα ρόγας στασιάσαντος, καὶ Φωκᾶν τινα Στρατιώτην κεντυρίωνα βασιλέα ἀναγορεύσαντος, ὁ Μαυρίκιος ἀπογνοὺς φεύγει σὺν γυναικὶ καὶ τέκνοις, καὶ ὁ τύραννος εἰσέρχεται τὰ βασίλεια· καὶ ὁ Μαυρίκιος καταλαμβάνεται τάχιον, καὶ εἰς τὸν ἐν Χαλκηδόνι τοῦ Εὐτροπίου λιμένα αὐτός τε καὶ οἱ παῖδες αὐτοῦ κρίμασιν οἷς οἶδε θεὸς καρατομοῦνται, καὶ πᾶσα ἡ γενεὰ αὐτοῦ μετὰ τῆς βασιλίσσης Κωνσταντίνας καὶ τῶν θυγατέρων αὐτῆς παρὰ τοῦ τυράννου Φωκᾶ· καὶ θάπτεται ἐν τῷ ναῷ τοῦ ἁγίου μάρτυρος Μάμαντος πλησίον τοῦ τείχους, ὃν ἔκτισε Φαρασαμάνης ὁ εὐνοῦχος ὁ ἐπὶ τοῦ κοιτῶνος τοῦ βασιλέως Ἰουστινιανοῦ. Ἐγράφη δὲ τῷ τάφῳ Μαυρικίου ταῦτα.

Α"δ' ἐγώ ἡ τριτάλαινα καὶ ἀμφοτέρων βασιλέων,
Τιβερίου θυγάτηρ, Μαυρικίου δὲ δάμαρ,
ἡ πολύπαις βασίλεια, καὶ ἡ δείξασα λοχείῃ
ὡς ἀγαθὸν τελέθει καὶ πολυκοιρανίη,
κεῖμαι σὺν τεκέεσσι καὶ ἡμετέρῳ παρακοίτῃ,
δήμου ἀτασθαλίῃ καὶ μανίᾳ στρατηγοῦ.
Αἶ, αἶ, τῆς Νιόβης ἔμπνοος εἰμὶ νέκυς,
τῆς Ἑκάβης ἔτλην πολὺ χείρονα, τῆς Ἰοκάστης·
ναὶ, ναὶ, τὸν γενέτην· τί μάτην τὰ νεογνὰ ἔκτειναν,
ἀνθρώπων κακίης μηδὲν ἐπιστάμενα!
ἡμετέροις πετάλοις κατάσκιος οὐκ ἔτι Ῥώμη,
ῥίζα γὰρ ἐκλάσθη Θρηϊκίοις ἀνέμοις.

Θνήσκει δὲ Μαυρίκιος ὢν ἐτῶν ἑξήκοντα τριῶν.

Φωκᾶς ὁ τύραννος ἔτη ὀκτώ· τούτῳ ἦν γυνὴ βασίλισσα Λεοντία, (1) | καὶ θυγάτηρ Δομεντζία, ἣν ἔζευξε πρὸς γάμον Πρίσκῳ πατρικίῳ. Εἶχε δὲ καὶ ἀδελφοὺς δύο, Δομεντζίολον καὶ Κομεντζίολον, καὶ ἀνεψιὸν Δομέντζολον. Οὗτος ὁ τύραννος φονικώτατος ὤν, σχεδὸν πάντας τοὺς ἄρχοντας ἀπέκτεινε, καὶ ξένας κολάσεις ἐπί τε τῷ στρατῷ καὶ τοῖς ἐν τῇ πόλει ἐπεδείξατο, ὥστε πάντας δεδοικέναι τὸν ἄωρον θάνατον. Οὗτος καὶ τὸν θαυμαστὸν στρατηγὸν τῶν Ῥωμαίων Ναρσῆν πυρὶ κατενέπρησεν, ὅστις Ναρσῆς ἀνήγειρε τοὺς ναοὺς τόν τε τοῦ ἁγίου μάρτυρος Πρόβου, Ταράχου καὶ Ἀνδρονίκου, καὶ τοῦ ἁγίου Παντελεήμονος.

Τούτου τῷ τρίτῳ ἔτει μετέστη τῶν τῇδε ὁ πατριάρχης Κυριακὸς, καὶ χειροτονεῖται Θωμᾶς πατριάρχης Κωνσταντινουπόλεως.

Πρίσκος δὲ ὁ πατρίκιος, ὁ καὶ γαμβρὸς αὐτοῦ ὡς εἴρηται, ὁρῶν τὰς καθ' ἑκάστην τῶν ἀρχόντων παραλόγους σφαγὰς καὶ τὸ φόνιον τοῦ Φωκᾶ, γράφει πρὸς Ἡράκλειον τὸν στρατηγὸν τῆς Ἀφρικῆς ἀποστεῖλαι κατὰ τοῦ τυράννου Ἡράκλειον τὸν υἱὸν αὐτοῦ, καὶ Νικήταν πατρίκιον τὸν υἱὸν Γρηγορᾶ τοῦ ὑποστρατήγου αὐτοῦ. Ὃ καὶ γέγονε.

Τῷ δὲ ἕκτῳ ἔτει τοῦ Φωκᾶ τελευτᾷ ὁ πατριάρχης Θωμᾶς, καὶ ἀντ' αὐτοῦ καθίσταται ὁ συρογενὴς Σέργιος, ὁ γενόμενος ὕστερον αἱρετικός, καὶ ἐκράτησεν ἔτη κθ'.

Ὁ δὲ Ἡράκλειος στόλῳ φθάσας τὴν Κωνσταντινούπολιν ἐξ Ἀφρικῆς, καὶ τῷ τυράννῳ συνάψας πόλεμον, ἡττᾷ τοῦτον, καὶ ζῶντα λαβὼν κατασφάττει, ὄντα ἐτῶν ξγ'.

Ἡράκλειος ἔτη τριάκοντα ἕν, Καππαδόκης τὸ γένος· τούτῳ ἦν γυνὴ βασίλισσα Φαβία, ἥτις μετωνομάσθη Εὐδοκία, καὶ ἐξ

---

(1) Ἐξ ἡμαρτημένης στοιχώσεως τοῦ κώδικος ἡ συνέχεια φέρεται ἐν φύλλῳ 32, ἀντὶ 31.

αὐτῆς υἱὸς Κωνσταντῖνος καὶ θυγάτηρ Ἐπιφανία· καὶ τῆς Φαβίας τελευτησάσης, ἔγημε Μαρτίναν τὴν θυγατέρα Μαρίας τῆς ἀδελφῆς αὐτοῦ, ἐξ ἧς καὶ ἔτεκε τὸν Ἡρακλωνᾶν.

Ἐπὶ τούτου Χοσρόης ὁ τῶν Περσῶν βασιλεὺς πᾶσαν τὴν Ἀνατολὴν ἐληΐσατο· αὐτὸς δὲ τὸν υἱὸν Κωνσταντῖνον βασιλέα ποιήσας, καὶ παραθέμενος αὐτόν τε καὶ τὴν πόλιν τῇ Θεοτόκῳ, καὶ τῷ πατριάρχῃ Σεργίῳ, καὶ Βώνῳ τῷ πατρικίῳ, ἐξῆλθε διὰ θαλάσσης κατὰ Περσῶν, καὶ δι' ἓξ χρόνων στρατολογήσας, καὶ εἰς τὰ τῶν Περσῶν βασίλεια ἐλθὼν, καὶ διαφόροις πολεμικαῖς συμπλοκαῖς τούτους κατὰ κράτος ἡττήσας, καὶ ἀφανίσας, ὥστε καὶ Χοσρόην φεύγοντα ὑπὸ τοῦ ἰδίου υἱοῦ ἀναιρεθῆναι, τὸ ζωοποιόν τε καὶ τίμιον τοῦ σταυροῦ Κυρίου ξύλον εὑρὼν ἐκεῖσε καὶ ἀνελόμενος εἰς Κωνσταντινούπολιν ἤγαγεν· ἀλλὰ καὶ τοὺς αἰχμαλώτους ὅσους εὗρεν ἐλευθερώσας, καὶ λείαν οὐδὲ ἀριθμητὴν εἰληφὼς ἐπανέστρεψεν.

Ἔτι δὲ τοῦ βασιλέως ἐνδημοῦντος τῇ Περσικῇ, καὶ τοῦ στρατοῦ τῶν Περσῶν τῇ πόλει παρακαθημένου ἐν Χαλκηδόνι, τοῦ Σκυθικοῦ τε ἔξωθεν τοῦ δυτικοῦ τείχους τῆς πόλεως ἐπικειμένου, τῶν δὲ Ρωσικῶν μονοξύλων εἰς πλῆθος διὰ τῆς θαλάσσης ἐν Βλαχέρναις θαλασσομαχούντων, καὶ πάντων ἀπὸ συνθήματος τῶν πολεμίων τὴν τοῦ θεοῦ πόλιν σπευδόντων συλῆσαι, οἱ ἐν τῇ πόλει πάντων ἀπογνόντες τῶν ἀνθρωπίνων βοηθημάτων ἐπὶ μόνην καταφεύγουσι τὴν βεβαίαν ἡμῶν καὶ ἀήττητον πρόμαχον, τὴν τὸν παντοδύναμον Ἰησοῦν Χριστὸν τέξασαν· καὶ δὴ λαβόντες ὅ τε πατριάρχης Σέργιος καὶ ὁ βασιλεὺς Κωνσταντῖνος καὶ Βῶνος ὁ πατρίκιος τὴν ἁγίαν εἰκόνα τῆς Θεομήτορος λιτανεύοντες μετὰ πάσης ἡλικίας τῶν τότε ἄνωθεν τοῦ τείχους περιήεσαν, καὶ ἔκραζον τὸ Κύριε ἐλέησον. Ὁρώντων δὲ τῶν πολεμίων αὐτοὺς καὶ διαχλευαζόντων, αἴφνης ὑπὸ σφοδρᾶς καταιγῖδος ἡ θάλασσα κινηθεῖσα καὶ ἀναβράσασα, ἅπαντα τὰ πλοῖα κατεπόντισεν αὔτανδρα, ὡς μηδὲ ἄγγελον ἐκ τού-

των πρὸς τοὺς ἰδίους ἀνασωθῆναι. Τοῦτο ἰδόντες οἱ ἐν τῇ πόλει χριστιανοί, καὶ διαθερμαθέντες τῇ πίστει, τὰς τῆς πόλεως πύλας ἀνέῳξαν, καὶ κατὰ τῶν βαρβάρων ἐξῆλθον, λίθοις καὶ ῥάβδοις τοὺς ἐχθροὺς κατακόπτοντες. Οὕτω τῇ τοῦ Θεοῦ χάριτι καὶ τῇ τῆς Θεοτόκου πρεσβείᾳ τῶν τοσούτων βαρβάρων ἡ πόλις τότε ἐρρύσθη. Ἔκτοτε οὖν εἰς μνήμην τοῦ θαύματος ἡ τῆς Ἀκαθίστου κατ' ἔτος ἐτυπώθη ψάλλεσθαι παννυχίς, τοῦ Σεργίου συνταξαμένου τοὺς κατὰ στοιχεῖον, οὓς δὴ καὶ Οἴκους λέγομεν, ὕμνους τῇ νικοποιῷ καὶ ὑπερμάχῳ ἡμῶν.

Ὁ δὲ βασιλεὺς Ἡράκλειος ὑποστρέφων ἐξ Ἱεροσολύμων, εὗρεν Ἀθανάσιον τὸν Ἰακωβιτῶν ἀρχιερέα, δεινότατον καὶ κακοῦργον, καὶ λόγου κινηθέντος περὶ τῆς πίστεως, λέγει πρὸς τοῦτον ὁ βασιλεύς, εἰ τὴν ἐν Χαλκηδόνι σύνοδον δέχῃ, πατριάρχην Ἀντιοχείας σὲ καταστήσω. Ὁ δέ, ὑποκριθεὶς καὶ σχηματισάμενος δέξασθαι, ὡμολόγησε μὲν τὰς δύο φύσεις ἐν Χριστῷ ἡνωμένας, ἠρώτησε δὲ πλασάμενος ἄγνοιαν περὶ τῶν ἐνεργειῶν καὶ τῶν θελημάτων πῶς δεῖ ταῦτα λέγειν ἐν τῷ Χριστῷ, διπλᾶ, ἢ μοναδικά. δὲ Ὁ βασιλεὺς εἰπὼν ἀγνοεῖν, γράφει πρὸς τὸν Κωνσταντινουπόλεως Σέργιον, ἐρωτῶν περὶ τούτων· προσκαλεσάμενος δὲ καὶ Κῦρον τὸν Φάσιδος ἐπίσκοπον, καὶ ζητήσας περὶ αὐτῶν [, εὗρεν ἀμφοτέρους, τόν τε Σέργιον καὶ τὸν Κῦρον ὁμοφωνήσαντας, καὶ μίαν φυσικὴν θέλησιν καὶ μίαν ἐνέργειαν ἐν Χριστῷ δογματίζοντας. Γνωρίζει τὰ περὶ τούτου καὶ τῷ πάπᾳ Ἰωάννῃ ὁ βασιλεύς· ὁ δὲ πάπας τοὺς ὑπ' αὐτὸν συγκαλεσάμενος ἐπισκόπους συνοδικῶς τὸ τῶν μονοθελητῶν δόγμα ἀνεθεμάτισεν· ὁμοίως πεποίηκε καὶ ὁ Ἱεροσολύμων Σωφρόνιος.

Τῷ δὲ κη' τῆς βασιλείας Ἡρακλείου ἔτει θνήσκει ὁ συρογενὴς Σέργιος, καὶ χειροτονεῖται Πύρρος, ὁμόφρων τῷ Σεργίῳ μονοθελήτης, καὶ κρατεῖ ἔτη γ'. Καταισχυνθεὶς δὲ ὁ Ἡράκλειος ἐπὶ τῷ δόγματι, ὑποστρέψαι μὲν οὐκ ἠβουλήθη πρὸς τὸ ὀρθόδοξον, μὴ φέρων δὲ τοὺς ὀνειδισμοὺς τῶν ὀρθοδόξων ἀρχιερέων,

ἐξεφώνησεν ἴδικτον διαλαμβάνον, μήτε μίαν, μήτε δύο ἐνεργείας ὁμολογεῖν ἐπὶ τῷ Χριστῷ· ὅ καὶ γέλως ἔδοξε τοῖς τε ὀρθοδόξοις καὶ τοῖς αἱρετικοῖς. Αὐτὸς δὲ νόσῳ δεινῇ περιπεσὼν θνήσκει ὤν ἐτῶν (ξϛ')

Οὗτος ὁ βασιλεὺς ἀπογραφὴν ἐκέλευσε γενέσθαι, καὶ κηνσευθῆναι πᾶσαν τὴν τῆς Ρωμαϊκῆς ἐπικρατείας γῆν, διὰ Φιλαγρίου, καὶ Κουβικουλαρίου, καὶ Σακελαρίου.

Κωνσταντῖνος ὁ υἱὸς Ἡρακλείου μῆνας τέσσαρας· οὗτος, ἔτι περιόντος τοῦ πατρὸς, ἐβασίλευσε, καὶ υἱὸν ἐγέννησεν ἐκ Γρηγορίας τῆς θυγατρὸς Νικήτα πατρικίου, Κώνσταντα. Θνήσκει δὲ, ὥς φασιν, ὑπὸ Μαρτίνης τῆς βασιλίσσης φαρμαχθεὶς καὶ τοῦ πατριάρχου Πύρρου.

Ἡρακλωνᾶς, ὁ υἱὸς Ἡρακλείου, καὶ Μαρτίνα ἡ τούτου μήτηρ, μῆνας ἕξ· ἡ γὰρ θεία δίκη τάχιον μετῆλθεν αὐτούς· ἐπαναστᾶσα γὰρ ἡ σύγκλητος, τὴν γλῶτταν μὲν τῆς Μαρτίνης, τὴν δὲ τοῦ Ἡρακλωνᾶ ρίνα ἐκτεμόντες, ἀμφοτέρους ἐξώρισαν. Σὺν αὐτοῖς δὲ τὸν Πύρρον τῆς ἐκκλησίας ἀπώσαντο. Κώνστας δὲ ὁ υἱὸς Κωνσταντίου ὑπ' αὐτῶν εἰς τὰ βασίλεια ἀναβιβάζεται· καὶ χειροτονεῖται Παῦλος πατριάρχης, καὶ αὐτὸς τῇ τῶν πρὸ αὐτοῦ δύο πατριαρχῶν αἱρέσει κεκρατημένος, καὶ κρατεῖ ὁ ἀνόσιος ἔτη ιβ'.

Κώνστας ὁ υἱὸς Κωνσταντίου ἔτη κζ'. Οὗτος, θερμὸς ὢν τῆς τῶν Μονοθελητῶν αἱρέσεως ὑπερασπιστὴς, πάμπολλα δεινὰ τοῖς ὀρθοδόξοις εἰργάσατο. Ὁ δὲ ἐκβληθεὶς τῆς πατριαρχείας Πύρρος εἰς Ρώμην διαπλέων, συνοψίζεται κατὰ τὴν Ἀφρικὴν Μαξίμῳ τῷ ἐν ἁγίοις καὶ ὁμολογητῇ καὶ τοῖς ἐκεῖ ἐπισκόποις ὀρθοδοξοῦσιν, ὅς καὶ αὐτὸν ἀπελέγξας καὶ πείσας, πρὸς τὸν τότε πάπαν Ρώμης Θεόδωρον ἐξαπέστειλεν· εἰς δὲ τὴν Ρώμην ἀπελθὼν ὁ Πύρρος, καὶ λίβελλον ὀρθοδοξίας δεδωκὼς τῷ πάπᾳ ἐδέχθη· τῆς δὲ Ρώμης ἀναχωρήσας, καὶ εἰς Ράβενναν ἐλθὼν, ὡς κύων ἐπὶ τὸν ἴδιον ἐπέστρεψεν ἔμετον. Ὅ μαθὼν ὁ πάπας, καὶ

τοὺς αὐτοῦ συγκαλέσας ἀρχιερεῖς, τοῦ ἱερατικοῦ τάγματος τοῦτον ἐξέωσε. Μάξιμον δὲ τὸν ἅγιον καὶ σοφώτατον ὁ βασιλεὺς πρὸς ἑαυτὸν μετακαλεσάμενος, καὶ πολλὰ βιασάμενος, καὶ μὴ δυνηθεὶς μετασαλεῦσαι τῆς ὀρθοδόξου ὁμολογίας, πολλαῖς βασάνοις παρέδωκεν αὐτόν τε καὶ τοὺς δύο Ἀναστασίους, τοὺς αὐτοῦ μαθητάς· καὶ τέλος ἀποτεμὼν τὴν θεόφρονα αὐτοῦ γλῶτταν, καὶ τὴν δεξιὰν χεῖρα, ἐξορίζει, ὁμολογητὴν ἀποδείξας καὶ μάρτυρα. Οὗτος καὶ ἄλλα μὲν πολλὰ περὶ θεοσεβείας καὶ ἀρετῆς πλήρη σοφίας συνεγράψατο, καὶ δὴ καὶ κατὰ τῶν Μονοθελητῶν πλεῖστα καὶ ἐφθέγξατο καὶ συνέταξεν, ἃ καὶ ἐγράφησαν παρὰ τοῦ μαθητοῦ αὐτοῦ Ἀναστασίου, καὶ ἡμῖν παρεδόθησαν.

Τῷ δὲ δεκάτῳ ἔτει τῆς βασιλείας Κώνσταντος Παύλου ἀποβεβιωκότος, Πύρρος τὸ δεύτερον ἐπεσκόπησε μῆνας τέσσαρας· καὶ μετ' αὐτὸν Πέτρος χειροτονεῖται πατριάρχης Κωνσταντινουπόλεως, καὶ κρατεῖ ἔτη ιβ', ὁμόφρων τῷ Πύρρῳ καθεστηκώς, καὶ ὁμόδοξος. Ὁ δὲ βασιλεὺς ἀκούσας ὅτι Μαρτῖνος πάπας Ῥώμης σύνοδον ἀθροίσας, τὴν τῶν Μονοθελητῶν ἀνεθεμάτισεν αἵρεσιν, ἀποστείλας ἐξώρισεν αὐτὸν εἰς Χερσῶνα, ἐν ᾗ καὶ ἐτελειώθη. Τὸν δέ γε ἀδελφὸν Θεοδόσιον κτείνας, ἀπέρχεται εἰς Σικελίαν, βουλόμενος καὶ τὴν βασιλείαν εἰς Ῥώμην μετενεγκεῖν· τὴν δὲ γυναῖκα καὶ τοὺς τρεῖς υἱοὺς κατέλιπεν εἰς Κωνσταντινούπολιν, Κωνσταντῖνον ὃν καὶ βασιλέα κατέστησε, καὶ Τιβέριον, καὶ Ἡράκλειον.

Τῷ δὲ εἰκοστῷ δευτέρῳ ἔτει τῆς βασιλείας αὐτοῦ, τελευτήσαντος τοῦ κακοδόξου Πέτρου, προχειρίζεται πατριάρχης Θωμᾶς ὁ ὀρθόδοξος, ὃς καὶ κρατήσας ἔτη δύο καὶ μῆνας ζ' ἀπεβίω, καὶ μετ' αὐτὸν χειροτονεῖται Ἰωάννης, καὶ ἐκράτησεν ἔτη ἕξ.

33. | Ὁ δὲ βασιλεὺς Κώνστας ἦν ἐν Σικελίᾳ, ὁ δὲ υἱὸς αὐτοῦ Κωνσταντῖνος ἐβασίλευεν ἐν Κωνσταντινουπόλει. Τότε καὶ Σαβώριός τις, στρατηγὸς Ἀρμένιος, τυραννήσας ἐν τῇ Ἀνατολῇ,

πέμπει πρὸς Μαΐαν τὸν Ἀρράβων ἀρχηγὸν, Σέργιον συναποστάτην αὐτοῦ καὶ στρατηλάτην, αἰτῶν δοῦναι συμμαχίαν αὐτῷ. Γνοὺς δὲ τοῦτο ὁ βασιλεὺς Κωνσταντῖνος, πέμπει καὶ αὐτὸς πρὸς τὸν αὐτὸν Μαΐαν Ἀνδρέαν τὸν ἑαυτοῦ κουβικουλάριον μετὰ δώρων, ὡς ἂν μὴ παράσχῃ βοήθειαν τῷ ἀποστάτῃ, ἀλλὰ μᾶλλον αὐτῷ ὡς βασιλεῖ. Καταλαβὼν δὲ Ἀνδρέας ἐν Δαμασκῷ τὸν Μαΐαν, εὗρε τὸν Σέργιον προφθάσαντα· μηνυθεὶς δὲ καὶ εἰσελθὼν Ἀνδρέας πρὸς τὸν Μαΐαν, εἶδε τὸν Σέργιον καθήμενον· ὁ δὲ Σέργιος ἰδὼν τὸν Ἀνδρέαν, εὐθὺς ἐξανέστη. Ἀκούσας οὖν ὁ Μαΐας τὰ παρὰ τοῦ βασιλέως μηνυθέντα, λέγει πρὸς τὸν Ἀνδρέαν· καὶ ἀμφότεροι ἐχθροί ἐστε, καὶ τῷ πλείονα παρέχοντί μοι δίδωμι τὴν βοήθειαν. Ὁ δὲ Ἀνδρέας συνετῶς ἀπεκρίνατο· τὰ ἐλάττω παρὰ βασιλέως, κρείσσονά εἰσι τῶν παρὰ τοῦ ἀποστάτου πλειόνων· ὅμως τὸ δοκοῦν σοι ποίησον. Καὶ προσποιησάμενος ὁ Μαΐας σκέψασθαι, ἀπέλυσε τὸν ἄνδρα (γρ. Ἀνδρέαν) ἔξω· προσκαλεσάμενος δὲ τὸν Σέργιον λέγει· τί ἐδειλίασας καὶ ἀνέστης; ἀλλ' ἰδοὺ παραγγέλλω σοι, ἐὰν εἰσέλθῃ ὁ Ἀνδρέας, μὴ ἐγερθῇς, μηδὲ προσκυνήσῃς αὐτῷ, ἐπεὶ οὐδὲν ἀνύεις. Καὶ τῇ ἐπαύριον εἰσελθόντος τοῦ Ἀνδρέου, καὶ τοῦ Σεργίου καθεζομένου, καὶ μηδὲ ἐπιστραφέντος πρὸς αὐτὸν, περιβλεψάμενος αὐτὸν ὁ Ἀνδρέας, ἔφη μετ' ὀργῆς· ἐὰν ζῶ, Σέργιε, δεῖξαί σοι ἔχω τίς εἰμί. Ὁ δὲ Σέργιος συντόμως ἀπεκρίθη· οὔτε ἀνὴρ, οὔτε γυνή· εὐνοῦχος γὰρ ἦν. Παύσας οὖν ἀμφοτέρους ὁ Μαΐας, φησὶ πρὸς τὸν Ἀνδρέαν· ὁ Σέργιος, Ἀνδρέα, τὴν ὅλην εἰσφορὰν τῶν δημοσίων ὑπισχνεῖται διδόναι μοι· σὺ δὲ τί δίδως; εἰπέ. Καὶ ὁ Ἀνδρέας, βαβαί, εἶπε, τὸ σῶμα δοῦναι, καὶ τὴν σκιὰν κατέχειν οὐ δύναμαι· συμφώνησον λοιπὸν μετὰ Σεργίου, ἐγὼ δὲ μετὰ τοῦ θεοῦ, ὡς δυνατωτέρου σου. Ταῦτα εἰπὼν Ἀνδρέας ἐξῆλθεν ἀπὸ Δαμασκοῦ ἐπὶ Μελιτηνήν· ὡς δὲ κατέλαβε τὴν Ἀράβισσον, περιτυγχάνει τῷ κλεισουροφύλακι, μὴ συναπαχθέντι τῷ ἀποστάτῃ, καὶ παραγγέλλει παρατηρῆσαι καὶ κρατῆσαι ὑποστρέ-

φοντα τὸν Σέργιον· ὃ καὶ μετ' ὀλίγον γίνεται· καὶ ἀπάγεται Σέργιος πρὸς Ἀνδρέαν εἰς Ἀμνησίαν δέσμιος· καὶ ἰδὼν αἴφνης τὸν Ἀνδρέαν, ῥίπτει ἑαυτὸν εἰς τοὺς πόδας αὐτοῦ αἰτῶν ἐλεηθῆναι. Ὁ δὲ φησι πρὸς αὐτόν· σὺ εἶ ὁ ἐγκαυχώμενος τοῖς αἰδοίοις σου; ἰδοὺ καιρὸς ὅτε τὰ αἰδοῖα οὐκ ὠφελήσουσί σε. Ταῦτα εἰπὼν κελεύει ἐκκοπῆναι αὐτοῦ τὰ αἰδοῖα, καὶ αὐτὸν ἀναρτηθῆναι ξύλῳ. Ἀλλὰ καὶ Σαβώριος μετ' ὀλίγον τοῦ ἰδίου [ἵππου] κατενεχθείς, τὴν ἀθλίαν ψυχὴν ἀπέρρηξεν.

Ὁ δὲ βασιλεὺς Κώνστας ἐν Σικελίᾳ ἐν βαλανείῳ λουόμενος ὑπό τινος Ἀνδρέου ἀναιρεῖται· καὶ ἀναβιβάζεται παρὰ τῶν ἐκεῖ ἀρχόντων εἰς τὴν βασιλείαν ἀνήρ τις Μιζίζιος ὄνομα· καὶ ἤκουσται τοῦτο ἐν Κωνσταντινουπόλει.

Κωνσταντῖνος ὁ Πωγωνάτος, ὁ υἱὸς Κώνσταντος, ἔτη ιζ'. Οὗτος ἀκούσας τὸν τοῦ πατρὸς αὐτοῦ θάνατον, εὐθὺς εἰς Σικελίαν ἀπαίρει, καὶ συλλαβὼν τοὺς φονεῖς τοῦ πατρὸς, ἀναιρεῖ πάντας, καὶ αὐτὸν τὸν ψευδοβασιλέα Μιζίζιον, ἀλλα δὴ καὶ τὸν ἐνδοξότατον πατρίκιον Ἰουστινιανὸν, τὸν πατέρα Γερμανοῦ, αὐτὸν δὲ τὸν Γερμανὸν εὐνούχισεν, ὃς ὕστερον ἐγεγόνει πατριάρχης. Πωγωνάτος δὲ ἐκλήθη, ὅτι ἀγένειος τῆς βασιλίδος τῶν πόλεων ἐξελθὼν, γενειήτης ἐπανῆλθε, τελειοπώγων. Οὗτος ὁ βασιλεὺς ὀρθοδοξότατος ἦν καὶ εὐσεβής· τοὺς δὲ ἰδίους ἀδελφοὺς Τιβέριον, καὶ Ἡράκλειον, στασιάσαντας, ἐρρινοκόπησε. Τούτῳ ἦν γυνὴ βασίλισσα Ἀναστασία, καὶ υἱὸς Ἰουστινιανός.

Τούτου τῷ πέμπτῳ ἔτει τῆς βασιλείας τελευτήσαντος τοῦ πατριάρχου Ἰωάννου, γίνεται πατριάρχης Κωνσταντῖνος, καὶ ἐκράτησεν ἔτη δύο. Καὶ τῷ ἑβδόμῳ ἔτει τῆς βασιλείας αὐτοῦ θνήσκει ὁ Κωνσταντῖνος, καὶ χειροτονεῖται Θεόδωρος, καὶ ἐπεσκόπησεν ἔτη δύο. Καὶ τῷ ἐννάτῳ τῆς αὐτοῦ βασιλείας ἐξεβλήθη ὁ Θεόδωρος, καὶ ἀνάγεται εἰς τὸν θρόνον Κωνσταντινουπόλεως πατριάρχης Γεώργιος, καὶ ἦρξε τῆς ἐκκλησίας ἔτη ἓξ καὶ μῆνας τρεῖς.

Δωδεκάτῳ δὲ ἔτει τῆς βασιλείας Κωνσταντίνου, τρίτῳ δὲ τῆς πατριαρχείας Γεωργίου, ἔτει ἀπὸ κτίσεως κόσμου ἑξακισχιλιοστῷ ρος´ συνέστη ἡ ἁγία καὶ οἰκουμενικὴ ἕκτη σύνοδος ἐν Κωνσταντινουπόλει παρὰ ἀρχιερέων ἑκατὸν καὶ ἑβδομήκοντα, ὧν οἱ ἐπισημότεροι Ἀγάθων πάπας Ῥώμης | διὰ τοποτη-Φ. ρητῶν Θεοδώρου καὶ Γεωργίου πρεσβυτέρων καὶ Ἰωάννου διακόνου, Γεώργιος Κωνσταντινουπόλεως, Πέτρος ὁ Ἀλεξανδρείας διὰ τοποτηρητοῦ Πέτρου μοναχοῦ, καὶ Θεοφάνης Ἀντιοχείας ὑπὸ τῆς συνόδου χειροτονηθεὶς προσφάτως, ὡς τοῦ πρὸ αὐτοῦ οἷα αἱρετικοῦ καὶ τῇ συνόδῳ ἀντιπίπτοντος καθαιρεθέντος· πατριάρχης Ἱεροσολύμων δὲ οὐκ ἦν τότε, διὰ τὸ κατασχεθῆναι τὰς ἐκεῖ πόλεις καὶ χώρας ὑπὸ τῶν Σαρακηνῶν. Συνῆλθον δὲ κατὰ Μονοθελητῶν, φημὶ δὴ Θεοδώρου τοῦ τῆς Φαρὰν ἐπισκόπου, Ὀνωρίου Ῥώμης, Κυρίλλου Ἀλεξανδρείας, Σεργίου, Πύρρου, Παύλου καὶ Πέτρου, Κωνσταντινουπόλεως γεγονότων ὡς δεδήλωται πατριαρχῶν, ἔτι δὲ Μακαρίου τοῦ ὀνομασθέντος Ἀντιοχείας προέδρου, καὶ Στεφάνου τοῦ μαθητοῦ αὐτοῦ, καὶ Πολυχρονίου τοῦ νηπιόφρονος γέροντος, τοῦ νεκροὺς ἐγείρειν ἐν τῇ τοιαύτῃ πλάνῃ τῆς αἱρέσεως μεγαλορρημονήσαντος, ἀδείας τε τυχόντος, καὶ ἐν τῷ μὴ ἐγεῖραι μειζόνως τὴν βλασφημίαν τῆς οἰκείας αἱρέσεως θριαμβεύσαντος. Ἐκύρωσε δὲ ἡ τοιαύτη σύνοδος τοὺς ὀρθοδόξους πιστεύειν καὶ ἀνομολογεῖν δύο θελήματα φυσικὰ καὶ θελήσεις, καὶ δύο ἐνεργείας ἔχειν μετὰ σάρκωσιν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Ὁ δὲ βασιλεὺς Κωνσταντῖνος καὶ αὐτὸς τῇ συνόδῳ συνεδριάσας, καὶ βεβαιώσας τὰ δόξαντα, τοὺς ἱεροὺς ἐπισκόπους εἰς τὰ ἴδια ἐξαπέστειλε.

Τούτου τῷ ιβ´ ἔτει τῆς βασιλείας θνήσκει ὁ πατριάρχης Γεώργιος, καὶ ἀνήχθη ὁ πρὸ αὐτοῦ Θεόδωρος πάλιν εἰς τὸ πατριαρχεῖον, καὶ ἦρξεν ἔτη τρία. Καὶ μετ᾽ ὀλίγον θνήσκει ὁ βασιλεὺς Κωνσταντῖνος.

Ἰουστινιανὸς ὁ υἱὸς αὐτοῦ ἔτη ι´. Οὗτος ὁ βασιλεὺς κτίζει

τὸν μέγαν τρίκλινον ἐν τῷ παλατίῳ τὸν λεγόμενον Ἰουστινιάνειον· ὠμότατος δὲ ἦν καὶ φονεὺς καὶ ἀσύμβουλος.

Τούτου τῷ δευτέρῳ ἔτει τοῦ πατριάρχου Θεοδώρου πρὸς θεὸν ἀναλύσαντος, χειροτονεῖται Παῦλος Κωνσταντινουπόλεως καὶ κρατεῖ τοῦ πατριαρχείου ἔτη ἑπτά. Ἐπὶ τούτου γέγονε καὶ ἑτέρα σύνοδος ἐν τῷ παλατίῳ τῷ οὕτω πως καλουμένῳ Τρούλῳ, ἥτις ἐπεκύρωσε μὲν τὰς ἓξ ἁγίας οἰκουμενικὰς συνόδους, ἐξέθετο δὲ προστάξει βασιλικῇ καὶ ἱεροὺς κανόνας, οἵ καὶ ἐδέχθησαν τῇ ἁγίᾳ ἐκκλησίᾳ σὺν τοῖς λοιποῖς θείοις κανόσι. Λέγεται δὲ ἡ τοιαύτη σύνοδος Πενθέκτη, ἐπείπερ τὴν πέμπτην καὶ ἕκτην, τὰς ἁγίας συνόδους, ἐπεκύρωσε, καὶ τὸ ἐνδέον αὐταῖς ὅσον εἰς κανόνων ἔκθεσιν ἀνεπλήρωσε.

Τῷ δὲ ἐννάτῳ ἔτει τῆς βασιλείας αὐτοῦ τελευτᾷ ὁ πατριάρχης Παῦλος, καὶ χειροτονεῖται ἀντ' αὐτοῦ Καλλίνικος, καὶ ἀρχιερατεύει ἔτη ιβ'. Τῷ δὲ βασιλεῖ τούτῳ δέκατον ἔτος ἐν τῇ ἀρχῇ ἀνύοντι, αἴφνης νυκτὸς ἐπανίσταται ἀνήρ τις τῶν πατρικίων Λεόντιος ὄνομα, καὶ τὸ πλῆθος ὑφ' ἑαυτὸν συναθροίσας τῆς Πόλεως, κρατεῖ μὲν τῆς βασιλείας, πάντων ὁμοφρονησάντων διὰ τὸ πρὸς τὸν Ἰουστινιανὸν μῖσος, ἐξάγει δὲ τὸν Ἰουστινιανόν, καὶ τῆς ῥινὸς στερήσας, ἐξορίζει εἰς Χερσῶνα.

Λεόντιος ἔτη τρία· ἐπὶ τούτου Ἄρραβες τὴν Ἀφρικὴν παρέλαβον. Ὁ δὲ βασιλεὺς στέλλει Ἰωάννην τινὰ πατρίκιον μετὰ στόλου πολλοῦ κατὰ τῶν Ἀρράβων, ὅς καὶ παραγενόμενος ἐκεῖσε, τρέπει τε τούτους, καὶ τὴν τῆς Ἀφρικῆς χώραν πάλιν ὑπὸ τὴν Ῥωμαϊκὴν ἀρχὴν ἤγαγεν. Ἀλλ' ἐκεῖνοι μείζονι στόλῳ τάχιον ἐπαναστραφέντες, τὸν τε Ῥωμαϊκὸν στόλον ἔτρεψαν καὶ ἀπεδίωξαν, ὑφ' ἑαυτοὺς δὲ καὶ τὴν Ἀφρικὴν ἐπανήγαγον. Τὰ γοῦν τοῦ βασιλικοῦ στόλου πλήθη μὴ φέροντα τὴν τῆς ἥττης αἰσχύνην, ἐπὶ Κρήτην ἐλθόντες, εἰς ἀποστασίαν καὶ τυραννίδα ἐτράπησαν. Καὶ δὴ αὐτῶν ἕνα τινὰ προστησάμενοι εἰς βασιλέα, Ἀψίμαρον καλούμενον, ὥρμησαν κατὰ τῆς Κων-

σταντινουπόλεως· ὅστις μετ' ὀλίγον καταλαβὼν καὶ παρακαθίσας τῷ οἰκείῳ στόλῳ, προδοσίας γεγονυίας διά τινος, ἀπονητὶ τῆς τε Πόλεως ἐγκρατὴς γίνεται, καὶ τῆς βασιλείας ἐπιλαμβάνεται. Καὶ ὁ χυδαῖος τοῦ στόλου λαὸς εἰς τοὺς τῶν Πολιτῶν ἐμπεσὼν οἴκους παντελῶς τούτους ἐγύμνωσε. Τὸν δὲ βασιλέα Λεόντιον συλλαβὼν ὁ Ἀψίμαρος, καὶ ρινοκοπήσας, ἐν τῇ τοῦ Δαλμάτου φυλακῇ καθείργνυσιν.

Ἀψίμαρος ἔτη ζ'. Οὗτος τὸν υἱὸν τοῦ πατρικίου Νικηφόρου Φιλιππικὸν, τὸν καὶ Βαρδάνην, ὀνειροπολούμενον ὑπό τινων βασιλεύσειν ἀκηκοὼς, εἰς Κεφαλληνίαν ἐξώρισε.

Τοῦ δὲ Ρινοτμήτου Ἰουστινιανοῦ ἐν Χερσῶνι διάγοντος, καὶ προφοιβαζομένου ὡς μέλλει πάλιν τῆς βασιλείας ἐπιλαβέσθαι, πτοηθέντες οἱ οἰκήτορες τὸν ἐκ τοῦ βασιλέως κίνδυνον, ἐβουλεύσαντο τοῦτον ἢ ἀνελεῖν, ἢ πρὸς τὸν Ἀψίμαρον ἀποστεῖλαι· αὐτὸς δὲ γνοὺς τὴν ἐπιβουλὴν, | ἐδυνήθη ἐκφυγεῖν, καὶ εἰς τὸ Φ. Δάρας ἐκδραμὼν, τῷ τῶν Χαζάρων ἀρχηγῷ Χαγάνῳ προσέρχεται, καὶ πολλῇ τιμῇ καὶ θεραπείᾳ ὑπ' αὐτοῦ προσεδέχθη. Καὶ δὴ ὁ Χαγάνος αὐτὸς τὴν ἑαυτοῦ ἀδελφὴν Θεοδώραν πρὸς γάμον τούτῳ ἐξέδοτο, μεθ' ἧς ἔτεκεν υἱὸν Τιβέριον· καὶ μετ' ὀλίγον αἰτήσας ἀπῆλθεν εἰς Φαναγουρίαν, κἀκεῖ διέτριβε μετὰ τῆς γυναικὸς. Ταῦτα μαθὼν ὁ Ἀψίμαρος, γράφει πρὸς τὸν Χαγάνον, ἢ ζῶντα δέσμιον Ἰουστινιανὸν ἀποστεῖλαι πρὸς αὐτὸν, ἢ τὴν κεφαλὴν αὐτοῦ. Ὁ δὲ Χαγάνος τῇ τῶν ὑποσχεθέντων ἐπιθυμίᾳ πεισθείς, βουλεύεται κατὰ Ἰουστινιανοῦ· καὶ δὴ πέμπει τινὰς τῶν οἰκείων πρὸς ὑπουργίαν τοῦ φόνου ἑτοίμους, ὑποκριθησομένους φυλακὴν μᾶλλον αὐτοῦ. Γνοὺς δὲ καὶ ταύτην Ἰουστιστινιανὸς τὴν ἐπιβουλὴν ἀπό τινος δούλης τῆς γυναικὸς, αὐτοὺς μὲν τόξου νευρᾷ ἀποπνίγει, τὴν δὲ Θεοδώραν εἰς Χαζαρίαν ἐκπέμπει· αὐτὸς δὲ φυγὼν διὰ μικροῦ σκάφους, καὶ δυνηθεὶς ἀπὸ Χερσῶνος τοὺς ἑαυτοῦ φίλους ὑποκλέψαι, λάθρα διέβη τὸν Φάρον, καὶ παρελθὼν τὰ Νεκράπυλα, κλύδωνι περιπεσὼν

χαλεπῷ, ἔμελλε κινδυνεύειν μετὰ τῶν σὺν αὐτῷ. Μυάκης δέ τις οἰκεῖος αὐτῷ, ἀπογνοὺς τὴν σωτηρίαν, λέγει πρὸς αὐτόν. Ἰδοὺ ἀποθνήσκεις, δέσποτα· ὑπόσχου τῷ θεῷ, ἵνα, ἐὰν ἀποδώσῃ σοι τὴν βασιλείαν σου, μηδένα τῶν ἐχθρῶν σου λυπήσῃς. Ὁ δὲ θυμωθεὶς λέγει πρὸς αὐτόν· ἐνταῦθα μὲν καταποντισάτω Κύριος, εἰ φείσομαί τινος ἐξ αὐτῶν. Ἀκινδύνως δὲ τὸν κλύδωνα διελθών, εἰσῆλθεν εἰς τὸν ποταμὸν Δάννουβιν, καὶ ἀποστείλας Στέφανόν τινα τῶν οἰκείων αὐτῷ πρὸς Τέρβουλιν τὸν ἄρχοντα Βουλγαρίας, ὑπισχνεῖται μὲν αὐτῷ πολλά, αἰτεῖται δὲ βοήθειαν λαβεῖν παρ' αὐτοῦ εἰς ἐπανάληψιν τῆς αὐτοῦ βασιλείας. Τέρβουλις δὲ μετὰ πολλῆς αὐτὸν προσεδέξατο τιμῆς, ἐφ' ᾧ καὶ ἀμφότεροι δι' ὅλου ἐνιαυτοῦ ὀχυρότατα ὁπλισάμενοι, εἰς Κωνσταντινούπολιν ὥρμησαν· καὶ παρὰ τῇ πύλῃ Χαρσίου τρεῖς προσκαρτερήσαντες ἡμέρας, ὑπὸ τῶν Πολιτῶν μᾶλλον ὑβρίζοντο. Τότε Ἰουστινιανὸς ὀλίγους τῶν σὺν αὐτῷ παραλαβὼν νυκτὸς διὰ ἀγωγοῦ ἔσωθεν τοῦ τείχους εἰσῆλθεν εἰς τὸν λεγόμενον τόπον Δεύτερον· καὶ τὴν Πόλιν εὐθὺς παραλαμβάνει, καὶ τῆς βασιλείας ἐγκρατὴς πάλιν γίνεται.

Ἰουστινιανὸς ὁ Ρινότμητος τὸ δεύτερον ἔτη ἕξ. Οὗτος ἡνίκα τῆς βασιλείας ἐπέβη τὸ δεύτερον, Τέρβουλιν μὲν καὶ τὸν ἐκείνου στρατὸν λίαν θεραπεύσας εἰς τὰ ἴδια πέμπει, Ἀψίμαρον δὲ καὶ Λεόντιον συλλαβών, κτείνει, τοὺς δὲ τῆς συγκλήτου ἄρχοντας ἀνεσκολόπισε, τὸν δὲ πατριάρχην Καλλίνικον τυφλώσας εἰς Ρώμην ἐξώρισεν· ἐκ δὲ τοῦ Πολιτικοῦ καὶ στρατιωτικοῦ τάγματος πλῆθος καὶ ἀριθμοῦ κρεῖττον ὠμῶς ἐθανάτωσεν. Ἀποστείλας δὲ καὶ εἰς Χαζαρίαν ἤγαγε τὴν ἑαυτοῦ γυναῖκα Θεοδώραν, καὶ τὸν υἱὸν Τιβέριον.

Τότε τῷ πρώτῳ ἔτει τῆς αὐτοῦ βασιλείας προχειρίζεται πατριάρχην Κῦρον, μοναχὸν καὶ ἔγκλειστον, ὃς καὶ κρατεῖ ἔτη ἕξ. Τοῦτον δὲ φασὶν ἐξοριζομένῳ τῷ Ἰουστινιανῷ καὶ διὰ τῆς Ἀμαστρίδος διερχομένῳ, ὅθεν ὁ Κῦρος ὥρμητο, ἔγκλειστος ὢν

τότε καὶ προφητικῷ διαλάμπων χαρίσματι, προειπεῖν αὐτῷ τὴν ἐκ δευτέρου εἰς τὴν βασιλείαν ἀνάβασιν· διὸ καὶ πατριάρχην αὐτὸς τοῦτον κατέστησεν.

Εἰς μνήμην δὲ ἐλθὼν τῆς τῶν ἐν Χερσῶνι ἐπιβουλῆς, ἀπέστειλε κατ' αὐτῶν Στέφανον καὶ Μαῦρον τοὺς πατρικίους σὺν μεγάλῳ στόλῳ καὶ πλοίοις ἀναριθμήτοις ὥστε πᾶσαν ἡλικίαν τῶν ἐκεῖ ἀνθρώπων ἀφειδῶς ἀπολέσαι, Ἠλίαν δὲ τὸν αὐτοῦ σπαθάριον ἄρχοντα ἐκεῖσε καταλιπεῖν. Οἱ δὲ καταλαβόντες εἰς Χερσῶνα, καὶ τὰ ἐκεῖ κάστρα παραλαβόντες, τοὺς ἐκεῖ πάντες ἀνηλεῶς ἐφόνευον, μόνον τῶν μειρακίων φειδόμενοι. Ὁ δὲ βασιλεὺς τὴν τῶν νέων σωτηρίαν ἀκηκοὼς γράφει τάχιον πρὸς αὐτὸν ἐπαναστρέφειν τὸν σύμπαντα στόλον. Τούτου οὖν ἐπανερχομένου καὶ κλύδωνι σφοδρῷ καὶ δεινῷ ναυαγίῳ περιπεσόντος, λέγεται ὑπὲρ τὰς ἑβδομήκοντα τρεῖς χιλιάδας ἀποπνιγῆναι τῷ βυθῷ, καὶ ὀλίγους πάνυ ἐπαναστρέψαι. Καὶ ὁ βασιλεὺς ἕτερον ἐξοπλίζει στόλον, καὶ πέμπει καὶ σὺν αὐτῷ Φιλιππικὸν τὸν καὶ Βαρδάνην, ἄρτι τῆς ἐξορίας ἀνακαλεσάμενος, παραγγείλας πάντας τοὺς ἐν Χερσῶνι καταλειφθέντας ἀποκτεῖναι, καὶ τὴν γῆν ἀροτριᾶσαι. Ἀλλὰ τούτων ἐκεῖσε φθασάντων, καὶ τὴν βασιλικὴν ἐντολὴν τοῖς ἐκεῖσε γνωρισάντων, γίνεται στάσις· καὶ κοινῇ | συνδιασκεψάμενοι ὅ τε Ἠλίας ὁ Χερσῶνος ἄρχων καὶ ὁ Βαρδάνης, στέλλουσι πρὸς Χαγάνον αἰτοῦντες λαὸν εἰς φυλακὴν αὐτῶν καὶ βοήθειαν. Ἀλλ' ὁ Ἰουστινιανὸς καὶ τοῦτο ἀναμαθὼν, ἐκπέμπει μετὰ ὀλίγων δρομώνων τὸν λογοθέτην Γεώργιον, Ἰωάννην τὸν ἔπαρχον, καὶ Χριστοφόρον, σὺν ὁπλίταις τριακοσίοις, ὥστε πρὸς αὐτὸν ἀγαγεῖν τόν τε Ἠλίαν καὶ τὸν Φιλιππικόν· οὓς οἱ Χερσωνῖται δόλῳ πείσαντες καὶ κρατήσαντες ἀπέκτειναν· τὸν δὲ Φιλιππικὸν βασιλέα ἀναγορεύουσι. Γνοὺς δὲ καὶ τοῦτο Ἰουστινιανὸς ἕτερον στόλον κατ' αὐτῶν ἐξέπεμψε μετὰ πολλοῦ στρατοῦ· οἳ καὶ τὰ ἐκεῖσε καταλαβόντες, καὶ μὴ ἰσχύσαντες τὰ κελευό-

μενα ἀνύσαι, καὶ διὰ τοῦτο πτοούμενοι τὴν ὑποστροφὴν, τὸν Φιλιππικὸν καὶ αὐτοὶ βασιλέα εὐφήμησαν, καὶ συμπαραλαβόντες αὐτὸν, ὁ σύμπας τοῦ στόλου στρατὸς πρὸς τὴν Κωνσταντινούπολιν ἐξώρμησεν. Ἰουστινιανὸς δὲ τὴν βραδυτῆτα εἰς οἰωνὸν οὐκ ἀγαθὸν λογισάμενος, αὐτὸς ἐκεῖνος μετὰ πολλοῦ στρατοῦ πεζῇ πρὸς Σινώπην ἀπέρχεται, ὡς ἐκεῖθεν μαθησόμενος ἀκριβέστερον τὰ πραττόμενα. Καὶ δὴ ὁρᾷ τὸν ὅλον στόλον πρὸ Κωνσταντινουπόλεως διαπεραιούμενον ἀνέμῳ αἰσίῳ, καὶ εὐθὺς ὡς τάχους εἶχεν ὑπέστρεφε καὶ αὐτός. Ἀλλὰ φθάνει Φιλιππικὸς προκατασχὼν τὴν Κωνσταντινούπολιν, καὶ σὺν αὐτῇ καὶ τὴν βασιλείαν.

Ἰουστινιανὸς δὲ ἀντικρὺ τῆς πόλεως περὶ τὸν Δαματρὺν στρατοπεδεύεται. Φιλιππικὸς δὲ πρὸς μὲν τὸν Ἰουστινιανὸν Ἠλίαν πέμπει μετὰ στρατοῦ· ὃς καταλαβὼν αὐτὸν, καὶ τὸν σὺν αὐτῷ πείσας λαὸν τῷ Φιλιππικῷ προσδραμεῖν, καὶ συμπαθείας τυχεῖν, μόνον ἐκεῖνον ὑπολειφθέντα ἐπιδραμὼν καὶ κρατήσας, οἰκείαις χερσὶν ἐκαρατόμησεν. Εἰς δὲ Τιβέριον τὸν τούτου υἱὸν Μαῦρον τὸν πατρίκιον ὁ Φιλιππικὸς ἐκπέμπει, καὶ ὃς καταλαβὼν τὸ παιδίον σὺν Ἀναστασίᾳ τῇ μάμμῃ· ἡ γὰρ μήτηρ Θεοδώρα προετεθνήκει· τοῦ ἐν Βλαχέρναις οἴκου τῆς Θεομήτορος τῷ θυσιαστηρίῳ προσπεφευγὸς, ἐκεῖθεν ἁρπάσας, καὶ ἐν τῷ τῆς πόλεως τείχει ἐξαγαγὼν, τῇ τῆς πύλης φλιᾷ προσαράσσει, καὶ τὴν κεφαλὴν ἐκ τῶν τριχῶν ὀπίσω τείνας, ὡς πρόβατον τῇ μαχαίρᾳ ἀπεκεφάλισε.

Φιλιππικὸς, ὁ καὶ Βαρδάνης, ἔτη δύο. Οὗτος αἱρετικὸς ὢν Κῦρον τὸν πατριάρχην τῆς ἐκκλησίας ἐξώθησε, καὶ ἀναβιβάζεται τῷ πατριαρχείῳ Ἰωάννης τῷ πρώτῳ ἔτει τῆς βασιλείας αὐτοῦ, ὁμόδοξος αὐτῷ, καὶ κρατεῖ ἔτη τρία. Καὶ τῷ δευτέρῳ ἔτει τῆς βασιλείας αὐτοῦ ἐπισκόπους ἀθροίσας ἀναθεματίζει τὴν ἁγίαν ἕκτην σύνοδον. Καὶ τῷ αὐτῷ ἔτει ὁ τρισάθλιος τῆς τε βασιλείας ἐξέπεσε, καὶ τοὺς ὀφθαλμοὺς ἐξεκόπη ὑπὸ τῶν συγκλητικῶν.

Ἀρτέμιος, ὁ καὶ Ἀναστάσιος, ἔτη δύο· τοῦτον ἡ σύγκλητος ἀθροισθεῖσα καὶ προκρίνασα βασιλέα κατέστησε, πρωτασηκρῆτις τότε ὄντα· ὃς λόγιος ὢν καὶ συνετὸς, τῶν πραγμάτων δραστικώτερον ἥπτετο, καὶ ἐπεμελεῖτο τῆς πολιτείας, καὶ τοὺς τὸν Φιλιππικὸν ἐκτυφλώσαντας ἐτιμωρήσατο.

Τῷ δὲ δευτέρῳ ἔτει, κατάγει τοῦ πατριαρχικοῦ θρόνου τὸν Ἰωάννην, καὶ μετατίθεται παρ' αὐτοῦ Γερμανὸς ὁ Κυζίκου ἐπίσκοπος, εὐνοῦχος, εἰς τὸ εἶναι πατριάρχης Κωνσταντινουπόλεως, καὶ ἐπεσκόπησεν ἔτη ιε'.

Ὁ δὲ βασιλεὺς Ἀρτέμιος ἀκηκοὼς παρὰ τῶν Σαρακηνῶν ἐξαρτίζεσθαι πλοῖα πρὸς ναυμαχίαν τῶν Ρωμαίων, πέμπει τὸν ἴδιον στόλον κατ' αὐτῶν Ἰωάννῃ τινὶ παραδοὺς διακόνῳ τῆς ἐκκλησίας· τὸν δὲ, ἐκεῖσε ἀποπλεύσαντα, στασιάσας ὁ στόλος ἀναιρεῖ καθ' ὁδὸν, καὶ διερχόμενοι τὸ Ἀτραμύτιον εὑρίσκουσί τινα φορολόγον ὀνόματι Θεοδόσιον, ἀπράγμονά τε καὶ ἀφελῆ, καὶ ἁρπάσαντες βίᾳ ἀναγορεύουσι βασιλέα, καὶ εἰς τὴν Πόλιν μετὰ ταῦτα ἤλαυνον. Μαθὼν δὲ ταῦτα Ἀρτέμιος, τὴν μὲν Πόλιν ἐξησφαλίσατο ἰδίῳ στόλῳ, αὐτὸς δὲ ἐξελθὼν ἐν Νικαίᾳ τὰ αὐτῷ συνοίσοντα ἔπραττεν. Ὁ δὲ τοῦ Θεοδοσίου στόλος ἐληλυθὼς, ἀπεκρούσθη μὲν πρὸς καιρὸν ὑπὸ τῶν τοῦ Ἀρτεμίου, καὶ ναυμαχίαι ἦσαν συχναὶ ἐπὶ μῆνας ἕξ· ὕστερον δὲ καθυπερτερήσας ὁ τοῦ Θεοδοσίου λαὸς, προσώκειλε τῷ νεωρίῳ τῆς Πόλεως, καὶ διὰ προδοσίας τῶν τὰ τείχη φυλαττόντων, τὴν Πόλιν εἰσέδυ, καὶ τοὺς τῶν Πολιτῶν οἴκους τῶν ἰδίων ἐκένωσε· καὶ οὕτως τῶν βασιλείων ὁ Θεοδόσιος γέγονεν ἐγκρατής.

Θεοδόσιος ἔτος ἕν· οὗτος λόγον ἀπαθείας τῷ Ἀρτεμίῳ, [δίδωσι] καὶ ὡς ἀποκαρέντα διατηρήσας ἀβλαβῆ, εἰς Θεσσαλονίκην ἐξώρισε.

Λέων δὲ ὁ Ἴσαυρος, πατρίκιος ὢν, καὶ στρατηγὸς τοῦ Ἀνατολικοῦ τότε παρὰ Ἀρτεμίου προβληθεὶς, οὐχ ὑπετάγη τῷ Θεοδοσίῳ, ἀλλὰ τὸν ὑπ' αὐτὸν λαὸν ἀθροίσας ἐτυράννησεν, ἔ-

χων εἰς τοῦτο συνεργὸν Ἀρτάβασδον τὸν Ἀρμενιακῶν στρατηγὸν, ᾧ καὶ τὴν ἑαυτοῦ θυγατέρα εἰς γάμον κατηγγύησε. Θεοδόσιος δὲ τῆς βασιλείας τῷ Λέοντι παραχωρεῖ, καὶ κληρικὸς γεγονὼς, τὸν ἅπαντα βίον αὐτοῦ ἡσύχως διήνυσε.

5. | Λέων ὁ Ἴσαυρος, ὁ Εἰκονομάχος, ἔτη κδ'. Οὗτος τῆς βασιλείας ἐπιτυχὼν, Ἀρτάβασδον μὲν τὸν γαμβρὸν αὐτοῦ κουροπαλάτην ἐτίμησε· τίκτει δὲ καὶ υἱὸν ἐκ Μαρίας τῆς αὐτοῦ γαμετῆς τὸν μιαρὸν Κοπρώνυμον, ὃν καὶ Κωνσταντῖνον ὠνόμασεν. Ἀλλὰ καὶ Ἀρτέμιον τὸν προβεβασιλευκότα πρὸς τὸν ἄρχοντα Βουλγαρίας ἐλθόντα, καὶ μετὰ πολλοῦ πλήθους κατ' αὐτοῦ ἐπελθόντα ὑπὸ τοῦ Βουλγαρικοῦ ἔθνους δώροις προδοθέντα, ἀνεῖλε μετὰ τῶν συναποστατησάντων αὐτῷ ἀρχόντων.

Οὗτος ὁ βδελυρὸς βασιλεὺς μὴ φέρων ὁρᾶν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν εἰκόνι, τῷ δεκάτῳ ἔτει τῆς αὐτοῦ τυραννίδος πάσας καθαιρεῖ τὰς ἁγίας εἰκόνας τοῦ τε σωτῆρος ἡμῶν καὶ θεοῦ καὶ τῆς αὐτοῦ μητρὸς καὶ Θεοτόκου, καὶ τῶν ἁγίων, εἰδώλων τύπους τολμήσας ἀποφθέγξασθαι αὐτὰς ἀποσώζειν.

Καὶ τῷ τρισκαιδεκάτῳ ἔτει τῆς βασιλείας αὐτοῦ ἐξωθεῖ τὸν πατριάρχην τὸν ἅγιον Γερμανὸν, μὴ πεισθέντα τῇ κακοτροπίᾳ αὐτοῦ, ἀλλὰ καὶ ἐλέγχοντα καὶ ὀνειδίζοντα αὐτὸν, ὡς αἱρετικὸν, καὶ ἀνάγεται εἰς τὸ πατριαρχεῖον Ἀναστάσιος ὁ τοῦ τυράννου ὁμόδοξος, καὶ ἐπεσκόπησεν ἔτη κ' καὶ δ'.

Λέγεται δ' οὕτω τὸν μιαρὸν τοῦτον τύραννον εἰς τὴν τῶν Εἰκονομάχων αἵρεσιν ὀλισθῆσαι. Δύο τινὲς Ἑβραῖοι, τούτοις δ' ἀεὶ τὸ χριστομαχεῖν περισπούδαστον, Ζὶθ τῷ τῶν Ἀρράβων προσίασιν ἀρχηγῷ, καὶ διὰ τῆς ἀστρολογίας εἰδέναι τὰ μέλλοντα ἐγκαυχώμενοι, τὴν ζωὴν αὐτῷ καὶ τὴν ἀρχὴν πολυχρόνιον ἔσεσθαι ἔλεγον, εἰ τὰς τοῦ Χριστοῦ καὶ τῆς αὐτὸν τεκούσης καὶ τῶν ἁγίων εἰκόνας τῶν ἐκκλησιῶν ἀπαλεῖψαι προθυμηθείη, ἐν αἷς σχολάζουσιν οἱ χριστώνυμοι. Καὶ ὁ βάρβα-

ρος ταῖς ἐπαγγελίαις τῶν Ἑβραίων ἐνηδυνθεὶς, τὰς μὲν ἁγίας εἰκόνας ἠφάνισε, τὴν δὲ θείαν δίκην ἐξέφυγεν οὐδαμῶς· οὔπω γὰρ ἐνιαυτοῦ παρελθόντος, ἐξ ἀνθρώπων ἐγένετο. Ὁ τούτου δὲ παῖς καὶ διάδοχος τῆς ἀρχῆς ἐζήτει τίσασθαι τοὺς ἀπατεῶνας· οἱ δὲ λάθρα τὴν Ἰσαυρίαν κατέλαβον· ἐκεῖσε δὲ τῷ Λέοντι ἐντυχόντες, νεανίᾳ τότε τυγχάνοντι, χειρώνακτι τὴν τέχνην καὶ βαναύσῳ τὸ ἐπιτήδευμα, τὴν τῶν Ρωμαϊκῶν σκήπτρων προλέγουσι τούτῳ κατάσχεσιν. Ὁ δὲ πρὸς τὴν οἰκείαν ἀφορῶν τύχην, καὶ τὸ μεγαλεῖον τῆς βασιλείας διανοούμενος, ἠπίστει τοῖς θεομάχοις· ὅθεν ἀπαιτοῦσι δοῦναι πληροφορίαν δι' ὅρκου, ὡς βασιλεύσας ὃ ἂν αἰτήσωνται διαπράξεται. Οὐκοῦν ὄμνυσι, πολυπραγμονήσας οὐδόλως ὁποῖον ἔσται τὸ αἰτησόμενον. Ὡς οὖν ἐγκρατὴς τῆς βασιλείας ἐγένετο, ὁποῖα τὰ τοῦ θεοῦ κρίματα, καὶ ἔννατον ἤδη χρόνον εἶχεν ἐν τῇ ἀρχῇ, προσῆλθον οἱ Ἑβραῖοι, καὶ γνωσθέντες, εἰς ἀνάμνησιν αὐτὸν ἄγουσι τῆς αὐτῶν τε προρρήσεως καὶ τῆς ἐνόρκου αὐτοῦ καταθέσεως. Εἰπεῖν οὖν ἐπιτραπέντες τὰ πρὸς βουλῆς, οὐδέν τι ἕτερον ᾔτησαν ἀλλ' ἢ τὸ καθαιρεθῆναι καὶ ἀφανισθῆναι πυρὶ τὰς ἁγίας εἰκόνας. Ὁ δὲ, οὐδὲ γὰρ ἐστήρικτο περὶ τὴν πίστιν, πέρατι δοῦναι τὸ αἰτηθὲν συνέθετο· καὶ τὸ ἔργον εὐθέως ἐπήγαγεν ὁ κατάρατος.

Οὗτος ὁ βασιλεὺς Λέων τὸν ἴδιον υἱὸν βασιλέα ἀνηγόρευσεν.

Ὁ δὲ ἁγιώτατος πάπας Ρώμης Γρηγόριος γράφει πρὸς Λέοντα περὶ τῶν ἁγίων εἰκόνων, καὶ μετὰ παρρησίας ἐλέγχει· ἀλλὰ τὸν Αἰθίοπα σμῆξαι μὴ δυνηθεὶς, τοὺς φόρους τῆς Ἰταλίας καὶ Ρώμης ἐκώλυσε τελεῖσθαι πρὸς αὐτὸν, καὶ τὴν ὅλην αὐτῶν χώραν τῆς αὐτοῦ ἐξουσίας ἀπέστησε.

Τότε καὶ τὴν θυγατέρα Χαγάνου τοῦ τῶν Σκυθῶν δυνάστου ἀγαγὼν καὶ βαπτίσας, καὶ Εἰρήνην ἐπονομάσας, τῷ υἱῷ Κωνσταντίνῳ συνέζευξεν.

Ἐν δὲ τῇ βασιλικῇ μεγάλῃ κινστέρνῃ, τῇ παρὰ τοῦ μεγάλου Ἰουστινιανοῦ πλησίον τῆς μεγάλης ἐκκλησίας τῆς θεοῦ λόγου Σοφίας κτισθείσῃ, οἶκος ἦν βασιλικὸς μέγιστος καὶ περιφανής, ἐν ᾧ κατὰ διαδοχὴν προεκάθητό τις διδάσκαλος ἱερός, ὁ τῶν ἄλλων διαφορώτατος, ἔχων ὑφ' ἑαυτὸν καὶ μαθητὰς δώδεκα, γνώσει καὶ ἀρετῇ τῶν ἄλλων ἐξοχωτάτους· οὗτοι πᾶσαν λογικὴν ἐπιστήμην τάχει καὶ μεγέθει φύσεως μετερχόμενοι, οὐχ ἥκιστα δὲ καὶ τὴν ἐκκλησιαστικὴν ἅπασαν θεοσοφίαν, τοὺς μανθάνειν βουλομένους τὴν ὁποιανοῦν παιδείαν ἐδίδασκον ἀμισθί· ὧν τῆς γνώμης χωρὶς οὐδὲ βασιλεῦσιν ἐξῆν ποιεῖν τι, τοῖς γε συνετωτέροις. Τούτους ὁ παρανομώτατος Λέων, πάσῃ μηχανῇ εἴσω τῆς ἑαυτοῦ κακοδοξίας σαγηνεῦσαι μὴ ἐξισχύσας, τί ποιεῖ; αὐτῷ οἴκῳ καὶ ταῖς ἐν αὐτῷ ἀποτεθησαυρισμέναις ἱεραῖς βίβλοις τῆς θείας Γραφῆς, καὶ τῆς ἔξωθεν [σοφίας], ἀωρὶ τῶν νυκτῶν τοὺς ἱεροὺς ἐκείνους καὶ λογίους σύμπαντας ἄνδρας πυρὶ συγκατακαίει καὶ παντελεῖ ἀφανείᾳ παραδίδωσιν ὁ τοῦ αἰωνίου πυρὸς ἄξιος. | Ἐκεῖ καὶ τοῦ δράκοντος ἔντερον ἦν, ὡς λέγεται, ἐν ᾧ καὶ τὰ βιβλία τῆς Ὁμήρου ποιήσεως ἦσαν ἐγγεγραμμένα, ἡ Ἰλιάς τε καὶ ἡ Ὀδύσσεια.

Τοιαῦτα ἐν τῇ αὐτοῦ βασιλείᾳ κατωρθωκὼς ὁ τρισάθλιος, θνήσκει, τὸν αἰώνιον καὶ ψυχικὸν προτεθνηκὼς θάνατον, καταλιπὼν εἰς τὸ βασιλεύειν τὸν υἱὸν Κωνσταντῖνον.

Κωνσταντῖνος ὁ υἱὸς αὐτοῦ ὁ Κοπρώνυμος ἔτη λʹ καὶ εʹ. Οὗτος ὁ θεομισὴς διὰ τὰς ἁμαρτίας ἡμῶν τῆς τῶν χριστιανῶν βασιλείας ἐπειλημμένος ἐσπούδασε μὴ τὸν πατέρα μόνον νικῆσαι ἐπ' ἀσεβείᾳ καὶ ἀσελγείᾳ καὶ πάσῃ βδελυρίᾳ, ἀλλὰ καὶ τοὺς ἀπ' αἰῶνος περιβοήτους ἐν πονηρίᾳ καὶ ὠμότητι· πάντας γὰρ τοὺς πάλαι ἄρξαντας τυράννους καὶ Ἕλληνας ὑπερελάσαι κατὰ πολὺ ἐφιλονείκησε, καὶ φιλανθρώπους ἀπέδειξε.

Τούτῳ ἐπανέστη Ἀρτάβασδος ὁ κουροπαλάτης καὶ γαμβρὸς αὐτοῦ, καὶ τῆς βασιλείας καὶ τῆς Πόλεως ἐξωθεῖ, πολέ-

μῳ τρεψάμενος κατὰ τὸ Δορύλαιον, καὶ εἰσελθὼν εἰς Κωνσταντινούπολιν βασιλεύει, καὶ τὴν γυναῖκα Ἄνναν καὶ τοὺς υἱοὺς Νικήταν καὶ Μάρκον βασιλεῖς ἀναγορεύει, καὶ τὰς ἁγίας εἰκόνας ἀναστηλοῖ, καὶ προσκυνεῖσθαι καὶ σέβεσθαι κελεύει· καὶ κρατεῖ ἔτη β'.

Ὁ Κωνσταντῖνος δὲ τοῖς στρατηγοῖς τῶν θεμάτων κατοχυρώσας ἑαυτὸν, καὶ λαὸν ὅτι πλεῖστον συναγηοχὼς, καὶ συμμίξας Ἀρταβάσδῳ ἐν Σάρδει, τρέπει, καὶ μόλις διασώζεται Α'ρτάβασδος ἐν τῇ Πόλει. Αὐτὸς δ' ἐκ τῆς Ἀβύδου διαπεράσας, τῷ χερσαίῳ τείχει προσπελάσας τῆς Πόλεως, οὐκ ἀνῆκε πολεμῶν ἕως τὴν Πόλιν παρέλαβε· καὶ τὸν μὲν Ἀρτάβασδον σὺν τοῖς υἱοῖς ἀποτυφλοῖ, τὸν τιμιώτατον δὲ καὶ ὁμόδοξον αὐτῷ πατριάρχην βουνεύροις διακοσίοις ἐν μέσῃ τῇ ἀγορᾷ σωφρονίσας, καὶ ὄνῳ γυμνῷ ἐπικαθίσας, ἱπποδρομίου τελουμένου, μέσον αὐτὸν ἐθριάμβευσε, καὶ πάλιν εἰς τὸν πατριαρχικὸν θρόνον ἀνεβίβασεν, αὐτάρκως αὐτὸν παιδεύσας· καὶ τῷ τρεισκαιδεκάτῳ ἔτει τῆς αὐτοῦ βασιλείας, θνήσκει οὗτος ὁ Ἀναστάσιος καὶ ψυχῇ καὶ σώματι, καὶ ἀναβιβάζεται εἰς τὸν πατριαρχικὸν θρόνον Κωνσταντῖνος ὁ δυσσεβὴς, καὶ κρατεῖ ἔτη ιγ'.

Τῷ αὐτῷ ἔτει ὁ Κοπρώνυμος συνέδριον παράνομον ἀθροίσας ἀνιέρων ἐπισκόπων καὶ κοιλιοδούλων ἐν τῷ ναῷ τῶν Βλαχερνῶν, τὰς ἱερὰς εἰκόνας τῶν ἁγίων ὁ βέβηλος ἐθέσπισε μὴ προσκυνεῖσθαι, καὶ τόμον ἐξέθετο περὶ τούτου, ἐν ᾧ τοὺς μὴ πεισθέντας ὑπογράψαι, μάρτυρας ἀπειργάσατο, καὶ πολλοὺς ἁγίους ἐβασάνισεν, ἐν οἷς καὶ τὸν ἅγιον Στέφανον τὸν Νέον, παρρησίᾳ αὐτόν τε καὶ τοὺς ἀνιέρους αὐτοῦ ἀρχιερεῖς ἀπελέγξαντα.

Ὁ δὲ θεομισὴς τύραννος πάντας τοὺς ὑπὲρ τῶν ἁγίων εἰκόνων παρρησιασαμένους καὶ προεκδημήσαντας ἀνεθεμάτισε διὰ τῆς εἰρημένης δαιμονικῆς καὶ ἀνιέρου συνόδου, τόν τε ἅγιον Γερμανὸν καὶ τὸν ἐκ Δαμασκοῦ ἅγιον Ἰωάννην, καὶ τὸν Ῥώμης ἅγιον Γρηγόριον, καὶ τοὺς λοιπούς.

Οὗτος ἀπὸ μὲν τῆς πρώτης αὐτοῦ γυναικὸς Εἰρήνης Λέοντα εἶχεν υἱὸν, ὃν καὶ βασιλέα ἀνηγόρευσε· λαβὼν δὲ καὶ τρίτην ὁμώνυμον τῇ δευτέρᾳ Εὐδοκίαν, ἥτις ἔτεκε Νικηφόρον, Νικήταν καὶ Ἄνθιμον καὶ Χριστοφόρον· ἀπὸ γὰρ τῆς δευτέρας οὐδένα ἔτεκεν· ὧν τοὺς μὲν καίσαρας ἐτίμησε, τοὺς δὲ νωβελλισίμους.

Τῷ δὲ εἰκοστῷ πέμπτῳ ἔτει τῆς αὐτοῦ βασιλείας ἐξ οὐδεμιᾶς εὐλόγου αἰτίας καθεῖλε τὸν πατριάρχην Κωνσταντῖνον, τὸν σύντεκνον καὶ πνευματικὸν αὐτοῦ πατέρα, καὶ πληγαῖς ἀφορήτοις διαφόρως κατακόψας, τὴν κεφαλήν τε καὶ τὸ γένειον τῶν τριχῶν ἀπογυμνώσας, καὶ ὄνῳ ἐπιβιβάσας, καὶ θριαμβεύσας ἐν τῷ ἱππικῷ, τελευταῖον τὴν κεφαλὴν ξίφει ἀπέτεμε· καὶ χειροτονεῖται πατριάρχης Κωνσταντινουπόλεως, ὢ τῶν ἀρρήτων σου κριμάτων φιλάνθρωπε Κύριε! ἄνθρωπός τις εὐνοῦχος μὲν καὶ ἀπὸ δούλων, ἐν τῇ τοῦ παλατίου γυναικωνίτιδι παιδευθεὶς καὶ συνανατραφεὶς, φίλος δὲ καὶ συμμύστης Κωνσταντίνου, Νικήτας ὁ βδελυρὸς, ὁ καὶ αὐτῶν ἰχθύων ἀφωνότερος, τὸ τῆς γῆς ἄχθος, ὁ μηδὲν πλέον τοῦ ἐσθίειν καὶ πίνειν πανημέριον ἐννοήσας ποτὲ, τὸ αὐτόχρημα κτῆνος· οὗτος ἐκράτησε τῆς ἐκκλησίας ἔτη ιδʹ, ὁ μηδέ τι ἐστιν ἐκκλησία εἰδώς· τούτου καὶ μνημονεύων αἰσχύνομαι ὡς μολυνόμενος· ἓν δὲ τῶν αὐτοῦ κατορθωμάτων εἰπὼν ἀναγνωρίσω ὑμῖν τὸν ἄνθρωπον. Ποτὲ τὸ Εὐαγγέλιον ἀναγινώσκων, ἀντὶ τοῦ εἰπεῖν ἐκ τοῦ κατὰ Ματθαῖον, ὁ δεσπότης, ὁ οἰκουμενικὸς διδάσκαλος ἐκ
B. τοῦ κατὰ Ματθάϊον ἐξεφώνησε, | διαιρέσας τὴν δίφθογγον συλλαβὴν εἰς δύο. Τῶν δὲ παρισταμένων εἷς τις ἐνωτισθεὶς, μὴ οὕτω φθέγγου, δέσποτα, ἔφη, μὴ διαίρει τὴν δίφθογγον, ἀλλὰ μονοσυλλάβως λέγε. Ὁ δὲ οἰκουμενικὸς δεσπότης βλοσυρῷ τῷ ὄμματι τοῦτον περιβλεψάμενος, ἔφησε· μὴ φλυάρει, τὰ δίφθογγα καὶ τὰ τρίφθογγα μισεῖ ἡ ψυχή μου. Οἶδα ὅτι ἐκ τούτου τὴν τοῦ ἀνδρὸς σύνεσιν πάντες ἔγνωτε.

Ὁ δὲ βασιλεὺς μανικώτερον κατὰ τῶν ἐκκλησιῶν διατεθεὶς, πᾶσαν μὲν ἁγίαν εἰκόνα, καὶ αὐτοῦ τοῦ Χριστοῦ, ἀπήλειψε, καὶ τιτάνῳ ἐνέχρισε, πάντα δὲ τὰ τῶν ἁγίων λείψανα πυρὶ παραδέδωκε, πάντα δὲ μοναχὸν ἢ μονάζουσαν ἢ βίᾳ ἢ κολακείᾳ ἀθετῆσαι τὸ σχῆμα παρέπεισε, καὶ βασάνοις καὶ θανάτῳ τοὺς μὴ πειθομένους παρέδωκε· τὴν δὲ Κωνσταντινούπολιν τῆς μοναχικῆς πολιτείας καὶ τοῦ αὐτῶν τάγματος τέλεον ἐξεγύμνωσεν· ἀλλὰ καὶ τὰ τῶν ἁγίων ὀνόματα τῆς ἁγιότητος ἀπεστέρησε, χωρὶς τοῦ ἅγιος αὐτὰ κελεύσας ὀνομάζεσθαι, ὁ Πέτρος, καὶ ὁ Παῦλος, καὶ οἱ λοιποὶ, τὴν ὑπεραγίαν Θεοτόκον, Μαρίαν καλῶν οὕτω μόνον ψιλῶς· μετὰ πάντων δὲ τῶν αὐτοῦ ἀσεβημάτων καὶ τὴν λάρνακα τῆς ἁγίας Εὐφημίας ἐξαγαγὼν, καὶ τὸ λείψανον εἰς τὸ ἱπποδρόμιον ἐξενεγκὼν, καὶ συμμίξας τῷ μαρτυρικῷ ἁγίῳ σώματι, τῆς ἀνοχῆς σου ἀνεξίκακε Κύριε! ὄνους καὶ κύνας πυρὶ κατετέφρωσε, καὶ τὸν χοῦν ἐλίκμησε. (1) Πολλὰ οὖν καὶ ἀφόρητα δεινὰ ὁ θεομάχος οὗτος ἐργασάμενος ἐπί τε τῇ ἐκκλησίᾳ καὶ τοῖς ἄρχουσι καὶ πᾶσι τοῖς ἐν τέλει, ἀθλίως ὕστερον τὴν ψυχὴν ἀπέρρηξε.

Λέων ὁ υἱὸς αὐτοῦ, ἔτη πέντε. Οὗτος εἶχε γυναῖκα βασίλισσαν τὴν εὐσεβεστάτην Εἰρήνην, καὶ υἱὸν μετ' αὐτῆς Κωνσταντῖνον ὃν καὶ βασιλέα ἐποίησε. Τούτου τῷ τετάρτῳ ἔτει θνήσκει ὁ κτηνώδης πατριάρχης Νικήτας, καὶ χειροτονεῖται πατριάρχης Κωνσταντινουπόλεως Παῦλος ὁ Κύπριος, καὶ ἐπεσκόπησεν ἔτη πέντε. Ὁ δὲ Λέων καταλιπὼν τὴν βασιλείαν τῇ γυναικὶ Εἰρήνῃ καὶ τῷ υἱῷ Κωνσταντίνῳ θνήσκει.

---

(1) Ἐν περιθωρίῳ σημειοῦνται ταῦτα: « Γράφει ὁ Δαφνοπάτης, ὡς ἄλλου ἀντιτεθέντος τότε λειψάνου, εἰς ἐκεῖνο τὰ εἰρημένα ἐπράχθη· τὸ δὲ μαρτυρικὸν ὕστερον ἐπιγνωσθὲν αὐτῇ λάρνακι τῇ θαλάσσῃ ἐναπερρίφη, καὶ διασωθὲν ἐν τῇ νήσῳ Λήμνῳ αἴτιον τοῦ ἀρχιεπισκοπικὸν θρόνον κτήσασθαι τὴν νῆσον ἐγένετο ».

Εἰρήνη καὶ Κωνσταντῖνος ὁ υἱὸς αὐτῆς, ὁμοῦ ἔτη δέκα· αὕτη ἡ βασιλὶς ὀρθόδοξος ἦν καὶ εὐσεβής· ἠγάγετο δὲ τῷ υἱῷ Κωνσταντίνῳ γυναῖκα τὴν ἐγγόνην τοῦ ἁγίου Φιλαρέτου τοῦ ἐλεήμονος ἀπὸ τῆς ἐν Παφλαγονίᾳ Ἀμνείας· μεθ' ἧς ἔτεκε θυγατέρας δύο, Εἰρήνην καὶ Εὐφροσύνην.

Καὶ τῷ τετάρτῳ ἔτει τῆς αὐτῶν βασιλείας ὁ πατριάρχης Παῦλος παραιτησάμενος, τὸν θρόνον κατῆλθε, καὶ ὁσίως ἐν μετανοίᾳ βιώσας, θνήσκει· καὶ χειροτονεῖται Ταράσιος Κωνσταντινουπόλεως ὁ ἅγιος, καὶ ἐπεσκόπησεν ἔτη κα'. Τότε δὲ, ἤγουν τῷ τετάρτῳ ἔτει τῆς βασιλείας αὐτῶν, ἔτει ἀπὸ κτίσεως κόσμου ἑξακισχιλιοστῷ διακοσιοστῷ ἐννενηκοστῷ ἕκτῳ συγκροτεῖται ἐν τῇ Νικαέων μεγαλοπόλει ἡ ἑβδόμη ἁγία καὶ οἰκουμενικὴ σύνοδος τὸ δεύτερον παρὰ ἁγίων πατέρων τὸν ἀριθμὸν τριακοσίων τριάκοντα, ὧν οἱ ἐξάρχοντες Ἀδριανὸς πάπας Ῥώμης διὰ τοποτηρητῶν Πέτρου πρωτοπρεσβυτέρου τῆς Ῥώμης, καὶ ἑτέρου πρεσβυτέρου καὶ ἡγουμένου τῆς ἐκεῖ μονῆς τοῦ ἁγίου Σάβα, ἀντὶ δὲ τοῦ Ἀλεξανδρείας Ἀπολιναρίου καὶ Θεοδωρίτου Ἀντιοχείας, καὶ Ἠλία Ἱεροσολύμων, Ἰωάννης καὶ Θωμᾶς μοναχοὶ καὶ πρεσβύτεροι, Ταράσιος Κωνσταντινουπόλεως, καὶ οἱ λοιποί. Συνῆλθον δὲ κατὰ τῶν εἰκονομάχων τῶν καὶ εἰκονοκαυστῶν καὶ χριστιανοκατηγόρων ἐπικληθέντων, οὓς καὶ ἀνεθεμάτισαν καὶ τὴν βδελυρὰν αὐτῶν αἵρεσιν, διωρίσαντο δὲ σέβεσθαι καὶ τιμᾶσθαι τὰς ἁγίας εἰκόνας, ὡς εἰς τὰ πρωτότυπα τούτων τῆς τιμῆς ἀνατρεχούσης, τοὺς δὲ τολμῶντας ἑτέρως φρονεῖν, ἢ διδάσκειν, ἢ κατὰ τοὺς ἐναγεῖς αἱρετικοὺς τὰς ἐκκλησιαστικὰς παραδόσεις ἀθετεῖν, καὶ καινοτομίαν τινὰ ἐπινοεῖν, ἢ ἀποβάλλεσθαί τι ἐκ τῶν ἀνατεθειμένων τῇ ἐκκλησίᾳ, εὐαγγέλιον, ἢ τοῦ σταυροῦ τύπον, ἢ εἰκονικὴν ἀναζωγράφησιν, ἢ ἅγιον λείψανον μάρτυρος, ἢ ἐπινοεῖν σκολιῶς καὶ κακούργως πρὸς τὸ ἀνατρέψαι τι τῶν ἐνθέσμων παραδόσεων τῆς καθολικῆς ἐκκλησίας, ἔτι γε μὴν ὡς κοινοῖς χρῆσθαι τοῖς ἱεροῖς

κειμηλίοις, ἢ τοῖς εὐαγέσι μοναστηρίοις, ἐπισκόπους μὲν ὄντας, ἢ κληρικοὺς καθαιρεῖσθαι, μονάζοντας δὲ, ἢ λαϊκοὺς, τῆς κοινωνίας ἀφορίζεσθαι. Καὶ οὕτως ἀπέλαβεν ἡ ἁγία καθολικὴ ἐκκλησία τὸν κόσμον αὐτῆς. Ὑπέγραψε δὲ τῷ τόμῳ τῆς συνόδου καὶ ὁ βασιλεὺς Κωνσταντῖνος, καὶ ἡ μήτηρ αὐτοῦ Εἰρήνη. Οὐ μὴν ἀλλὰ καὶ τοῦτο ἰστέον, ὅτι ἡ σύνοδος αὕτη ἐν Κωνσταντινουπόλει συνήθροισται τὸ πρῶτον ἐν τῷ τῶν ἁγίων Ἀποστόλων ναῷ· ἀλλά τινες τῶν τότε ἀρχιερέων τὸν δῆμον καταστασιάσαντες τῆς συνόδου ὡς τῶν πατέρων αὐτῶν | μελλόντων ὑποβληθῆναι τῷ ἀναθέματι, τοσοῦτον ἠρέθισαν ὡς ὡπλισμένους ἐπελθεῖν, καὶ, εἰ μὴ τὰς τοῦ νεὼ πύλας οἱ τῆς συνόδου ἀπέκλειον, τάχ' ἂν καὶ φόνου ἔργον ἐγένοντο. Ἐπεὶ δὲ καὶ εἰς γνῶσιν ἦλθε ταῦτα τῶν βασιλέων, πρὸς τὴν Νικαέων ὡρίσθη συγκροτηθῆναι τὴν σύνοδον· ὃ καὶ τετέλεσται, καὶ ἡ ἐκκλησία καθαρῶς τὴν εἰρήνην ἀπέλαβεν.

Κωνσταντῖνος οὗτος ὁ τῆς Εἰρήνης υἱὸς, ἔτη ἑπτά. Οὗτος, τοῦ στρατοῦ συνεργήσαντος αὐτῷ ἤδη πρὸς εἰκοστὸν ἔτος τῆς ἡλικίας ἐλάσαντι, μόνος αὐτοκράτωρ ἀναγορεύεται, καὶ τῶν βασιλείων τὴν μητέρα κατάγει· ἀλλὰ νέος ὢν, καὶ μὴ ἐξαρκῶν μόνος τῶν πραγμάτων δραστικώτερον ἐπιλαμβάνεσθαι, πτοηθεὶς, πάλιν τὴν μητέρα συντόμως ἀνάγει, καὶ συμβασιλεύειν μὲν αὐτῇ καὶ συνευφημεῖσθαι κελεύει, οὐ μέντοι καὶ ὑπετάσσετο αὐτῇ, ἀλλ' ὡς συμβούλῳ μόνον ἐχρῆτο, καὶ τιμὴν ἀπένειμε μητρικήν· τὴν δὲ γυναῖκα αὐτοῦ Μαρίαν, καὶ ἄκουσαν ἀπέκειρε καὶ εἰς τὸ παρ' αὐτῆς ἀνοικοδομηθὲν μοναστήριον τῶν Δεσποινῶν ἀποκαθιστᾷ· καὶ ἄγεται ἑαυτῷ γυναῖκα Θεοδότην κουβικουλαρίαν, ἣν καὶ βασίλισσαν ἐποίησεν. Ἀλλὰ καὶ τοὺς τοῦ Κοπρωνύμου υἱοὺς ἅπαντας ἐκτυφλοῖ, καὶ ἀσέμνως ἐβίου. Ταῦτα δὲ ὁρῶσα ἡ μήτηρ, καὶ λυπουμένη, βουλεύεται κατὰ τοῦ υἱοῦ μετὰ τῶν οἰκειακῶν αὐτῆς ἀνθρώπων ἔρωτι τῆς αὐτοκρατορίας, ἐφ' ᾧ καὶ οἱ ἄνθρωποι αὐτῆς, ὑπο-

θήκαις αὐτῆς, αἴφνης ἐπεισπεσόντες τῷ Κωνσταντίνῳ ὑπνώττοντι δεινῶς ἐκτυφλοῦσιν, ὡς καὶ τὸν ἥλιον ἐπὶ πλείσταις ἡμέραις μὴ δοῦναι καθαρὰς τὰς ἀκτῖνας, καὶ αὐτοκρατορεῖ μόνη ἡ Εἰρήνη.

Εἰρήνη μόνη ἡ μήτηρ τοῦ Κωνσταντίνου, ἔτη ε'. αὕτη μόνη τῆς βασιλείας κρατήσασα καὶ πολλὰ τοῖς ἐν τῇ Πόλει δωρησαμένη, ὕστερον καὶ αὐτὴ κατάγεται ἀτίμως παρὰ Νικηφόρου πατρικίου τοῦ ἀπὸ Γενικῶν.

Νικηφόρος ἔτη θ'· οὗτος ὠμότατος ὢν καὶ φιλόχρυσος πολλὰ δεινὰ τῇ Ῥωμαίων ἐπενοήσατο πολιτείᾳ καὶ κατεπράξατο, πᾶσαν συγκινῶν ἀφορμὴν πρὸς τὸ πάντας ἀπογυμνῶσαι τῶν προσόντων αὐτοῖς καὶ τὴν ἰδίαν ἐμπλῆσαι ἀπληστίαν. Ὅθεν καὶ ὁ σύμπας τοῦ Ἀνατολικοῦ στρατὸς, στερηθεὶς τῆς βασιλικῆς συνήθους ρόγας, Βαρδάνιον πατρίκιον, καὶ στρατηγὸν αὐτῶν, ἐβιάζοντο βασιλέα ἀναγορεῦσαι· ὁ δὲ πτοούμενος τὸ τοῦ μέλλοντος ἄδηλον, ἀπέρχεται πρός τινα μοναχὸν ἐν Φιλομηλίῳ, ἔγκλειστον μὲν τυγχάνοντα, προφητικῷ δὲ χαρίσματι διαλάμποντα· τούτῳ προσελθὼν ὁ Βαρδάνιος, τὰ τῆς βουλῆς ἀνετίθει, καὶ ἠρώτα περὶ τοῦ μέλλοντος. Ὁ δὲ ἔγκλειστος διακωλύσας αὐτὸν, ἔφη· ἡνίκα ἂν τοιῷδε πράγματι ἐπιχειρῆσαι δοκιμάσειας, καὶ τῆς περιουσίας σου καὶ τῶν ὀφθαλμῶν ὑποστήσῃ τὴν στέρησιν. Ἐκείνου δὲ σὺν ἀθυμίᾳ ἐξελθόντος τῆς κέλλης τοῦ μοναχοῦ, καὶ τοῦ ἵππου ἐπιβῆναι ὁρμήσαντος, οἱ τὸν ἵππον ἕλκοντες ἄνδρες, ἄρχοντες δὲ ἦσαν ἐξυπηρετούμενοι τῇ αὐτοῦ στρατηγικῇ ἀρχῇ τρεῖς, Λέων, Μιχαὴλ, καὶ Θωμᾶς, ἐθεάθησαν προκύπτοντι τῆς ὀπῆς τῷ ἐγκλείστῳ· καὶ εὐθὺς πρὸς ἑαυτὸν ὁ ἔγκλειστος ἐκάλει κατ' ἰδίαν τὸν Βαρδάνιον καί φησί· σὺ μὲν οὐκ ἐπιτεύξῃ τῆς βασιλείας, οἱ δὲ τὸν ἵππον τὸν σὸν ἕλκοντες, ὁ μὲν Λέων καὶ ὁ Μιχαὴλ κατὰ διαδοχὴν βασιλεύσουσιν, ὁ δὲ Θωμᾶς τυραννήσει μὲν, καὶ ἑαυτῷ περιθήσεται στέφανον, τάχιον δὲ ὑπὸ τοῦ Μιχαὴλ ἀναιρεθή-

σεται. Ταῦτα ἀκούσας ὁ Βαρδάνιος, αὐτὸς μὲν καὶ ἄκων εἰς τὴν τυραννίδα κινήσας ἑαυτὸν, τῶν ὀφθαλμῶν ἐστερήθη, ἡττηθεὶς, καὶ ἐν τῇ μονῇ τῆς νήσου Πρώτης, τῇ παρ' αὐτοῦ κτισθείσῃ, ἀποκείρεται. Τοῖς δὲ τρισὶν αὐτοῦ ὑποστρατήγοις τὰ παρὰ τοῦ ἐγκλείστου λαληθέντα μυστήρια ἐξεῖπεν, ἃ πάντα ἐν τοῖς καιροῖς αὐτῶν ἐξέβη κατὰ τὴν τοῦ μοναχοῦ πρόῤῥησιν.

Τῷ δὲ τετάρτῳ ἔτει τῆς βασιλείας Νικηφόρου ὁ ἐν ἁγίοις Ταράσιος πρὸς Κύριον ἐξεδήμησε, καὶ χειροτονεῖται Νικηφόρος ὁ ἁγιώτατος, καὶ ἀρχιερατεύει ἔτη ἐννέα.

Ὁ δὲ βασιλεὺς Νικηφόρος τὸν υἱὸν αὐτοῦ Σταυράκιον ἀνηγόρευσε βασιλέα· ἐξελθὼν δὲ καὶ πόλεμον συνάψας μετὰ Βουλγάρων κρατεῖται καὶ σφάττεται.

Σταυράκιος ὁ υἱὸς αὐτοῦ μῆνας δύο· καὶ οὗτος δὲ τῷ πατρὶ συνὼν ἐν τῷ πολέμῳ καὶ καιρίαν πληγεὶς, μόλις ἐκεῖθεν μετ' ὀλίγων ἀποφυγὼν, καὶ εἰς Κωνσταντινούπολιν ἐλθὼν, παρὰ τῶν ἰατρῶν ἀπαγορευθείς, ἀπεκάρη· εἶχε δὲ βασίλισσαν Θεοφανώ.

Μιχαὴλ γαμβρὸς Νικηφόρου ὁ Ῥαγγαβὲ, ἔτη δύο· οὗτος εἶχε γυναῖκα τὴν θυγατέρα Νικηφόρου Προκοπίαν, καὶ υἱοὺς Νικήταν, Εὐστράτιον, καὶ Θεοφύλακτον, ὅν καὶ βασιλέα ἀνηγόρευσεν. Εὐσεβέστατος δὲ ὢν καὶ εὐεργετικώτατος, πάντας τούς τε κληρικοὺς τῆς ἐκκλησίας, τοὺς ἄρχοντας, καὶ τὸ τῆς Πόλεως πλῆθος τῶν αὐτοῦ δωρεῶν ἐπλήρωσε, | καὶ παρὰ πάν- φ. των ἠγαπᾶτο δι' ἣν εἶχε πρᾳότητα καὶ ἐλεημοσύνην. Ἐξελθὼν δὲ καὶ οὗτος κατὰ τῶν ἀθέων Βουλγάρων, ἡττᾶται, καὶ πολὺ τῶν ἐν τέλει πλῆθος ἐκεῖσε ἀπεβάλλετο, προδοσίᾳ Λέοντος πατρικίου καὶ στρατηγοῦ τῶν Ἀνατολικῶν, ὅς καὶ, τοῦ βασιλέως ὑποστρέψαντος εἰς τὴν Πόλιν, ἐτυράννησεν. Ὁ δὲ Μιχαὴλ τοῦτο μαθὼν, ἑκὼν παραχωρεῖ τῷ τυράννῳ τῆς βασιλείας, κατελθὼν μετὰ τῆς γυναικὸς καὶ τῶν τέκνων αὐτοῦ, καὶ ἀποκαρεὶς μετωνομάσθη Ἀθανάσιος· ἡ δὲ γυνὴ αὐτοῦ Προκοπία εἰς τὸ παρ' αὐτῆς οἰκοδομηθὲν ἤσκησε μοναστήριον, τὰ Προκοπίας·

Τοὺς μέντοι παῖδας εὐνούχισεν ὁ τύραννος Λέων, ὧν ὁ εἷς μετονομασθεὶς ἀπὸ Νικήτα, Ἰγνάτιος μοναχὸς, ὁσίως βιώσας, πατριάρχης ὕστερον διέπρεψε Κωνσταντινουπόλεως, ὁ τὴν περιφανῆ τοῦ Σατύρου ἀνεγείρας μονήν.

Λέων ὁ Ἀρμένιος εἰκονομάχος, ἔτη ζ'. καὶ μῆνας ἕξ. Οὗτος εἶχε γυναῖκα Θεοδοσίαν, καὶ υἱοὺς Κωνσταντῖνον, Βασίλειον, Γρηγόριον καὶ Θεοδόσιον. Τούτου τὴν κατὰ τῶν ἁγίων εἰκόνων μανίαν τίς διηγήσεται; ἤγειρε γὰρ καὶ οὗτος διωγμὸν κατὰ τῆς ἐκκλησίας ἀφόρητον, καὶ τὰς ἁγίας εἰκόνας κατέαξεν, ὅτε καὶ ὁ μέγας ἐπίσκοπος Εὐθύμιος Σάρδεων, καὶ ὁ ὁσιώτατος Θεόδωρος ὁ ἡγούμενος τῆς Στουδίων μονῆς, ὑπὲρ τῆς τοῦ Χριστοῦ εἰκόνος καὶ τῶν ἁγίων παρρησιασάμενοι, καὶ τὴν ἄνοιαν ἐλέγξαντες τοῦ τυράννου, κολάσεσι καὶ πληγαῖς ὑπ' αὐτοῦ καὶ ἐξορίαις διαλάμψαντες, ὁμολογηταὶ καὶ μάρτυρες ἀνεδείχθησαν.

Τούτου τῷ δευτέρῳ ἔτει καὶ ὁ ἅγιος Νικηφόρος τὴν παρανομίαν ἐλέγξας αὐτοῦ ὡς κατὰ ἀλήθειαν ἀρχιερεὺς, ἐξωθεῖται τῆς ἐκκλησίας, καὶ ἀντεισάγεται Θεόδοτος ὁ μιαρὸς εἰκονομάχος, καὶ ἐκράτησεν ἔτη ἕξ.

Ὁ δὲ Λέων εἰς μνήμην ἐλθὼν τῶν πρὸς Βαρδάνην προρρήσεων τοῦ ἐγκλείστου, καὶ ὡς εἰς αὐτὸν ἐξέβη τὸ λεχθὲν ἰδὼν, πτοούμενος μὴ εἰς τὸν Μιχαὴλ ἀποβῇ τὸ πρᾶγμα, δέσμιον αὐτὸν εἰς τὰ βασίλεια καθείργνυσι, καὶ διασκοπῶν ἦν ἑκάστοτε νυκτὸς καὶ ἡμέρας οἵῳ θανάτῳ τοῦτον παραδώσειε· περικοπτόμενος δὲ τοῖς πράγμασι, καὶ τοῖς ἀναγκαιοτέροις ἐνασχολούμενος, τέλος ἐπιθεῖναι τῷ σκοπῷ οὐκ ἠδυνήθη. Ὁ δὲ Μιχαὴλ εἰδὼς καὶ αὐτὸς ὡς τῆς βασιλείας ἐκ τοῦ ἀναμφιβόλου ἐπιτεύξεται, ἀπὸ τῶν εἰς τὸν Βαρδάνην ἐκβάντων καὶ εἰς τὸν Λέοντα, θαρραλεώτερον τῆς ἐπιβουλῆς ἥπτετο· καὶ δὴ τῷ τῶν βασιλείων φύλακι, ὃν καλοῦσι παπίαν, ἀνατίθησι τὰ τοῦ σκοποῦ καὶ τῶν τοῦ ἐγκλείστου προρρήσεων· παρ' ἐκείνῳ γὰρ ἐτηρεῖτο ὁ Μιχαήλ· οἳ καὶ τηρήσαντες ἡμέραν, καὶ κοινῇ μετὰ

τῶν τοῦ Μιχαὴλ φίλων διασκεψάμενοι, εἰσάγουσι νυκτὸς ἄνδρας ἐνόπλους μετὰ τῶν κληρικῶν τοῦ θείου ναοῦ, καὶ αὐτοὺς ἔξωθεν στιχάρια ἐνδεδυμένους, καὶ τὸν Λέοντα ἐκεῖσε καταλαβόντες, ἀνηλεῶς κατασφάττουσι, μεγάλα ἐπιβοώμενον καὶ ὀδυρόμενον. Καὶ κρατεῖ τῆς βασιλείας ὁ Μιχαὴλ ὁ Ἀμορραῖος καὶ Τραυλὸς ἔτη ή καὶ μῆνας θ'.

Οὗτος τήν τε γυναῖκα τοῦ Λέοντος καὶ τοὺς παῖδας ἐξορίσας, τὴν ἰδίαν εἰς τὰ βασίλεια ἀναβιβάζει γυναῖκα καὶ στέφει. Εἶχε δὲ καὶ υἱὸν Θεόφιλον, ὃν καὶ βασιλέα ἀνηγόρευσε. Τελευτησάσης δὲ τῆς γυναικὸς, τὴν θυγατέρα τοῦ τυφλωθέντος Κωνσταντίνου βασιλέως Εὐφροσύνην ἑαυτῷ ζεύγνυσιν, ἔτι ζώσης τῆς μητρὸς αὐτῆς, τοῦ δὲ πατρὸς ἤδη τελευτήσαντος· ἀλλὰ μετ' αὐτῆς παῖδα οὐκ ἔτεκεν.

Οὗτος τὸν μὲν διωγμὸν τῶν ἁγίων εἰκόνων ἔστησε, προσκυνεῖσθαι δὲ ταύτας καὶ σέβεσθαι οὐκ εὐδόκησεν, ἀλλ' ἕκαστον ἀφῆκε πορεύεσθαι ὅσον τὸ ἐπὶ τούτοις τῷ ἰδίῳ θελήματι.

Τούτου τῷ δευτέρῳ ἔτει θνήσκει ὁ εἰκονομάχος Θεόδοτος, καὶ κρατεῖ τῆς ἐκκλησίας Ἀντώνιος ὁ ἐπίκλην Κασσυματᾶς, ἔτη ιγ'.

Τούτῳ τῷ βασιλεῖ ἐπανίσταται ὁ προμνημονευθεὶς Θωμᾶς, καὶ τυραννεῖ κατὰ τὴν πρόρρησιν τοῦ ἐγκλείστου, καὶ πολὺν χρόνον πάντα τὰ Θρακῷα μέρη πολιορκήσας, καὶ πολλάκις συμμίξας τῷ βασιλεῖ Μιχαὴλ, τέλος κρατεῖται καὶ σφάττεται σὺν τῷ υἱῷ Ἀναστασίῳ. Ὁ δὲ Μιχαὴλ τῷ υἱῷ τὴν βασιλείαν ἐάσας θνήσκει.

Θεόφιλος ὁ υἱὸς αὐτοῦ ἔτη ιβ'. Οὗτος ἄγεται γυναῖκα τὴν ἁγιωτάτην Θεοδώραν. Εἰκονομάχος δὲ ὢν καὶ αὐτὸς, καὶ τῆς αἱρέσεως ἀντιποιούμενος, πολὺ πλῆθος τῶν ἁγίων ἐβασάνισε, μεθ' ὧν καὶ τοὺς ἁγίους Θεόδωρον καὶ Θεοφάνην τοὺς ἀδελφοὺς, ὧν καὶ τὰ πρόσωπα κατεκέντησε γράμμασι |, τούσδε τοὺς ἰάμβους ἐγ-φ. γράψας αὐτοῖς, ὧν, ὡς λέγεται, καὶ πατὴρ ἦν αὐτὸς τούτους ἐκθέμενος, ἔχοντας ἐπὶ λέξεων οὕτως·

Πάντων ποθούντων προστρέχειν πρὸς τὴν πόλιν,
ὅπου πάναγνοι τοῦ θεοῦ λόγου πόδες
ἔστησαν σύστασιν τῆς οἰκουμένης,
ὤφθησαν οὗτοι τῷ σεβασμίῳ τόπῳ
σκεύη πονηρὰ δεισιδαίμονος πλάνης·
ἐκεῖσε πολλὰ λοιπὸν ἐξ ἀπιστίας
πράξαντες αἰσχρά, δεινὰ δυσσεβοφρόνως,
ἐκεῖθεν ἠλάθησαν ὡς ἀποστάται·
πρὸς τὴν πόλιν δὲ τοῦ κράτους πεφευγότες,
οὐκ ἐξαφῆκαν τὰς ἀθέσμους μωρίας.
Ὅθεν γραφέντες ὡς κακοῦργοι τὴν θέαν,
κατακρίνονται καὶ διώκονται πάλιν.

Τοὺς δὲ τὸν Λέοντα τὸν βασιλέα ἀποκτείναντας ἅπαντας ἐρευνήσας καὶ εὑρὼν ἐκόλασε. Τήν τε μητέρα Εὐφροσύνην τῶν βασιλείων κατάγει, καὶ εἰς τὸ τῆς μητρὸς αὐτοῦ μοναστήριον ἀποκείρει, ἀφ' ἧς καὶ καλεῖται, τῆς κυρᾶς Εὐφροσύνης τὰ λιβάδια.

Οὗτος φιλόκοσμος ὤν, κτίζει τὸ Πενταπύργιον, καὶ κατασκευάζει χρυσᾶ δύο ὄργανα μετὰ δένδρων χρυσῶν, ἐν οἷς στρουθοὶ χρυσοὶ ἐφεζόμενοι, διὰ μηχανῆς τινος ἐκελάδουν, καὶ τὸν πολύτιμον βασιλικὸν λῶρον, καὶ τὰς λοιπὰς πολυτελεῖς στολάς· καὶ τὰ τείχη πάντα τῆς Πόλεως ἀνύψωσε, τὸ ἑαυτοῦ ἐπιγράφων ἐν τοῖς πύργοις ὄνομα.

Προσεποιεῖτο δὲ καὶ τὸν φιλοδίκαιον· γυνὴ γάρ τις αὐτῷ προερχομένῳ προσελθοῦσα, καὶ ἀδικηθῆναι εἰποῦσα παρὰ τοῦ τῆς βασιλίσσης ἀδελφοῦ, τοῦ Πετρωνᾶ, ἀνδρὸς μεγίστου μὲν τὴν ἀξίαν, σοφωτάτου δέ, καὶ πολλὰ ἐν πολλοῖς πολέμοις τρόπαια στήσαντος, ἔλεγε δὲ ὡς ὑψοῦντος ἐκείνου τὸν οἶκον, ἡ ἐμὴ οἰκία σκοτίζεται· ὁ βασιλεὺς ἀποστείλας εὐθύς, καὶ ἀληθῆ λέγειν τὴν γυναῖκα μεμαθηκώς, τὸν μάγιστρον Πετρωνᾶν,

καὶ τῆς βίγλης δρουγγάριον ὄντα τότε, κατὰ τὸ μέσον τῆς λεωφόρου τῶν ἱματίων ἀποδύσας, καὶ τύψας σφοδρῶς, τὸν οἶκον αὐτοῦ ἕως ἐδάφους κατήγαγεν.

Ἄλλοτε δὲ προκύπτοντος εἰς τὴν θάλασσαν ἀπὸ τοῦ Βουκολέοντος, καὶ πλοῖον διερχόμενον θεασαμένου μέγιστον, καὶ ἐρωτήσαντος τίνος εἴη τὸ πλοῖον, καὶ ἀκούσαντος ὅτι τῆς βασιλίσσης, μετακαλέσασθαί φασι τὴν Θεοδώραν, καὶ ὡς ἀληθὲς εἴη, ἐρωτήσαντος μαθεῖν, εἰπεῖν, οἴμοι, ἀποδειχθέντι ναυκλήρῳ! καὶ αὐτῇ τῇ ὥρᾳ προστάξαι πυρὶ τὸ πλοῖον σὺν τῷ φόρτῳ παραδοθῆναι· ὃ καὶ γέγονεν.

Οὗτος πέντε θυγατέρας ἔσχε μετὰ Θεοδώρας Θέκλαν, Ἄνναν, Ἀναστασίαν, Μαρίαν, καὶ Πουλχερίαν.

Ἡ δὲ Θεοδώρα οὐ συναπήχθη τῇ αἱρέσει, ἀλλ' εὐσεβὴς ἦν, καὶ τὰς ἁγίας εἰκόνας καὶ ἐτίμα καὶ προσεκύνει λάθρα.

Τίκτει καὶ υἱὸν μετὰ τῆς Θεοδώρας, καὶ ὀνομάζει Μιχαὴλ, καὶ βασιλέα ἀναγορεύει.

Τῷ δὲ ἕκτῳ ἔτει τῆς βασιλείας Θεοφίλου θνήσκει ὁ πατριάρχης Ἀντώνιος, καὶ χειροτονεῖται ὁ συμμύστης αὐτοῦ Ἰωάννης, ὁ καὶ Ἰαννῆς, ὁ μάγος καὶ εἰκονομάχος, καὶ λεκανόμαντις, καὶ ἰουδαιόφρων, καὶ ἐπεσκόπησεν ἔτη ἕξ.

Οὗτος ὁ βασιλεὺς τὸν ἐν ἁγίοις Μεθόδιον, τὸν καὶ ὕστερον πατριάρχην χρηματίσαντα, ἐν τῇ νήσῳ τοῦ Ἀντιγόνου ἐξορίσας, ἔσωθεν μνήματος ἀποκλείει μετὰ λῃστῶν δύο, διὰ τὴν ὑπὲρ τῆς τοῦ Χριστοῦ εἰκόνος παρρησίαν· καὶ ἦν ἐκεῖ ὁ ὅσιος ἐγκεκλεισμένος ἔτη ζ'. Τῷ γοῦν δευτέρῳ ἔτει τοῦ ἑνὸς τῶν λῃστῶν τεθνηκότος, ὁποίαν βίαν ὑπέστη ἐκ τῆς τοῦ διερρυηκότος πτώματος δυσωδίας, πάντες ἂν συνορᾷν ἔχοιτε.

Ὅτε δὲ οἱ ὁμολογηταὶ Θεόδωρος καὶ Θεοφάνης τὰ πρόσωπα καταγραφέντες εἰς τὴν ἐξορίαν ἤγοντο, ἔτυχον οἱ τούτους δι' ἵππων δημοσίων ἄγοντες εἰς τὸ χωρίον Καρταλιμένα μονὴν ποιήσασθαι· οἱ γοῦν ἅγιοι διά τινος ἁλιέως πένητος

ἐξυπηρετουμένου τῷ θείῳ Μεθοδίῳ ἐν τῇ νήσῳ ἐν τῷ μνήματι γράφουσιν ἐπιστολὴν αὐτῷ ταῦτα διαλαμβάνουσαν,

Τῷ ζῶντι νεκρῷ, καὶ νεκρῷ ζωηφόρῳ,
ναίοντι τὴν γῆν, καὶ πατοῦντι τὸν πόλον,
Γραπτοὶ γράφουσι, δέσμιοι τῷ δεσμίῳ.

Πρὸς οὓς πάλιν διὰ τοῦ αὐτοῦ ἁλιέως ὁ ὅσιος ἀντέγραψε Μεθόδιος,

Τοὺς ταῖς βίβλοισιν οὐρανῶν κλησιγράφους,
καὶ πρὸς μέτωπα σωφρόνως ἐστιγμένους,
προσεῖπεν ὁ ζώθαπτος ὡς συνδεσμίους.

Καρτερήσας οὖν ὁ ἅγιος, ὡς εἴρηται, τὰ ἑπτὰ ἔτη, μετὰ τὰς πληγὰς ἃς ὑπέστη, καὶ τὴν τῶν σιαγόνων θλάσιν, καὶ τὴν τῶν ὀδόντων ἐκρίζωσιν, ἐξάγεται ὁ ὅσιος ἐκεῖθεν ἐξ ἀφορμῆς τοιαύτης· φιλόπονος ὢν ὁ Θεόφιλος, καὶ σχολάζων ταῖς ἀναγνώσεσιν, ἐντυγχάνει ποτὲ δυσνοήτοις γραφαῖς, ὧν τὴν λύσιν παρ' οὐδενὸς εὑρεῖν ἔτυχε, τοῦ θεοῦ πάντως οἰκονομήσαντος, καίτοι πολλῶν σοφῶν ὄντων τῶν τότε, καὶ μᾶλλον τοῦ τῶν ἄλλων ἐξοχωτάτου, Λέοντος τοῦ Φιλοσόφου· ἀθυμοῦντι δὲ τῷ βασιλεῖ περὶ τούτου ἐπὶ πολλαῖς ἡμέραις, λέγει τις τῶν οἰκειοτάτων
38. κουβικουλάριος· δέσποτά μου βασιλεῦ, ταῦτα οὐδεὶς | σαφηνίσαι δυνήσεται, εἰ μὴ ὁ ἐν τῷ μνημείῳ ἐγκεκλεισμένος Μεθόδιος· καὶ εἰ κελεύει τὸ κράτος σου, λαβὼν ἐγὼ τὰ ζητούμενα, πορεύσομαι πρὸς αὐτὸν νυκτὸς ὡς ἐξ ἑαυτοῦ, καὶ τὴν τούτων ἑρμηνείαν ἀναμφιβόλως ἐνέγκω σοι. Ὁ δὲ κατένευσε. Τοῦ δὲ καταλαβόντος μὲν τὴν νῆσον, ἔτι δὲ πόρρω τοῦ μνήματος ὄντος, ἔνδον ὁ ἅγιος προσεφώνησε· καλῶς ἐλήλυθας, ἀδελφὲ Ἰωάννη, οἶδα δι' ὃ ἐστάλης παρὰ τοῦ βασιλέως. Καὶ λαβὼν χάρτην, τρισσὴν τὴν τῶν ἀπορουμένων λύσιν ἐξέθετο, καὶ ἀπέστειλεν. Ἅπερ ὁ βασιλεὺς ἀναγνοὺς ἐθαύμασε, καὶ ἀποστείλας

ἤνεγκεν αὐτὸν εἰς τὸ παλάτιον, καὶ καθεῖρξεν ἔν τινι τῶν βασιλικῶν οἴκων πλησίον ἑαυτοῦ, μὴ ἐῶν ἕτερον πρὸς αὐτὸν εἰσέρχεσθαι, ἄνευ τοῦ ὑπηρετοῦντος· αὐτὸς δὲ καθ' ἑκάστην εἰσερχόμενος τῶν ζητουμένων τὰς λύσεις εὕρισκεν. Ὁ δὲ καταλειφθεὶς λῃστὴς ἐν τῷ μνήματι, καίπερ ἀφεθεὶς, οὐκ ἠθέλησε τοῦ τάφου ἐκβῆναι, ἀλλ' ἐκεῖ βιώσας ὁσίως, καὶ τέρασι καὶ σημείοις διαλάμψας πρὸς Κύριον ἐξεδήμησεν.

Οὗτος ὁ βασιλεὺς ἀνακαινίζει τὸν οἶκον, ὅν καὶ ἐπ' ὀνόματι αὐτοῦ Θεοφίλου ἐκάλεσε, ξενῶνα ποιήσας, ὅς ἐξ ἀρχῆς ἐκ θεμελίων ἀνεγερθεὶς Ἰσιδώρου ἦν πατρικίου, τοῦ ἀπὸ Ῥώμης μετὰ Ὀλυβρίου ἐλθόντος καὶ τῶν ἄλλων ἀρχόντων ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου· χρόνων δὲ πολλῶν παραδραμόντων, ἐξεδόθη κουράτορι γυναικῶν μὴ θελουσῶν σωφρονεῖν, ἐξ εὐγενῶν καταγομένων γονέων, εἰς τὸ ἐκεῖσε καταμένειν αὐτάς· ἐπὶ δὲ Λέοντος τοῦ Ἰσαύρου, ξενοδοχεῖον ἐκ πορνείου ὑπ' αὐτοῦ ἐχρημάτισε· μετὰ ταῦτα γέγονεν οἶκος Κωνσταντίνου βασιλέως, μετὰ τὸ τυφλωθῆναι αὐτὸν ὑπὸ τῆς μητρὸς, καὶ τελευτήσαντος αὐτοῦ, ἡ γυνὴ αὐτοῦ Θεοδότη ἀποκαρεῖσα μοναστήριον αὐτὸν κατεσκεύασε· ξύλου δὲ μεγίστου τοῦ ἐν αὐτῷ τρικλίνου θραυσθέντος ἐπὶ τῆς βασιλείας Θεοφίλου, καὶ τῶν ἐκεῖσε μοναζουσῶν δεηθεισῶν τοῦ βασιλέως διερχομένου, οὗτος εἰσελθὼν καὶ ἰδὼν τὸν οἶκον μετοικίζει μὲν τὰς μοναζούσας, αὐτὸν δὲ καλλωπίσας, ξενῶνα πεποίηκε.

Τέθνηκε δὲ ὁ βασιλεὺς Θεόφιλος, καὶ κρατεῖ τῆς βασιλείας Θεοδώρα καὶ Μιχαὴλ ὁ υἱὸς αὐτῆς, ἔτη δεκαπέντε. Αὕτη ἡ εὐσεβεστάτη βασίλισσα ὀρθόδοξος οὖσα, καὶ βουλομένη ταῖς ἐκκλησίαις ἀποδοῦναι τὸν οἰκεῖον κόσμον, καὶ τὰς ἁγίας ἀναστηλῶσαι εἰκόνας, πρῶτον μὲν τὸν ἐναγῆ κατάγει πατριάρχην Ἰωάννην τὸν μάγον, ὅν καὶ μετὰ καθαίρεσιν εἰκόνας ἁγίας ἀποξέσαντα μαθοῦσα, πέμψασα τύπτει σφοδρῶς διὰ μαγκλαβίων διακοσίων, καὶ ἐξορύττει τοὺς ὀφθαλμούς· καθίσταται δὲ πατριάρ-

χῆς τῷ πρώτῳ ἔτει τῆς βασιλείας αὐτῶν ὁ ἐν ἁγίοις Μεθόδιος, ὅς καὶ ἐπεσκόπησεν ἔτη ή. Ἐπισυναγαγοῦσα δὲ τοὺς ὁπουδήποτε ἀρχιερεῖς, καὶ ὁσίους ἡγουμένους, παρεκάλει προσευχὴν ποιῆσαι πρὸς τὸν θεὸν ἐκτενῆ, δοθῆναι τῷ ἀνδρὶ αὐτῆς ἄφεσιν τοῦ περὶ τὴν αἵρεσιν σφάλματος, εἰς μετάνοιαν καὶ ἐπιστροφὴν τούτου λογισαμένη, τὸ ψυχορραγοῦντος, ἑνὸς τῶν παρισταμένων τὸ ἐγκόλπιον τεθεαμένου ζητῆσαι καὶ κατασπάσασθαι, καὶ οὕτως τοῦ βίου ἐξελθεῖν· ὅ καὶ γέγονε χάριτι τοῦ θεοῦ· οὐ γάρ ἐστιν ἁμαρτία μείζων τῆς τοῦ θεοῦ φιλανθρωπίας· καὶ ἐπληροφορήθη ἡ βασίλισσα περὶ τούτου παρὰ τοῦ ἁγιωτάτου πατριάρχου· Καὶ εὐθὺς ἐτέλεσε τὴν ὀρθοδοξίαν· συνόδου γὰρ συναθροισθείσης τῶν ἀρχιερέων, καὶ αὐτῶν τῶν βασιλέων καὶ τῆς συγκλήτου ἐν τῷ ναῷ τῆς ὑπεράγνου Θεοτόκου τῶν Βλαχερνῶν, καὶ πάννυχον ὑμνῳδίαν ἐκτελεσάσης, ἅμα πρωῒ τῇ Κυριακῇ πρώτῃ τῶν νηστειῶν, μετὰ λιτῆς καὶ ἁγίων εἰκόνων, καὶ σταυρικῶν ἐκτυπωμάτων, οἱ πάντες σὺν πολλῷ πλήθει εἰς τὴν μεγάλην ἐκκλησίαν συνῆλθον, καὶ τὸν ἴδιον κόσμον αὐτῇ ἀνέθηκαν· ἥτις λιτανεία ἕως τῆς σήμερον τῇ πρώτῃ τῶν Νηστειῶν Κυριακῇ ἐκτελεῖται, ἀναγινωσκομένου καὶ τοῦ ὅρου τῆς ὀρθοδοξίας, ὃν ἡ τῶν ἀρχιερέων σύνοδος περὶ τῆς τιμῆς καὶ ἀναστηλώσεως τῶν ἁγίων εἰκόνων ἐξέθετο.

Καὶ ποτε ἡ βασίλισσα πάντας τοὺς ἀρχιερεῖς σὺν τῷ πατριάρχῃ Μεθοδίῳ ἐν τοῖς βασιλείοις φιλοφρόνως εἱστία· καὶ δὴ τῆς τραπέζης ἐπὶ πλεῖον παραταθείσης, καὶ τῆς βασιλίσσης ἐνατενιζούσης τῷ ἁγίῳ Θεοφάνει, καὶ τὰ τῷ προσώπῳ αὐτοῦ ἐγγεγραμμένα ὁρώσης, παρῆν γὰρ καὶ αὐτὸς, ἤδη μητροπολίτης Νικαίας παρὰ τοῦ πατριάρχου γεγονὼς Μεθοδίου καὶ τῶν συνεστιωμένων ἀρχιερέων εἷς ἦν, θεασάμενος ὁ Θεοφάνης, καὶ συνιεὶς τὴν αἰτίαν, ἠρώτα τὴν βασίλισσαν, τίς ἄρα ἡ αἰτία τῆς εἰς ἐμέ σου ἀτενοῦς ὁράσεως, ὦ δέσποινα; Τὴν τῶν κεντημάτων,
38· ἔφη ἐκείνη, θαυμάζω καρτερίαν σου [. Καὶ ὁ μακάριος μηδὲν

εὐλαβηθεὶς, ὑπὲρ ταύτης, ἔφησε, τῆς γραφῆς ἐν τῷ ἀδεκάστῳ βήματι σφοδρότερον διαδικάσομαι τῷ ἀνδρί σου. Καὶ αὐτὴ οὐκ ἐν παρέργῳ τὸν λόγον ἀκούσασα, σύνδακρυς γενομένη, καὶ, ταῦτα, ἔλεγεν, ἡ ὑπόσχεσις καὶ αἱ δι' ἐγγράφων ὁμολογίαι ὑμῶν; Οὔ, φησιν ὁ πατριάρχης αὐθωρὸν ἀναστὰς, ἀλλ' ἕξει βεβαίως τὰ τῆς ἀφέσεως ἔγγραφα, τῆς ὀλιγωρίας τούτου λογιζομένης ὡς οὐδέν. Καὶ οὕτω μόλις καταπεισθεῖσαν τοῦ κλαίειν ἀποστῆναι. Τοσοῦτον ἦν αὐτῆς τὸ περὶ τῆς τοῦ ἀνδρὸς σωτηρίας ἐμμέριμνον.

Ταύτης τῷ τῆς βασιλείας ὀγδόῳ ἔτει, τοῦ πατριάρχου Μεθοδίου πρὸς Κύριον ἐκδημήσαντος, χειροτονεῖται πατριάρχης Ἰγνάτιος μοναχὸς, καὶ ἀρχιερατεύει ἔτη ἕνδεκα. Οὗτος υἱὸς μὲν ἐγεγόνει τοῦ προβεβασιλευκότος τοῦ Ῥαγγαβὲ Μιχαὴλ καὶ Προκοπίας, παρὰ δὲ Λέοντος τοῦ Ἀρμενίου μετὰ τῶν ἄλλων ἀδελφῶν τὰ γεννητικὰ μόρια ἐκτμηθεὶς, τοὺς μεταξὺ ἅπαντας χρόνους μοναχὸς ἀποκαρεὶς, καὶ τοῖς ἀσκητικοῖς ἀγῶσι τὸ ἑαυτοῦ καταδαπανήσας σῶμα, γνώριμος ἦν τοῖς πᾶσι καὶ περιβόητος ἐν ἀρετῇ καὶ θαύμασιν· ὅθεν καὶ παρὰ τῆς μακαρίας Θεοδώρας, ἅτε τῶν τότε διαφορώτατος, εἰς πατριάρχην ἐξελέγη μετὰ τὴν τοῦ Μεθοδίου τελευτήν. Τὸν δέ γε Μεθόδιον τοῦτον ἐπεί τινες εἰκονίζουσι κατακεκαλυμμένον τὰς παρειὰς λινῷ τινι ὅ κατακύλιον συνήθως ὀνομάζομεν, ἄξιον γνωρίσαι τὴν τούτου αἰτίαν· ὑπὸ τοῦ τυράννου Θεοφίλου τὰς σιαγόνας ὡς τῆς εἰκόνος τοῦ Χριστοῦ ὁμολογητὴς συνθλασθεὶς, καὶ τοὺς ὀδόντας ἀποκρουσθεὶς, καὶ τὴν ὅλην γένυν καὶ σύμπηξιν τοῦ προσώπου παραλελυμένος ὢν, ἠναγκάζετο τῷ λινῷ ἐκείνῳ ὑπεριπταρίῳ κυκλόθεν συμπριεριέχεσθαι καὶ συσφίγγεσθαι.

Θεοδώρα δὲ ἡ βασίλισσα ζεύγνυσι τῷ Μιχαὴλ εἰς γυναῖκα Εὐδοκίαν τὴν τοῦ Δεκαπολίτου. Τοῦ δὲ Μιχαὴλ τούτου τὸν βίον καὶ τὴν ἀσέλγειαν καὶ τὰς ἀπρεπεῖς πράξεις, οὐχ ὅτι βασιλεῖ, ἀλλ' οὐδὲ τῷ τυχόντι χριστιανῷ, καὶ οἵαν εἶχε περὶ τὰ θέατρα καὶ ἱπποδρόμια μανίαν, αὐτὸς αὐτουργὸς ἡνίοχος ὁ

βασιλεὺς γινόμενος, πρὸς δὲ καὶ τὴν εἰς τὰς ἐκκλησιαστικὰς καὶ θείας παραδόσεις καταφρόνησιν, ἐμπαίζων μετὰ ὁμοίων ἀσελγῶν, καὶ θεατρίζων ὁ βέβηλος τὰ τίμια καὶ ἱερὰ, καὶ γέλως ὢν τοῖς πᾶσιν ὁ αὐτοκράτωρ Ῥωμαίων, κατὰ μέσην τὴν ἀγορὰν πολλάκις σὺν οὐδεμιᾷ αἰτίᾳ διερχόμενος, καὶ ἄνευ βασιλικῆς ὑπηρεσίας καὶ τάξεως, αἰσχύνομαι γραφῇ δοῦναι· ἃ καθ' ἑκάστην ἐπὶ τὸ χεῖρον αὐξανόμενα τὴν ἡμέραν ἡ μήτηρ ὁρῶσα καὶ νουθετοῦσα καὶ σκώπτουσα, καὶ μὴ ἰσχύουσα τῆς δαιμονικῆς αὐτὸν ἀποστῆσαι γνώμης, ἠνιᾶτο καὶ ὠδύρετο. Ὁ Μιχαὴλ δὲ τῶν μητρικῶν παραινέσεων μὴ φροντίζων, εἴχετο τῶν συνήθων. Καὶ δή ποτε χρείαν ἀνδρὸς γενναίου ἔχοντος πρὸς τὴν τῶν ἵππων αὐτοῦ ἐπιμέλειαν, καὶ προσποιουμένου τὸν ἀνιώμενον, εἷς τῶν συγκλητικῶν παρεστὼς, Ἐγώ σου, φησί, βασιλεῦ, θεραπεύσω τὴν λύπην· ἄνδρα γὰρ ἔχω γενναῖον, ὅς σου τῶν ἵππων καλῶς καὶ ὡς σοὶ φίλον ἐπιστατήσει. Καὶ αὐτίκα τὸν Βασίλειον τῷ Μιχαὴλ προσάγει· ὃν ἰδὼν ὁ βασιλεὺς, καὶ λίαν ἐπ' αὐτῇ μόνῃ τῇ σωματικῇ ἰδέᾳ ἡσθείς, ἑταιρειώτην αὐτὸν τιμᾷ, καὶ τῷ τοῦ σταύλου κόμητι παραδίδωσι.

Ὁ Βασίλειος δὲ οὗτος, τὸ μὲν γένος εἷλκεν ἐκ Μακεδονίας, ἑνὸς τῶν τῆς Ἀδριανοῦ χωρίων· πένητες δὲ ἦσαν οἱ τούτου γονεῖς καὶ τῶν ἐνδεῶν· μετὰ δὲ τὴν αὐτῶν τελευτὴν, ὑπὸ Κρούμου τοῦ τῶν Βουλγάρων ἀρχηγοῦ ᾐχμαλώτισται· ἀλλὰ τῇ τοῦ θεοῦ προνοίᾳ ὁ αἰχμάλωτος ἐκεῖθεν ἀνασωθεὶς, τῷ τότε στρατηγῷ Μακεδονίας τῷ Τζάντζῃ δουλεύειν εἵλετο· ἀλλὰ μηδὲν παρ' αὐτοῦ ὠφελούμενος, καταλιπὼν τοὺς ἀδελφοὺς καὶ τὰ ἴδια, πρὸς τὴν Κωνσταντινούπολιν ἦλθεν ἐφ' ᾧ προσελθεῖν τινι καὶ τὰ πρὸς τὸ ζῆν ἀναγκαῖα τῇ ἰδίᾳ δουλείᾳ πορίζεσθαι. Τῆς δὲ Χρυσῆς πόρτης ἔνδον εἰσεληλυθὼς, οὐκ ἔχων ὅποι καταλύσειε τῶν ἐκ τῆς ὁδοιπορίας κόπων ἑαυτὸν ἀνακτώμενος, ἐπεὶ πρὸς ἑσπέραν ἔτρεχεν ἡ ἡμέρα, οὕτως ὡς εἶχεν ἔμπροσθεν τοῦ ναοῦ τοῦ μάρτυρος Διομήδους τῇ εὑρε-

θείσῃ ἐκ πηλοῦ καὶ λίθων ἐσκευασμένῃ κλίνῃ ἑαυτὸν κατακλίνει, καὶ ὕπνωσε. Περὶ δὲ μέσας νύκτας φησί τις τῷ ἐξυπηρετουμένῳ τῇ ἐκκλησίᾳ προσμοναρίῳ ὑπνώττοντι, ἀοράτως: ἐγερθεὶς εἰσάγαγε εἴσω τὸν βασιλέα. Ὁ δὲ ἐξ ὕπνου γεγονὼς, καὶ εἰσπηδήσας ἔξω τοῦ ναοῦ, οὐδένα τε ἰδὼν, πάλιν εἰσῆλθε κλείσας τὰς θύρας· καὶ ἰδοὺ ἐκ δευτέρου τῆς ὁμοίας ἀκούει ὑπνώττων φωνῆς |, καὶ πάλιν ἐξελθὼν καὶ μὴ εὑρών τινα φ. ὁ Νικόλαος, τοῦτο γὰρ ἦν ὄνομα τῷ προσμοναρίῳ, κατασφραγίσας ἑαυτὸν τῷ τοῦ σταυροῦ τύπῳ, κλείει τε τὰς θύρας, καὶ εἰσελθὼν τῇ κλίνῃ ἐνέπεσε. Τότε φανερῶς ἐφίσταταί τις, καὶ νύξας αὐτὸν τῇ ῥομφαίᾳ, φησίν· οὐκ εἰσάγεις τὸν βασιλέα; Ὁ δὲ, δεύτερον, εἶπεν, ἐξελθὼν, οὐδὲν εἶδον. Καὶ ὁ φανεὶς πρὸς αὐτὸν ἀπεκρίνατο· ὃν ἴδῃς ἔξωθεν τοῦ πυλῶνος κείμενον, αὐτός ἐστιν ὁ βασιλεὺς, εἰσάγαγε αὐτόν. Μετὰ σπουδῆς δὲ ἐξελθὼν, καὶ περιβλεψάμενος πάντοθεν ἀκριβέστερον, ὁρᾷ τὸν Βασίλειον ὡς πένητα κείμενον μετὰ μόνης πήρας καὶ ῥάβδου ἐν μιᾷ γωνίᾳ, καὶ λαβὼν αὐτὸν, ἔνδον εἰσάγει, καὶ παρ' ἑαυτῷ φιλοφρόνως εἶχε, καὶ πνευματικὸν ἀδελφὸν αὐτὸν ποιήσας, ἀνακαλύπτει τὸ τῆς βασιλείας μυστήριον. Τούτῳ τῷ Νικολάῳ ἀδελφός τις ἦν ἰατρὸς τὴν τέχνην, ὃς ἐδούλευε τῷ Θεοφιλίτζῃ καλουμένῳ πατρικίῳ καὶ τειχεώτῃ τότε τυγχάνοντι· οὗτος ὁ ἰατρὸς ἰδὼν παρὰ τῷ ἀδελφῷ τὸν Βασίλειον, καὶ τῆς ἡλικίας αὐτὸν θαυμάσας καὶ τῆς νεότητος, ἦν γὰρ τότε περὶ τὰ εἰκοσιπέντε ἔτη φθάσας, μηδὲν τῶν μυστηρίων μεμαθηκὼς, εἰσάγει τοῦτον πρὸς τὸν Θεοφιλίτζην, ἐκεῖνος δὲ πρὸς τὸν βασιλέα, καθὼς ἀνωτέρω εἴρηται. Ἡ δὲ τῆς ἀναδοχῆς αἰτία ἦν αὕτη· ἵππῳ ὁ βασιλεὺς ἐπεκάθισεν, ὃν εἶχεν ὀνομαστὸν καὶ τῶν ἄλλων διαφορώτατον· ἐπεὶ δὲ κἀν τῷ πεδίῳ χρείαν ἔσχεν ἀποβῆναι αὐτοῦ, ὁ ἵππος μετὰ τῆς ἐφεστρίδος ἀπολυθεὶς κροαίνων ἦν, καὶ οὐδεὶς ἦν πάντων τῶν περὶ τὸν βασιλέα πονουμένων αὐτὸν κατασχεῖν ὃς ἐδύνατο πλησιάσαι αὐτῷ. Τότε

ὁ Βασίλειος τῷ Θεοφιλίτζῃ φησίν, εἰ ἐκχωρηθείη μοι οὕτως ὡς ἔχει ὁ ἵππος ἐπιβῆναι αὐτοῦ, ἐγὼ τοῦτον κρατήσας ἀγάγω πρὸς βασιλέα. Τούτου γνωσθέντος τῷ βασιλεῖ, καὶ ἐκχωρηθέντος, ὁ Βασίλειος μεθ' οὗ ἐπέβαινεν ἵππου καταδιώξας καὶ φθάσας τὸν φεύγοντα, ἥλλατο μὲν ἀφ' οὗ ἐπεκάθητο, τοῦ δὲ βασιλικοῦ ἐπέβη, καὶ κρατήσας πρὸς τὸν ἀνάσσοντα ἤγαγε· καὶ θαυμασθεὶς, τῆς ἀναδοχῆς ηὐμοίρησε τοῦ αὐτοκράτορος καὶ ὑπὲρ τοὺς πολλοὺς οἰκειώτερος.

Τοῦτον θεασαμένην λέγεται τότε τὴν βασίλισσαν Θεοδώραν πρὸς τὸν υἱὸν εἰπεῖν· οὗτός ἐστι, τέκνον, ὃς τὴν ἅπασαν ἡμῶν γενεὰν τῆς βασιλείας ἐξωθήσει. Ὁ δὲ Μιχαὴλ ἀντ' οὐδενὸς τὸν λόγον ἐδέξατο, ἠγάπα τε τὸν Βασίλειον ὑπὲρ ἅπαντας. Βάρδας δὲ ὁ ἀδελφὸς τῆς αὐγούστης, πείθει τὸν βασιλέα καταγαγεῖν τῶν βασιλείων τὴν αὐτοκράτορα· ὃ καὶ πεποίηκε, καὶ αὐτὴν μὲν καταβιβάζει, κρατεῖ δὲ μόνος αὐτός.

Μιχαὴλ ὁ υἱὸς Θεοφίλου κρατεῖ μόνος ἔτη ἕνδεκα, τὸν δὲ Βάρδαν καὶ θεῖον αὐτοῦ καίσαρα ἀναγορεύει, καὶ τὸν Βασίλειον παρακοιμώμενον· ὃ τὸν Βάρδαν σφόδρα ἠνίασε, καὶ καιρὸν ἐτήρει τοῦτον ἀποκτεῖναι· ὁ δὲ Βασίλειος γνοὺς τὴν ἐπιβουλὴν, ἑαυτὸν μὲν συνετήρει, τὸν καίσαρα δὲ διαβάλλων ἦν συνεχῶς πρὸς τὸν βασιλέα. Τούτῳ τῷ καίσαρι υἱὸς ἦν, ὃς πρὸ ὀλίγου τετελευτήκει· Βάρδας δὲ τὸν τοῦ θεοῦ φόβον ἐξοστρακίσας τῆς ἰδίας ψυχῆς, τῇ γαμετῇ τοῦ υἱοῦ Εὐδοξίᾳ ὅσα καὶ οἰκείᾳ γυναικὶ ἐχρῆτο, καὶ τὸ ἄτοπον ἦν δεινὸν τοῖς πᾶσι καὶ ἔκδηλον, ὡς εἰς τὰς τοῦ πατριάρχου ἐλθεῖν ἀκοὰς, ὃς πολλὰ τὸν καίσαρα παραινῶν, καὶ ἀποστῆναι τοῦ μιάσματος παρακαλῶν, οὐ μόνον οὐκ εἶχε καταπεισθῆναι, ἀλλὰ καὶ μηνιῶντα μᾶλλον καὶ ἀπεχθανόμενον τῷ σωφρονεῖν ἀναγκάζοντι. Καὶ δή ποτε μετὰ τοῦ βασιλέως εἰς τὴν ἐκκλησίαν ὁ καῖσαρ ἐλθὼν, καὶ πρὸς τὴν τῶν μυστηρίων δραμὼν μετάληψιν, ὡς ἀνάξιος ταύτης παρὰ τοῦ πατριάρχου ἀπωσθεὶς, τὴν ψυχὴν θυμοῦ πλήσας, βίᾳ τοῦ-

τον ἐξωθεῖ τῆς ἐκκλησίας τῷ πέμπτῳ ἔτει τῆς βασιλείας Μιχαὴλ, καὶ χειροτονεῖται Φώτιος πατριάρχης Κωνσταντινουπόλεως, καὶ ἐπεσκόπησεν ἔτη θ'. Ὅσα δὲ δεινὰ ἐνεδείξατο ὁ καῖσαρ Βάρδας εἰς τὸν πατριάρχην Ἰγνάτιον ἀναγκάζων ποιῆσαι παραίτησιν ἔγγραφον, ἀδυνάτως ἔχω πάντα εἰπεῖν, ὀλίγα δὲ ἐκ πολλῶν ἐρῶ· καθεῖρξαν αὐτὸν ἐν τῷ τοῦ Κοπρωνύμου μνημείῳ, γυμνὸν ἐπιθέντες τῆς λάρνακος ἐν χειμῶνος καιρῷ· ὅθεν καὶ πολλὴν ὑπέστη βίαν καὶ χύσιν πολλοῦ αἵματος κάτωθεν. Ὁ δὲ Φώτιος μετὰ μητροπολιτῶν ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων ἐλθὼν, ἐξάγει τοῦτον δέσμιον τῆς εἱρκτῆς, καὶ μὴ δυνηθεὶς πεῖσαι ἐκθέσθαι τοῦ θρόνου παραίτησιν, προστάσσει καὶ ἐνδιδύσκουσιν αὐτὸν τὴν ἱερατικὴν ὅλην στολὴν καὶ τὸ ὠμοφόριον, καὶ ἀναβιβάσαντες ἐπὶ τοῦ ἄμβωνος [ἓν ἕ φ. 3 καστον ἀποδύοντες ἔκραζον τὸ Ἀνάξιος· εἶτα ἐξορίζουσιν εἰς τὴν Τερέβινθον νῆσον, ὅπου καὶ τὰ δεινότατα ὑπέστη ὁ ἅγιος· ἐκεῖθεν μετάγεται εἰς τὴν Ἱερείαν δέσμιος καὶ κατακλείεται εἰς μάνδραν αἰγῶν, καὶ αὖθις μεταβιβάζεται εἰς τὰ Προμούντου, ὅπου καὶ τὰς σιαγόνας αὐτοῦ καὶ τοὺς ὀδόντας συνέθλασαν, καὶ τοὺς πόδας μοχλῷ σιδηρῷ προσήλωσαν καὶ ἐν εἱρκτῇ κατέκλεισαν· εἶτα εἰς Μιτυλήνην ἐξώρισαν, τέλος ἐνέγκαντες εἰς τὰ Νούμερα κατακλείουσιν, ὅθεν καὶ δυνηθεὶς φυγεῖν, διά τινος φιλοχρίστου ἀποδράσας, ἀφανὴς ἦν τοῦ λοιποῦ, μὴ γνόντος τινὸς ἔνθα διῆγε. Τότε καὶ οἱ προσκείμενοι τούτῳ μητροπολῖται πάντες ὑπὸ τοῦ καίσαρος καὶ τοῦ Φωτίου τῆς Πόλεως ἐξωρίζοντο. Ἀλλ' οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ ὁ τῶν ἐκδικήσεων θεὸς ἐπαρρησιάσατο· ὁ Βάρδας γὰρ τὸν τοῦ Βασιλείου τυρεύων θάνατον, ὑπ' αὐτοῦ ἀναιρεῖται τῇ τοῦ βασιλέως Μιχαὴλ βουλῇ, καὶ ὁ Βασίλειος βασιλεὺς ὑπὸ τοῦ Μιχαὴλ ἀναγορεύεται, δόντος αὐτῷ εἰς γυναῖκα καὶ τὴν τοῦ Ἴγγηρος Εὐδοκίαν, ἣν εἶχεν αὐτός.

Καὶ συμβασιλεύει τῷ Μιχαὴλ ὁ Βασίλειος ἔτος ἕν.

Καὶ τῷ κζ′ ἔτει τῆς βασιλείας Μιχαὴλ ἀπὸ τοῦ θανάτου τοῦ πατρὸς αὐτοῦ Θεοφίλου ἀναιρεῖται καὶ αὐτὸς ὁ Μιχαὴλ παρὰ τοῦ Βασιλείου· θέατρον γὰρ ποιήσας ὁ Μιχαὴλ, καὶ αὐτὸς ἡνίοχος μεταμειφθεὶς καὶ ἐφ' ἅρματος δραμὼν ἐν τῷ ἁγίῳ Μάμαντι καὶ νικήσας, ὑπό τινος συγκλητικοῦ πατρικίου, Βασιλίσκος ὄνομα, ἐπαινεθεὶς ὡς ὑπὲρ τοὺς λοιποὺς εὐφυῶς ἱππεύσας, ὡς εἶχεν αὐτὸν ἀμειβόμενος, εὐθὺς βασιλέα ποιεῖ. Δείσας οὖν ὁ Βασίλειος τὸ τοῦ πράγματος ἄκαιρον, καὶ ὁρῶν αὐτὸν πάσης τῆς οἱασοῦν βασιλεῖ πρεπούσης συνέσεως ἄμοιρον, τῇ ἑσπέρᾳ ἐκείνῃ κτείνει, καὶ τὴν μητέρα μετὰ τῶν ἀδελφῶν εἰς τὴν μονὴν τῶν Γαστρίων, ἣν ἡ Θεοδώρα ἔκτισεν, ἀποκείρει, καὶ βασιλεύει μόνος αὐτός.

Βασίλειος ὁ Μακεδὼν ἔτη ιθ′· τούτῳ ἦν γυνὴ ἡ δηλωθεῖσα Εὐδοκία τοῦ Ἴγγηρος, καὶ παῖδες μετ' αὐτῆς Κωνσταντῖνος, ὃς καὶ βασιλεὺς ἀναγορευθεὶς ταχὺ ἀπέθανε, Λέων ὁ φιλόσοφος, Ἀλέξανδρος, καὶ Στέφανος.

Τούτου τῷ δευτέρῳ ἔτει τῆς βασιλείας ἐξωθεῖται τοῦ πατριαρχικοῦ θρόνου ὁ Φώτιος, καὶ ἀνάγεται πάλιν Ἰγνάτιος, καὶ ἐπεσκόπησεν ἔτη τὸ δεύτερον ια′, ὅτε καὶ τὴν περιφανῆ μονὴν τοῦ Ἀνατέλλοντος ἐκ βάθρων ἀνήγειρειν ἐν τῇ τοποθεσίᾳ τοῦ Σατύρου.

Βασίλειος δὲ ὁ βασιλεὺς, εὐσεβὴς ὢν καὶ ἀγχίνους, ἐβούλετο μὲν δωρεαῖς φιλοτιμήσασθαι βασιλικαῖς τὸ ὑπήκοον, ἀλλ' ἦν αὐτῷ ἐμπόδιον τὸ μηδὲν εὑρηκέναι ἐν τοῖς βασιλικοῖς θησαυροῖς· ὁ γὰρ Μιχαὴλ, λίαν ἀνούστατος ὢν καὶ ἀσελγὴς, πάντας τοὺς θησαυροὺς ἐξεκένωσεν εἰς ἱπποδρόμια καὶ ῥόγας καὶ φιλοτιμίας τῶν τε ἡνιόχων καὶ τῶν θυμελικῶν ἀνθρώπων, ἀλλὰ καὶ ὅσα εὗρεν εἴδη ἐν τῷ παλατίῳ χρυσᾶ, τήν τε χρυσῆν πλάτανον, καὶ τὸ ὁλόχρυσον ὄργανον, καὶ τοὺς δύο ὁλοχρύσους λέοντας, καὶ τοὺς δύο γρύπας, καὶ στολὰς βασιλικὰς, πάντα χωνεύσας, τοῖς μίμοις καὶ τοῖς ἡνιόχοις καὶ τοῖς κιθα-

ρωδοῖς ἐδωρήσατο, καὶ παντελῶς τὰ τῆς Ρωμαϊκῆς βασιλείας ἐπὶ τῶν ἡμερῶν ἐκείνου πρὸς πτῶσιν κατήχθη καὶ κένωσιν. Πρὸ δὲ μιᾶς ἡμέρας τῆς αὐτοῦ σφαγῆς καὶ τοῦτο κατώρθωσεν. Ὁ φιλόσοφος Λέων, ὁ Θεσσαλονίκης γεγονὼς μητροπολίτης, τῷ βασιλεῖ Θεοφίλῳ δύο κατεσκεύασε μηχανικὰ ὡρολόγια, ἐξ ἴσου τὰ ἀμφότερα κάμνοντα, καὶ τὸ μὲν ἓν ἐπὶ τῷ κατὰ Κιλικίαν φρουρίῳ τῷ τῇ Ταρσῷ πλησιάζοντι ἐναπέθετο, τὸ δὲ ἕτερον, ἐν τῷ παλατίῳ· ἅπερ εἶχον ἐγγεγραμμένα ἐν ἑκάστῃ ὥρᾳ τὰ ἐν Συρίᾳ γινόμενα, οἷον ἐν μὲν τῇ πρώτῃ ὥρᾳ, εἰ ἐκδρομὴ Σαρακηνῶν ἐγένετο, ἐν δὲ τῇ δευτέρᾳ ὥρᾳ, εἰ πόλεμος, ἐν τῇ τρίτῃ, εἰ ἐμπρησμὸς, καὶ ἁπλῶς ἄλλο τι καὶ ἄλλο (1) ἐν ταῖς καθεξῆς. Ἐκ τῶν οὖν στοιχειωθέντων (sic) δώδεκα ὑποθέσεων ἐν ταῖς δώδεκα ὥραις ὅ, τι ἂν ἐν τῇ Συρίᾳ συνέβη γενέσθαι, ἐδήλου τοῦτο ἡ ὥρα αὐτοῦ ἐν τῷ ὡρολογίῳ τῷ κατὰ τὴν Κιλικίαν· καὶ εὐθὺς φανὸς ὑπὸ τῶν ἐκεῖσε ἀνήπτετο· ἦσαν γὰρ ἐκεῖσε οἱ ἀκριβῶς φυλάσσοντες καὶ προσέχοντες τῷ ὡρολογίῳ, καὶ τὸν φανὸν ἐκεῖνον οἱ κατὰ τὸν Ἀργέαν τὸν βουνὸν εἰς αὐτὸ τοῦτο τεταγμένοι ὁρῶντες, καὶ αὐτοὶ ἐποίουν φανὸν ἴδιον· ἐξ ἐκείνου οἱ κατὰ τὴν Σάμον, ἐκεῖθεν οἱ κατὰ τὸν Αἴγιλον, εἶτα οἱ εἰς τὸν Μάμαντα, ἀφ' οὗ οἱ εἰς τὴν Κύζικον· ἐξ ἐκείνου οἱ ἐν τῷ Μωκίλῳ, καὶ ἀπ' αὐτοῦ οἱ ἐν τῷ βουνῷ τοῦ ἁγίου Αὐξεντίου |, ὅθεν οἱ ἐν φ. τῷ Βουκολέοντι εὐθὺς ὁρῶντες τὴν ἐνισταμένην ὥραν ἐν τῷ παλατίῳ, καὶ ἣν εἶχεν ἐγγεγραμμένην ὑπόθεσιν, ἐγίνωσκον διὰ μιᾶς ὥρας τὰ ἐν Συρίᾳ γινόμενα, καὶ εὐθὺς ὑπεμίμνησκον τὸν βασιλέα. Ἱππεύοντος οὖν τοῦ βασιλέως, ἐδήλωσεν ὁ φανὸς ἐκδρομὴν Σαρακηνῶν, καὶ ὑπομνησθεὶς περὶ τούτου ὁ βασιλεὺς παρὰ τοῦ λογοθέτου, θυμῷ ληφθεὶς, καὶ πτοηθεὶς μήπως τοὺς ἡνιόχους ὀκνηροτέρους πρὸς τὴν ἅμιλλαν ἡ τῶν Σαρακηνῶν

---

(1) Ἐν χειρογράφῳ φέρεται: ἄλλο τι καὶ ἄλλο τι καὶ ἄλλο.

ποιήσαιτο ἐκδρομή, ὥρισε μηκέτι ἐνεργεῖν τὰ τοιαῦτα ὡρολόγια, καὶ καταλύσας ἔρριψεν. Ἐπὶ δὲ τούτῳ τίς οὐ θρηνήσει μὲν τὰ τῶν Ῥωμαίων, οὐ καταγελάσεται δὲ τῆς ἀβελτηρίας ἐκείνου τοῦ αὐτοκράτορος; Ἀλλ' ὁ Θεὸς ὡς ἀνάξιον τοῦ τηλικούτου μεγέθους τῆς ἀρχῆς ἐκεῖνον μὲν ἀπώσατο, τὴν βασιλείαν δὲ τῷ ὁμωνύμῳ Βασιλείῳ παρέδωκεν, ὃς θεοῦ χάριτι τὴν βασιλείαν ἤδη καταπίπτουσαν ἀνήγειρε, καὶ γαλήνην αὐτῇ πάντοθεν περιεποιήσατο.

Οὗτος ἀνήγειρε τὸν ναὸν τοῦ Ἀρχιστρατήγου τὸν λεγόμενον Νέον, ὁμοίως καὶ τοὺς δύο ναοὺς εἰς τὰ Στείρου, καὶ τὸν τοῦ ἁγίου Ἠλιοὺ ἐν τῇ τοποθεσίᾳ τοῦ Πετρίου, ἔνθα καὶ τὴν μηλωτὴν τοῦ ἁγίου ἀπέθετο, καὶ σχολεῖον γραμματικῶν μέγιστον ἔταξε. Τὸν δὲ υἱὸν Λέοντα γράμμασι παντοίοις παιδεύσας, φιλόσοφον ἄριστον γεγονότα, βασιλικῷ καταστέφει διαδήματι, καὶ γυναῖκα δίδωσι Θεοφανὼ τὴν θυγατέρα Μαρτινακίου· τὸν δὲ Στέφανον κληρικὸν ἐποίησε καὶ σύγκελλον.

Τούτου τῷ δωδεκάτῳ ἔτει, τοῦ ἐν ἁγίοις Ἰγνατίου τοῦ πατριάρχου τὴν οὐράνιον ζωὴν καὶ ἀγήρω τῆς ἐνταυθοῖ γεηρᾶς καὶ παρερχομένης διαμειψαμένου, ἀνάγεται εἰς τὸν θρόνον παρὰ τοῦ βασιλέως καὶ πάλιν ὁ Φώτιος, καὶ ἐπισκοπεῖ ἔτη θ'.

Συνέβη δὲ καὶ μέσον τοῦ πατρὸς καὶ βασιλέως Βασιλείου καὶ τοῦ υἱοῦ καὶ βασιλέως Λέοντος ἐξ ἐπηρείας τοῦ ἀντικειμένου καὶ χαιρεκάκων τινῶν, ὧν ὁ Σανταβαρηνὸς Θεόδωρος, ὁ τότε Εὐχαΐτων, ἀρχηγὸς ἦν, σκάνδαλον μέγιστον ἀναφυῆναι· ἐφ' ᾧ καὶ τὸν Λέοντα ὁ βασιλεὺς Βασίλειος εἰς τὴν Θεσσαλονίκην σὺν τῇ γυναικὶ περιώρισεν· ἀλλὰ μετ' ὀλίγον τῆς ἀληθείας ἐπιγνωσθείσης, ἐκεῖθέν τε τοῦτον ἀνεκαλέσατο καὶ συμβασιλεύειν αὐτῷ ἐδικαίωσεν.

Ἰθύνας οὖν καλῶς τὰ τῆς βασιλείας ὁ Βασίλειος σκῆπτρα, καὶ τὸν υἱὸν Λέοντα αὐτοκράτορα καταλιπὼν σὺν Ἀλεξάνδρῳ τῷ ἀδελφῷ, τῶν τῆδε μεθίσταται.

Λέων ὁ Σοφὸς σὺν Ἀλεξάνδρῳ ἔτη κε'· τούτου τῷ δευτέρῳ ἔτει τῆς βασιλείας ἐξωθεῖται πάλιν τῆς ἐκκλησίας ὁ Φώτιος, καὶ χειροτονεῖται ὁ ἀδελφὸς τοῦ βασιλέως Στέφανος, καὶ ἐπεσκόπησεν ἔτη τέσσαρα καὶ μῆνας τρεῖς. Καὶ τῷ ἕκτῳ τῆς αὐτοῦ βασιλείας ἔτει, τοῦ Στεφάνου τελευτήσαντος, ἀνάγεται εἰς τὸν πατριαρχικὸν θρόνον ὁ Καλλιώτης Ἀντώνιος, καὶ ἀρχιερατεύει ἔτη δ'. Καὶ τῷ δεκάτῳ ἔτει τοῦ βασιλέως, τοῦ Ἀντωνίου τετελευτηκότος, χειροτονεῖται Νικόλαος πατριάρχης, καὶ κρατεῖ τῆς ἐκκλησίας ἔτη ια'.

Ὁ δὲ βασιλεὺς Λέων συνεφιλιώθη Ζωῇ τῇ θυγατρὶ τοῦ Ζαούτζη, ὅπερ γνοῦσα Θεοφανὼ ἡ βασίλισσα ἐν τῷ ναῷ τῆς Θεοτόκου τῷ ἐν Βλαχέρναις ἀπελθοῦσα, νηστείαις καὶ δεήσεσι καὶ ἐλεημοσύναις ἐσχόλαζεν, ἣν καὶ θανοῦσαν θαυματουργίαις ὁ Θεὸς ἐδόξασεν. Ἀλλὰ καὶ ὁ βασιλεὺς ἐντίμως καὶ βασιλικῶς κηδεύσας αὐτὴν, ναὸν ὡραιότατον εἰς τὸ πρὸς ἀνατολὰς μέρος τῶν ἁγίων Ἀποστόλων εἰς ὄνομα ταύτης ἀνεγείρας, ἐκεῖ κατατίθησιν, ὅνπερ δὴ ναὸν τῶν ἁγίων Πάντων κατονομάζομεν. Καὶ στέφει τὴν εἰρημένην Ζωὴν, καὶ τὸν πατέρα ταύτης τιμᾷ βασιλεωπάτορα. Ἀλλὰ καὶ τῆς Ζωῆς ὀλίγον ἐπιβιωσάσης, τὴν ἀπὸ τοῦ Ὀψικίου Εὐδοκίαν τρίτην ἠγάγετο· καὶ αὐτὴ δὲ παιδίον ἄρρεν μετ' οὐ πολὺ τέξασα σὺν αὐτῷ ἀποθνήσκει. Καὶ ὁ βασιλεὺς τετάρτην γυναῖκα λαμβάνει, Ζωὴν τὴν τῆς Καρβωνοψίνης, οὐ τῷ λάγνος εἶναι καὶ παράνομος, ἀλλ' ἐφέσει τεκνογονίας, οὗ τὰς πολλὰς δεήσεις καὶ τὰ δάκρυα ὁ Θεὸς προσηκάμενος, χαρίζεται τούτῳ παῖδα, καὶ τίκτει ἡ Ζωὴ υἱὸν, τὸν Κωνσταντῖνον, ὃν καὶ βαπτίσας βασιλέα στέφει. Ἀλλὰ τοῦ πατριάρχου Νικολάου μὴ πειθομένου δέξασθαι τὸν βασιλέα ἐν τῇ ἐκκλησίᾳ διὰ τὴν τετραγαμίαν, καὶ στάσεως ἐν τῇ ἐκκλησίᾳ γενομένης τῶν ἀρχιερέων, ὀργισθεὶς ὁ βασιλεὺς ἐξορίζει τὸν πατριάρχην Νικόλαον τῷ εἰκοστῷ πρώτῳ ἔτει τῆς βασιλείας αὐτοῦ, καὶ χειροτονεῖται Εὐθύμιος, ἀνὴρ ὅσιος, ἐκ παιδὸς τὸν

μονάδα βίον ἑλόμενος, καὶ ἐν τῷ τοῦ Ὀλύμπου ὄρει ἀρεταῖς διαλάμψας |, πνευματικός τε πατὴρ τοῦ βασιλέως ὢν καὶ προφητικοῦ ἠξιωμένος χαρίσματος, καὶ ἐπεσκόπησεν ἔτη πέντε. Οὗτος θεόθεν ἐκκαλυφθεὶς δέχεται τὴν τοῦ βασιλέως τετραγαμίαν.

Ἀνεγείρει δὲ ὁ βασιλεὺς Λέων τὸν περικαλλῆ ναὸν τοῦ ἁγίου Λαζάρου, ποιήσας καὶ τὴν ἀνακομιδὴν τῶν ἁγίων λειψάνων τοῦ ἁγίου Λαζάρου καὶ Μαρίας τῆς Μαγδαληνῆς, καὶ ἐν αὐτῷ ταῦτα καταθέμενος, μετ' ὀλίγον ἀπεβίω.

Ἀλέξανδρος ὁ ἀδελφὸς αὐτοῦ σὺν τῷ ἀνεψιῷ Κωνσταντίνῳ τῷ Πορφυρογεννήτῳ, ἔτος ἕν, μῆνα ἕνα. Οὗτος ἀνεπιτηδείως ἔχων πρὸς τὴν τῶν πραγμάτων ἀντίληψιν, κώμοις ἑαυτὸν ἐκδεδωκὼς καὶ μέθαις, καὶ ἀσελγείαις, καὶ κυνηγεσίοις σχολάζων καὶ ἱπποδρομίαις, οὐδέν τι χρηστὸν κατώρθωσεν· ἀλλὰ καὶ τὸν ὁσιώτατον Εὐθύμιον τῆς πατριαρχείας καταγαγών, πάλιν τῷ Νικολάῳ τὴν ἐκκλησίαν παραδεδώκει, ἐξ οὗ καὶ πολὺς τάραχος ταῖς ἐκκλησίαις εἰσεκώμασε. Κρατεῖ γὰρ ὁ Νικόλαος τὸ δεύτερον ἔτη ιγ'· πολλὰ δὲ κακωτικὰ εἰς τὸν ὁσιώτατον Εὐθύμιον ἐνεδείξατο τῇ βασιλικῇ ἀνοίᾳ καὶ ἐξουσίᾳ χρώμενος συνεργοῖς, ἃ πάντως ἄτοπον καὶ ἀνοίκειον κἀκεῖνόν τε παθεῖν, καὶ τοῦτον διαπράξασθαι. Ἐξορίζεται δὲ ὁ δηλωθεὶς Εὐθύμιος ἐν τῇ μονῇ τοῦ Μαριανοῦ τῇ ὑπὸ τὴν τοῦ Στουδίου μονήν, ἣν ὁ βασιλεὺς Λέων λαμπρῶς ἀνήγειρεν, ἐν ᾗ καὶ ὀλίγον ἐπιβιοὺς πρὸς θεὸν ἐξεδήμησε, καὶ κατετέθη τὸ λείψανον αὐτοῦ ἐν τῇ τοιαύτῃ μονῇ. Θνήσκει δὲ καὶ ὁ βασιλεὺς Ἀλέξανδρος.

Κωνσταντῖνος ὁ υἱὸς Λέοντος ὁ Πορφυρογέννητος ἔτη τεσσαράκοντα ὀκτώ. Ὅτε οὖν ἐβασίλευσεν ἐτῶν ἦν ζ'· βασιλεύει δὲ σὺν τῇ μητρὶ καὶ τοῖς ἐπιτρόποις ἔτη ἑπτά, καὶ ἅμα Ρωμανῷ τῷ πενθερῷ ἔτη κε', καὶ μόνος αὐτοκράτωρ ἔτη ιε', ὡς συνάγεσθαι τὰ τῆς ζωῆς αὐτοῦ ἔτη νε'.

Τούτῳ τῷ βασιλεῖ ἐπανίσταται Κωνσταντῖνος ὁ υἱὸς Ἀν-

δρονίκου τοῦ Δούκα, καὶ λαὸν οὐκ ὀλίγον συναθροίσας καὶ πρὸς τὰ βασίλεια εἰσελθεῖν δοκιμάσας, ἐν τῇ Χαλκῇ πίπτει τοῦ ἵππου καὶ ἀναιρεῖται, ὅτε μετὰ τῆς μητρὸς ὁ Κωνσταντῖνος τὴν βασιλείαν ἴθυνεν.

Ἐπεὶ δὲ καὶ Λέων μάγιστρος ὁ Φωκᾶς, δομέστικος τῶν σχολῶν προβληθεὶς παρὰ τῆς βασιλίσσης Ζωῆς, βασιλειᾷν ἤρχετο, καὶ ἡ φήμη τὸν ἄνδρα ἤδη τοῖς πᾶσιν ἐγνώριζε, Ρωμανός τις, ᾧ Λακαπηνὸς τὸ ἐπώνυμον, δρουγγάριος ὢν τῶν πλωΐμων, τοὺς τοῦ βασιλέως ὑπελθὼν εὐνούχους καὶ τὸ δρᾶμα τούτοις ἀνακοινωσάμενος, ἔτι τοῦ Φωκᾶ Λέοντος τοῖς τῆς Θρᾴκης διατρίβοντος μέρεσι, σὺν παντὶ τῷ στόλῳ τυραννεῖν προσεποιεῖτο καὶ δειλίαν τοῖς ἐν τοῖς βασιλείοις παρεῖχε· διαλογιζομένων οὖν τῶν τοῦ βασιλέως οἰκειακῶν καὶ ὅ, τι διαπράξαιντο περισκοπουμένων, Θεόδωρός τις παιδαγωγὸς τοῦ βασιλέως πείθει τὸν Κωνσταντῖνον προσλαβέσθαι τὸν Ρωμανὸν, ὡς τῶν ἄλλων τὰ πρὸς αὐτὸν εὐνούστερον· καὶ δὴ τῇ τοῦ παιδαγωγοῦ πεισθεὶς συμβουλῇ, τοὺς μὲν τῆς μητρὸς ἀνθρώπους τῶν βασιλείων καταβιβάζει, πᾶσαν δὲ τὴν ἐξουσίαν εἰς ἑαυτὸν ἐπισπᾶται, τὸν δὲ Ρωμανὸν ἀναγαγὼν, πρῶτα μὲν μάγιστρον προχειρίζεται καὶ μέγαν ἑταιρειάρχην, ὕστερον δὲ βασιλεωπάτορα τιμήσας, ἀρραβῶνας δίδωσι γαμικοῦ συναλλάγματος Ἑλένῃ τῇ τοῦ Ρωμανοῦ θυγατρί. Ὁ δὲ Φωκᾶς Λέων τῆς ἡγεμονίας ἀφαιρεθεὶς τὴν ἀρχὴν, καὶ ἐν τῷ ἰδίῳ προσμένειν κελευσθεὶς οἴκῳ, ἀφάτῳ συσχεθεὶς λύπῃ, πρὸς ἀποστασίαν τρέπεται, καὶ πλεῖστον λαὸν συναθροίσας, καὶ τῶν ἀρχόντων οὐκ ὀλίγους σχήματι μὲν ὡς ὑπὲρ τοῦ βασιλέως τοῦ Ρωμανοῦ τὸν ὑπ' αὐτὸν ἔπειθε στρατὸν τὴν τυραννίδα ποιήσασθαι, τῇ δὲ ἀληθείᾳ ἑαυτῷ τὴν βασιλείαν ἐμνηστεύετο· καὶ καταλαβὼν ἐν Χρυσοπόλει παρέταξε τὸν λαὸν πρὸς θέαν ἀντικρὺ καὶ δειλίαν τῶν ἐν τῇ Πόλει. Ἀποστέλλεται οὖν Συμεὼν ὁ ἐπὶ τοῦ κανικλείου πρὸς τὸν μετ' αὐτοῦ λαὸν ἐν Χαλκηδόνι, λόγον ἐνυπόγραφον

τοῦ βασιλέως Κωνσταντίνου ἐπιφερόμενος, ὃς ἐν τῷ λιμένι Χαλκηδόνος γεγονὼς ὑπανεγίνωσκε τῷ πλήθει τὰ γραφόμενα, ὡς ἐγὼ φύλακα τῆς ἐμῆς βασιλείας πιστότατον οὐδένα τῶν ὑπὸ χεῖρα ἢ Ρωμανὸν εὑρηκώς, τούτῳ τὴν ἐμὴν φυλακὴν μετὰ θεὸν κατεπίστευσα καὶ ἀντὶ πατρὸς ἔχειν ἔκρινα, σπλάγχνα πατρικὰ εἰς ἐμὲ ἐνδειξάμενον. | Λέοντα δὲ τὸν Φωκᾶν ἀεὶ τῇ ἐμῇ βασιλείᾳ ἐπιβουλεύοντα, καὶ νῦν ἔργοις αὐτοῖς τὴν ἐπιβουλὴν φανερώσαντα, οὔτε δομέστικον ἀπὸ τουνῦν βούλομαι εἶναι, οὔτε τὴν ἀποστασίαν ταύτην μετὰ βουλῆς ἐμῆς πεπραχέναι φημί, ἀλλ' αὐθαιρέτῳ γνώμῃ ποιήσασθαι τὴν βασιλείαν ἑαυτῷ σφετεριζόμενον.

Τούτων ὑπαναγνωσθέντων τῷ λαῷ, ἀνεχώρησαν ἅπαντες καὶ τῷ βασιλεῖ προσερρύησαν. Ὁ δὲ Φωκᾶς Λέων φυγῇ χρησάμενος συλλαμβάνεται καὶ ἀποτυφλοῦται· καὶ μετ' ὀλίγον ὁ Ρωμανὸς τιμᾶται καῖσαρ, εἶτα καὶ βασιλεὺς ἀναγορεύεται, καὶ τοὺς τῆς θυγατρὸς αὐτοῦ ἐκτελεῖ γάμους, συζεύξας αὐτὴν τῷ βασιλεῖ Κωνσταντίνῳ· μεθ' ἧς τίκτει υἱόν, ὃν ὠνόμασε Ρωμανόν.

Μετ' οὐ πολὺ δὲ ὁ Λακαπηνὸς Ρωμανὸς καὶ τοὺς ἰδίους υἱοὺς βασιλεῖς χειροτονεῖ, Χριστοφόρον, Στέφανον καὶ Κωνσταντῖνον, ἀλλὰ καὶ τὸν Χριστοφόρου παῖδα Μιχαήλ, ὡς εἶναι ἐν ταυτῷ βασιλεῖς ἑπτά. Τούτων πέντε ὄντων, τὰ νομίσματα τούτων τοὺς τύπους φέροντα, πενταλαίμια ὠνομάζοντο.

Ρωμανὸς ὁ Λακαπηνὸς σὺν Κωνσταντίνῳ τῷ Πορφυρογεννήτῳ γαμβρῷ αὐτοῦ καὶ τοῖς παισὶν αὐτοῦ Χριστοφόρῳ, Στεφάνῳ καὶ Κωνσταντίνῳ καὶ Μιχαὴλ Χριστοφόρου υἱῷ, καὶ Ρωμανῷ υἱῷ Κωνσταντίνου τῷ Πορφυρογεννήτῳ, ὁμοῦ πάντες ἔτη κς'. Καὶ τῷ μὲν Ρωμανῷ γυνὴ ἦν Θεοδώρα τῷ δὲ Κωνσταντίνῳ Ἑλένη, Χριστοφόρῳ δὲ Σοφία, τῷ δὲ Στεφάνῳ Ἄννα, καὶ τῷ λοιπῷ Κωνσταντίνῳ Θεοφανώ. Ὁ δὲ Χριστοφόρος τάχιον ἐτεθνήκει.

Τῷ δὲ δωδεκάτῳ ἔτει τῆς βασιλείας Κωνσταντίνου καὶ Ρωμανοῦ τελευτᾷ ὁ πατριάρχης Νικόλαος, καὶ θάπτεται εἰς

τὴν μονὴν τῶν Γαλακρηνῶν ἣν αὐτὸς ἔκτισε· καὶ μετατίθεται ὁ μητροπολίτης Ἀμασείας Στέφανος ὁ εὐνοῦχος εἰς τὸ πατριαρχεῖον, καὶ ἐπισκοπεῖ ἔτη τρία.

Ὁ δὲ βασιλεὺς Ρωμανὸς Θεοφύλακτον, ἕνα τῶν ἰδίων υἱῶν εὐνουχίσας, καὶ κληρικὸν ἀποκείρας, σύγκελλον ἐποίησε, βουλόμενος αὐτὸν καὶ πατριάρχην ποιῆσαι. Καὶ τῷ πεντεκαιδεκάτῳ ἔτει τῆς βασιλείας αὐτῶν, συμψηφιζομένων καὶ τῶν ἑπτὰ ἐτῶν τοῦ Πορφυρογεννήτου, ἃ πρὸ τοῦ Ρωμανοῦ μόνος ἐκράτησε, θνήσκει ὁ πατριάρχης Στέφανος, καὶ χειροτονεῖται Τρύφων μοναχὸς γέρων, καὶ ἐπεσκόπησεν ἔτη τρία. Καὶ τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῆς βασιλείας αὐτῶν, παραιτησαμένου τοῦ Τρύφωνος διὰ γῆρας, καὶ τοῦ Θεοφυλάκτου ἔτι νεάζοντος, ἐχήρευεν ἡ ἐκκλησία ποιμένος ἔτος ἕν, μῆνας ε΄. Καὶ τῷ ἐννεακαιδεκάτῳ ἔτει τῶν βασιλέων χειροτονεῖται Θεοφύλακτος εὐνοῦχος ὁ υἱὸς τοῦ Ρωμανοῦ, καὶ κρατεῖ ἔτη κγ΄. Οὗτος κτίζει τὸν περικαλλῆ ναὸν καὶ τὸ μοναστήριον τῶν Ρουφινιανῶν.

Μήπω δὲ τοῦ Ρωμανοῦ βασιλεύσαντος, ἀλλὰ τῷ τοῦ βασιλεωπάτορος ἀξιώματι διαπρέποντος, Κωνσταντίνου δὲ βασιλεύοντος, καὶ Νικολάου τοὺς τῆς ἐκκλησίας ἰθύνοντος οἴακας, ἐν ἔτει ἀπὸ κτίσεως κόσμου ͵ςυκη΄, ἐγένετο ἕνωσις τῶν ἀποσχισθέντων μητροπολιτῶν καὶ ἐπισκόπων τῆς ἐκκλησίας, διὰ τὴν τοῦ βασιλέως Λέοντος τετραγαμίαν, καὶ ἐξετέθη ὁ τόμος τῆς ἑνώσεως παρ' αὐτῶν εἰς περιαίρεσιν σκανδάλου παντὸς, καὶ ὥρισται μηδέποτε τετραγαμίαν τολμηθῆναι παρά τινος, ἀλλὰ μηδὲ τριγαμίαν συστῆναι, εἰμὴ κατὰ τὰς διαστίξεις (sic) ἃς ὁ ρηθεὶς τόμος διαλαμβάνει.

Ὁ δὲ βασιλεὺς Ρωμανὸς, ὀρθοδοξότατος ὢν, καὶ θεοσεβὴς ἦν καὶ φιλομόναχος· τὴν αἰδῶ γὰρ καὶ τὴν εὐλάβειαν ἣν εἶχε πρὸς τοὺς ἐν ἀρετῇ περιβοήτους τίς ἱκανεῖ διηγήσασθαι; πάσας τε τὰς ἐκκλησίας πέπλοις τιμίοις καὶ ἱεροῖς σκεύεσι κατεκόσμησε, ρόγας τε καὶ σολέμνια τοῖς ἐν τῷ Ὀλύμπῳ μο-

ναστηρίοις καὶ τοῖς ἄλλοις ὄρεσιν ἐτησίως λαμβάνειν τετύπωκε, καὶ πάντας τῶν αὐτοῦ δωρεῶν ἐνέπλησεν· ἀλλὰ καὶ καθ' ἑκάστην ἡμέραν μοναχοὺς εἶχε τῇ τραπέζῃ συνεστιωμένους, καὶ θείων ἀναγνωσμάτων ἐπηκροᾶτο. Διαφερόντως δὲ ἐτίμα καὶ ἔστεργε Σέργιον τὸν ἐν μοναχοῖς διαλάμποντα, ὃς ἀδελφὸς μὲν τοῦ μαγίστρου Κοσμᾶ ἦν, ἀνεψιὸς δὲ τοῦ πατριάρχου Φωτίου, ὃν καὶ πλέον τῆς σαρκικῆς ἡ κατὰ ψυχὴν ἐτίμα εὐγένεια· ἀρετῆς γὰρ εἰς ἄκρον καὶ γνώσεως ἔφθασεν, ὡς δυσχερὲς εἶναι διακρίνειν ποτέρᾳ μᾶλλον πλεονεκτεῖ, οὕτως ἑκατέραν ἐξήσκησεν· ἐπήνθει δὲ πρὸς τοῖς ἄλλοις αὐτῷ καὶ τὸ τῆς διακρίσεως χάρισμα, καὶ τὸ τοῦ ἤθους χάριεν, καὶ τὸ μέτριον τοῦ φρονήματος· οὐ γὰρ τὰς ὀφρῦς ἀνέσπα κατὰ τοὺς ἄλλους σοφούς, οὐδὲ ἀλαζών τις ἐδόκει καὶ ὑπερήφανος, ἀλλὰ τὸν λόγον μὲν εἶχεν ἡδύτερον μέλιτος ἀποστάζοντα, τὸ ἦθος δὲ βεβηκός, ταπεινὸν δὲ τὸ φρόνημα. Τοῦτον τὸν ἀοίδιμον μεθ' ἑαυτοῦ ἔχων ὁ Ρωμανός, κανόνα καὶ στάθμην τῶν καλῶν εἶχεν. Ἐπεὶ δὲ Θεοφύλακτος ὁ πατριάρχης ἐνόσει συνεχῶς |, παρεκάλει τὸν Σέργιον γενέσθαι πατριάρχην ὁ βασιλεύς. Ὁ δὲ ὁλοψύχως τοῦτο παρῃτεῖτο· καί ποτε συνήθως τοῦ βασιλέως παρακαλοῦντος, ὁ Σέργιος ἔφη· εἰ θέλεις, δέσποτα, εὐλαβῆ καὶ τίμιον πατριάρχην, ἔχω καὶ πάνυ πρὸς τοῦτο ἐπιτηδειότατον καὶ σοφόν. Καὶ ὁ βασιλεύς· ὑπόδειξόν μοι τὸν ἄνδρα. Καὶ ὁ Σέργιος εἰσάγει πρὸς τὸν βασιλέα τὸν εὐλαβέστατον μοναχὸν Πολύευκτον τὸν εὐνοῦχον· καὶ εἰσελθόντων ἀμφοτέρων, ὁ μὲν βασιλεὺς τῇ κλίνῃ ἀνακείμενος, καὶ τὸν Σέργιον τῇ αὐτῇ κλίνῃ κεκαθικέναι κελεύσας, ἐπί τινος θρόνου τὸν Πολύευκτον προστάσσει καθεσθῆναι. Εἶτα ἐρωτᾷ ὁ βασιλεὺς ἐρώτημά τι Γραφικὸν τὸν Πολύευκτον· ὁ δέ, ὀξύθυμος ὤν, αὐστηρῶς ἀπεκρίθη· ὁ μετὰ σοῦ καθήμενος ἐν τῇ κλίνῃ σου, ἑρμηνευσάτω αὐτό. Καὶ ὁ μὲν βασιλεὺς τὸν λόγον ὡς φθόνου βέλος ἐδέξατο· ὁ δὲ τρισμακάριστος Σέργιος τῷ φυσικῷ φρο-

νήματι τὸν λόγον ὑπαμβλῦναι θέλων, ῥίπτει ἑαυτὸν εἰς τοὺς πόδας τοῦ Πολυεύκτου, καί, Εὖξαι ὑπὲρ ἐμοῦ, πάτερ ἅγιε, λέγει, ὅτι τοσοῦτον καιρὸν ἀτακτῶν οὐκ ᾐσθανόμην. Ἀπολυθέντος δὲ τοῦ Πολυεύκτου, ὁ βασιλεὺς ἐμέμφετο τὸν Σέργιον ἐπὶ τῇ εἰς τὸν Πολύευκτον ἀπάτῃ. Ὁ δέ φησι πρὸς τὸν βασιλέα, τοιοῦτος ὀφείλει εἶναι ὁ προϊστάμενος, καὶ μάλιστα ἐκκλησίας, καὶ μὴ κατὰ προσωποληψίαν ἢ κολακείαν ποιεῖν τι.

Οἱ δὲ τοῦ Ρωμανοῦ υἱοὶ καὶ βασιλεῖς Στέφανος καὶ Κωνσταντῖνος, ὁ γὰρ Χριστόφορος προετεθνήκει, τὸν ἴδιον πατέρα, κοινῇ κακῶς συμβουλευσάμενοι, τῶν βασιλείων κατήγαγον, τέλεον ἤδη γεγηρακότα, καὶ ἐν τῇ νήσῳ τῇ Πρώτῃ μοναχὸν ἀπέκειραν. Συνιδὼν δὲ ὁ Κωνσταντῖνος τὴν αὐτῶν κακουργίαν, ὡς εἰ τοῦ πατρὸς οὐκ ἐφείσαντο, σχολῇ γ' ἂν ἑτέρου φείσαιντο, αἴφνης συνεστιωμένους αὐτῷ καὶ ἀμφοτέρους ἁρπαγέντας ὑπὸ τῶν εἰς τοῦτο ηὐτρεπισμένων εἰς διαφόρους ἐξορίζει νήσους, Μιχαὴλ δὲ τὸν υἱὸν Χριστοφόρου κληρικὸν ἀποκείρει. Καὶ κρατεῖ τῆς βασιλείας μόνος σὺν τῷ υἱῷ Ρωμανῷ.

Κωνσταντῖνος μόνος ὁ Πορφυρογέννητος σὺν τῷ υἱῷ Ρωμανῷ ἔτη ιε'. Οὗτος Βάρδαν τὸν Φωκᾶν, τὸν ἀδελφὸν τοῦ τυφλωθέντος Λέοντος, μάγιστρον καὶ δομέστικον τῶν σχολῶν προχειρίζεται. Βασίλειον δὲ εὐνοῦχον τὸν ἀπὸ παλλακῆς υἱὸν τοῦ Λακαπηνοῦ Ρωμανοῦ ἐτίμησε πατρίκιον, παρακοιμώμενον καὶ παραδυναστεύοντα· οὗτος κτίζει τὸν περίφημον ναὸν καὶ τὸ μοναστήριον τοῦ ἁγίου Βασιλείου ὃ τοῦ Παρακοιμωμένου καλεῖται· καὶ γεγηρακότος ἤδη τοῦ Φωκᾶ Βάρδα, τὸν υἱὸν αὐτοῦ Νικηφόρον δομέστικον ποιεῖ καὶ πατρίκιον· καὶ Λέοντα τὸν ἀδελφὸν Νικηφόρου, πατρίκιον καὶ στρατηγὸν τῶν Ἀνατολικῶν.

Τῷ δὲ τεσσαρακοστῷ πέμπτῳ ἔτει τῆς βασιλείας Κωνσταντίνου θνήσκει ὁ πατριάρχης Θεοφύλακτος, καὶ θάπτεται εἰς Ρουφινιανάς, ὅπου καὶ ὁ πατὴρ αὐτοῦ· καὶ χειροτονεῖται

Πολύευκτος ὁ προμνημονευθείς, ἀνὴρ τίμιος καὶ εὐλαβής, καὶ ἐπεσκόπησεν ἔτη ιδ'.

Ἐπὶ τούτου τοῦ βασιλέως Κωνσταντίνου γίνεται ἡ ἀνακομιδὴ τοῦ σώματος τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ Θεολόγου ἀπὸ Ναζιανζοῦ εἰς Κωνσταντινούπολιν, καὶ μετὰ λαμπροτάτης λιτῆς, αὐτοῦ τοῦ βασιλέως καὶ τοῦ πατριάρχου καὶ τῆς συγκλήτου καὶ τοῦ κοινοῦ πλήθους πεζῇ λιτανευόντων ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων ἔσωθεν τοῦ ἱεροῦ βήματος προπεμφθέντος (γρ. προπεμφθέν τε) ἱεροπρεπῶς κατατίθεται. Καὶ ἐπληρώθη τὸ ῥηθὲν ὑπ' αὐτοῦ ὅτε τῆς Πόλεως ἐξήρχετο ἐν τῷ συντακτηρίῳ προφητικὸν λόγιον: Χαίρετε, Ἀπόστολοι, ἡ καλὴ μετοικεσία.

Τότε γεννᾶται καὶ ὁ τοῦ Ρωμανοῦ τοῦ υἱοῦ τοῦ Κωνσταντίνου παῖς Βασίλειος, τῷ τεσσαρακοστῷ ἑβδόμῳ ἔτει τῆς βασιλείας αὐτοῦ. Ἔκτοτε δὲ τῷ δευτέρῳ ἔτει θνήσκει ὁ Κωνσταντῖνος, καταλιπὼν τὸν υἱὸν Ρωμανὸν βασιλέα.

Ρωμανὸς ὁ υἱὸς αὐτοῦ ἔτη γ', μῆνας β'.

Οὗτος δευτέραν γυναῖκα λαβὼν τὴν Θεοφανὼ ἔσχεν ἐξ αὐτῆς ἄρρενας μὲν παῖδας δύο Βασίλειον καὶ Κωνσταντῖνον, οὓς καὶ βασιλεῖς χειροτονεῖ, θυγατέρας δὲ πέντε, Ζωήν, Θεοδώραν, Ἀγάθην, Θεοφανώ, καὶ Ἄνναν.

Ἐπὶ τούτου ὁ Φωκᾶς Νικηφόρος, μάγιστρος καὶ δομέστικος τῶν σχολῶν, εἰς Κρήτην ἐκπλεύσας μετὰ στόλου καὶ στρατοῦ πολλοῦ, προαποστατήσασαν ἱκανοῖς ἔτεσι, πάλιν τῇ Ρωμανίᾳ ὑπέταξε.

Τότε καὶ ὁ Τζιμισχῆς Ἰωάννης, ὑποστράτηγος ὢν Νικηφόρου καὶ συγγενής, ἐπὶ πολλοῖς καὶ μεγάλοις κατορθώμασι
41 πολεμικοῖς περιβόητος ἦν, | καὶ χώρας πολλὰς καὶ κάστρα σὺν τῷ Νικηφόρῳ τῇ Ρωμαίων ἐποίησε ὑποτελῆ βασιλείᾳ, καὶ φοβερὸς ἦν τοῖς ἐχθροῖς.

Ὁ δὲ Ρωμανὸς ἐκλεξάμενος ἕνα τῶν βασιλικῶν εὐνούχων,

Ἰωσήφ, ὃν ἐδόκει τῶν ἄλλων μᾶλλον εὐνοεῖν αὐτῷ, παρακοιμώμενον καὶ παραδυναστεύοντα προεβάλλετο, καὶ αὐτῷ τὰ τῆς διοικήσεως ἀνέθετο. Αὐτὸς δὲ ὁ βασιλεὺς κυνηγεσίοις διόλου καὶ θήραις ἐσχόλαζεν.

Ὁ μάγιστρος δὲ Νικηφόρος λαμπρῶς ἐπαναζεύξας ἐκ Κρήτης μετὰ λαφύρων πολλῶν καὶ αἰχμαλωσίας ἐθριάμβευσεν ἐν τῇ Πόλει, πάντων τῶν λαφύρων καὶ τῆς αἰχμαλωσίας καὶ αὐτοῦ τοῦ ἀμηρᾶ τῶν Σαρακηνῶν ἔμπροσθεν αὐτοῦ φερομένων· καὶ μεγάλαις δωρεαῖς παρὰ τοῦ βασιλέως ἐφιλοτιμήθη, καὶ παρὰ πάντων ἐδοξάζετο καὶ ἐπῃνεῖτο δι' ἃς εἶχεν ἀρετάς, ἀνδρείαν καὶ φρόνησιν, δικαιοσύνην τε καὶ σωφροσύνην· οὐκ ἐν τῇ Κρήτῃ δὲ μόνον, ἀλλὰ καὶ ἐν τῇ Ἀνατολῇ μείζονα κατορθώματα ἐνεδείξατο.

Ἐκεῖσε τούτου διάγοντος καὶ παρακαθεζομένου μετὰ στρατοῦ τῷ κάστρῳ Ἀντιοχείας, θνήσκει ὁ βασιλεὺς Ῥωμανὸς καταλιπὼν τὴν βασιλείαν Θεοφανῷ μετὰ τῶν υἱῶν Βασιλείου καὶ Κωνσταντίνου ἔτι νηπίων.

Τοῦτο μαθὼν ὁ δομέστικος Νικηφόρος, σπουδῇ τὴν Κωνσταντίνου καταλαμβάνει, ἔτι τῶν πραγμάτων ἠωρημένων· ὃν ἡ βασίλισσα Θεοφανώ, μετὰ τῆς συγκλήτου καὶ τοῦ πατριάρχου κοινῇ συνδιασκεψαμένη, στρατηγὸν αὐτοκράτορα τῆς ὅλης Ἀνατολῆς προχειρίζεται, ὅρκον ἐξ αὐτοῦ λαβόντες μὴ ἐπιβουλεῦσαι τοῖς παισὶ Ῥωμανοῦ. Ταῦτα πράξας ἐξῆλθε τῆς Πόλεως καὶ εἰς Καισάρειαν ἀπῆλθεν ἐπισκεψόμενος τον στρατόν.

Ἀλλὰ ταῦτα οὕτω συνετῶς οἰκονομηθέντα καὶ συμφερόντως, οὐκ ἦν καὶ τῷ παραδυναστεύοντι εὐνούχῳ Ἰωσὴφ κατὰ σκοπὸν, οὐδὲ ἀνεκτῶς εἶχεν, εἰ μὴ Νικηφόρον ἐκποδῶν ποιῆσαι· ἐνεκότει γὰρ ἀεὶ τῷ ἀνδρὶ καὶ ἀντέπιπτεν, οὐδ' ἐκείνῳ τὰ τοῦ πράγματος ἀγνοοῦντι. Ὅθεν καὶ λάθρα γράφει πρὸς Ἰωάννην τὸν Τζιμισχῆν, συνόντα τῷ Νικηφόρῳ, ἀνελεῖν μὲν παντὶ τρόπῳ σπουδάσαι τὸν στρατηγὸν, ὡς μεμισημένον αὐ-

τῷ, αὐτὸν δὲ ὡς τάχους ἔχει πρὸς τὰ βασίλεια ἐπανελθεῖν, ἐπιτευξόμενον τοῦ κράτους, ὡς ἠγαπημένον αὐτῷ. Ἰωάννης δὲ ὁ Τζιμισχῆς τὸν τοῦ εὐνούχου ἄδικον κατὰ Νικηφόρου φθόνον μεμισηκὼς, καὶ τὸν φόνον τοῦ συγγενοῦς εὐλαβηθεὶς, αὐτά τε τὰ γράμματα τῷ Νικηφόρῳ ὑποδεικνύει, καὶ, ἕως πότε, εἰπὼν, ὑπὸ εὐνούχων τὰ Ρωμαίων ἔσεσθαι ἀνεξόμεθα; τὸ τοῦ στρατοῦ πλῆθος συνηθροικὼς, βασιλέα κοινῇ μετὰ πάντων τὸν Νικηφόρον ἀναγορεύει· καὶ συμπαραλαβόντες τὸν ὅλον στρατὸν, τὴν Χαλκηδόνα καταλαμβάνουσιν. Ἡ σύγκλητος δὲ, καὶ αὐτὴ μᾶλλον ἡ βασίλισσα, ὥσπερ εἰ περιμένοντες ἦσαν αὐτοῦ τὴν ἄφιξιν, εἰς τὰ βασίλεια ἀνάγουσι σὺν προθυμίᾳ καὶ χαρᾷ καὶ βασιλέα στέφουσι.

Νικηφόρος ὁ Φωκᾶς ἔτη ϛ' ἥμισυ. Οὗτος τὸν πατέρα αὐτοῦ Βάρδαν τῷ τοῦ καίσαρος ἀξιώματι τιμᾷ καὶ σύνεδρον ἑαυτῷ ποιεῖ, Λέοντα δὲ τὸν ἀδελφὸν κουροπαλάτην καὶ δομέστικον. Οὗτος εἶχε γυναῖκα τὴν μητέρα τῶν Πορφυρογεννήτων Θεοφανώ. Μετὰ δὲ τὸ βασιλεῦσαι οὐ πρὸς τρυφὰς ἀπεῖδεν ὡς οἱ πρὸ αὐτοῦ καὶ ἀνέσεις, ἀλλὰ καὶ δὶς καὶ τρὶς καὶ τετράκις ἐκστρατεύσας, μεγάλα τινὰ καὶ ἐξαίσια ἐνεδείξατο τρόπαια, καὶ φόβον πολὺν τοῦ ἀνδρὸς εἶχον τὰ ἔθνη· γενναῖος γὰρ ἦν καὶ οὐδέποτε ὄκνῳ εἴκων, ἢ τὸ τυχὸν εἰς τὴν αὔριον ὑπερτιθέμενος. Οὗτος καὶ τὴν μεγάλην Ἀντιόχειαν καὶ τὸ Χάλεπ ὑπὸ τὴν Ρωμαίων βασιλείαν πάλιν ἐπανεσώσατο· εὐσεβής τε ἦν καὶ φοβούμενος τὸν θεόν.

Ἰωάννην δὲ τὸν λαμπρότατον ἐν ἀριστεῦσι τὸν Τζιμισχῆν βασιλειῶντα ὑπονοήσας, καὶ παρὰ τῆς βασιλίσσης ἀγαπώμενον ὑπὸ πολλῶν βεβαιούμενος, πάσης ἀρχῆς ἀπαγαγὼν, εἰς τὸν ἴδιον οἶκον ἡσυχάζειν διωρίσατο· ὃ τὸν Ἰωάννην κατὰ τοῦ βασιλέως ἤγειρε μᾶλλον, καὶ πρὸς μῖσος ἐξεκαλέσατο· ὅθεν καὶ πρὸς ἐπιβουλὴν σπουδαιότερος ἐγεγόνει. Κατὰ γοῦν τὸν τελευταῖον τῆς βασιλείας αὐτοῦ χρόνον εἰς τὴν Πόλιν ἐπανελ-

θεῖν αὐτὸν πολλῶν παρακλήσεσιν ἀλλὰ καὶ τῆς βασιλίσσης πεισθεὶς, ἐπέτρεψε· καὶ δὴ εἰσελθόντα λόγοις τε καὶ ταῖς ἄλλαις φιλοφροσύναις καὶ τιμαῖς ἐπειρᾶτο τοῦτον ἐξημερῶσαι | .φ. 41ʳ. Ὁ δὲ ἔνδον συντηρῶν τὸν λυπούμενον, ἔξω πολλὰ ἐφαίνετο τῷ βασιλεῖ εὐχαριστῶν. Ἡ βασίλισσα δὲ προσκειμένη τῷ ἀνδρὶ καὶ ἐρωτικῶς ἔχουσα, τότε ἀφορμῆς δραξαμένη ἥκει πρὸς ἑαυτὴν, καὶ πείθει πρὸς φόνον ὁπλίσαι τὴν χεῖρα. Ὅθεν καὶ συσκευασαμένη τὸν τρόπον τοῦ φόνου, καὶ καιρὸν εὑροῦσα, ἀωρὶ τῶν νυκτῶν ἀνάγει διὰ σχοίνου αὐτόν τε τὸν Τζιμισχῆν καὶ τοὺς σὺν αὐτῷ, ἐπὶ τὸν τοῦ Βουκολέοντος ἡλιακὸν, ξιφήρεις πάντας, καὶ εἰσάγει πρὸς τὸν βασιλικὸν κοιτωνίσκον· αὐτοὶ δὲ τὸν βασιλέα οὐκ ἐπὶ τῆς κλίνης εὑρόντες, ἀλλ' ἐν τῷ νάρθηκι τοῦ ναοῦ ἐπ' ἐδάφους ὑπνώττοντα, τοῖς ξίφεσιν ἀναιροῦσιν. Ὁ δὲ Τζιμισχῆς εὐθὺς βασιλεὺς ὑπὸ τῆς βασιλίσσης ἀναγορεύεται.

Τελευτᾷ μὲν οὖν ὁ βασιλεὺς Ῥωμανὸς εἰς Μάρτιον μῆνα, καὶ κρατεῖ ἡ Θεοφανὼ μῆνας δ'. Ὁ δὲ Φωκᾶς στέφεται εἰς μῆνα Ἰούλιον, ἰνδικτιῶνος ς' ἐν ἔτει ͵ςυοα'. Ὁ δὲ Τζιμισχῆς βασιλεύει εἰς μῆνα Ἰανουάριον ἰνδικτιῶνος ιγ', ἐν ἔτει ͵ςυοη'.

Ἰωάννης ὁ Τζιμισχῆς ἔτη ἓξ ἥμισυ. Οὗτος τῷ τοῦ Νικηφόρου πάθει σωφρονέστερον διατιθεὶς ἑαυτὸν, τὴν βασίλισσαν Θεοφανὼ, πολλὰ βοῶσαν καὶ ὀδυρομένην, τῶν βασιλείων κατάγει καὶ πόρρω περιορίζει, τῶν πορφυρογεννήτων δὲ παίδων σφόδρα ἐπεμελεῖτο καὶ ὑπερηγάπα, καὶ ὡς οἰκείων ἀντείχετο.

Τούτου τῷ πρώτῳ ἔτει τελευτᾷ ὁ πατριάρχης Πολύευκτος, καὶ καθίσταται πατριάρχης Βασίλειος ὁ Σκαμανδρηνὸς, καὶ ἐπεσκόπησεν ἔτη δ'· καὶ τῷ πέμπτῳ ἔτει τῆς βασιλείας αὐτοῦ ἐξορίζεται, καὶ χειροτονεῖται Ἀντώνιος ὁ ἀπὸ τῆς μονῆς τῶν Στουδίων, καὶ ἀρχιερατεύει ἔτη ἕξ.

Καὶ οὗτος δὲ ὁ βασιλεὺς κατὰ πολὺ τὰ τῆς Ῥωμανίας ὅρια ἐπλάτυνε, καὶ πάντα τὰ γειτονοῦντα ἔθνη οὐ χρυσίῳ,

ἀλλὰ ξίφεσι σιγᾶν κατηνάγκασε· γενναῖος γὰρ ὢν κατὰ χεῖρας καὶ τολμητίας, εἶχε καὶ τὸ φυσικὸν φρόνημα τῇ τοῦ σώματος ρώμῃ κατάλληλον, καὶ φοβερὸς ἦν ἐν πολέμοις καὶ τοῖς ἐχθροῖς ἀνυπόστατος, τἄλλα δὲ ὁ ἀνὴρ ἡδύτατος ἦν καὶ γαληνὸς ἄγαν καὶ πρὸς πάντας, ψυχὴν συμπαθῆ κεκτημένος καὶ εὐεργετικωτάτην, καὶ οὐκ ἦν ὡς (γρ. ὃς) ὑπό τινος ἀνιώμενος, ἢ πενίας, ἢ πλεονεξίας γειτονικῆς, καὶ βάρει δημοσιακῷ συσχεθεὶς καὶ αὐτοπροσελθὼν καὶ ἱκετεύσας, οὐκ εὐθὺς εὗρε τελείαν τοῦ λυποῦντος ἀπαλλαγήν· πάντας εὐεργετῶν κόρον οὐκ εἶχε, πάντας ἠλέει, πάντων ὡς πατὴρ ἐκήδετο· καὶ εἰ μὴ τὸ τοῦ φόνου μῖσος (γρ. μύσος) ἦν, οὐκ ἦν ἂν ἐμποδών τι ὡς ἕνα τῶν ἁγίων τοῦτον παρὰ πάντων καὶ μετὰ θάνατον σέβεσθαι. Οὗτος κτίζει τὸν Σωτῆρα ἐν τῇ Χαλκῇ, καὶ θανὼν ἐκεῖ θάπτεται· καταλιμπάνει δὲ βασιλεῖς Βασίλειον καὶ Κωνσταντῖνον τοὺς πορφυρογεννήτους ἀδελφούς.

Βασίλειος ὁ υἱὸς Ρωμανοῦ σὺν Κωνσταντίνῳ τῷ ἀδελφῷ οἱ πορφυρογέννητοι ὁμοῦ ἔτη πεντήκοντα.

Οὗτος ὁ Βασίλειος, νέος ὢν γυναικὶ συναφθῆναι οὐκ ἠβουλήθη, ἀλλ' ἔρωτα σχὼν πολεμικῶν ὅπλων καὶ στρατιωτικῶν κατορθωμάτων, τἄλλα πάντα δεύτερα ἡγεῖτο· τρυφῆς μὲν γὰρ καὶ βασιλικῆς ἀνέσεως καὶ τῶν ἄλλων ἡδέων ἐφ' ἃ μᾶλλον ἐπιρρεπῶς ἔχουσί τινες βασιλεῖς, τῷ ἀδελφῷ παρεχώρησε Κωνσταντίνῳ, ἑαυτὸν δὲ τῇ τῶν πραγμάτων φροντίδι ἐξέδωκε, καὶ τῇ τῶν στρατευμάτων ἐπιμελείᾳ, νυκτὸς καὶ ἡμέρας τούτοις ἐνασχολούμενος. Ἀλλὰ νέῳ μὲν ὄντι οὐκ ἐξεγένετο, καίτοι προθυμουμένῳ, ἀνέτως ἀπολαῦσαι τῶν κατὰ σκοπὸν, τῶν πραγμάτων αὐτῷ ὥσπερ ἐπιφθονούντων καὶ ἀντιπιπτόντων ἰσχυρότερον· ὕστερον δὲ μετὰ πολλὴν τῶν χρόνων παραδρομὴν, μόλις ἀνεθεὶς τῶν κακούντων, ἔργοις αὐτοῖς ἔδειξεν οἵαν εἶχε καὶ πρὸ τῶν ἔργων ἐπιθυμίαν ἐπαινουμένην καὶ βασιλεῖ πρέπουσαν.

Βάρδας γὰρ ἐκεῖνος, ᾧ τὸ ἐπώνυμον ὁ Σκληρὸς, μάγιστρος τῷ τότε ὢν καὶ τῶν τὰ πολεμικὰ ἀριστέων εἷς, εὐθὺς ἐξ ἀρχῆς τυραννήσας σὺν τῷ ἰδίῳ ἀδελφῷ Κωνσταντίνῳ, πολυχρόνιον καὶ ἀνυπόστατον τὴν τυραννίδα ἐποίησεν, ἐπί τε ῥώμῃ σώματος καὶ στρατιωτικῇ ἐμπειρίᾳ, ἀλλὰ δὴ καὶ τῇ τοῦ γένους λαμπρότητι μεγαλαυχῶν καὶ φυσώμενος· ὁ γάρ τοι πρὸς μητρὸς τῆς Γρηγορίας πάππος ὁμώνυμος αὐτῷ, υἱὸς τοῦ Βασιλείου ἐκείνου τοῦ Ραίκτωρος καὶ μαγίστρου, ὃς ἀδελφόπαις ἦν Βασιλείου τοῦ Μακεδόνος, καὶ ἐκ τοῦ αὐτοῦ κατήγετο αἵματος, ὅθεν καὶ Βασίλειος. | Πολλοῖς οὖν ἔτεσι παραταθείσης αὐ- φ. 4
τῶν τῆς τυραννίδος, πάντῃ τὰ τῆς Ἀνατολῆς ἠφάνιστο μέρη· τούτων δὲ μόγις τῇ βασιλικῇ ὑποπεσόντων ἀρχῇ, πάλιν ἀνεφύοντο βασιλειῶντες ἕτεροι, καὶ μετ' αὐτοὺς ἄλλοι. Ὅμως κραταιᾷ θεοῦ χειρὶ σκεπόμενος ὁ βασιλεὺς τῶν ὅλων περιεγένετο, καὶ τὰς ὅλας τῆς ζωῆς αὐτοῦ ἡμέρας μέχρι καὶ βαθυτάτου γήρως κόποις καὶ πολέμοις καὶ κακουχίαις σωματικαῖς καὶ ἀριστείαις πολέμων καὶ τροπαίοις μεγάλοις καὶ νίκαις ταῖς κατὰ τῶν ἐναντίων ὡς ἄλλος οὐδεὶς διήνυσεν.

Οὗτος καὶ τὴν τῶν Βουλγάρων δυναστείαν ἀπείροις ἔτεσι τὰ τῆς Ῥωμαίων γῆς ληϊζόντων καὶ παρ' οὐδενὸς καταπονουμένων, πολέμου νόμῳ καὶ χρονίῳ πολιορκίᾳ καὶ ὑπομονῇ, τοῦ θεοῦ βοηθοῦντος, τέλεον ἐξηφάνισε καὶ ὑπὸ χεῖρα τῆς Ῥωμαίων ἐποίησε βασιλείας.

Τούτου τῷ πέμπτῳ ἔτει τῆς βασιλείας θνήσκει ὁ πατριάρχης Ἀντώνιος, καὶ ἀνάγεται εἰς τὸν τῆς πατριαρχείας θρόνον Νικόλαος ὁ Χρυσοβέργης, καὶ κρατεῖ ἔτη ιγ'. Οὗτος κτίζει τὸ ἐν Ὀλύμπῳ μοναστήριον, ὃ καλεῖται Σμιλάκια· καὶ τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῆς βασιλείας Βασιλείου ἀπεβίω ὁ Νικόλαος, καὶ γίνεται πατριάρχης Σισίνιος καὶ κρατεῖ ἔτη πέντε· καὶ τῷ εἰκοστῷ ἔτει τοῦ Βασιλείου ἀπανίσταται τῶν παρόντων Σισίνιος, καὶ προχειρίζεται πατριάρχης Σέργιος ὁ Μανουηλίτης,

ἀνὴρ ὅσιος, καὶ κρατεῖ ἔτη ιη'. Καὶ τῷ λη' ἔτει τοῦ Βασιλείου ἐλειτούργησε τῶν χρεῶν ὁ Σέργιος, καὶ ἐπεσκόπησεν Εὐστάθιος, καὶ κρατεῖ ἔτη δ'. Τῷ δὲ τεσσαρακοστῷ δευτέρῳ ἔτει τοῦ Βασιλείου, ἀποβεβιωκότος Εὐσταθίου, χειροτονεῖται Ἀλέξιος πατριάρχης ὁ Στουδίτης, καὶ ἐπεσκόπησεν ἔτη ιη'.

Τελευτᾷ δὲ καὶ ὁ βασιλεὺς Βασίλειος καὶ θάπτεται ἐν τῷ παρ' ἐκείνου οἰκοδομηθέντι ναοῦ τοῦ ἠγαπημένου ἁγίου Ἰωάννου τοῦ Θεολόγου ἐν τῷ Ἑβδόμῳ, καὶ καταλιμπάνει βασιλέα τὸν ἀδελφὸν Κωνσταντῖνον ἤδη γεγηρακότα.

Κωνσταντῖνος ὁ Πορφυρογέννητος, ὁ ἀδελφὸς Βασιλείου, μόνος ἔτη τρία. Οὗτος εἶχε γυναῖκα, καὶ θυγατέρας ἐξ αὐτῆς δύο, Ζωὴν καὶ Θεοδώραν· δειλὸς δὲ ὢν καὶ πρὸς πολέμους ἤδη ἀσθενής, ἔτι δὲ καὶ τρυφαῖς ἀείποτε ἀνειμένος, πάντας οὓς ἂν ἠκηκόει ψιλῶς οὕτω μόνον βασιλειῶντας, τῶν ὀφθαλμῶν ἐστέρει καὶ δεινῶς ἐξετύφλου. Ὁρῶν δὲ ἑαυτὸν τῷ θανάτῳ ἐγγίζοντα, ἕνα τῶν τῆς συγκλήτου προκρίνας, ὁ Ἀργυρόπουλος δὲ οὗτος ἦν Ρωμανός, συνάπτει τῇ ἰδίᾳ θυγατρὶ Ζωῇ, καὶ βασιλέα χειροτονήσας θνήσκει.

Ρωμανὸς ὁ Ἀργυρόπουλος ἔτη πέντε ἥμισυ· οὗτος, γυναῖκα καίτοι ἀπώσατο διὰ τὴν βασιλικὴν ἀγχιστείαν, καὶ ἔγημε τὴν θυγατέρα Κωνσταντίνου Ζωήν, ἀλλὰ παῖδας οὐκ ἔτεκεν. Ἦν δὲ ὁ ἀνὴρ σοφὸς καὶ θεοσεβής, καὶ τοὺς ἐπ' ἀρετῇ λαμπροὺς μοναχοὺς ἀγαπῶν, κατὰ τὸν συνώνυμον αὐτῷ Ρωμανὸν τὸν Λακαπηνόν, καὶ ὥσπερ ἐκείνῳ διὰ τιμῆς ὁ Σέργιος, οὕτω τούτῳ ὁ κατὰ πνεῦμα πατὴρ αὐτοῦ ὁ ὅσιος Ἀντώνιος διαφερόντως ἠγαπᾶτο, καὶ ὑπερβαλλούσης ἠξιοῦτο τιμῆς. Ἐπιθυμίαν δὲ ἔχων ἀνεγεῖραι ναὸν τῇ Θεοτόκῳ, ἐποίησε τὴν περιφανεστάτην μονὴν τῆς Περιβλέπτου, ἐν ᾗ καὶ τεθνηκὼς ἐτάφη βασιλικῶς.

Μιχαὴλ ὁ Παφλαγὼν σὺν τῇ ἰδίᾳ γαμετῇ Ζωῇ καὶ τῇ ἀδελφῇ αὐτῆς Θεοδώρᾳ ταῖς θυγατράσι τοῦ Πορφυρογεννήτου Κων-

σταντίνου, ὁμοῦ ἔτη ζ'. Οὗτος, ἔτι περιόντος τοῦ Ῥωμανοῦ, συμφιλιωθεὶς τῇ Ζωῇ, διὰ τὴν τοῦ σώματος ὡραιότητα ὑπ' αὐτῆς ἐρασθεὶς, καί τοι τῶν ἀγεννῶν καὶ ἀσήμων τυγχάνων, τοῦ σκοποῦ οὐκ ἀπέτυχεν· ἀλλ' ἅμα ὁ Ῥωμανὸς ἐτεθνήκει, ἅμα καὶ αὐτὸς ὁ Μιχαὴλ βασιλεὺς σχεδιασθεὶς ἐδείκνυτο. Μὴ ἔχων δὲ ἐκ γένους φερωνυμίαν τινὰ, τὴν ἐκ τῆς χώρας ὅθεν γεγένητο προσωνυμίαν ἐκληρώσατο. Ἦν δὲ ἀνὴρ ἀγαθὸς, καὶ πάσης ἠθικῆς ἀρετῆς ἀνάπλεως, καὶ τὸν θεὸν ἐξ ὅλης καρδίας φιλῶν καὶ φοβούμενος.

Συνείχετο δὲ πάθει τινὶ λαθρίῳ, ὑφ' οὗ πολλάκις ἐνεργούμενος, κατὰ γῆς ἄφωνος ἔρριπτο καὶ νεκρῷ ἐῴκει ἕως ὥρας μιᾶς, καὶ πάλιν εἰς τὴν προτέραν ἐπανήρχετο συναίσθησιν· δι' ὃ καὶ μᾶλλον ἑαυτὸν θεῷ καὶ τοῖς θείοις ἀνέθετο, καὶ φροντὶς ἦν αὐτῷ, εἰ δυνατὸν, μηδεμίαν καταλειφθῆναι ἐκκλησίαν ἢ μοναστήριον τῶν τε ἐν τῇ βασιλευούσῃ ἱδρυμένων καὶ τῶν ἔξω ταύτης καὶ τῶν ἐν ὅλῃ τῇ Ῥωμαϊκῇ ἐπικρατείᾳ τῶν αὐτοῦ δωρεῶν ἀμέτοχον· τὰς μὲν γὰρ ἠνώρθου πτῶσιν ἀπειλούσας τῷ χρόνῳ, ταῖς δὲ ῥόγας ἐτησίως καὶ κτήματα προσεκύρου, οὐκ ὀλίγας δὲ καὶ αὐτὸς ἐκ βάθρων ἀνῳκοδόμησε· καὶ δὴ καὶ τὴν περιώνυμον τῶν ἁγίων Ἀναργύρων τὴν ἐν τῷ Κοσμιδίῳ. Διαφερόντως δὲ καὶ οὗτος τοὺς εὐλαβεῖς ἐτίμα μοναχοὺς |, καὶ μᾶλλον τὸν δηλωθέντα Ἀντώνιον, (ὁ κτήτωρ φ· τῆς ἀπ' αὐτοῦ καλουμένης μονῆς ἐν τῷ τοῦ ἁγίου Αὐξεντίου βουνῷ οὗτος ἦν, ὃν καὶ Ῥωμανὸς εἶχε διὰ τιμῆς), περιβόητον ἐπ' ἀρετῇ καὶ θαυμάσιον ὄντα τότε, τὸν ἐν τοῦ ἁγίου Αὐξεντίου βουνῷ ἀσκήσαντα θεαρέστως.

Οὗτος ὁ βασιλεὺς πολλοὺς ἔχων τοὺς κατὰ γένος αὐτῷ προσήκοντας, οὐδένα εἶχεν ἑαυτῷ ἐπ' ἀρετῇ ὅμοιον, ἀλλ' ὅσον ἐπ' ἀγαθοῖς πλεονεκτήμασιν αὐτὸς ὑπέρτερος ἦν, τοσοῦτον ἐπὶ κακίᾳ οἱ τούτου συγγενεῖς ἐνίκων ἅπαντας, καὶ μᾶλλον οἱ ἀδελφοί, ὧν ὁ τῶν ἄλλων ἐπὶ φρονήσει διαφορώτερος, μοναχὸς

ὢν καὶ εὐνοῦχος, τῶν πραγμάτων ὅλων τῶν βασιλικῶν ἦν αὐτουργὸς, καὶ τὰ πρῶτα εἶχε τῆς ὅλης συγκλήτου, Ἰωάννης ὄνομα αὐτῷ, τὸ ἀξίωμα δὲ ὀρφανοτρόφος. Γηρωκομεῖα δὲ καὶ ξενῶνας καὶ νοσοκομεῖα ὁ βασιλεὺς συστησάμενος, προσόδους ἄγαν ἁδρὰς ἀπὸ κτημάτων αὐτοῖς ἀφιέρωσε, καὶ τοῖς ἀδυνάτοις καὶ νοσοῦσι τὰ πρὸς χρείαν ἀνενδεῶς χορηγεῖσθαι ᾠκονόμει. Οὗτος ὁ τοῦ βασιλέως ἀδελφὸς Ἰωάννης ἕνα τῶν συγγενῶν ἐπιλεξάμενος, ἀδελφόπαιδα μὲν ἑαυτοῦ, ὁμώνυμον δὲ τῷ Μιχαὴλ, νέον τῇ ἡλικίᾳ, πείθει τὸν βασιλέα προχειρίσασθαι καίσαρα, πρότερον αὐτὸν υἱοθετήσαντα τῇ βασιλίδι Ζωῇ.

Οὗ δὴ γεγονότος, ὁ βασιλεὺς ἤδη καὶ τῷ χαλεπῷ πάθει ἐπισυχνάζοντι ἐξατονήσας, καὶ πρὸς μετάνοιαν καὶ τὸ μοναχικὸν σχῆμα ἐρωτικῶς ἔχων ἀεὶ, εἰς τὸ παρ' αὐτοῦ κτισθὲν τοῦ Κοσμιδίου μοναστήριον ἀπέρχεται, καὶ αἴφνης ἀποκείρεται· καὶ ὀλίγον ἐπιβιώσας πρὸς ὅν ἠγάπησε θεὸν ἐκδημεῖ.

Μιχαὴλ ὁ ἀνεψιὸς αὐτοῦ, ὁ Καλαφάτης λεγόμενος, μῆνας δ'. Τοῦτον τὸν Μιχαὴλ τὸ τῆς ἡλικίας νέον καὶ ὁ τοῦ βασιλικοῦ ὕψους ἐκ τοῦ αἰφνιδίου ὄγκος, καὶ ἡ οἰκουροῦσα τῇ ψυχῇ κακία, τοῦ συνοίσοντος αὐτῷ φρονήματος, καὶ τῆς βασιλείας, καὶ αὐτῶν τῶν ὀμμάτων ἐστέρησαν. Ἅμα γὰρ αὐτοκράτωρ ἐγένετο, τὸν θεῖον πρῶτον, τὸν εὐνοῦχον Ἰωάννην, τῶν βασιλείων καταβιβάζει· ἔπειτα, συμβούλοις χρώμενος παιδαρίοις ὁμόφροσιν αὐτοῦ, τὴν Θεοδώραν καταγαγὼν ἀποκείρει βίᾳ, τὴν δὲ Ζωὴν, ὑφ' ἧς αὐτὸς εἰς τὸ βασίλειον ὁ ἀνάξιος ἀνήχθη, εἰς τὴν ἀντικρὺ νῆσον ἄκουσαν καὶ ὀδυρομένην ἐξορίζει, καὶ μοναχικὰ ἐνδύει ἱμάτια. Τοῦτο δὲ εἰς τὰς τῶν Πολιτῶν φθάσαν ἀκοὰς, (αὐτὸς γὰρ ὥς τι κατωρθωκὼς μέγα διὰ τοῦ ἐπάρχου καὶ βασιλικῆς γραφῆς ἐδήλου τὸ γεγονὸς) ἀφόρητος ἔδοξε πᾶσι, καὶ αὐθωρὸν μιᾷ βοῇ καὶ χειρὶ λίθους καὶ ξύλα καὶ πᾶν τὸ προστυχὸν ἁρπάσαντες, εἰς τὰ βασίλεια ἔδραμον, καὶ τὴν βασίλισσαν ἐπεζήτουν. Ὁ τολμητίας δὲ βασιλεὺς, κλείσας τὰς θύ-

ρας, τάχει πολλῷ τὴν Ζωὴν ἀνακαλεῖται, καὶ βασιλικῶς ἀμείψας, ἐπειρᾶτο τὴν στάσιν κατασιγᾶσαι. Ὡς δὲ ἐπὶ μεῖζον τὸ κακὸν ἤδη ἐξωγκοῦτο, καὶ βίᾳ ἔνδον τῶν βασιλείων τὸ σύμπαν τῶν Πολιτῶν πλῆθος ἐπειρᾶτο εἰσελθεῖν, φυγὼν, τὴν σωτηρίαν ἐπραγματεύσατο, καὶ εἰσελθὼν ἐν πλοίῳ τὴν ἱερὰν τῶν Στουδίων μονὴν καταλαμβάνει. Ἀλλ' οὐδὲν ὤνησεν· ὡς γὰρ ἔγνωστο τῷ πλήθει τὸ γεγονὸς, εὐθὺς ὡς ποδῶν εἶχον τὸ δηλωθὲν μοναστήριον καταλαμβάνουσι, καὶ ἁρπάσαντες τὸν Μιχαὴλ, καὶ ἐλθόντες εἰς τὸν τόπον τὸν καλούμενον Σίγηνα (sic) περὶ τὰ ὅρια τῆς Πηγῆς, μαχαίρᾳ τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐξορύττουσι· καὶ σὺν αὐτῷ καὶ τὸν ἕνα τῶν αὐτοῦ θείων ἀποτυφλοῦσιν. Αἱ δὲ βασίλισσαι πάλιν τῶν πατρικῶν ἦσαν σκήπτρων ἐπειλημμέναι.

Ὁρῶσα δὲ τὰ πράγματα ἡ Ζωὴ δεόμενα ἀνδρὸς ἐπιστημονικωτάτου, καὶ ἄλλως θέλουσα ἔτι συνοικεῖν ἀνδρὶ διὰ παιδογονίαν, μετακαλεῖται τὸν Μονομάχον Κωνσταντῖνον τῆς ἐξορίας (ἐν τῇ νήσῳ γὰρ ἦν τῆς Μιτυλήνης περιορισθεὶς ὑπὸ τοῦ προβεβασιλευκότος Μιχαὴλ, ὡς τῆς βασιλείας ἐφιέμενος), καὶ ἀναγορεύει αὐτὸν βασιλέα, συναφθεῖσα αὐτῷ.

Κωνσταντῖνος ὁ Μονομάχος ἔτη δεκατρία. Οὗτος ἀνὴρ ἦν ἀγαθὸς, καὶ πάντας εὐεργετεῖν ἀγαπῶν, καὶ ὑπὸ πάντων δοξάζεσθαι καὶ κολακεύεσθαι. Ἔχαιρε δὲ θεάτροις καὶ μίμοις καὶ γελωτοποιοῖς, καὶ πολλοὺς αὐτῶν ἐξ ἀπόρων ἐπλούτισεν.

Οὗτος κτίζει λαμπρότατον μοναστήριον τῶν Μαγγάνων ἐπ ὀνόματι τοῦ μεγαλομάρτυρος Γεωργίου.

Τούτου τῷ πρώτῳ ἔτει, τοῦ πατριάρχου Ἀλεξίου τὰ τῇδε καταλελοιπότος καὶ ταφέντος εἰς τὸ Πέραν παρ' αὐτοῦ κτισθὲν μοναστήριον, χειροτονεῖται Μιχαὴλ μοναχὸς, καὶ ἀρχιερατεύει ἔτη πεντεκαίδεκα.

Τούτῳ τῷ βασιλεῖ Κωνσταντίνῳ νοσηλευομένῳ συνεχῶς (ἤλγει γὰρ τοὺς πόδας), καὶ μὴ δυναμένῳ πρὸς πολέμους

καὶ μάχας ἐκστρατεύειν, πολλοὶ τῶν τὰ πολεμικὰ γενναίων ἐπανέστησαν· ἀλλὰ πάντας τροπωσάμενος ἐνίκησεν.

3. [Ἐπὶ τούτου θνήσκει ἡ βασίλισσα Ζωή, καὶ θάπτεται λίαν φιλοτίμως καὶ βασιλικῶς ἐν τῷ παρ' αὐτοῦ (γρ. αὐτῆς) ἀνεγερθέντι ναῷ τοῦ Ἀντιφωνητοῦ.

Καὶ οὗτος δὲ ὁ βασιλεὺς πολλὰς δωρεὰς καὶ ἐτησίους ῥόγας ἐδωρήσατο ταῖς ἐκκλησίαις τοῦ θεοῦ καὶ τοῖς εὐαγέσι μοναστηρίοις, ὑφ' ὧν καὶ ἕως τουνῦν μακαρίζεται. Τελευτᾷ δὲ καὶ αὐτὸς καὶ θάπτεται εἰς τὰ Μάγγανα, καταλιπὼν τὴν Θεοδώραν μόνην βασίλισσαν.

Θεοδώρα ἡ πορφυρογέννητος, ἔτος ἓν καὶ μῆνας ζ'. αὕτη ἀσφαλέστατα βουλευσαμένη ἑαυτῇ, οὐ συνήφθη ἀνδρί, ἀλλὰ διὰ τῶν ὑπὸ χεῖρα οἰκειακῶν αὐτῆς εὐνούχων, τὰ τῆς βασιλείας διῴκει, καὶ εἰρηνικῶς διῆξε. Μέλλουσα δὲ θνήσκειν ἕνα τῶν τῆς συγκλήτου ἐπιλεξαμένη, Μιχαὴλ τὸν Γέροντα, καὶ τοὺς ἀνθρώπους αὐτῆς αὐτῷ παραδοῦσα, τὸν βασιλικὸν αὐτῷ ἐπιτίθησι στέφανον. Καὶ θανοῦσα θάπτεται εἰς τὸ παρ' αὐτῆς κτισθὲν μοναστήριον, ὅ καλεῖται Οἰκοπροάστεια.

Μιχαὴλ ὁ Γέρων, ἔτος ἕν. Οὗτος τὸ τῆς βασιλείας στέφος καὶ τὸ ὄνομα μόνον εἶχε· τὰ μέντοι πράγματα, οὐχ ὡς αὐτῷ, ἀλλ' ὡς ἐδόκει τοῖς ἀνθρώποις τῆς Θεοδώρας διῳκεῖτο· ὅρκῳ γὰρ ἐγγράφῳ τοῦτον ἐξησφαλίσαντο, ὑπ' αὐτῶν ἐκείνων τὰ πάντα ἄγεσθαι, ὅ καὶ ἐτήρησεν.

Ἰσαάκιος δὲ ὁ Κομνηνός, τῶν ἀνδρείᾳ καὶ συνέσει τότε διαλαμπόντων πρωτεύων ἦν, καὶ μᾶλλον τοῖς πολεμικοῖς ἀνδραγαθήμασιν. Οὗτος μετὰ τῶν σὺν αὐτῷ στρατηγῶν πρὸς τὸν βασιλέα εἰσεληλυθώς, ἐφ' ᾧ παρ' ἐκείνου καὶ τιμηθῆναι καὶ ἐπαινεθῆναι, τοὐναντίον παρὰ τῶν διοικούντων ἐξουδενώθη, καὶ ὡς εἷς τῶν ἀφανῶν ἀντ' οὐδενὸς ἐλογίσθη· καὶ διὰ τοῦτο τὴν καρδίαν ἀλγήσας, καίτοι τἄλλα μακρόθυμος ὤν, τότε φιλοσοφῆσαι οὐκ ἠδυνήθη· ἀλλὰ συγκαλεσάμενος τοὺς τῶν στρατη-

γῶν περιφανεστέρους, καὶ τὰ τῆς γνώμης αὐτοῦ ἐξειπὼν, εὑρίσκει πάντας περὶ τὰ βουλευόμενα προθυμοτέρους. Καὶ δὴ τῶν βασιλείων οἱ παντες ἐξελθόντες, τῆς Πόλεως ἀνεχώρησαν. Καὶ εὐθὺς τὸν τῆς Ἀνατολῆς ἀθροίσας λαὸν, καὶ βασιλεὺς ἀναγορευθεὶς ὑπ' αὐτῶν ὁ Κομνηνὸς Ἰσαάκιος, σὺν παντὶ τῷ πλήθει καταλαμβάνει τὴν Νίκαιαν.

Ὁ δὲ βασιλεὺς Μιχαὴλ, τοῦτο ἀκηκοώς, αὐτὸς μὲν ἕτοιμος ἦν ἄνευ ὄχλου καὶ πολέμων παραχωρῆσαι τῷ Κομνηνῷ τῶν βασιλικῶν σκήπτρων· οἱ διοικοῦντες δὲ οὐκ εἴων ἀναιμωτὶ τοῦτο γενέσθαι· ὅθεν καὶ λαὸν ἠθροικότες πολυπληθῆ, καὶ ἡγεμόνα τούτου ἕνα τῶν ἑαυτῶν προστησάμενοι (Θεόδωρος δὲ ἦν ὁ πρόεδρος καὶ δομέστικος) ἐκπέμπουσι κατ' αὐτοῦ. Καὶ συνήφθη πόλεμος ἐμφύλιος, καὶ χριστιανῶν αἷμα ὑπὸ χριστιανῶν, οἴμοι, πλεῖστον ἐχέθη· καὶ ὁ Κομνηνὸς νικητὴς ἀνεφάνη. Τότε συνιέντες οἱ τῶν βασιλείων τὸ συνοῖσον μόλις, πρὸς ἱκεσίαν τρέπονται, καὶ ἄνδρες ἐπὶ τούτῳ ἐξέρχονται τῶν συγκλητικῶν οἱ πρῶτοι. Καὶ ὁ Μιχαὴλ ἀποκαρεὶς ἀνεχώρησεν. Ὁ δὲ Ἰσαάκιος παρὰ πάντων εὐφημούμενος εἰσῆλθε καὶ βασιλεύει.

Ἰσαάκιος ὁ Κομνηνὸς, ἔτη δύο καὶ μῆνας β'. Οὗτος εἶχε γυναῖκα Αἰκατερίναν. Φρονιμώτατος δὲ ὢν, δραστικώτερον ἥπτετο καὶ τῶν πραγμάτων· καὶ οὐ ταχέως ἦν καταπειθὴς, ἀλλὰ πείρᾳ τοὺς ἀνθρώπους ἠγάπα γνωρίζειν, καὶ οὐ κολακείᾳ, οὐδὲ ἀξιώματι. Ὅθεν καὶ φορτικὸς τοῖς συγκλητικοῖς ἐφαίνετο καὶ ἀγέρωχος, καὶ μᾶλλον τῶν ἄλλων τῷ πατριάρχῃ Μιχαὴλ (ὁ Κηρουλάριος οὗτος ἐτύγχανεν, ὃς καὶ σύγκελλος ἐτετίμητο πρότερον, ἐφ' ᾧ καὶ ἐγκώμιον καὶ ψόγον ὁ Ψελλὸς συνέθετο), ἄγειν ὀρεγομένῳ καὶ αὐτὸν τὸν κρατοῦντα ἐπὶ τὸ αὐτῷ δοκοῦν, τὸ θαρρεῖν ἔχοντι, ὡς ᾤετο, ἀπὸ τοῦ συνάρασθαι τῇ τοῦ βασιλέως εἰσελεύσει, καὶ κατὰ τὸν τῆς πρεσβυτέρας Ῥώμης πάπαν ἄγειν καὶ τὰ τῆς βασιλείας παραβιαζομένῳ. Ὁ δὲ βασιλεὸς μὴ καταδεχόμενος ὑπό τινος ἄγεσθαι, πτοούμενος δὲ ὡς εἰκὸς μὴ καὶ πρὸς

ἄλλου τὰ ὅμοια διανοηθείη, τῷ δευτέρῳ τῆς βασιλείας ἔτει ἐξωθεῖ τοῦτον τῆς ἐκκλησίας, καὶ χειροτονεῖται πατριάρχης Κωνσταντῖνος εὐνοῦχος ὁ Λειχούδης, πρωτοπρόεδρος ὢν τῆς συγκλήτου καὶ πρωτοβεστιάριος, ἀνὴρ δραστήριος καὶ σοφός· καὶ ἐπεσκόπησεν ἔτη τέσσαρα ἥμισυ. Ὁ δὲ ἐκβληθεὶς Μιχαὴλ θνήσκει μετ' ὀλίγον, καὶ θάπτεται ἐν τῷ παρ' ἐκείνου ἀνεγερθέντι μοναστηρίῳ ὅ τοῦ πατρικίου ἤτοι τοῦ συγκέλλου λέγεται Θεοδοσίου.

Ὁ δὲ βασιλεὺς Ἰσαάκιος νόσῳ συμπεσών, καὶ τὸν θάνατον ὑποπτεύσας καὶ φοβηθείς, | ἕνα τῶν στρατηγῶν Κωνσταντῖνον τὸν Δούκαν βασιλέα χειροτονήσας, ἀποκείρεται καὶ εἰς τὴν τοῦ Στουδίου μονὴν ἡσυχάσας, ἐκεῖσε καὶ θανὼν θάπτεται.

Κωνσταντῖνος ὁ Δούκας, ἔτη ζ', μῆνας ζ'. Οὗτος εἶχε γυναῖκα Εὐδοκίαν τὴν τοῦ Μακρεμβολίτου, καὶ παῖδας ἐξ αὐτῆς Μιχαήλ, ὅν καὶ βασιλέα ποιεῖ, Ἀνδρόνικον, καὶ Κωνσταντῖνον τὸν πορφυρογέννητον, ὅν καὶ αὐτὸν στέφει, καὶ θυγατέρας Ζωήν, Εἰρήνην, Θεοδώραν καὶ Ἄνναν.

Τούτου τῷ τετάρτῳ ἔτει τῆς βασιλείας θνήσκει ὁ πατριάρχης Κωνσταντῖνος, καὶ ἐχήρευσεν ὁ θρόνος ποιμένος μῆνας πέντε· τῷ δὲ πέμπτῳ αὐτοῦ ἔτει χειροτονεῖται Ἰωάννης ὁ Ξιφιλῖνος, καὶ ἐπεσκόπησεν ἔτη ιά, μῆνας ζ'. Οὗτος τὸ μὲν γένος εἶλκεν ἐκ Τραπεζοῦντος, καὶ γονέων ἐτύγχανεν εὐγενῶν καὶ ἐπιφανῶν, ἐκεῖθεν δὲ εἰς τὴν Κωνσταντινούπολιν ἐξ ἔτι νέων εἰσεληλυθώς, καὶ πᾶσαν μαθημάτων παιδείαν ἄριστα ἐξησκηκώς, πολὺς ἦν τοῖς λόγοις, καὶ νομομαθῶν τῶν τότε πάντων διαφορώτατος· ἐν τῇ συγκλήτῳ τε διαπρέψας, καὶ μάγιστρος καὶ δρουγγάριος τῆς βίγλας γεγονώς, ἐπὶ Κωνσταντίνου τοῦ Μονομάχου ἔπειτα πρὸς τὸν μοναδικὸν βίον διὰ θεοφίλειαν ἀποκλίνας, καὶ ἐν τῷ ὄρει τοῦ Ὀλύμπου μονάσας, ἄρτι παρὰ Κωνσταντίνου τοῦ Δούκα μετήχθη ἐκεῖθεν, καὶ εἰς τὸν πατριαρχικὸν ἀνήχθη θρόνον ἐξ ἐπιλογῆς καὶ προκρίσεως πάντων

τῶν τότε διαβεβοημένων ἐπ' ἀρετῇ, ἀνὴρ καθαρώτατος καὶ ἁγνότατος, καὶ παντὸς ῥύπου σωματικοῦ καθάπαξ ἀνεπίδεκτος· τὰ δὲ εἰς καταφρόνησιν χρημάτων, καὶ ἀκτημοσύνην τελείαν, καὶ τὴν πρὸς τοὺς πένητας φιλανθρωπίαν καὶ μετάδοσιν, κατ' οὐδὲν ἐλάττων τοῦ περιβοήτου ἐκείνου Ἐλεήμονος, καὶ ταῖς ἄλλαις δὲ ἀρεταῖς πάσαις συλλήβδην ὡς εἰπεῖν, ἀφθόνως κοσμούμενος. Οὗτος πρῶτον μὲν αὐτὴν τὴν Μεγάλην ἐκκλησίαν ἐλάμπρυνε καὶ κατεκόσμησε, πάσας τὰς ἐν αὐτῇ ἀνεστηλωμένας εἰκόνας τῶν ἁγίων ἀνακαινίσας, καὶ τὰ τέμπλα κύκλῳ τοῦ ἱερατείου ἀπαιωρήσας, ἐξ ἀργύρου διαχρύσου πεποιημένα, ἔτι δὲ καὶ εἴ τι μέρος ἐκείνοις ὑπόσαθρον ἢ καταπεπτωκὸς, τοῦτο ἀνανεώσας καὶ βελτιωσάμενος, πρὸς δὲ καὶ τὰς ἐκ μολίβδου κεράμους αὐτῆς τῷ χρόνῳ τετρημένας καὶ μὴ ἰσχυούσας τὰ τοῦ ἀέρος διαβαστάζειν ὕδατα ἁπάσης σχεδὸν τῆς ἐκκλησίας ἤλλαξε καὶ καινὰς ἑτέρας ἐπέθηκεν. Ἔπειτα δὲ καὶ τὰς ἄλλας πάσας ἐκκλησίας τὰς ἐν τῇ Πόλει, μεγέθει μὲν καὶ κάλλει μεγίστας καὶ διαπρεπεῖς, τῷ δὲ μακρῷ χρόνῳ καὶ τῇ τῶν προεστώτων ἀμελείᾳ κλιθείσας ἤδη πρὸς γόνυ, τάχα δὲ καὶ πτῶσιν οὐκ εἰς μακρὰν προσδοκώσας, ἀνήγειρεν εὖ μάλα φιλοτίμως καὶ ἀνωρθώσατο, καὶ εἰς τὴν προτέραν εὐετηρίαν ἐπανεσώσατο. Οὗτος καὶ τοῖς ἐν τῇ Πόλει πένησι καὶ δεομένοις ἄρτους ἡμερησίους χορηγεῖσθαι εἰς τὸ διηνεκὲς ἐν τῇ τῆς μεγάλης ἐκκλησίας φιάλῃ παρεσκεύασε, μαγκιπεῖα καὶ ἀρτοποιοὺς, καὶ σίτου διαρκῆ χορηγίαν εἰς τοῦτο τάξας καὶ ἀφορίσας, καὶ τηλικαύτην φιλοπτωχίαν καὶ οἰκονομίαν πρῶτος ἐπιδειξάμενος.

Ὁ δὲ βασιλεὺς Κωνσταντῖνος θνήσκει, καταλιπὼν τὴν γυναῖκα βασίλισσαν μετὰ τῶν παίδων αὐτοῦ· καὶ θάπτεται ἐν τῇ μονῇ τοῦ Μολιβωτοῦ ἔσωθεν τῆς Χρυσῆς πόρτης.

Εὐδοκία σὺν τοῖς παισὶν αὐτῆς, Μιχαὴλ καὶ Κωνσταντίνῳ τοῖς βασιλεῦσι, καὶ Ἀνδρονίκῳ, μῆνας ζ'. Αὕτη μετὰ τῶ

τέκνων βασιλεύουσα, οὐκ ἠβουλήθη ἔχειν κοινωνὸν καὶ τὸν ἀνδράδελφον Ἰωάννην, καίσαρα παρὰ τοῦ Κωνσταντίνου ἀναγορευθέντα, ἀλλὰ μόνη τῶν πραγμάτων ἀντείχετο. Καὶ δὴ τῶν στρατηγῶν τις Καππαδόκης τὸ γένος, βεστάρχης τὸ ἀξίωμα, ὄνομα Ρωμανὸς, Διογένης δὲ τὸ ἐπώνυμον, ἔν τινι τῶν τῆς Θρᾴκης διάγων κάστρων, πρὸς ἀποστασίαν χωρεῖ· καὶ εὐθὺς παρὰ τῶν ἐκεῖ κρατηθεὶς, δέσμιος πρὸς τὴν βασίλισσαν ἄγεται, καὶ εἰς ἐξέτασιν τοῖς κριταῖς παραδίδοται, καὶ κατὰ νόμους θάνατον καταψηφίζεται. Ἡ βασίλισσα δὲ ἀθρόον μεταβληθεῖσα, ἐπιλανθάνεται μὲν τῶν πρὸς τὸν κατοιχόμενον ἄνδρα συνθηκῶν, ἀλογεῖ δὲ καὶ τῆς τῶν οἰκείων παίδων ἀσφαλείας, καὶ ὅλη τοῦ πρὸς τὸν Ρωμανὸν γεγενημένη ἔρωτος, ἀωρεὶ τῶν νυκτῶν εἰς τὰ βασίλεια τὸν θανάτῳ κατάδικον ἀναβιβάζει καὶ ἀναγορεύει, συναφθεῖσα τούτῳ πρὸς γάμον.

Ρωμανὸς ὁ Διογένης, σὺν αὐτῇ τῇ βασιλίδι Εὐδοκίᾳ, καὶ τοῖς ἀπὸ τοῦ Κωνσταντίνου παισὶν αὐτῆς, Μιχαὴλ, Ἀνδρονίκῳ καὶ Κωνσταντίνῳ τοῖς βασιλεῦσι, καὶ ἑτέροις πάλιν ἰδίοις μετ' αὐτῆς υἱοῖς Νικηφόρῳ καὶ Λέοντι, | καὶ αὐτοῖς βασιλεῦσιν, ἔτη τρία, μῆνας ή.

Οὗτος παρ' ἐλπίδα τῆς βασιλείας ἐπιτυχὼν, οὐ πρὸς ἀνέσεις καὶ τρυφὰς ἔβλεψε μόνον, ἀλλ' ὅσον ἦν ἐπ' αὐτῷ τοῦ στρατοῦ τε ἐπεμελεῖτο, καὶ πρὸς τὴν τῶν πολεμίων, τῶν ἀθέων φημὶ Τούρκων, ἄμυναν, οὐχ ἅπαξ, ἀλλὰ καὶ δίς, καὶ τρὶς ἐστρατοπεδεύσατο, εἰ καὶ κρίμασιν ἀρρήτοις, διὰ τὰς ἡμῶν ἁμαρτίας οἱ πολέμιοι αὐτόν τε κατετροπώσαντο, καὶ πάντα τὸν κόσμον ἠνδραποδίσαντο καὶ ἐκυρίευσαν.

Οὗτος τὴν ῥηθεῖσαν βασίλισσαν Εὐδοκίαν εἰς γυναῖκα λαβὼν, παῖδας ἐξ αὐτῆς ἀποτίκτει δύο, Νικηφόρον καὶ Λέοντα. Καὶ τὸν Ἀνδρόνικον δὲ, τὸν ἀδελφὸν τοῦ Μιχαὴλ, βασιλικῷ στεφάνῳ ταινιοῖ. Ἄστοργος δὲ ὢν καὶ δειλὸς, καὶ τοῖς πᾶσιν ἀγέρωχος καὶ σοβαρὸς, μισητὸς ἔδοξεν οὐ τῇ συγκλήτῳ μόνον,

ἀλλὰ καὶ τῇ ἰδίᾳ γαμετῇ. Ὅθεν καὶ εἰς τὸ τρίτον αὐτοῦ ταξείδιον ἐν τῷ πολέμῳ ὑπὸ τῶν Τούρκων αἰχμάλωτος γεγονὼς, καὶ πάλιν ἀναρρυσθεὶς, οὐ συνεχωρήθη τῆς βασιλείας ἐπιλαβέσθαι· ἡ γὰρ βασιλὶς Εὐδοκία ὑπὸ τῶν συγγενῶν παρακινηθεῖσα, κέλευσιν διὰ τάχους ἐκπέμπει βασιλικὴν, τὸν βασιλέα Ῥωμανὸν αἰχμάλωτον γεγονότα, μὴ παρά τινος ὡς βασιλέα παραδεχθῆναι, ὅ καὶ γέγονε. Καὶ ἦν περιπλανώμενος καὶ διαπορῶν ὅ, τι διαπράξαιτο.

Μιχαὴλ δὲ ὁ υἱὸς αὐτῆς ἡλικίας ἀψάμενος, καὶ νεανίσκος ἤδη τελῶν, γενναῖόν τι καὶ νεανικὸν ἀποτολμᾷ· συμβουλευσάμενος γάρ τισι τῶν ἐν τοῖς βασιλείοις φίλων αὐτοῦ, καὶ συνεργὸν ἐπὶ τῷ πράγματι τὸν θεῖον συμπαραλαβὼν Ἰωάννην τὸν καίσαρα, κατάγει τὴν μητέρα τοῦ παλατίου, καὶ εἰς τὸ παρ' αὐτῆς κτισθὲν μοναστήριον ὅ τοῦ Κυπερούδη καλεῖται, ἀποκείρει, καὶ γίνεται τῶν σκήπτρων ἐγκρατής. Σὺν αὐτῇ δὲ καὶ τοὺς δύο υἱοὺς τοῦ Ῥωμανοῦ, τῶν βασιλικῶν παρασήμων ἀπογυμνοῖ, καὶ ἰδιώτας ἀποδεικνύει.

Μιχαὴλ ὁ υἱὸς Κωνσταντίνου τοῦ Δούκα, σὺν Ἀνδρονίκῳ καὶ Κωνσταντίνῳ τοῖς ἀδελφοῖς, ἔτη ἕξ ἥμισυ. Οὗτος εἶχε γυναῖκα Μαρίαν τὴν ἐξ Ἀβασγίας, καὶ παῖδα ἐξ αὐτῆς Κωνσταντῖνον, ὅν καὶ βασιλέα ποιεῖ.

Οὗτος ἀντιπαραταξάμενος τῷ Ῥωμανῷ Διογένει, ἀνθισταμένῳ καὶ τὴν βασιλείαν ζητοῦντι, καὶ τρέψας, φεύγοντα συλλαμβάνει, καὶ ἐκτυφλώσας ἀποκείρει ἐν τῇ παρὰ τοῦ Ῥωμανοῦ κτισθείσῃ μονῇ εἰς τὴν νῆσον τὴν Πρώτην, ἐν ᾗ καὶ μετὰ βραχὺ τεθνηκὼς, θάπτεται.

Τῷ δὲ τετάρτῳ ἔτει τῆς βασιλείας Μιχαὴλ θνήσκει ὁ ὁσιώτατος πατριάρχης Ἰωάννης καὶ θάπτεται ἐν τῇ Περατικῇ μονῇ τοῦ Ἀγγαρίου κατὰ τὸ πρὸς ἀνατολὰς μέρος τῷ ἀναπλέοντι τὸν καλούμενον Στενὸν πορθμὸν, καὶ χειροτονεῖται Κοσμᾶς, ἀνὴρ γηραιὸς καὶ τίμιος, καὶ ἐπεσκόπησεν ἔτη πέντε καὶ μῆνας θ'.

Ἐπὶ τούτου τοῦ βασιλέως ὁ σύμπας σχεδὸν κόσμος κατά γε γῆν καὶ θάλασσαν ὑπὸ τῶν ἀθέων βαρβάρων κατασχεθεὶς ἅπας ἠφανίσθη, καὶ ἔρημος οἰκητόρων κατέστη, πάντων χριστιανῶν ὑπ᾽ αὐτῶν ἀναιρεθέντων, καὶ πάντων τῶν οἰκημάτων καὶ τῶν χωρίων καὶ αὐτῶν τῶν ἐκκλησιῶν τῶν ἐν ὅλοις τοῖς τῆς Ἀνατολῆς μέρεσιν ὑπ᾽ αὐτῶν ἐρημωθέντων καὶ τέλεον κατατροπωθέντων καὶ εἰς τὸ μηδὲν ἀποκαταστάντων. Ἀνὴρ δέ τις τῶν στρατηγῶν, γένει καὶ πλούτῳ καὶ γήρᾳ καὶ ἀξιώματι διαφέρων τῶν ἄλλων, (κουροπαλάτης γὰρ ἐτετίμητο), Νικηφόρος κλῆσις αὐτῷ, Βοτανειάτης ἡ ἐπωνυμία, ὁρῶν τοὺς Τούρκους γαυριῶντας τῷ καθ᾽ ἡμῶν εὐτυχήματι, καὶ σφόδρα ἐξηγριωμένους καὶ ἀνηλεῶς πᾶσαν ἡλικίαν ἀναιροῦντας τῶν πιστῶν, ἤλγει ὡς εἰκὸς τὴν καρδίαν, καὶ οὐδὲ καθεκτῶς ἔχειν ἠδύνατο, εἰ μὴ τῶν Ρωμαϊκῶν αὐτοὺς ἐξελάσειεν ὁρίων· ἔκρινε γὰρ μὴ τῆς τοῦ θεοῦ καθ᾽ ἡμῶν ὀργῆς εἶναι καὶ παιδείας τὴν ἐκείνων ἰσχύν, ἀλλὰ τῆς τοῦ κρατοῦντος ἀνοικονομησίας καὶ ἀπειρίας. Ὅθεν καὶ μόνον ἑαυτὸν τηλικαύτης ἀντιπαρατάξεως στρατηγὸν εἶναι διεγνωκώς, πρὸς τὴν τῶν πραγμάτων ἐξανίσταται διόρθωσιν, καὶ ἑνὶ τῶν δυνατωτάτων τῶν ἄλλων ἀρχηγῶν συμφιλιωθεὶς ἀμηρᾷ, καὶ τοῦτον οἷς εἶχε δεξιωσάμενος δώροις καὶ ὑποσχέσεσι, καὶ υἱὸν χειροτονήσας, οὐ πρὸς τὸν κατ᾽ αὐτῶν ὥρμησε πόλεμον πρῶτον, οὐ πρὸς τὴν τοῦ χριστιανικοῦ αἵματος ἄμυναν διανέστη, ἀλλὰ σοφώτερον δῆθεν τῶν πραγμάτων ἁπτόμενος, βασιλέα Ρωμαίων ἑαυτὸν σχεδιάσας, ἵν᾽ ἔχοι πάντως, ὡς αὐτὸς ἐκεῖνος τοῖς πᾶσιν ἐβεβαιοῦτο, τὴν καὶ ἀπὸ τοῦ κράτους ῥοπὴν καὶ βοήθειαν, πολλὰ δυναμένου
4* αὐτοῦ τῷ σκοπῷ συνάρασθαι, καὶ τῇ κατ᾽ ἐχθρῶν ὁρμῇ [, ἐπὶ τὴν τῆς Νίκης πόλιν ἐλθών, ἀνεπαύσατο· καὶ οὐ διέλιπεν ὁ ἀνὴρ καθ᾽ ἑκάστην σχεδὸν πρός τε τοὺς τῆς συγκλήτου γράφων πρωτεύοντας, καὶ πρὸς αὐτὸν τὸν κρατοῦντα ἄλλα τε πιθανολογίας ῥήματα καὶ ὅτι ὁ μὲν σύμπας συνεκλείσθη κό-

σμος καὶ ἀπώλετο, αὐτὸς δὲ σὺ ὑπνώττων ὡσπερεὶ θανάτῳ παραπλήσιον ὕπνον, οὐδὲ τῶν γινομένων αἰσθάνῃ, ἀλλ' ὡς μηδενὸς καινοῦ συμπεσόντος, ἀθορύβως οὕτως καὶ μετὰ πολλῆς τῆς ῥᾳστώνης ἐκεῖνα πράττων διατελεῖς, ἃ τῷ κόσμῳ ὄνησιν οὐδεμίαν φέρει· ἀλλ' εἴ τοι ἐμοὶ πείθῃ, αὐτῆς τε τῆς βασιλείας καὶ τῆς τῶν πραγμάτων διακυβερνήσεως ἑαυτὸν ἀποστήσας, μεγάλης παρὰ τῷ θεῷ καταδίκης ἐλευθερώθητι, καὶ τὸν ἅπαντά σου τῆς ζωῆς χρόνον ἀνέτως ζῆθι καὶ ἀκινδύνως· ἐμοὶ δὲ τῷ νηπιόθεν τοῖς στρατηγικοῖς συναναστραφέντι πράγμασι, καὶ πεῖραν ἀκριβῆ τῶν πάντων εἰληφότι γέροντι, παραχώρησον ὡς πατρὶ καὶ πολέμων καὶ φροντίδων καὶ κόπων καὶ τῆς τῶν ἐχθρῶν ἀμύνης, κρεῖττον, εἰ μηδὲν ἄλλο, σοῦ διεγνωκότι τὴν τῶν ἁπάντων ἀπώλειαν, καὶ τὴν ψυχὴν ἀλγήσαντι ἐφ' οἷς οὐκ ἀντιπαρατατόμεθα τοῖς ἐχθροῖς, καίτοι δυνατῶς ἔχοντες.

Τούτοις τόν τε βασιλέα Μιχαὴλ ὁ Νικηφόρος καταπτήξας, καὶ τοὺς τῆς συγκλήτου εὔλογα λέγειν καὶ πιθανά, ὡς εἰκάζειν εἶχον τοῖς γράμμασι, πείσας, πάντας πρὸς τὴν ἐκείνου ἕλκει ἐπιθυμίαν. Καὶ μελετήσαντες οἱ πλείους τούτων κατὰ τοῦ βασιλέως δῆθεν διὰ τὴν τῶν δινομίων (γρ. δημοσίων ?) διόρθωσιν· οὐδὲ γὰρ κατηγορήσω τούτων, τῷ εὐσεβεῖ σκοπῷ· τοῖς λόγοις οἰηθέντες τοῦ Νικηφόρου κατάλληλον εἶναι καὶ τὴν ἀλήθειαν, καὶ ἡμέραν ὁρίσαντες εἰς τὴν Μεγάλην ἀθροίζονται ἐκκλησίαν, καὶ τὴν ὅλην Πόλιν συγκινήσαντες, ἀναγκάζουσιν οὐκ ἄκοντα τὸν Μιχαὴλ τῶν βασιλείων κατελθεῖν. Καὶ ὃς εὐθὺς τήν τε γυναῖκα καὶ τὸν υἱὸν σὺν τῷ πατριάρχῃ τῇ ἐν Βλαχέρναις Θεοτόκῳ παραθείς, εἰς τὴν μονὴν ἀπαίρει τῶν Στουδίων, καὶ τὸ μοναχικὸν περιβάλλεται σχῆμα μάλα προθύμως· καὶ εὐθὺς ἐκεῖνοι τὸν Βοτανειάτην σὺν ἀφάτῳ χαρᾷ καὶ πολλῷ τάχει πρὸς τὰ βασίλεια εἰσάγουσι, καὶ βασιλέα χειροτονοῦσι.

Νικηφόρος ὁ Βοτανειάτης, ἔτη τρία. Οὗτος τῆς βασιλείας ἐγ-

κρατὴς γεγονὼς, πρῶτον μὲν τὴν γυναῖκα τοῦ προβεβασιλευκότος Μιχαὴλ Μαρίαν ἑαυτῷ συνάπτει, τὸν δὲ Μιχαὴλ καὶ μὴ βουλόμενον ἀρχιερέα τῆς μητροπόλεως δείκνυσιν Ἐφέσου καὶ εἰς τὴν Μιτυλήνην ἐξορίζει. Ἔπειτα δὲ τοῖς πᾶσι τὸ τῆς προαιρέσεως ἀποδεῖξαι θέλων φιλότιμον, πάντας συγκλητικοὺς ἐτίμησεν ἄρχοντας, πολίτας, χωρίτας, δούλους, ἐλευθέρους, εὐγενεῖς, ἀγενεῖς, ἀπόρους, εὐπόρους ἐθνικοὺς, Ρωμαίους, πένητας, πλουσίους, ἀξίους, ἀναξίους, καὶ πᾶς τις ἄνθρωπος τῆς ὁποιασοῦν τύχης ὢν, τιμῆς ἐκείνης καὶ ἀξιώματος ἔτυχεν οἵου τυχεῖν ἐπεθύμησε, κἂν μέγα ἦν καὶ ὑπὲρ αὐτὸν τὸ ζητούμενον, τοῦ θέλειν πλέον οὐκ ἔδωκε πρὸς τὴν τούτου ἐπιτυχίαν. Καὶ ἦν ἰδεῖν θέαμα, τοῖς ἄρχουσι μὲν καὶ κακόφροσιν ἀνθρώποις καὶ οἷς ἡ βασιλικὴ τάξις καὶ ἡ τῆς συγκλήτου κατάστασις ἦν διὰ θαύματος, δακρύων ἄξιον, οἷς δὲ τὸ τοῦ σύμπαντος κόσμου τούτου ἄστατον καταπεφρόνηται, μᾶλλον γέλωτος, ἀνθρώπων τῶν χθὲς δούλων, ἢ προσηλύτων, καὶ τοῖς τῶν κυρίων αὐτῶν ἵπποις γυμνοῖς ἑπομένων ποσὶ, καὶ ρακοδύτων, σήμερον αἴφνης συγκλητικῶν σχεδιαζομένων, καὶ ὑπάτου ἢ πατρικίου ἀξιώματι τετιμημένων σὺν οὐδενὶ λόγῳ καὶ ἀφορμῇ· ὃ μᾶλλον ὕβρις ἦν τῆς συγκλήτου, καὶ τῶν ἀρχόντων καὶ τῶν εὐγενῶν οὐκ ἔπαινος· καὶ σύγχυσις κατεῖχε τότε τὰ πάντα, καὶ πάντες ἦσαν ὁμότιμοι, ἢ μᾶλλον ἀληθὲς εἰπεῖν ἄτιμοι. Οἱ γὰρ ἀναξίως ἀξιωμάτων ἐπιτυχόντες μεγίστων, μηδὲν πλέον τοῦ ὀνόματος καὶ τῆς βασιλικῆς κελεύσεως εὐπορήσαντες, ἅπαντες πάλιν γυμνοὶ καὶ πεζοὶ, καὶ ἑτέροις δουλεύοντες ἦσαν, τῷ λιμῷ πιεζόμενοι, οἱ τῆς συγκλήτου δὲ ἄρχοντες, καὶ ὅσοι τῶν εὐγενῶν καὶ περιβοήτων ἐπί τε δόξῃ καὶ πλούτῳ ἐγνωρίζοντο, ἰσοτίμους ὁρῶντες ἢ καὶ ὑπερτίμους τοὺς ἀναξίους καὶ πένητας, οὐχ ὅτι μὴ τιμὴν, ἀλλὰ καὶ ὕβριν τὴν οἰκείαν ἀξίαν ἐλογίζοντο, καὶ πάσης ἀτιμίας ἀνάπλεω. Ὁ βασιλεὺς δὲ Ρωμαίων, δι' ὅλης χρυσοφορῶν τῆς ἡμέρας ἐκάθητο, μηδὲν ἕ-

τερον τοῦ τιμᾶν πατρικίους, μαγίστρους καὶ κουροπαλάτας, ἢ καταπράξασθαι, ἢ ἐννοῆσαι, ἢ λαλῆσαι εἰδώς· καὶ οὐδὲν ἕτερον ἦν ἰδεῖν τότε ἢ ἀνιωμένους μόνον τοὺς γράφοντας, μὴ ἐξισχύοντας τὰ τῶν τιμωμένων ὀνόματα καταστρωννύειν [, ἕως φ. 45 οἱ σύμπαντες τῷ χρόνῳ κορεσθέντες, καὶ τὸ ἀνωφελὲς τούτων συνιέντες, μῖσος μᾶλλον τῶν ἀξιωμάτων καὶ καταφρόνησιν ἔσχον· καὶ ἀφήκασι τὸν βασιλέα λυπούμενον, μὴ τοὺς ζητοῦντας ἀξιώματα βλέποντα, μηδὲ τῶν παρ' αὐτοῦ γερῶν χρήζοντας.

Ἓν μὲν δὴ τῶν τοῦ βασιλέως Νικηφόρου κατορθωμάτων, ὡς πρὸ τοῦ τῆς βασιλείας ἐπιτυχεῖν ὑπισχνεῖτο, δεῖγμα τοῦτο σαφὲς καὶ τῆς ἐκείνου συνέσεως ἀριδηλότατον γνώρισμα, ἕτερον δὲ μεῖζον ὅ λέξων εἴκω. Λήθην λαβὼν ὡς ἔοικε τοῦ προτέρου σκοποῦ, καὶ τῶν ἀνὰ χεῖρας φροντίδων τῆς βασιλείας, τὰ μὲν ἀναγκαιότερα τῶν πραγμάτων τοῖς οἰκειακοῖς αὐτοῦ ἀνέθετο, ὑπ' αὐτῶν ἄγεσθαι τὰ πάντα ὡς ἂν ἄγωνται· αὐτὸς δὲ ὅλῃ σπουδῇ καὶ γνώμῃ, χρυσοφόρος ἐπὶ κλίνης ἀνακείμενος χρυσοπάστου, μίμοις καὶ κιθάραις καὶ γελωτοποιοῖς, καὶ τραπέζαις ἁβροδιαίτοις, τὸ τῆς ψυχῆς ἄχθος παρεμυθεῖτο, καὶ τὸ χρυσοῦν αὐτοῦ γῆρας ταῖς ἁπάντων εὐφημίαις ἀνεκαινίζετο. Ἐκεῖνοι δέ, οἷς τὴν τῶν ὅλων προσανέθετο διοίκησιν, δοῦλοι δὲ ἦσαν τοῦ βασιλέως οἰκειακοί, δεινὸν ἡγοῦντο εἰ καί τινας τῶν μεγιστάνων ἑώρων τῆς τε δόξης αὐτοῖς καὶ τῆς πρὸς τὸν βασιλέα κοινωνοῦντας παρρησίας· καὶ πονηρὰ ἐμελέτων, καὶ κατὰ τῶν ἄλλων μὲν ἀρχόντων, ἐξαιρέτως δὲ τῶν τότε τῆς ὅλης πρωτευόντων συγκλήτου γένει καὶ πλούτῳ καὶ ἀξιώμασιν, οἳ τοῦ μὲν προβεβασιλευκότος Ἰσαακίου τοῦ Κομνηνοῦ ἀδελφόπαιδες ἦσαν, Ἰσαάκιος δὲ οἱ ἀδελφοὶ καὶ Ἀλέξιος ἐκαλοῦντο, Σεβαστοὶ μὲν καὶ ἄμφω τετιμημένω, ὁ Ἀλέξιος δὲ καὶ τῆς ὅλης Δύσεως δομέστικος μέγας ἦν. Οὗτοι τὰς κατ' αὐτῶν μελέτας τῶν τοῦ βασιλέως προνοήσαντες δούλων, λάθρα τῆς Κωνσταν-

τίνου ἐξῄεσαν. Καὶ συνεξῄει τούτοις πᾶν ὅσον τοῦ στρατοῦ γενναῖον ἦν καὶ ἐπίσημον· καὶ εὐθὺς πάντες οἱ στρατιῶται βασιλέα τὸν Ἀλέξιον ἀνηγορεύκασι· καὶ μικρὸν ἔξω τοῦ τείχους στρατοπεδευσάμενοι, τὴν Πόλιν παραλαμβάνουσι διὰ προδοσίας τῶν ἐν τῷ τείχει τῆς Χαρσίου πόρτης φυλασσόντων τότε Νεμίτζων, καὶ τῶν βασιλείων καταβιβάσαντες τὸν Βοτανειάτην, ἐν τῇ μονῇ τῆς Περιβλέπτου ἀποκείρουσιν ἄκοντα, ἐν ᾗ καὶ μετ' ὀλίγον ἀποβιοὺς θάπτεται, ὢν ἐτῶν ὀγδοήκοντα.

ΛΟΓΟΣ ΧΡΥΣΟΒΟΥΛΛΟΣ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΚΥΡ ΑΛΕΞΙΟΥ ΤΟΥ ΚΟΜΝΗΝΟΥ, ΠΕΡΙ ΤΩΝ ΙΕΡΩΝ.

45*. † Οἱ πονήρως τοῦ σώματος ἔχοντες καὶ θεραπείας ἰασίμου δεόμενοι, αὐτὸ μὲν τοῦτο εἰδότες ὅτι κάμνουσι, καὶ τῆς νόσου ἐπαισθανόμενοι, μᾶλλον εἰσὶν ἰάσιμοι τοῖς θεραπευταῖς· οἱ δὲ πρὸς τὸ μέγεθος τῆς νόσου ἀναισθητοῦντες καὶ οὐδ ὅτι νοσοῦσι γινώσκοντες, ἑαυτοῖς καὶ τοῖς ἰατροῖς παρέχουσι πράγματα. Αὐτὸ δὴ τοῦτο κἀν τοῖς ψυχικοῖς ἐστι κατιδεῖν ἀρρωστήμασι· καὶ τῶν ἁμαρτανόντων ἡμῶν, οἱ μὲν εἰς βάθος κακῶν ἐμπεσόντες, καταφρονοῦμεν, καὶ τῷ μεγέθει τῶν ἀνομημάτων ὑπερνικώμενοι, οὐδ' ὅτι ἁμαρτάνομεν αἰσθανόμεθα, εἰς φύσιν πολλάκις τῆς πονηρᾶς ἕξεως μεταπεσούσης· οἷς δὲ θεὸς ἐπιλάμπει σωτήριον φῶς, καὶ μὴ πάντη τὸ διανοητικὸν τῇ κάτω ἰλύϊ συγκέχυται, μηδὲ τῇ πλινθείᾳ ὁ νοῦς καθάπαξ δουλεύειν βιάζεται, ἔστι τούτοις καὶ ἀνανεῦσαι τοῦ πτώματος· καὶ θεοῦ πολλάκις κατὰ τὸ ἀκούσιον ὀλισθήσασιν, ἐπαναδραμεῖν εἰς ἐκεῖνον ἐθελουσίῳ ἀναζητήσει τοῦ κρείττονος. Ὅπερ δὴ κἀν τῇ βασιλείᾳ ἡμῶν συμβέβηκεν ἀτεχνῶς.

Ἐπεὶ γὰρ αἱ ποικίλαι καὶ πολυμερεῖς τῶν πραγμάτων περιστάσεις, καὶ ἡ πανταχόθεν μὲν τῶν δημοσίων προσόδων ἐκκένωσις, ἀπανταχόθεν δὲ τῶν ἐξόδων ἡ ἀναστόμωσις, τοῦ κράτους ἡμῶν συνέσχον τὴν γαληνότητα, καὶ ἅμα τῷ τῆς βασιλείου ἐπιβῆναι ἀρχῆς, κατόπιν εὐθὺς αἱ περιστάσεις ἐπηκολούθησαν, κἀντεῦθεν ὑπ' ἀμηχανίας καὶ τοῦ μὴ τοῖς συμπεσοῦσιν ἔχειν ὅ, τι καὶ χρήσαιτο, τῶν ἱερῶν ἔγνω καὶ θείων ἅψασθαι κειμηλίων, καὶ τούτοις τὸ τῆς χρείας ἐνδέον παραμυθήσασθαι· τουτὶ μὲν τὸ ἔργον ἐν πολλαῖς τῶν ἁγίων ἐκκλησιῶν διεπράξατο, καὶ πολλὰ τῶν ἀναθημάτων εἰς δημοσίας ἔστρεψε χρείας, οὐχ ὕβρει καὶ περιφρονήσει θεοῦ, οὐδ' ὀλιγωρίᾳ τῶν εὐαγῶς αὐτῷ ἀνατεθέντων· ἀπείη γὰρ τοῦτο πάσης χριστιανικωτάτης ψυχῆς· ἀλλὰ καιροῦ περιστάσει καὶ λογισμῷ ἁπτομένῳ μέσως τοῦ πράγματος· ᾠήθη γὰρ ἡ καρδία τῆς βασιλείας μου μηδέν τι ἐντεῦθεν ὀργίζεσθαι τὸν θεὸν, ὅπου μὴ πονηρὰ συνείδησις προκατακρίνει τὸν πράττοντα.

Ἐπεὶ δὲ καὶ εἴ τί που ἐν τοῖς βασιλείοις ὑπόλοιπον ἦν, κατειργάσθη μὲν κἀκεῖνο καὶ ἀνηλώθη, ἐχώρησε δὲ καὶ εἰς μηδὲν δέοντα τὰ ἀπὸ τῶν ἁγίων περιελθόντα ἐκκλησιῶν· καὶ πᾶσα μὲν ἡμετέρα βουλὴ ἐπὶ ταῖς περιεχούσαις τὴν Ῥωμανίαν στενοχωρίαις, εἰς τοὐναντίον περιηνέχθη· πολλαχόθεν δὲ τὸ κέρας ὑψώθη τῶν ἐπανισταμένων ἡμῖν, καὶ τὸ τῆς βασιλείας ἤδη σκάφος πεσεῖν ὑποβρύχιον κινδυνεύει, εἰ μὴ ἡ πανalκὴς δύναμις τοῦ θεοῦ, οἷς οἶδεν κρίμασιν, αὐτοῦ ἀντιλήψεται καὶ εἰς αὔραν στήσει τὴν καταιγίδα. Ἔδοξε τῇ βασιλείᾳ ἡμῶν ἐπιμελέστερον ἀνιχνεύσασθαι καὶ πολυπραγμονῆσαι, τί δή ποτε ἄρα ἐστὶ τὸ ἐπὶ τοσοῦτον κινῆσαν τὴν ὀργὴν τοῦ θεοῦ, καὶ τὸ ἀπότομον τοῦ θυμοῦ αὐτοῦ καθ' ἡμῶν παροξῦναν. Ἀμέλει καὶ συνεσκέψατο πνευματικοῖς καὶ θείοις ἀνδράσι περὶ τοῦ πράγματος. Καὶ ἐπεὶ ἔμαθε παρ' αὐτῶν οὐ φαῦλον εἶναι παραίτιον τοῦ θείου μηνίματος τὸ ἅψασθαι ὅλως ἡμᾶς

τῶν εὐαγῶν καὶ θείων τοῦ θεοῦ κειμηλίων, κἂν μὴ ἀπὸ πονηρᾶς τοῦτο καρδίας πέπρακταί τε καὶ τελεσιούργηται, ὅτι μηδὲ τὰ θεῖα κοινοῦσθαι τῶν ἐνδεχομένων ὅλως ἐστὶ, μηδὲ τὰ εἰς χεῖρας παρατεθέντα θεῷ, ἐξ ἐκείνων αὖθις ἀνταφαιρεῖσθαι καὶ εἰς ἑτέρας χρείας καταβιβάζεσθαί τε καὶ στρέφεσθαι, 6.| δεῖν ἔγνω ἅμα μὲν τὴν μέλλουσαν ὁρμὴν ἀναστεῖλαι τοῦ κακοῦ, ἵνα μηκέτι τὸ ἀπὸ τοῦδε παρὰ χριστιανοῖς βασιλεῦσι πάροδον εὕρῃ ποτὲ, ἅμα δὲ καὶ τὰ προδιελθόντα καθόσον σθένος ἰάσασθαι.

Οὐκοῦν καὶ ἐξομολογουμένη ἐνώπιον θεοῦ καὶ ἀνθρώπων ἡ βασιλεία μου, καὶ τὴν συγχώρησιν ἐφ' οἷς ἔδρασεν ἀβουλήτως ἐκ μέσης ἀνακαλουμένη ψυχῆς παρεγγυᾶται καὶ ἐν ἐπηκόῳ θεοῦ κατατίθεται, πάντα τὰ ἀπὸ τῆς αὐτοκρατορίας αὐτῆς καὶ ἄχρι τῆς δεῦρο τῶν ἱερῶν ἐκκλησιῶν ἀφαιρεθέντα, καὶ εἰς τὰς τοῦ δημοσίου χρείας στραφέντα, ἀποκαταστήσεσθαι αὖθις παρὰ τοῦ κράτους αὐτῆς ταῖς ἐκκλησίαις τοῦ θεοῦ, μετὰ τὴν τῆς κοσμικῆς καταιγίδος κατάπτωσιν καὶ τὴν τῆς βασιλείας εἰς τὸ κρεῖττον ἀποκατάστασιν· ὡς γὰρ ἴδιον χρέος αὐτὰ ἀναδέχεται καὶ ὀφειλέτις εἶναι ταῖς ἁγίαις ἐκκλησίαις οὐκ ἀπαναίνεται· εἰς δέ γε τὸν ἐσόμενον ἀπὸ τοῦδε χρόνον, ἑαυτῇ τε καὶ πᾶσι τοῖς μετ' αὐτὴν χριστιανοῖς βασιλεῦσι διὰ τῆς παρούσης χρυσοβούλλου γραφῆς τὸν ἀπὸ τοῦ θεοῦ δεσμὸν ἐπιτίθησι, μηκέτι τολμῆσαι ἅψασθαι ἱερῶν, κἂν πᾶσα ἀνάγκη βιάζηται, μὴ χεῖρας ἀνάγνους ἐπαφεῖναι τοῖς ἱεροῖς, μὴ βεβηλῶσαι τὰ θεῖα κειμήλια διὰ τῆς εἰς δημοσίους ἐξόδους τούτων περιαγωγῆς· μέσον δὲ θεοῦ καὶ ἀνθρώπων φραγμοῦ τεθέντος, ὃν οὐ παρελεύσεται εὐσεβὴς, ἄνθρωποι μὲν τοῖς ἡμετέροις χρησόμεθα, θεὸς δὲ τὰ ἀνατεθέντα αὐτῷ ἕξει ἀκίνητα, καὶ πάντολμος χεὶρ τούτων οὐχ ἅψεται· καὶ εἴ τις, δέσποτα καὶ θεὲ, τὸ ἀπὸ τοῦδε χεῖρας τολμήσει ἐπιβαλεῖν τοῖς προαφιερωθεῖσιν, ἢ καὶ ἐσαῦθις ἀνατεθησομένοις ἱεροῖς καὶ θείοις

κειμηλίοις καὶ ἐπίπλοις καὶ σκεύεσι ταῖς ἁγίαις καὶ σεπταῖς ἐκκλησίαις σου, μὴ ἴδοι φῶς ἐν ἡμέρᾳ ἐπισκοπῆς σου· μὴ ἀνατείλῃ ἥλιος ἐπ' αὐτὸν πρωϊνόν· μὴ τύχῃ μήτε ἐνταῦθα τῆς σῆς βοηθείας, μήτε ἐκεῖθεν τῆς θείας σου ἀντιλήψεως, ἀλλὰ πανταχόθεν ἔσται ἀπερισκόπητός σοι καὶ ἀπεριφρούρητος. Μόνον ἵλεως νῦν, βασιλεῦ, τῇ κληρονομίᾳ σου· στῆσον τὴν καθ' ἡμῶν δικαίαν ὀργήν σου, καὶ ἡμαρτηκόσι καὶ νῦν εἰς σὲ ἐπιστρέφουσι, συγγνωμόνησον, ὅτι πᾶσαι αἱ ἁμαρτίαι ἡμῶν τῇ ἀβύσσῳ παραμετρούμεναι τοῦ ἐλέους σου, ὡσεὶ κοτύλη φαίνονται ὕδατος πρὸς ὅλον θαλάσσης πέλαγος.

Οὕτως οὖν ἐξομολογοῦμαι ἐνώπιόν σου, δέσποτα, τὸ πλῆθος τῶν ἁμαρτιῶν μου, καὶ οὕτως τὴν σὴν ἐπικαλοῦμαι σωστικωτάτην ἀντίληψιν· καὶ ἐκ βαθέων ψυχῆς ἀφιστάμενος τοῦ εἰσέτι ἅψασθαί τινος τῶν ἱερῶν, κἂν πᾶσά με ἀνάγκη πρὸς τοῦτο καλῇ, χρεωστεῖν δὲ καὶ τὰ προαναληφθέντα κατατιθέμενος. Ἐπὶ τούτῳ γὰρ καὶ τὸν παρόντα χρυσόβουλλον λόγον ἐξεθέμην ἁπάσαις ταῖς ἐκκλησίαις σου ἀσφαλὲς φυλακτήριον, ἵν' ὁ ἀπὸ τοῦδε τολμήσων τῶν ἱερῶν τινος κειμηλίων παράψασθαι, ὡς ἄντικρυς ἱερόσυλος παρὰ σοὶ καὶ τοῖς εὐσεβοῦσιν ἀνθρώποις λογίζηται, γεγενημένον κατὰ τὸν Αὔγουστον μῆνα τῆς ε' ἰνδικτιῶνος ἐν ἔτει τῷ ,ϛφϥγ', ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

---

† Ἐν περιθεωρίῳ φ. 45* ὁ Ἀργυρόπουλος σημειοῖ τὰ ἑξῆς: «Ἀλλ' ἐντεῦθεν λαβὼν ἀφορμὴν ὁ τοῦ κῦρ Ἰσαακίου τοῦ Ἀγγέλου υἱὸς, πᾶσαν ἐκκλησίαν τὴν ἐν Κωνσταντινουπόλει ἐσκύλευσε καὶ ἀπεγύμνωσε, καὶ τοῖς καταράτοις Λατίνοις ἀπέδοτο· θεὸς δὲ καὶ αὐτὸν καὶ τὴν Πόλιν ἄρδην ἀπώλεσε.»

† ΑΙΜΑ † Ἀλέξιος, Ἰωάννης, Μανουὴλ, Ἀλέξιος. (1)

Ἀλέξιος ὁ Κομνηνὸς σὺν τῇ μητρὶ Ἄννῃ μοναχῇ τῇ Δαλασηνῇ, Ἰσαακίῳ ἀδελφῷ τῷ σεβαστοκράτορι, καὶ Νικηφόρῳ καίσαρι γαμβρῷ τῷ Μελισσηνῷ, ἔτη τριάκοντα πρὸς τοῖς ἑπτὰ καὶ μησὶ τέσσαρσιν. Οὗτος εἶχε γυναῖκα Εἰρήνην τὴν θυγατέρα τοῦ πρωτοβεστιαρίου Ἀνδρονίκου τοῦ Δούκα, ὃς ἀδελφόπαις ἦν τοῦ βασιλέως Κωνσταντίνου τοῦ Δούκα, καὶ παῖδας ἐξ αὐτῆς εἶχεν ἄρρενας μὲν τρεῖς, Ἰωάννην, ὃν καὶ βασιλέα ἅμα τῷ γεννηθῆναι ἀνηγόρευσε, καὶ Ἀνδρόνικον, ὃν τῷ τοῦ σεβαστοκράτορος τιμᾷ ἀξιώματι, αὐτὸς τοῦτο καινίσας, καὶ Ἰσαάκιον ὃν ἐτίμησε καίσαρα· καὶ θυγατέρας τέσσαρας Ἄνναν, Μαρίαν, Εὐδοκίαν καὶ Θεοδώραν· ταύτας ἀνδράσι συνέζευξε τοῖς γένει καὶ κάλλει καὶ ἀξιώματι τῶν λοιπῶν διαφέρουσιν.

Οὗτος τὸ εὐαγὲς ὀρφανοτροφεῖον συστησάμενος, καὶ ἱκαναῖς προσόδοις τοῦτο φιλοφρονησάμενος, πολλοῖς τῶν καταπαθῶν ἀδελφῶν λιμένα ἐποίησεν εὔδιον, εἰς χιλιάδας τούτους συντάξας, καὶ ἐτήσια σιτηρέσια καὶ λοιπὰ τὰ πρὸς χρείαν τούτους λαμβάνειν διατυπωσάμενος, καὶ κατοικίας τούτοις πηξάμενος, καὶ πανταχόθεν τὰ τῆς συμφορᾶς παραμυθησάμενος. Καὶ τί ἄν τις καταλέγοι ὅσα ἡ σεβασμία ἐκείνη ψυχὴ προσεπενοήσατο τῷ τοιούτῳ θαυμασίῳ ἔργῳ καὶ σωτηρίῳ; Ἐντεῦθεν γὰρ ὄψει μοναστήριον ἀνδρῶν θεῷ μόνῳ ζώντων καὶ βιωτικὸν ἐχόντων οὐδέν· ἐκεῖθεν ἴδῃς σεμνεῖον γυναικῶν, θεῷ τὸ πᾶν καθιερωμένων, ἀλλαχοῦ παρθενῶνα θεῖον, ὃν καλεῖν εἰώθαμεν ἀσκητήριον· μικρὸν δὲ προϊὼν εὑρήσεις χορὸν μοναζου-

(1) Περὶ τοῦ εἰς τοὺς βασιλεύσαντας Κομνηνοὺς ἀναφερομένου τούτου χρησμοῦ βλ. τὰ προλεγόμενα.

σῶν, ἀλλογλώσσων μὲν, ὁμοτρόπων δὲ πάντη καὶ ὁμοπίστων τοῖς εὐσεβέσιν ἡμῖν, οἵας τὰς Ἰβηρίσσας, καὶ ἐπιμαρτυρήσαις ταύταις τὸ σεμνόν τε καὶ τίμιον, καὶ μεγαλύνοις τὰς σωτηρίας τοῦ βασιλέως. Εἰ δὲ καὶ τὸ διδασκαλεῖον ὄψει, καὶ τὴν περὶ τοῦτο τοῦ εὐσεβεστάτου ἐκείνου καὶ ἀοιδίμου βασιλέως προμήθειαν, ὅπως αἰχμαλώτους παῖδας, οὐ μόνον τὰς πρὸς τὸ ζῆν ἔχειν ᾠκονόμησεν ἀφορμὰς, διατροφαῖς τε τούτους παραμυθησάμενος, καὶ σκεπάσμασιν, ἀλλὰ καὶ λόγῳ τὰς ψυχὰς τρέφεσθαι καὶ ἤθη ρυθμίζεσθαι, καὶ παιδείαν παιδεύεσθαι τὴν ἐγκύκλιον, ἔργον ἂν εἴποις τοῦτο θεῖον, καὶ δώρημα τέλειον ἐκ τοῦ πατρὸς τῶν φώτων καταπεμφθὲν ἄνωθεν, εἴτουν ἐμπνευσθὲν τῇ θεολήπτῳ ἐκείνου ψυχῇ.

Ἐπὶ τούτου τοῦ εὐσεβοῦς βασιλέως ὁ πάντοτε τῇ τῶν ἀνθρώπων ἀπωλείᾳ ἐπιχαίρων διάβολος, ὄργανον εὑρηκὼς τῆς οἰκείας ἀποστασίας τὸν μιαρὸν Βασίλειον, τὸν τοῦ Ἀντιχρίστου πρόδρομον, τὸν πᾶν εἶδος κακίας καὶ ἀσεβείας ἐν τῷ θησαυρῷ τῆς ἑαυτοῦ καρδίας συλλέξαντα, τῇ τῶν Αὐσόνων ἐξέπεμψε, τῆς ἑαυτοῦ κακοπιστίας πᾶσι τὰ θολερὰ ἐκχέοντα νάματα· ἔξαρχος γὰρ καὶ ὑπερασπιστὴς διάπυρος οὗτος ἦν τῆς τῶν Βογομίλων αἱρέσεως· καὶ δὴ κατὰ πάντα τόπον ἐπιφοιτᾷ, καὶ τῷ κωδίῳ κρύπτων τὸν λύκον, δυσάντητον ἦν κακὸν, καὶ πολλοὺς τῆς ἀπλανοῦς τῶν χριστιανῶν ἀποστρέφων ὁδοῦ, συναποστάτας ἐποίει, καὶ τοῦ οἰκείου πατρὸς τοῦ διαβόλου υἱοὺς, τὴν πολυκέφαλον αὐτοῖς κατασπείρων αἵρεσιν. Τοῦτο ὡς ἤκουσται τῷ βασιλεῖ, σύγχυσις αὐτὸν ἔσχε καὶ φρενῶν ἔκστασις, καὶ πάντα ἡγησάμενος σκύβαλα, καὶ παρ' οὐδὲν θέμενος τὰς λοιπὰς φροντίδας, μιᾶς ἐγένετο μόνης καὶ ἓν εἶχεν ἐπίμονον σπούδασμα, τὸ μὴ ὑβρίζεσθαι τὸν Χριστὸν, μηδὲ περιορᾶν τὸ ἓν σῶμα τῆς ἐκκλησίας, ὃ τῷ ἰδίῳ αἵματι ἐλυτρώσατο ὁ τῶν ὅλων δεσπότης, διασπώμενόν τε καὶ λυμαινόμενον τῷ πονηρῷ δαίμονι. Διασκεψάμενος γοῦν μεταστέλλεται τὸν

Βασίλειον, καὶ ἀνηρώτα, τί σοι βούλεται, λέγων, τὸ δόγμα, καὶ ὅτου χάριν τοῖς ἁπλουστέροις ἐξαπάτης γίνῃ τοσαύτης παραίτιος; Ὁ δὲ κατὰ τοὺς πολύποδας εὐθὺς ἄδηλος ἦν, καὶ τὸ μέλαν ἐξέχεεν ἵνα λάθῃ τὸν θηρευτήν· μηδὲν γὰρ τῶν κατ' αὐτοῦ λεγομένων, ἀληθὲς ἔλεγεν εἶναι, καὶ ὡς ὁμοφρονοίη τοῖς εὐσεβέσιν ἀναιδῶς διετείνετο. Πλεῖστα γοῦν ὅσα μελετήσας ὁ βασιλεὺς, καὶ κοινωνὸν λαβὼν τῶν φροντίδων Εὐθύμιον τὸν ἐν μοναχοῖς ὁσιώτατον, ᾧ τὸ ἐπίκλην Ζυγαβηνὸς, ἄνδρα σοφίας καὶ θείας καὶ ἀνθρωπίνης ἐμπεπλησμένον, βουλὴν βουλεύεται ὡς συνετήν τε καὶ θαυμασίαν, καὶ μεθόδῳ ἐπαινετῇ πρὸς τὰς μεθοδείας τοῦ σοφιστοῦ τῆς κακίας ὁπλίζεται. Ἐν | ἑνὶ γὰρ τῶν βασιλικῶν κοιτωνίσκων ἰδιαζόντως ὁ βασιλεὺς προσκαλεσάμενος τὸν Βασίλειον, συνεδριάσαι τοῦτον ἐκέλευσε, καὶ τιμὴν ὅσην ἂν εἴποι τις ἐπλάσατο πρὸς αὐτὸν, καὶ ᾧ περ εἶπεν· ἀκήκοά σε χρηστὰ διδάσκοντα καὶ ὠφέλιμα, καὶ βούλομαι μὲν τὴν σὴν διδασκαλίαν παρρησιάσασθαι, δέδοικα δὲ τῶν ὑπηκόων τὸ δυσπειθές· δεινὸν γὰρ τὸ πλῆθος καὶ δυσμάχητον, καὶ οὐκ ἂν ἀνάσχοιντο δόγμα τοσούτοις ἔτεσι κρατυνθὲν, μετατεθῆναι, καὶ ἑτέραν πίστιν προσδέξασθαι, κἂν τὸ εὔλογον αὕτη καὶ ἀναντίρρητον ἀποφέροιτο· ἵν' οὖν μὴ καὶ ἡμεῖς πλάνην τοσαύτην πλανώμεθα καὶ συναπολώμεθα τοῖς πολλοῖς, σπλαγχνίσθητι ἐφ' ἡμῖν, καὶ ὁδήγησον ἡμᾶς, δεῖξον ὁδὸν ἐν ᾗ πορευσόμεθα, καὶ βαδιοῦμεν ταύτην, νῦν μὲν κρύφα καὶ σιωπῇ, καιροῦ δὲ καλοῦντος, καὶ ἀναφανδὸν εὐλόγῳ παρρησίᾳ χρησάμενοι. Εἶπε ταῦτα ὁ βασιλεὺς, καὶ εἰπὼν ἔπεισεν, εὐρίπιστον γὰρ ἡ κουφότης, καὶ ἀναρριπίζεται ἡ κακία, καὶ φαυλίζεται τὸ ὕπουλον, καὶ ὁ δυσώδης καπνὸς τῆς ἀχυρώδους ψυχῆς καὶ πυρὸς ἀξίας εἰς ὕψος αἴρεται· καὶ ἐπειδή, φησίν, ὦ βασιλεῦ, ἀπολιπὼν τὴν κατέχουσάν σε σκοτόμαιναν, τῶν ἡμετέρων ἐξέχῃ λόγων, καὶ τῆς σωτηρίου διδασκαλίας ἐγώ σοι σύντομον παραστήσω ὁδὸν, δι' ἧς δυνήσῃ τῆς κακοπιστίας ὡς

σκότους ἀφέμενος, ἐφικέσθαι τοῦ τῆς ἀληθείας φωτὸς, καὶ μὴ βαθὺν ὕπνον ὑπνώττειν, καὶ ὡς ἄν τις εἴποι Ἐπιμενίδειον. Αὖθις οὖν ἱκέτης ὁ βασιλεὺς, καὶ δὸς ἡμῖν ἐγγράφως ἐξελιπάρει τίνα ὑπὸ σοῦ κηρυττόμενα, καὶ δι' αὐτῶν ἐπιγνωσόμεθα τὴν ἀλήθειαν, καὶ οὐκέτι τῇ πλάνῃ δουλεύσομεν. Παρεγγυησάμενος τοίνυν τῷ βασιλεῖ, μηδὲν τῶν ὑπαγορευθησομένων δῆλον θέσθαι τῷ ἀδελφῷ Ἰσαακίῳ τῷ σεβαστοκράτορι, διὰ τὸ τῆς τῶν Χριστιανῶν θρησκείας εἶναι τοῦτον ἀμετάθετον ἐραστὴν, καὶ ὑπόσχεσιν περὶ τούτου λαβὼν, ᾔτησε χάρτην καὶ κάλαμον, καὶ ἔγγραφον τὴν παμβέβηλον αὐτοῦ καὶ μυσαρὰν ἐξέθετο αἵρεσιν, ἀγνοῶν ὁ δείλαιος ὅτι παγίδα ἡτοίμασε τοῖς ποσὶν αὐτοῦ. Ὡς οὖν ἐντεῦθεν ὁ πονηρὸς θησαυρὸς τῆς αὐτοῦ πονηρᾶς καρδίας δῆλος ἐγένετο, καὶ κατεσοφίσθη ὁ εὑρετὴς τῆς κακίας παρὰ τοῦ δρασσομένου τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν, δι' ὧν ὁ ὑψηλὸς αὐτοῦ βραχίων τῇ τοῦ βασιλέως καρδίᾳ ἐντέθεικε, καὶ πάλιν σκῆψις καὶ φροντίδες συχναὶ καὶ διηνεκεῖς αὐτῷ δῆτα τῷ εὐσεβεῖ βασιλεῖ, μελετῶντι τῆς πλάνης ἀποσπάσαι τὸν ἄθλιον. Παρεκάλει τοίνυν τὸν νηπιόφρονα ἐκεῖνον καὶ ἀσύνετον γέροντα, μεταθέσθαι τῆς τρίβου τῆς σκολιᾶς, καὶ τῷ σκότει χαίρειν εἰπόντα καὶ τῇ μακρᾷ πλάνῃ πρὸς τὰς τῆς ἀληθείας ἰδεῖν αὐγὰς, καὶ σωτηρίου περιβαλέσθαι ἱμάτιον, καὶ εὐφροσύνης χιτῶνα ἐνδύσασθαι, καὶ καταστολὴν δόξης ἀντὶ τοῦ πονηροῦ πνεύματος· ἀλλ' οὔτε πάρδαλις ἀποθήσει τὰ ποικίλματα, οὔτε ὄφις τὸ μισάνθρωπον, οὔτε τὸ μέλαν Αἰθίοψ. Ἅπαξ γὰρ τὸν Σατανᾶν ἐνδυσάμενος ὁ ἀκάθαρτος, ὡσεὶ ἀσπὶς, ἥτις οὐκ εἰσακούσεται φωνῆς ἐπᾳδόντων, τὰ ὦτα ἔβυε, καὶ τὸ ἀπειθὲς καὶ αὐτόρρυθμον ὁ τῆς ἐκείνου κακίας ἐνστερνισάμενος, πεπλανημένον ἀπεκάλει τὸν βασιλέα, καὶ ἀμεταθέτως τῆς κακίας ἐχόμενον, καὶ ἀπολλύμενον μετ' ὀλίγον διὰ τὴν κατέχουσαν ἀγνωσίαν.

Μετακαλεῖται τοίνυν τὸν ἁγιώτατον πατριάρχην ὁ βασι-

λεὺς καὶ τοὺς τῆς θείας συνόδου προέχοντας, καὶ τὰ τοῦ πράγματος αὐτοῖς ἀνατίθεται, καὶ ὃ ποιητέον συνδιασκέψασθαι ἀξιοῖ. Καὶ πάλιν εἰς τὸ μέσον ὁ ἀδιόρθωτος ἐκεῖνος παράγεται, καὶ συμβουλία πατέρων περὶ αὐτὸν ἐκμιμουμένων θεοῦ φιλανθρωπίαν τοῦ δι' ἡμᾶς ταπεινωθέντος μέχρι σώματος καὶ παθῶν· ὡς δὲ κἀντεῦθεν ὄνος ἄντικρυς ἦν λύρας ἀκούων καὶ ἀναισθητῶν, ἢ καμμύων πρὸς ἡλίου λαμπρότητα ὁ σκότους καὶ πυρὸς ἄξιος, ἀξίαν καὶ τιμωρίαν καταψηφίζεται, καὶ θάνατον τὸν διὰ πυρός· καὶ ἔδει γὰρ πυρὶ καταναλωθῆναι καὶ προοίμιον τοιοῦτο λαβεῖν τοῦ ἀτελευτήτου πυρὸς τὸν πολλοὺς ἀπατήσαντα καὶ ὕλην τῷ αἰωνίῳ πυρὶ ὡς ξύλα καὶ χόρτον καὶ καλάμην ἀθροίσαντα. Ἡμέρᾳ γοῦν τεταγμένῃ ἐπὶ τὸ ἱππικὸν ἀχθεὶς θέατρον, ἐν τῷ καθίσματι προκαθεσθέντος τοῦ βασιλέως, καὶ πάσης τῆς συγκλήτου παρούσης, καὶ τῶν πιστῶν πάντων συνειλεγμένων, ἐν καμίνῳ πυρὸς, δένδρον σαπρὸν μὴ ποιοῦν καρπὸν ἀγαθὸν ἐκκοπὲν, ἐμβάλλεταί τε καὶ καίεται.

Τὰ μὲν οὖν κατὰ τὸν ἀσεβέστατον ἐκεῖνον Βασίλειον τοιοῦτον ἔσχε τὸ τέλος.

Ὁ δὲ βασιλεὺς ὁρῶν πανταχόθεν τὰ Δυτικὰ ἔθνη, οὐκ ἔλαττον δὲ καὶ [τὰ] πρὸς Ἀνατολὴν ταρασσόμενα, (πᾶν γὰν τὸ γειτονοῦν τῇ Ῥωμαίων ἀρχῇ τῇ ῥαθυμίᾳ, ἢ ἀπειρίᾳ εἰπεῖν οἰκειότερον τῶν πρὸ αὐτοῦ βεβασιλευκότων, ἤ τι κατέσχε τῶν Ῥωμαϊκῶν ὁρίων, ἢ ἔμελλεν), ἀποστέλλει πρέσβεις πρὸς τὸν ῥῆγα τῆς Παιονίας (κράλην αὐτὸν ἡ συνήθεια καλεῖν εἴωθε), καὶ νύμφην ἐπιζητεῖ τὴν ἐκείνου θυγατέρα εἰς τὸν πορφυρογέννητον καὶ βασιλέα Ἰωάννην τὸν πρῶτον υἱὸν αὐτοῦ· καὶ ἐπεὶ καὶ τὸν εἰρημένον κράλην εὗρε πρὸς τοῦτο καταπειθῆ, ἀποστέλλει αὖθις τοὺς ἄξοντας αὐτὴν ἄνδρας τῶν ἐπιφανῶν καὶ πρώτων τοῦ παλατίου, ὧν ἐξοχώτατος καὶ πρώτιστος ἦν ὁ σεβαστὸς Εὐμάθιος ὁ Φιλοκάλης, οὗ τὴν πολυπειρίαν καὶ τὴν πρὸς τὰ πρακτέα δραστηριότητά τε καὶ δεξιότητα σχεδὸν

οὐδεὶς ἀγνοεῖ. Οὗτοι τὸν Ἴστρον διαπεράσαντες, καὶ τὰ τῶν Παιόνων καταλαβόντες βασίλεια, κάλλος ἐν αὐτοῖς εὑρόντες ἀπόθετον, καὶ θησαυρὸν πολυτίμητον ἀνελόμενοι, μεθ' ἡδονῆς τε καὶ θυμηδίας τῇ Ῥωμαίων προσάγουσι, κόρην ὡραίαν μὲν τὸ σῶμα, καὶ συζυγίᾳ βασιλικῇ πρέπουσαν, πολὺ δὲ τὰ ἔνδον ὡραιοτέραν, ὡς καὶ ἐπ' αὐτῇ προσαρμόζειν τὸ, πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν. Ταύτην ὁ βασιλεὺς μετὰ πολλῆς περιχαρείας καὶ τιμῆς προσδεξάμενος, τῷ οἰκείῳ συνέζευξεν υἱῷ.

Ἐντεῦθεν τὰ περὶ τὴν Εὐρώπην ἔσχε καλῶς, τῆς δεσποίνης Εἰρήνης περιελομένης τὰ σκάνδαλα καὶ τὸ τῆς ἔχθρας καταβαλλούσης μεσότοιχον. Ὅπη μὲν οὖν ἔφθασεν ἀρετῆς αὕτη, καὶ ὅσα εἰργάκει τῶν θαυμαστῶν, καὶ ὅπως κοινὸν ἐγένετο παραμύθιον καὶ τροφὸς καὶ μήτηρ τοῖς πενεστέροις καὶ μᾶλλον ἀντὶ δεσποίνης, πολλοὶ τῶν λόγου συντρόφων ἐν συγγραφαῖς οἰκείαις περιλαβόντες τοῖς ἐφεξῆς παραδεδώκασι.

Τούτου τῷ πρώτῳ τῆς βασιλείας ἔτει ὁ πατριάρχης Κοσμᾶς, ἔξωρος ἤδη ὢν καὶ ταῖς τῶν πραγμάτων φροντίσιν ἀπειρηκὼς καὶ ὀχλήσεσι, τὸν πατριαρχικὸν παραιτεῖται θρόνον, καὶ κατελθὼν ἡσυχάζει ἐν τῇ μονῇ τοῦ Καλλίου· καὶ χειροτονεῖται πατριάρχης Κωνσταντινουπόλεως Εὐστράτιος μοναχός τις εὐνοῦχος ὁ Γαριδᾶς, τῶν ἀφανῶν καὶ ἀγραμμάτων ὁ λίαν διαφορώτατος, ὃς ἐν μιᾷ γωνίᾳ τῶν τῆς ἁγίας Σοφίας ἡσυχάζων ἦν τὸ πρὸ τοῦ, καὶ πρὸ τῆς βασιλείας τῷ βασιλεῖ γνώριμος· ὃς ἐπεσκόπησεν ἔτη τρία καὶ μῆνας δύο, καὶ τῷ τετάρτῳ τῆς βασιλείας Ἀλεξίου ἔτει ἐξεβλήθη τοῦ πατριαρχικοῦ θρόνου, ἄκων δοὺς τὴν τούτου παραίτησιν, καὶ κατήχθη ἐν τῇ τῶν Ρουφινιανῶν μονῇ, ἀξίως τηλικαύτης ἐκπεσὼν ἀξίας· καὶ χειροτονεῖται πατριάρχης Κωνσταντινουπόλεως Νικόλαος μοναχὸς, καὶ αὐτὸς τῶν ἀκτημοσύνῃ καὶ ὀλιγοτροφίᾳ βεβοημένων εἷς, μηνὶ αὐγούστῳ ἰνδικτιῶνος ζ', ἔτους ἑξακισ

χιλιοστοῦ πεντακοσιοστοῦ ἐννενηκοστοῦ δευτέρου· καὶ ἀρχιερατεύει ἔτη εἴκοσιν ἓξ καὶ μῆνας ἐννέα. Καὶ τούτου τὸ χρεὼν λειτουργήσαντος, καὶ κατατεθέντος ἐν τῇ παρ' αὐτοῦ κτισθείσῃ μονῇ τοῦ Προδρόμου πλησίον τῆς πόρτης τοῦ ἁγίου Ρωμανοῦ, χειροτονεῖται ὁ ἱερομνήμων Ἰωάννης, ὁ τοῦ τότε Χαλκηδόνος ἀνεψιὸς, ἀνὴρ ὅσιος καὶ σοφώτατος, καὶ κρατεῖ ἔτη εἴκοσι τρία, μῆνας ἑπτά.

Οὗτος ὁ βασιλεὺς, εἰ καὶ τὴν ἡλικίαν νέος ἦν, ἀλλὰ | σωφροσύνῃ καὶ συνέσει κεκοσμημένος, καὶ τὰς ὅλας ἡμέρας τῆς βασιλείας αὐτοῦ μόναις ταῖς στρατιωτικαῖς ἀπησχολεῖτο φροντίσι, καὶ πολέμοις συχνοῖς ἑαυτὸν ἐκδεδωκὼς, φοβερώτατος τοῖς ἔθνεσιν ἔδοξε, καὶ πολλάκις αὐτοῖς συμβαλὼν οὐκ ἀνῆκε πολεμῶν, οὐκ ἐνέδωκε μαχόμενος ἄχρις ἂν τὸ ἀντιπίπτον ἐξηφάνισε θείᾳ συνεργούμενος χάριτι καὶ τῇ οἰκείᾳ ὁλοψύχῳ προθυμίᾳ. Ὅθεν καὶ τῶν ἄλλων βασιλέων τροπαιοῦχος καὶ εὐτυχέστατος ἐγεγόνει, καὶ πολλὰ θεομισῆ ἔθνη ὁ θεὸς δι' αὐτοῦ ἐξωλόθρευσε, καὶ μᾶλλον τῶν ἄλλων τοὺς Πατζινάκους, ὧν τὴν παντελῆ ἀπώλειαν καὶ τὸν ἀφανισμὸν πάντες ἴσασι.

Τούτῳ οὐκ ὀλίγοι καὶ τῶν Ρωμαίων ἀντέστησαν εἰς ἀποστασίαν ἐκκλίναντες· ἀλλ' ὁ θεὸς ἅπαντας καὶ ἄκοντας αὐτῷ ὑπέταξε, καὶ τὴν βασιλείαν αὐτοῦ ἄνωθεν φρουρουμένην καὶ εὐοδουμένην πᾶσι δι' αὐτῶν τῶν πραγμάτων ὑπέδειξε.

Καιρὸς δὲ καὶ τοῦτο τῶν ἐκείνου προσθεῖναι, ἀπόδειξιν ἔχον τῆς περὶ αὐτὸν προηγουμένης τῆς θεοῦ ἀντιλήψεως, καὶ τῆς αὐτοῦ δὲ μεγαλονοίας καὶ περὶ τὰ πρακτέα σπουδῆς καὶ ἐπιτηδειότητος· ἔχει δὲ οὕτως. Ὅτε τὴν βασιλείαν τῶν Ρωμαίων παρέλαβεν, εὗρε τοὺς Τούρκους οὓς καὶ Πέρσας καλοῦμεν, πᾶσαν τὴν ὑφ' ἕω χώραν καταδραμόντας καὶ κατατρέχοντας, καὶ τῶν μεγίστων δὲ Ἀνατολικῶν πόλεων κατεξουσιάζοντας ἐκ τῆς τῶν προειληφότων βασιλέων ῥαθυμίας καὶ ἀμελείας, ἢ μᾶλλον εἰπεῖν ἀπειρίας, ὥς μοι καὶ ἀνωτέρω εἴρηται,

καὶ ἀνεπιτηδειότητος· τήν τε γὰρ τῶν Νικαέων μεγαλόπολιν οὗτοι ἐδέσποζον, καὶ ὁ ἐν αὐτῇ ἄρχων σουλτάνος Νικαίας κατωνομάζετο, καὶ οἱ τούτῳ ὑπείκοντες ἕως καὶ τῶν ἀντιπέραν χωρῶν τῆς Κωνσταντινουπόλεως καὶ Χαλκηδόνος αὐτῆς ἐκυρίευον, καὶ τὰ τῆς Σμύρνης δὲ καὶ τὰ μέχρι τοῦ Ἑλλησπόντου αὐτῶν τούτων ἐτύγχανον ὑποχείρια. Οὐ μὴν ἀλλὰ καὶ τὰ Δυσμικὰ οὐχ ἧττον τῶν Ἑῴων συνεταράττοντο· ὁ γάρ τοι Βαΐμοῦνδος μετὰ πολλῆς στρατιᾶς Ἰταλικῆς τὸν Ἰόνιον διαπεράσας, τὰ περὶ τοὺς Ἰλλυριοὺς καὶ τὴν Ἤπειρον καὶ Ἀχαΐαν καὶ τὰ πέριξ ἀθλίως αἰχμαλωτίζων ἦν καὶ ἐξανδραποδιζόμενος. Ἀλλὰ καὶ οἱ ὁμόφυλοι Ῥωμαῖοι ταῖς καινοτομίαις ἐπικαγχάζοντες, ὁποῖος ὁ Βασιλάκης καὶ ὁ Ψευδοδιογένης καὶ ἕτεροι τοῦ τοιούτου κόμματος, τῶν ὁμοφύλων κατεπανίσταντο βασιλειῶντες καὶ τῶν ἐν ποσὶ μὴ φειδόμενοι. Τοιαύτην ἀταξίαν τῶν πάντων καὶ σύγχυσιν εὑρηκὼς, παντοίως τῆς διορθώσεως ἐπεμέλετο, στρατηγικαῖς μελέταις, καὶ ἀρεϊκαῖς πράξεσι καὶ μεθόδοις πάσαις πραγματευόμενος τὴν διόρθωσιν. Ἀλλ' ἦν τὸ κακὸν ἀδιόρθωτον καὶ τῶν πάντων ὑπερτεροῦν. Ἀλλ' οὐδ' ὡς ἀνέπεσεν ὡς οἱ πρὸ αὐτοῦ, οὐδ' ἠμέλησε πολλάκις τοῖς ἐχθροῖς προσβαλὼν καὶ ἡττήσας. Τῇ δ' ἐκείνων ἁπανταχῇ προσβολῇ μηδὲν ἢ μικρόν τι τῆς νίκης ὀνάμενος, (ἀνεφύοντο γὰρ ὡς ἄν τις φαίη τὰ δυσχερῆ, καὶ οἱ ἐχθροὶ πάλιν ὑψοῦντες ἦσαν τὰς κεφαλὰς καταπίπτοντες, καὶ τὰ τῆς μάχης χείρω καὶ δυσμαχώτερα διεδείκνυντο· οὐ γὰρ ἐξήρκουν αἱ Ῥωμαϊκαὶ δυνάμεις Ἀνατολῇ καὶ Δύσει μαχόμεναι,) ὅλος οὖν τοῦ πρὸς Ἰταλοὺς πολέμου γενόμενος, καὶ τούτους καταστρεψάμενος, ἀλλὰ καὶ ὁμολογίᾳ καὶ συμβάσεσιν ὡς ὁ καιρὸς ἐδίδου τούτοις φιλιωθεὶς, οὕτω τῶν πρὸς Πέρσας ἀπήρξατο.

Σκεψάμενος οὖν ὡς οὐχ οἷός τέ ἐστι μόνος τὴν ὑπὲρ πάντων ἀναδέξασθαι μάχην, συμμάχους καὶ τοὺς Ἰταλοὺς δεῖν ἔγνωκε προσλαβεῖν, καὶ τοῦτο μετά τινος κρυψινοίας καὶ βα-

θυγνώμονος οἰκονομίας καὶ ἐπιτηδειότητος. Εὑρὼν γὰρ πρόφασιν ὡς τοῦτο τὸ ἔθνος οὐκ ἀνεκτὸν ἥγηται τὴν ἐν Ἱεροσολύμοις τῶν Περσῶν ἐπικράτησιν, καὶ τοῦ ζωοποιοῦ τάφου τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦτο ὡς ἕρμαιον εὑρηκώς, καὶ ἀποστολαῖς πρέσβεων πρός τε τὸν τῆς πρεσβυτέρας Ῥώμης ὡς
9. ἀρχιερέα προϊστάμενον, | καὶ πρὸς τοὺς κατὰ τόπους ὡς ἂν οὗτοι φαῖεν ῥηγάδας καὶ ἄρχοντας, ἀξιολόγων χρησάμενος, οὐκ ὀλίγους ἴσχυσε τούτων τῆς πατρίδος ἀπαναστῆσαι καὶ πρὸς τὸ ἔργον ὁλοτρόπως ὑπαγαγεῖν. Ἐφ' ᾧ καὶ πολλοὶ τούτων ἐς χιλιοστύας καὶ μυριάδας κατ' ἀριθμὸν κορυφούμενοι, τῇ Κωνσταντινουπόλει, οὐ διὰ χρόνου πεζεύοντες, ἐπιδεδημήκασι τὸν Ἰόνιον διαπεραιωθέντες· μεθ' ὧν καὶ πίστεις ἐνόρκους ἐκθέμενος, καὶ συμβάσεις συντεθεικώς, πρὸς Ἕω χωρεῖ, καὶ δι' ὀλίγου συνάρσει θείᾳ καὶ συμμαχίᾳ τούτων, καὶ οἰκείαις σπουδαῖς, ἴσχυσε τῶν Ῥωμαϊκῶν χωρῶν ἐξωθῆσαι τοὺς Πέρσας, καὶ τὰς πόλεις ἐλευθερῶσαι, καὶ τὴν τῆς Ἕω διακράτησιν πάλιν εἰς τὴν πρὶν εὔκλειαν ἐπαναγαγεῖν.

Τοιοῦτος ἦν ὁ βασιλεὺς οὗτος· μεγαλόβουλος καὶ μεγαλουργός.

Ἐπεὶ δέ τινες καὶ τούτου καταιτιῶνται τό τε μὴ κατ' ἐπίκρισιν ἢ κατὰ σειρᾶς διαδοχὴν εἰς τὴν βασιλείαν προελθεῖν, ἀλλὰ τοῦ πρὸ αὐτοῦ κατεπαναστάντος, καὶ σὺν πλήθει στρατιωτῶν, οὓς οὗτος ἐν Μακεδονίᾳ συνήθροισεν, ἀτάκτως τῶν σκήπτρων δράξασθαι, τὴν τῆς Κωνσταντινουπόλεως εἴσοδον ὑποκλέψαντος, καὶ ταῦτα καθ' ἣν ἡμέραν τὴν τῶν Παθῶν τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν ἀνάμνησιν ἑορτάζομεν, οἳ καὶ πολλὰ δεινὰ τοῖς ἐν τῇ Πόλει δεδράκασι, τὰ κατ' οἴκους ἐσκυλευκότες, καὶ μονὰς ἀνδρῴας καὶ γυναικείας τῶν προσόντων ἀποστερήσαντες, καὶ ἄλλα πεπραχότες ἀνόσια ὡς ἐν αἰχμαλωσίᾳ ἐθνῶν. Ἔτι δὲ καὶ ὅτι παρελθὼν εἰς τὴν βασιλείαν καὶ ταῖς πολλαῖς ἐκστρατείαις μὴ ἐξαρκοῦντα ἔχων τὰ δημόσια χρή-

ματα, καὶ πρὸς τὴν τῶν ἱερῶν ἀφαίρεσιν κειμηλίων ἀπέβλεψε, καὶ πολλὰ τούτων σφετερισάμενος τῇ χωνείᾳ παραδεδώκει, καὶ ἐξ αὐτῶν τὰς συντάξεις τοῖς στρατιώταις ἀπέτισε, φέρε καὶ τὸν περὶ τούτων ἀπόλογον καταγράψωμεν, δηλοποιοῦντες ὡς τὰ ἐν πράγμασιν οὕτως προέβη, οὐ μὴν κατὰ σκοπὸν ὄντως οὐκ ἐπαινούμενον, ἀλλὰ καὶ ἐγκωμίων ὡς ἀληθῶς καὶ ἐπαίνων ἐπάξιον· αὐτίκα γὰρ ἡ τῆς βασιλείας ἀντίληψις, ζῆλον εἶχεν ὑπὲρ τῶν ὁμογενῶν σκοπὸν προηγούμενον, ὡς καὶ |τὰ| ἑξῆς πραχθέντα παρίστησι· τῆς γὰρ ἐθνικῆς καταδουλώσεως ᾤκτειρε τοὺς ὁμοεθνεῖς, καὶ πρὸς ἄμυναν αὐτῶν διανέστη, ἣν καὶ σὺν θεῷ κατειργάσατο· εἰ δὲ καί τινα δυσχερῆ τοῖς ἐν τῇ Κωνσταντινουπόλει ἐπισυνέβη ὁποῖα φιλεῖ γίνεσθαι ἐν τοιούτοις πράγμασι, ταῦτα καὶ αὐτὸς ἀποσειόμενος μετανοίᾳ ἀξιολόγῳ καὶ εὐποιΐαις πολλῶν, τὴν ἀντισήκωσιν ὡς ἐχέφρων ἐπραγματεύσατο· διὸ καὶ τοῖς ἀνιαθεῖσιν οὕτως ἔδοξεν ἐκ τῶν εὐεργεσιῶν ἀγαπητὸς καὶ ἐπίχαρις, ὡς ἀντὶ πατρὸς καὶ εὐεργέτου πᾶσι λογίζεσθαι. Περὶ δὲ τῶν ἱερῶν καὶ νόμον ἐξέθετο, τήν τε μετάνοιαν αὐτοῦ διαγράφοντα, καὶ τοῖς ἐφεξῆς τὴν τόλμην ὁλοτελῶς ἀναστέλλοντα, καὶ τὰ ἀφαιρεθέντα δὲ ἐπανέσωσε τοῖς ἀφαιρεθεῖσι, καὶ πλειόνων δόσει καὶ μεγαλοπρεπεστέρων τὰ ἱερὰ κατηγλάϊσε, καὶ τοῦτο δῆλον ἐκ γραμμάτων διαφόρων ἃ εἰς ἡμᾶς περισώζονται, ἐφ' οἷς καὶ αὐτὸς ἔχει λέγειν μετὰ τοῦ προφητάνακτος, ἐποίησα κρῖμα καὶ δικαιοσύνην.

Οὕτως οὖν θεοφιλῶς τε καὶ εὐλαβῶς τὴν βασίλειον διακυβερνήσας ἀρχὴν ἐφ' ὅλοις ἔτεσι τριάκοντα ἑπτά, πρὸς δὲ καὶ μῆνας τέσσαρας ἥμισυ, πρὸς τὸ τῆς μετανοίας καταφυγὼν σχῆμα, καὶ τὴν τρίχα κειράμενος θνήσκει καὶ κατατίθεται ἐν τῇ παρ' αὐτοῦ ἀνεγερθείσῃ ἐκ βάθρων τοῦ Φιλανθρώπου μονῇ, μετὰ καὶ τῆς αὐγούστης Εἰρήνης τῆς αὐτοῦ ὁμοζύγου, καὶ αὐτῆς τὴν μοναχικὴν ἐπιποθησάσης κατάστασιν.

Λέγεται κατὰ τὴν βασιλείαν τούτου γενέσθαι καὶ ὃ λέ-

ξων ἔρχομαι· στήλη τις ἐν τῇ τοῦ Κωνσταντίνου ἀγορᾷ τοῦ αὐτοῦ τῆς Πόλεως οἰκοδόμου βασιλέως ἵδρυτο, ἐκ χαλκοῦ μὲν, ἀλλὰ χρυσῷ καθαρῷ ἅπασα εἰλημμένη, ἥτις καὶ διὰ τὸ πρὸς 49r. ἥλιον ἀνατέλλοντα ἀποστίλβειν ἐκ τοῦ χρυσοῦ | Ἀνθήλιος ἐπικέκλητο, καὶ τιμήεσσα ἦν, οἷα τοιούτου βασιλέως εἰκὼν, ἁγίου τε καὶ τῆς μεγαλοπόλεως ταύτης δομητῆρος· αὕτη πνευμάτων ἀντιπνοίαις τῷ τότε ἀποσφαλεῖσα τῆς βάσεως, πτῶμα κατέπεσε καὶ συνετρίβη τελείως, ὡς μηκέτι μηδόλως ἔχειν ἀνόρθωσιν· ὃ δῆτα καὶ οὐκ ἀγαθὸς οἰωνὸς τοῖς περὶ τὰ τοιαῦτα τότε σοφοῖς ἔδοξε, μᾶλλον δὲ καὶ λίαν ἀπαίσιος.

Οὕτω μὲν οὖν τοῦ βασιλέως Ἀλεξίου μεταλαχόντος τὸ ζῆν, ὁ τῶν ἐκείνου υἱῶν πρῶτος Ἰωάννης ὁ Κομνηνὸς, τὴν βασίλειον ἀρχὴν διεδέξατο· καὶ γὰρ ἦν καὶ τοῦ πατρὸς ἔτι ζῶντος τοῖς τε πορφυροῖς πεδίλοις καὶ τοῖς ἄλλοις τῆς βασιλείας παρασήμοις κεκοσμημένος, καὶ βασιλεὺς τῇ πατρικῇ γνώμῃ πρὸς τῶν ὑπηκόων καὶ αὐτῶν δὲ τῶν γνησίων ἀναγορευόμενος· ἔφθασε δὲ καὶ τῷ πατρὶ ψυχορραγοῦντι ἐπιπεσὼν ὡς τὰ λοίσθια συνταξόμενος, καὶ ἐκείνου δακτύλιον εἴθ' ἑκόντος ἢ ἄκοντος (λέγεται γὰρ ἀμφότερα) ἀφαιρεῖται. Ἔχει δὲ λόγος ὡς ὁ μὲν βασιλεὺς Ἀλέξιος τὸν υἱὸν Ἰωάννην πρὸς βουλῆς εἶχεν ἀεὶ διάδοχον αὐτοῦ βασιλέα καταλιπεῖν, ὃ καὶ πεπλήρωκεν· ἡ δὲ βασιλὶς τὴν θυγατέρα Ἄνναν καὶ τὸν ἐπ' αὐτῇ γαμβρὸν τὸν Βρυέννιον παρεβιάζετο ἐγκαθιστᾶν τῇ ἀρχῇ, ὡς καί ποτε τὸν Ἀλέξιον φάναι, ὡς οὐκ ἀνδρὸς σώφρονι νῷ διοικουμένου, διάδοχον τὸν γαμβρὸν ἐγκαταστῆσαι, προκρίνοντα τοῦ υἱοῦ. Ὅμως παρὰ τῆς συζύγου μὴ πειθομένης καὶ ἔτι παρενοχλούμενον, κεναῖς ἐλπίσι ταύτην παρηγορεῖν· ἐπεὶ δὲ καὶ τὸ τῆς ζωῆς αὐτῷ τέλος ἐφίστατο, καὶ τὸν υἱὸν, ὃ προέθετο, τῶν ὅλων εἴασεν κύριον αὐτοκράτορα, τότε καὶ αὐτὴν παραφθέγξασθαι τὸ κρυψίνουν αἰτιωμένην αὐτῷ ἔν τε τῇ ζωῇ πάσῃ κἀν τῷ θανάτῳ, ἤδη ἐκπνέοντι.

Εὐθὺς οὖν ἅμα τῷ λαβεῖν τὸν δακτύλιον τοῦ πατρὸς μετὰ τῶν προσγενῶν, οἳ τὰ φίλα τούτῳ ἐφρόνουν, εἰς τὸ μέγα ἀρχεῖον ἀποτρέχει, καὶ εἰσδὺς μετὰ τῶν οἰκείων, καὶ τοῦ ἀδελφοῦ δὲ Ἰσαακίου (καὶ γὰρ οὗτος ἐν τοῖς πρώτοις τῶν συναιρομένων αὐτῷ πρὸς τὴν βασιλείαν ἐτάττετο· πᾶσι γὰρ οὐκ ἦσαν τότε εἰσιτητὰ τὰ ἀνάκτορα), τήν τε ἀρχὴν καὶ τὰ τῆς βασιλείας πάντα καὶ τοὺς θησαυροὺς αὐτοὺς παραλαμβάνει, καὶ μόνος αὐτοκράτωρ τῇ τῶν πάντων βουλῇ καὶ συνδρομῇ ἀποδείκνυται. Ἡμερῶν δὲ οὐ συχνῶν διαγενομένων, τὴν εἰς τὰ ἀρχεῖα πάροδόν τε καὶ ἔξοδον ἀνῆκε τῷ βουλομένῳ παντὶ, τῶν τε κοινῶν πραγμάτων ἐφήπτετο καθὼς ὑπέβαλλεν ἡ προαίρεσις, ἤδη ἐν τῷ ἀσφαλεῖ καθεστὼς, καὶ τοῖς ἐκ γένους ἢ ἄλλως αὐτῷ προσεγγίζουσιν ἁρμοδίως ἀπένειμε τὰς τιμάς. Τῷ γε μὴν κασιγνήτῳ Ἰσαακίῳ συμφυὴς καὶ ὁμόπνους ἐδείκνυτο, καθέδρας τε καὶ τραπέζης ἐξ ἴσου κοινωνὸν παρελάμβανε, καὶ ἀναρρήσεως μετεδίδου ἐπιπρεποῦς, τῷ τοῦ σεβαστοκράτορος ἀξιώματι, ᾧ πρὸς τοῦ πατρὸς Ἀλεξίου ὁ Ἰσάκιος ἐτετίμητο. καὶ φροντιστὰς τῶν δημοσίων πραγμάτων προὐβάλλετο τὸν Κομνηνὸν Ἰωάννην, ὃν καὶ τῷ τοῦ παρακοιμωμένου ἐσέμνυνεν ἀξιώματι, καὶ τὸν Ταρωνίτην Γρηγόριον τυγχάνοντα πρωτοβεστιάριον. Ὕστερον δὲ, ἐπεὶ ὁ Κομνηνὸς Ἰωάννης τὴν ἐνοχὴν ἀπεφορτίσατο, ὁ Καματηρὸς Γρηγόριος, ὃς καὶ τῷ βασιλεῖ Ἀλεξίῳ προσελήφθη, καὶ κατὰ κῆδος μιᾷ τῶν ἐκείνου συγγενῶν εἰς κῆδος συνήφθη καὶ λογοθέτης τῶν σεκρέτων τετίμητο, τῷ Ταρωνίτῃ συντάττεται πρὸς τὴν τῶν δημοσίων διοίκησιν. Ἴσχυε δ' ὑπὲρ πάντας παρὰ τῷδε τῷ βασιλεῖ ὁ Ἀξοὺχ Γωάννης· ἦν δ' οὗτος Πέρσης τὸ γένος, τῆς δὲ Βιθυνῶν προκαθημένης πόλεως Νικαίας ὑπὸ τῶν Ἑσπερίων ἁλούσης ταγμάτων, ἡνίκα τῆς ἐς Παλαιστίνην πορείας εἴχοντο, συνέχεται καὶ αὐτὸς καὶ τῷ βασιλεῖ Ἀλεξίῳ δῶρον προσάγεται· ἧλιξ δ' ὢν Γωάννῃ τῷ βασιλεῖ, συμπαίστωρ αὐτῷ προσειλήπτο, καὶ τῶν

50. οἰκιδίων μόνος προσφιλέστατος κρίνεται, | καὶ τῆς βασιλείας ἐπιβεβηκότος τοῦ Ἰωάννου, μέγας δομέστικος ἐτιμήθη, ὡς καὶ πολλοὺς τῶν ἐριτίμων κατὰ γένος βασίλειον ἀποβαίνειν τοῦ ἵππου καὶ τούτῳ ἀπονέμειν προσκύνησιν κατὰ συγκυρίαν ὑπαντιάζοντας. Ἦσαν δὲ τῷ ἀνδρὶ τούτῳ χεῖρες οὐ μόνον δεδιδαγμέναι πρὸς πόλεμον, ἀλλὰ καὶ πρὸς εὐποιΐαν τῶν δεσμίων ὀξεῖαί τινες καὶ εὐκίνητοι· διὸ καὶ τὸ εὐγενὲς τῆς γνώμης καὶ ἐλευθέριον, τὸ μὴ ἔχον οὕτω τοῦ γένους τὰ πολλὰ συνεσκίαζε, καὶ ποθεινὸν παρὰ πᾶσι τὸν Ἀξοὺχ ἀπειργάζετο.

Τούτῳ τῷ βασιλεῖ Ἰωάννῃ οὐδ' ὅλον ἐνιαυτὸν ἐν τῇ βασιλείᾳ διαγεγονότι παρὰ τῶν ἐκ τοῦ γένους ἐπιβουλὴ συσκευάζεται, καὶ ταῦτα μηδὲν ἐχόντων ἐγκαλεῖν ὡς παρ' αὐτοῦ τι πεπόνθασι λυπηρόν· ἀλλὰ πρὶν εἰς ἔργον προβῆναι ἐγνώσθη, καὶ οἱ ἐπιβουλευσάμενοι οὐδέν τι ἀπαίσιον ἐπιτιμηθέντες ἕτερον, ἢ τῶν οὐσιῶν τὴν στέρησιν, ἀπελύθησαν· ὁ καῖσαρ δ' ἦν Βρυέννιος ἀρχηγὸς τοῦ κακοῦ καὶ ἡ τούτου γαμετὴ Ἄννα, ὁμαίμων μὲν οὖσα τῷ βασιλεῖ, καὶ παιδείας πάσης λογικῆς, καὶ αὐτῆς δὲ φιλοσοφίας εἰς ἄκρον καταπολαύσασα, δύσνους δὲ περὶ τοῦτον ἀεί. Οὐ μὴν ἄχρι τέλους τὴν τῶν οὐσιῶν πάντες ὑπέστησαν στέρησιν, ἀλλ' αὐταὶ τοῖς πλείοσι μετά τινα καιρὸν ἀπεδόθησαν· τὸ δ' ὅπως ἐπιμνησθῆναι καλὸν, ἔχει γάρ τι καὶ χάριεν, εἰ καὶ τῆς τοῦ βασιλέως χρηστότητος ἔστιν ἀπόδειξις· τὴν ἐν χρυσῷ καὶ ἀργύρῳ καὶ πλούτῳ παντοδαπῷ καὶ ποικίλοις ἐσθήμασι περιουσίαν τῆς καισαρίσσης καθ' ἕνα δόμον ἀποκειμένην ὁ βασιλεὺς ἐθεᾶτο, καὶ ἐπὶ τούτοις εἰπὼν « ὡς ἡ τάξις ἐπ' ἐμοὶ ἀντεστράφη· τὸ γὰρ συγγενὲς δύσνουν καὶ πολέμιον εὕρηται, οἱ δ' ἀλλότριοι οἰκεῖοι καὶ φίλα φρονοῦντες διαγινώσκονται, καὶ διὰ τοῦτο χρεὼν καὶ τὰ τοῦ πλούτου πρὸς τοὺς φιλοῦντας μεταρρυῆναι », πάντα εἰληφέναι τὸν μέγαν δομέστικον τὸν Ἀξοὺχ διωρίσατο. Ὁ δὲ εὐχαριστήσας ἐπὶ τούτοις ὅσα εἰκὸς, ᾔτησεν ἐνδοθῆναι αὐτῷ ἃ βούλεται

διαλεχθῆναι τῷ βασιλεῖ, καὶ λαβὼν τὸ ἐνδόσιμον εἴρηκεν, « εἰ καὶ ἀνόσια περὶ σὲ ἡ σὴ ἀδελφὴ ἐβουλεύσατο, ὦ βασιλεῦ, ἀλλ' οὐχὶ καὶ τὴν ἐκ φύσεως κλῆσίν τε καὶ σχέσιν ἀποβαλέσθαι δεδύνηται· ἀγαθοῦ τοίνυν βασιλέως κασίγνητος μένουσα, ἐκ μετανοίας τὸ φίλτρον αὖθις ἀνακαλέσεται· φεῖσαι οὖν τῆς σῆς ἀρετῆς ἡττᾶσθαι ὁμολογούσης, καὶ δὸς αὐτῇ ταῦτα, οὐχ ὡς ὀφείλημα, ἀλλ' ὡς σὴν δωρεὰν, ἐπεὶ καὶ δικαιότερον ἐμοῦ ταῦτα ἐκείνη κτήσαιτο, ὡς κλῆρον πατρῷον, καὶ πρὸς τὸ γένος αὖθις διαβησόμενα. » Τούτοις ὁ βασιλεὺς αἰδεσθεὶς τὴν αὐτοῦ βουλὴν ἀπεπλήρωσε, καὶ πάντα τῇ καισαρίσσῃ δίδωσιν.

Εἰρήνη δὲ ἡ τοῦ βασιλέως μήτηρ καὶ βασιλὶς κατ' οὐδὲν ἔγνωσται τῆς ἐπιβουλῆς τοῦ υἱοῦ κοινωνήσασα· ἔλεγε δὲ καὶ σοφόν τι καὶ ἀξιομνημόνευτον, ὡς βασιλέα, οὐχ ὑπόντα, δεῖ ζητεῖν, παρόντα δὲ, μὴ μετακινεῖν, ἀλλὰ στέργειν καὶ εὐνοεῖν τούτῳ καὶ ὑποτάτεσθαι.

Ὁ δὲ βασιλεὺς τοὺς Πέρσας ὁρῶν τὰς πρὸς τὸν αὐτοῦ πατέρα συνθήκας παρ' οὐδὲν θεμένους καὶ παμπληθεὶ τῶν Ρωμαϊκῶν χωρῶν καὶ πόλεων κατατρέχοντας ὁπόσας περὶ Φρύγας καὶ τὸν ποταμὸν Μαίανδρον, ἔαρος ἐπιστάντος ἔξεισι κατ' αὐτῶν, καὶ συμβαλὼν μάχαις πολλάκις ἐκράτησε, τήν τε Λαοδίκειαν χειρωσάμενος τείχεσι περιέβαλε, καὶ τὸν Ἀλπιχαρὰν, ὃς ἦν αὐτῆς φύλαξ, μετανάστην ἔθετο. Καὶ τὰ λοιπὰ πρὸς τὸ δοκοῦν καταστησάμενος, δέον ἔγνωκεν ὑποστρέψαι πρὸς τὸ Βυζάντιον· καὶ μικρόν τι τῇ μεγαλοπόλει ἐνδιατρίψας, | σκηνήτης γίνεται πάλιν, τῶν ἀρχείων ἀπαναστάς. φ. 50ª Χειρωσάμενος τοίνυν ἔτρεχε τὴν κατὰ Παμφυλίαν Σωζόπολιν· ὡς δὲ δυσάλωτος ἐδόκει τις εἶναι, διὰ τὸ ἔνδον ὁπλιτικὸν καὶ τὸ τῆς θέσεως δύσοδον καὶ περίκρημνον, διὰ μηχανῆς ἔγνω δεῖν αὐτὴν παραστήσασθαι. Ἔνθεν τοι καὶ Πακτιαρίῳ τινὶ λεγομένῳ δύναμιν ἱππικὴν παραδοὺς, ἐντέλλεται συνεχῶς τῇ Σωζοπόλει ἱππάζεσθαι, καὶ βέλη ἀφιέναι τοῖς τείχεσιν, εἰ δ' ἐπεξέλθοιεν

οἱ πολέμιοι, φεύγειν ἀμεταστρεπτὶ, μηδὲ πρὸς πόλεμον ἵστασθαι, παρατρέχειν δ' οὕτω τὰς μικροῦ ἄπωθεν τῆς πόλεως δυσβάτους ὁδούς. Ὁ μὲν οὕτως ἔπραττε κατὰ τὸν βασιλικὸν ὁρισμὸν, καὶ οἱ πολέμιοι τῆς πόλεως ἐξερχόμενοι, ἐπιδιώκοντες ἦσαν μέχρι πολλοῦ. Σοφίζεται τοίνυν ὁ Πακτιάριος, καὶ ὑποκαθίσας λόχον ἐν ταῖς δυσχωρίαις, κατατρέχει συνήθως τῆς πόλεως· μὴ προσκεψάμενοι δὲ οἱ Τοῦρκοι τὸ ἔνεδρον, συντομώτερον ὀπίσω τῶν Ῥωμαίων ἐδίωκον, ὡς καὶ τὰς δυσχωρίας παραδραμεῖν· οἱ δ' ἐλλοχῶντες Ῥωμαῖοι, οὕτως ἀπροφυλάκτως τοὺς Τούρκους διώκοντας κατιδόντες, τῶν λόχων ἐξυποφανέντες, ἀλλὰ καὶ οἱ δοκοῦντες φεύγειν ἐπαναστραφέντες, ὡς ἐν σαγήνῃ τούτους συνέκλεισαν, μήτ' εἰς τὴν πόλιν δυναμένους ἐπανελθεῖν, μήτε τοὺς ὄπισθεν διαδράναι ἰσχύοντες, καὶ τοῖς κατὰ πρόσωπον ἀντιστῶσιν, οἳ τὸ φεύγειν ἐπλάττοντο. Οἱ μὲν οὖν σαγηνεύονται, οἱ δὲ καὶ ξίφους γίνονται παρανάλωμα, τινὲς δὲ τῇ τῶν ἵππων ἀρετῇ διασώζονται. Ἡ δὲ πόλις ἑάλω, καὶ Ῥωμαίοις πάλιν κατήκοος γίνεται. Καὶ πολλὰ δὲ ἕτερα φρούρια καὶ πολίχνια ὁ βασιλεὺς παρεστήσατο, καὶ αὐτὸ δὲ ὃ Ἱερακοκορυφίτης ὠνόμασται.

Περὶ δὲ τὸ πέμπτον ἔτος τῆς αὐτοῦ βασιλείας Σκυθῶν διαβάντων τὸν Ἴστρον, καὶ τὰ Θρακῷα μέρη ληϊζομένων, ἔξεισι κατ' αὐτῶν, τὰς Ῥωμαϊκὰς ἀθροίσας δυνάμεις, καὶ ὡς ἐνῆν ὁπλισάμενος γενναιότερον, οὐ διὰ τὸ πλῆθος τῶν πολεμίων μόνον καὶ ἀριθμοῦ κρεῖττον ὄν, ἀλλὰ καὶ διὰ τὸ σὺν κόμπῳ βαρβαρικῷ ἐπιέναι, εἰς μνήμην ἄγων ἃ πρῴην, ἡνίκα ὁ Κομνηνὸς Ἀλέξιος τὰ σκῆπτρα διεῖπε, διεπράξαντο, ὁπότε τὰ τῶν ἐν Θράκῃ καὶ Μακεδονίᾳ πλεῖστα ἠρήμωτο· τοίνυν καὶ δι' ἀποστολῆς ὁμογλώττων τῶν Σκυθῶν ἀποπειρασάμενος, εἴ πως ἂν ἐς συμβάσεις καὶ ὁμολογίας συνέλθοιεν, ἢ πάντες, ἢ ἔνιοι, πρὸς πλείους διῃρημένοι φυλὰς, καί τινας τῶν παρ' αὐτοῖς πρωτευόντων τόνδε τὸν τρόπον ἐφελκυσάμενος, πᾶσαν φιλοφροσύνην

επ' αὐτοῖς ἐπεδείκνυτο, οὐχ ἑστιάσεσι περιτταῖς μόνον, ἀλλὰ καὶ δώρων καὶ ἐνδυμάτων παροχαῖς σηρικῶν· ἐφ' ᾧ καὶ οὕτως ἔχουσιν ἀμφιβόλως τὰς γνώμας, ἐν μέρει μὲν διανοουμένοις σπείσασθαι Ρωμαίοις, ἐν μέρει δὲ θαρροῦσι τὸν πόλεμον ὡς ἐξ ἔθους ἔχουσι τὸ νικᾶν· ἄρας ἐκ τῶν τῆς Βερόης μερῶν, ἐκεῖσε γὰρ ἐστρατοπεδεύετο, σκοτίας ἔτι οὔσης νυκτερινῆς, τοῖς Σκύθαις συρρήγνυται· γίνεται τοίνυν φρικώδης ἡ συμβολή, τῶν μὲν Σκυθῶν γενναίως δεξαμένων τὸ Ρωμαϊκὸν στράτευμα τῇ τῶν ἵππων ἐπελάσει καὶ ταῖς τῶν τόξων βολαῖς καὶ ταῖς βοαῖς, τῶν δὲ Ρωμαίων ἐπισπευδόντων ἢ θανεῖν, ἢ ἡττῆσαι τοὺς πολεμίους. Ἀλλὰ καὶ αὐτὸς ὁ βασιλεὺς τοὺς οἰκείους ἔχων μεθ' ἑαυτοῦ ἀεί πως ἐπεβοήθει τῶν Ρωμαίων τοῖς κάμνουσιν. Αὐτὸ μέντοι τὸ Σκυθικὸν συναγαγὸν πᾶσαν ἅμαξαν, εἰς σχῆμα περιφερὲς αὐτὰς διατίθησι, καὶ τούτων ἄνωθεν στήσαντες οὐκ ὀλίγην μοῖραν τοῦ ἰδίου στρατεύματος, ὅσα καὶ χαρακώματι ἀπεχρῶντο τῷ μηχανήματι, πολλὰς διὰ τῶν ἁμαξῶν παρόδους ἀπεργαζόμενοι· καὶ βιαζόμενοι μὲν ὑπὸ Ρωμαίων καὶ τὰ νῶτα πρὸς τὴν τάξιν τῶν προσώπων μετατιθέντες, ὥσπερ εἰς τεῖχος ὀχυρὸν τὰς ἁμάξας κατέφευγον· εἶθ' οὕτως μετ' ἀνοχὴν ὡς ἐκ πυλῶν ἀνοιγομένων προκύπτοντες, ἔργα χειρὸς ἀνδρείας εἰργάζοντο· καὶ ἦν τὸ γινόμενον ἀκριβὴς τειχομαχία ἐν μέσῃ πεδιάδι σχεδιασθεῖσα.

| Ἦν οὖν τηνικαῦτα τὸν βασιλέα οὐκ ἀγαθὸν μόνον σύμβουλον, ἀλλὰ καὶ πρῶτον τέλει διδόντα ὁπόσα τοῖς στρατηγοῖς καὶ τάγμασιν ὑπετίθετο· τὸ δὲ καινὸν καὶ πολλὴν ἐκείνῳ μαρτυροῦν τὴν εὐσέβειαν, ὁπότε τῶν Ρωμαίων αἱ φάλαγγες ἔκαμνον τῶν βαρβάρων ἐπιτιθεμένων παραβολώτερον, τὴν εἰκόνα τῆς Θεομήτορος παρεστῶσαν ἔχων καὶ μετ' οἰμωγῆς ἐμβλέπων καὶ συνοχῆς, ἐλεεινοῖς τοῖς σχήμασι θερμότερα τῶν ἐναγωνίων ἱδρώτων κατέλειβε δάκρυα· καὶ ἦν οὔκουν εἰς κενὸν τοῦτο διαπραττόμενος, ἀλλὰ τὴν ἐξ ὕψους αὐτίκα θωρακιζόμενος φ.

δύναμιν, τὰς Σκυθικὰς ἐτροποῦτο παρεμβολάς. Ἀναλαβὼν δὲ καὶ τοὺς ὑπασπιστάς, ὡσεὶ τεῖχος ἄρρηκτον, τοῖς Σκύθαις ἀντιπροβάλλεται· ἀμέλει καὶ διαλυθέντος τοῦ ἐκ τῶν ἀμαξῶν ἐρύματος, καὶ εἰς χεῖρας τοῦ πολέμου γεγενημένου, γίνεται τῶν ἐναντίων φυγὴ καὶ τροπὴ ἀκλεής, καὶ Ῥωμαίων εὐθαρσὴς ἐπιδίωξις, καὶ πίπτει κατὰ χιλιοστύας τὸ Σκυθικόν, καὶ διαρπάζονται τὰ αὐτῶν, καὶ τὸ συλληφθὲν δορυάλωτον ἀριθμοῦ κρεῖττον ὁρᾶται, ὥσπερ καὶ τὸ αὐτόμολον τῷ πόθῳ τῶν ζωγρηθέντων ὁμογενῶν, ὡς ἐκ τούτων καὶ κώμας συνοικισθῆναι, οὐκ ὀλίγους δὲ καὶ εἰς συμμάχους καταλεγῆναι Ῥωμαίοις.

Τοιαύτην νίκην περιφανῆ κατὰ Σκυθῶν ὁ αὐτοκράτωρ ἀράμενος, τὰς εὐχὰς θεῷ ἀποδίδωσι, τὴν τῶν Πατζινάκων λεγομένην εἰς ἡμᾶς τελετὴν εἰς ἀνάμνησιν τῶν πεπραγμένων ἀποτάξας, καὶ χαριστήριον ἑορτήν.

Μικρὸν δὲ ὕστερον καὶ κατὰ τῶν Τριβαλῶν (οἱ Σέρβοι δ' οὗτοί εἰσιν), ἐκστρατεύει, καὶ κατὰ κράτος ἡττήσας καὶ τούτους, πρὸς σπονδὰς ὑπηγάγετο, μηδ' ἄλλως δεικνύμενον ἀξιόμαχον ἔθνος, ἀλλ' ὑποκύπτον ταῖς ἐκ γειτόνων ἀρχαῖς· καὶ λείαν ἐκεῖθεν ἐλάσας ὅτι πολλήν, τὸ τοῦ πλήθους αἰχμάλωτον κατὰ τὴν Ἕω διαβιβάσας, κατὰ τὴν χώραν τὴν Νικομήδους οἰκεῖν διετάξατο, τὸ μὲν τοῖς στρατεύμασιν ἐγκαταμίξας, τὸ δὲ φόρους τελεῖν ὁρισάμενος.

Πατὴρ δὲ ἀρρένων παίδων ὁ βασιλεὺς οὗτος φανείς, τῷ μὲν προήκοντι κατὰ γένεσιν, Ἀλεξίῳ τῷδε τὸ ὄνομα, τοῦ τῆς βασιλείας κράτους μετέδωκε, βασιλέα καὶ τοῦτον ἀναγορεύεσθαι καὶ συνευφημεῖσθαι αὐτῷ διατεταχώς, τὸν δὲ μετ' αὐτὸν Ἀνδρόνικον, Ἰσαάκιόν τε τὸν ἐπὶ τῷδε, καὶ τὸν ἐφεξῆς καὶ τέταρτον Μανουήλ, σεβαστοκρατορικαῖς ὑπεξαίρει τιμαῖς. Φασὶ δὲ ὡς κατ' ὄναρ θεάσαιτο τὸν νεοστεφῆ υἱὸν τὸν Ἀλέξιον θηρίῳ λέοντι ἔποχον καὶ τοῦτον ἐκ τῶν ὤτων ἡνιοχεῖν· ἦν δὲ ἡ σύγκρισις τοῦ ὀνείρατος, ὡς μέχρι προρρήματος ψιλοῦ τῆς

βασιλείας καταπολαύσει Ἀλέξιος, τῆς δὲ κυριαρχήσεως οὐδαμοῦ ἐπιτεύξεται· ὅ δὴ καὶ συμβέβηκεν ὕστερον, θανάτῳ ἐξελθόντος τοῦ ζῆν.

Περὶ δὲ τὸν τοῦ θέρους καιρὸν τὸν Ἴστρον διαβάντες οἱ Οὖννοι (Οὔγγρους τούτους φασὶν οἱ πολλοὶ), τήν τε Βρανίτζοβαν ἐξεπόρθησαν, τὰ τείχη καταβαλόντες, καὶ τοὺς λίθους εἰς τὸ Ζεύγμινον μετενεγκόντες, καὶ τὴν Σαρδικὴν δὲ ἐληΐσαντο, τὰς ἐπὶ εἰρήνῃ καὶ φιλίᾳ συνθήκας ἀποσεισάμενοι· ἦν δὲ ἡ μὲν κεκρυμμένη αἰτία, τὸ τὸν Ἀλμούζην, ἀδελφὸν ὄντα τοῦ τῶν Οὔννων κατάρχοντος, παρὰ βασιλέα ἐλθεῖν καὶ προσδεχθῆναι· ἡ δὲ πρόδηλος, τὸ τοὺς οἰκήτορας Βρανιτζόβης λῃστρικῶς ἐπιτίθεσθαι τοῖς ἐς αὐτοὺς ἐρχομένοις Οὔννοις κατ' ἐμπορίαν. Ἅτε δὲ ἀπροόπτως τῆς τῶν Οὔννων ἐπιδρομῆς γενομένης, τότε μὲν τῇ Φιλιππουπόλει ἐπιδημήσας ὁ βασιλεὺς, καὶ τούτους ἐκεῖθεν μετανάστας θέμενος, ἕως τοῦδε τὸ προμηθὲς ἐσχεδίασε. Τῷ δ' ἐπιόντι καιρῷ πρὸς βοήθειαν τῶν οἰκείων, καὶ ἄμυναν τῶν πολεμίων χρησάμενος, τὰς δυνάμεις συνήθροισε, καὶ νῆας ἡτοίμασεν, ἃς καὶ διὰ τοῦ Πόντου εἰς τὸν Ἴστρον εἰσήγαγε, καὶ οὕτω διὰ γῆς καὶ θαλάττης τοῖς πολεμίοις ἐφίσταται, καὶ τὸν ποταμὸν διελθὼν, καὶ τὸν στρατὸν ἐς τὰ πέραν καταστησάμενος, ἱππομαχίᾳ τὸ Οὐννικὸν διεσκέδασε. Χρονίσας δὲ τῇ πολεμίᾳ, τοῦ τε Φραγγοχωρίου ἐκράτησεν, ὅπερ ἐστὶ τῆς τῶν Οὔννων γῆς τὸ πιότατον, μεταξὺ τῶν ποταμῶν Σαούβου καὶ Ἴστρου κείμενον |, καὶ τὸ Ζεύγμινον παρεστήσατο, καὶ κατ' αὐτὸν ἀπελθὼν τὸν Χράμον, λείαν πλείστην ἐκεῖθεν ἐξήλασεν. φ.

Ἔπειτα καὶ τῷδε τῷ γένει, μεθ' ἑτέρας συμπλοκὰς, τὰς εἰρηνικὰς σπονδὰς θέμενος, καὶ τὸ λοιπὸν βαρβαρικὸν ὅσον καθ' Ἑσπέραν Ῥωμαίοις εἰς φιλίαν ὑπαγαγόμενος, δεῖν ᾠήθη καὶ τὰ ὑπερόρια γένη καθ' ὃν ἠδύνατο τρόπον ὑποποιήσασθαι, καὶ τούτων ὁπόσα τῇ ἐμπορίᾳ προσκείμενα μετὰ πλοίων εἰς τὴν Κωνσταντίνου καταίρουσιν. Οὐκοῦν καὶ τὴν παράλιον

Ἰταλίαν οἰκειωσάμενος, πληθὺν νηῶν ἐμπορικῶν εἰς τὴν τῶν πόλεων βασιλίδα ἔρχεσθαι κατεπράξατο.

Ἠρεμησάντων δ' οὕτω τῶν Δυσμικῶν, εἰς τὰ τῆς Ἀνατολῆς μέρη μεταβιβάζει τὸ στράτευμα, καὶ τοῖς τὴν Κασταμόνα τυραννοῦσι Περσαρμενίοις δέον ἔκρινεν ἐπιθέσθαι. Ὅθεν καὶ διὰ τῆς Βιθυνῶν καὶ Παφλαγόνων ἐλάσας, ἐκεῖ παραγίνεται· καὶ κλίμαξι πλείστοις χρησάμενος, καὶ ἑλεπόλεις κύκλῳ περιστήσας, ἴσχυσε κρατῆσαι τῆς πόλεως, τοῦ ἐν αὐτῇ σατράπου φυγῇ διαπεφευγότος εἰς τὰ οἰκεῖα. Οὐκ ὀλίγον δὲ πλῆθος Περσῶν ἐκεῖθεν αἰχμάλωτον εἰληφώς, πρὸς τὸ Βυζάντιον νικηφόρος ἀνέζευξε. Τοίνυν καὶ θρίαμβον ἐπὶ τῷ τροπαίῳ κηρύξας, ἅρμα ἀργυροῦν γενέσθαι προσέταξε, λίθοις τιμίοις κοσμούμενον· ἐνστάσης δὲ τῆς εἰς τὴν πρόοδον ὡρισμένης ἡμέρας, ἅπας πέπλος τὰς ἀγυιὰς ἐπεκόσμησε χρυσοϋφής τε καὶ περιπόρφυρος, τινῶν τούτων καὶ εἰκόνας πλουτούντων τοῦ Χριστοῦ καὶ τῶν ἁγίων, ἅ καὶ εἶπέ τις ἂν ἔμψυχα· ἦν δὲ θαύματος ἄξια καὶ τὰ περὶ τὴν πάροδον· χῶρος δὲ τῆς Πόλεως ἐν ᾧ ταῦτα ἐπράττετο ὁ ἀπὸ τῶν ἀνατολικῶν τῆς Πόλεως πυλῶν ἤτοι τῆς ἀκροπόλεως, εἰς αὐτὸ τὸ μέγα παλάτιον· εἷλκον δὲ τὸ ἅρμα τέσσαρες ἵπποι χιόνος λευκότεροι. Ὁ δὲ βασιλεὺς τὴν εἰς τὸ ἅρμα ἐπίβασιν καταλείψας, τὴν τῆς Θεομήτορος εἰκόνα τούτῳ ἐπανεβίβασεν, ἐφ' ᾗ καὶ ἀγαλλόμενος ἦν καὶ τὴν ψυχὴν ἐκλείπων, ὡς συμμάχῳ τε καὶ νικοποιῷ, καὶ δοὺς ἄγειν τὰ χαλινὰ τοῖς παρ' αὐτῷ πρώτοις ἄρχουσι καὶ ἐκ γένους ἐγγίζουσιν, αὐτὸς προῆγεν οὕτως τὸ τοῦ σταυροῦ σημεῖον κρατῶν, ποσὶν ἰδίοις τὴν πορείαν ποιούμενος· τὸν δὲ τῆς τοῦ θεοῦ Σοφίας νεὼν εἰσελθών, καὶ κυρίῳ τῷ θεῷ τὴν τῶν κατορθωμάτων ἀπονείμας ἀνθομολόγησιν ἐνώπιον παντὸς τοῦ λαοῦ, εἰς τὸ μέγα παλάτιον οὕτως παρέβαλεν.

Οὐ πολλοῦ δὲ διαδραμόντος καιροῦ, αὖθις κατὰ Κασταμόνος ἐστράτευσεν· ὁ γὰρ τότε τῆς Καππαδοκῶν κρατῶν Περ-

σαρμένιος, ὄνομα Τανισμάνιος, μετὰ δυνάμεως ἐπελθὼν μείζονος τὴν πόλιν εἷλε, καὶ τοὺς εἰς φυλακὴν Ῥωμαίους ξίφει διεχειρίσατο· ὁ βασιλεὺς δὲ τὸν μὲν Τανισμάνιον ἐξ ἀνθρώπων εὗρε γενόμενον, Μουχούμετ δέ τινα τὴν Κασταμόνα κατέχοντα, μισούμενον τῷ τῆς Ἰκονιέων πόλεως ἀρχηγῷ τῷ Μασοὺτ. Συνεργῷ γοῦν ὁ βασιλεὺς τῷ καιρῷ τὴν αὐτῶν διαφορὰν χρησάμενος, σπένδεται τῷ Μασούτ, καὶ συμμαχίαν ἐκεῖθεν εἰληφώς, κατὰ τοῦ Μουχούμετ ὁρμᾷ· ὁ δὲ μὴ δυνάμενος ἀμφοτέροις μάχεσθαι, ὕπεισι τὸν ὁμόφυλον Μασοὺτ, καταλύσας τὴν ἔχθραν, ἄλλοις τε πολλοῖς καὶ ὅτι τῷ βασιλεῖ προσιὼν καὶ τούτου γενόμενος, κακῶς διάθοιτο τὰ Περσῶν· ἐφ' ᾧ πείθει τὸν Μασοὺτ ἀποσχέσθαι μὲν τοῦ βασιλέως, ἐκείνῳ δὲ συνελθεῖν καὶ λύσαι τὴν συμμαχίαν. Οὗ μετὰ βραχὺ συμβάντος, καὶ τῶν ἐπικούρων Περσῶν τῶν ἐκ τοῦ Μασοὺτ ἐκπεμφθέντων τῷ βασιλεῖ νυκτὸς διαπεφευγότων, οὐκ εὔοδα τὰ τῆς παρούσης στρατείας τοῖς Ῥωμαίοις γεγόνασιν. Ὅθεν καὶ ἐκεῖθεν ὑπαναχωρήσας κατὰ τὸ πόλισμα στρατοπεδεύει ὅπερ οὗτος κατὰ τὸν ποταμὸν Ρυνδακὸν (1) ἀνήγειρε, καὶ πάλιν κατὰ τοῦ Μουχούμετ ἐπιστρατεύει, καὶ Ῥωμαίοις ἀνασωσάμενος Κασταμόνα, οὐδὲ τῆς Γάγγρας ἀπέσχετο, ἥτις οὐ πρὸ πολλοῦ τῶν Περσῶν ἐγεγόνει. | Νόμῳ γοῦν πολέμου τὰ περὶ τὴν πόλιν ταύτην ἑλών, ἔπειτα προσβάλλει καὶ κατ' αὐτῆς. Ἐπεὶ δὲ οἱ φ ἐντὸς Πέρσαι οὐδὲν μέτριον φρονοῦντες, οὐδόλως τῷ βασιλεῖ συνεχώρουν τὴν εἴσοδον, τειχομαχίᾳ χρησάμενος ἔνθα ἐπίμαχος ὁ περίβολος, συνεχῶς τοῦτον ἔτυπτεν· ὡς δὲ τὸ ἔργον μὴ προεχώρει, ἀφεὶς βάλλει τὰ τείχη, λίθους κατὰ τῶν οἰκιῶν ἔρριπτεν ἐκ τῶν ὀρέων ἐφ' ὧν Ῥωμαῖοι περιεκάθηντο· ὃ καὶ μὴ ἐνεγκόντες οἱ ἔνδον, πολλοὺς γὰρ τούτων οἱ λίθοι ἀπώλλυον, καὶ τῶν οἰκιῶν τὰς πλείστας ἠδάφισαν, ἑαυτοὺς καὶ τὴν πό-

(1) Ἐν περιθεωρίῳ σημειοῦται: « τὸν τοῦ Λοπαδίου. »

λιν τῷ αὐτοκράτορι ἐνεχείρισαν. Ὁ δὲ αὐτὴν εἰσιών, καὶ τὸ πολὺ τῶν Περσῶν ἐκεῖθεν ἀπαγαγών, καὶ δισχιλίους ὁπλίτας εἰς φρουρὰν ταύτης ἐγκαταστήσας, εἰς τὴν βασιλεύουσαν ἔρχεται.

Τὸ δ' ἀπὸ τοῦδε στρατείαν κατὰ τῶν Κιλίκων ἐκήρυξε, τὸν Λεβούνην κακῶσαι ζητῶν, ὅς Ἀρμενίας ἦρχεν, ὡς ἄλλα τε πολίσματα Ρωμαϊκὰ χειρωσάμενον, καὶ Σελευκείᾳ προσβάλλοντα. Συναγαγὼν τοίνυν τὰς δυνάμεις, καὶ νέας στρατολογήσας, καὶ ἐφόδια ἱκανὰ τοῖς πᾶσιν ἐνθέμενος, ταῖς δυσχωρίαις, αἵ Κιλίκων Πύλαι καλοῦνται, ἐφίσταται, καὶ ταύτας ῥᾳδίως διελθών, Ἀδάνης ἐπέβη, καὶ κρατεῖ τῆς Ταρσοῦ, καὶ περὶ τῆς ὅλης μάχεται Ἀρμενίας· ὅθεν πῇ μὲν ὁμολογίᾳ χειρούμενος τὰ τῶν φρουρίων δυσάλωτα, πῇ δὲ καὶ διὰ μάχης αὐτὰ παραλαμβάνων, ἐγκρατὴς ἁπάσης τῆς χώρας γίνεται. Ἐπιστὰς δὲ καὶ τῷ Βακᾷ πολίσματι, ἐπεὶ μὴ προσήρχοντο οἱ ἐντὸς, ἀλλ' ἀνθίσταντο, περικυκλοῖ τοῦτο παντὶ τῷ στρατῷ, μηδόλως ἂν ἐκεῖθεν ἀποσκηνῶσαι ἰσχυριζόμενος, εἰ μὴ τούτου γένοιτο ἐγκρατής, καταλέγων ὅσα μὲν εὑρήσουσιν ἀγαθὰ οἱ πολιορκούμενοι προσελθόντες, ὅσων δὲ κακῶν ἐν πείρᾳ κατασταῖεν ἀφηνιάζοντες· ἐκεῖνοι δὲ πρὸς πάντα ἦσαν ὡσεὶ κωφοί, ἀκατάπληκτοι ἐνορώμενοι πάντες, μάλιστα δέ τις Κωνσταντίνω (sic) γένους τῶν πρώτων ἐν Ἀρμενίοις καὶ τῶν πολλῶν διαφέρων χειρὸς γενναιότητι· οὐ γὰρ μόνον τὸ ἐνοικοῦν πλῆθος εἰς πόλεμον παρεθάρρυνεν, ἀλλὰ καὶ ἐπὶ πέτρας ἐπὶ τοῦ γηλόφου μεθ' ὅπλων φαινόμενος, ἐφ' οὗπερ ἡ μὲν φύσις τὴν πέτραν ἀνέδωκεν, ἡ δὲ τέχνη τείχεσι περιέλαβεν, ὕβρεσι τὸν βασιλέα ἔπλυνεν ὁ κατάρατος.

Βασιλεὺς μὲν οὖν συλλαβεῖν τὸν βάρβαρον ὑβριστὴν ἤθελε, καὶ δίκας λαβεῖν, ὁ δὲ τῇ ἰδίᾳ πεποιθὼς ῥώμῃ, καὶ τῷ ὀχυρωτηρίῳ τῆς φύσεως, καὶ τὴν τοῦ βασιλέως κατεμωκᾶτο καὶ ἐλοιδόρει παράταξιν, καὶ προεκαλεῖτο πρὸς συμπλοκὴν τὸν βουλόμενον. Ἀμέλει καὶ βασιλεὺς ἐπιτάττει τοῖς ταξιάρχαις ἀντιστῆσαι τῷ Ἀρμενίῳ ἀντίμαχον ἱκανόν. Ὡς οὖν Εὐστράτιός

τις ἐκ τοῦ τῶν Μακεδόνων ἐπεκρίθη τάγματος, ἀσπὶς αὐτῷ ἀνδρομήκης καὶ σπάθη νεόσμηκτος ἐγχειρίζεται· οὕτω δ' ὁπλισθεὶς ὁ Εὐστράτιος, τῶν Ῥωμαίων ἀποδραμὼν, καὶ πρὸς τὰ τοῦ γηλόφου ἐπιστὰς ἄκρα, τὸν Ἀρμένιον προσεκαλεῖτο πρὸς μάχην. Ὁ δὲ Κωνσταντῖνος εἰς οἰκείαν ὕβριν τὰ τοῦ Μακεδόνος λογισάμενος ῥήματα, ἐπιδραμὼν ὡς εἶχεν ὡπλισμένος, τῷ Εὐστρατίῳ προσρήγνυται, ἀσπίδα προβεβλημένος λευκὴν σταυρικὸν περὶ τὸ μέσον ἔχουσαν χάραγμα, καὶ ξῖφος κατέχων ἐν τῇ χειρὶ, καὶ οὐ διελίμπανεν ἐπ' εὐθείας τε καὶ ἐγκαρσίως κατὰ τῆς ἀσπίδος πλήττων τὸν Μακεδόνα, θράσει ἀλόγῳ χρώμενος, καὶ ἦν προσδόκιμος μέγα τι κακὸν ἐργάσασθαι τὸν ἀντίμαχον· καὶ βασιλεὺς δὲ αὐτὸς παντάπασιν ἀπεγνώκει τῶν χρηστοτέρων ἐλπίδων. Ἀλλὰ καὶ τοιῷδε ὁρμήματι τοῦ Κωνσταντίνου ἐπεισπεσόντος, οἱ Ῥωμαῖοι ὑπήλειφον φωναῖς τὸν Εὐστράτιον· ὁ δὲ, πολλάκις ἀποτείνας τὴν χεῖρα καὶ δόκησιν παρασχὼν ὡς πλήξειε τὸν ἀντίπαλον, ὑπεστέλλετο πάλιν· ὀψὲ δέ ποτε μετὰ πολλὴν τοῦ ξίφους κίνησιν ἄπρακτον τὴν χεῖρα κατενεγκὼν ὁ Εὐστράτιος, διχῇ τὸν Κωνσταντίνου θυρεὸν διαιρεῖ. Καὶ πρὸς τοῦτο Ῥωμαῖοι μὲν ἐπηλάλαξαν, ὁ δ' Ἀρμένιος τὸ ὅπλον ἀποβαλὼν, ποσὶ τὴν σωτηρίαν ἐπρίατο, ἐπανκδραμὼν εἰς τὸ γήλοφον ὡς τὸν περὶ ψυχῆς τρέχων· | τοῦ δὲ λοιποῦ κατὰ χώραν μένων, οὔτε Ῥωμαίων κατεφρυάττετο, οὔτε πρὸς ὕβρεις ἐχώρει, καὶ βλασφημίας κατὰ τοῦ βασιλέως ἀπέπτυεν. Ἐρωτηθεὶς δὲ πρὸς τοῦ βασιλέως ὁ Μακεδὼν, ὅ, τι δρῶν τὴν χεῖρα πολλάκις ἀνέτεινε, τὸ δὲ ξίφος ἅπαξ κατήνεγκε, σκοπὸν αὐτῷ ἔφησεν εἶναι μιᾷ πληγῇ τήν τε ἀσπίδα καὶ τὸν Ἀρμένιον διελεῖν· ὡς δὲ ὁ Ἀρμένιος οὐκ ἐν χρῷ ταύτην κατεῖχεν, ἀλλὰ πολὺ τοῦ σώματος ἀφεστῶσαν, ἔγνω δεῖν μὴ βραδύνειν, ἀλλὰ τοῦ ὅπλου κατενεγκεῖν πρῶτον, εἶθ' οὕτως τὸν πολέμιον ἄοπλον μετελθεῖν. Θαυμάσας τοίνυν ἐπὶ τούτοις ὁ βασιλεὺς, δωρεαῖς μεγίσταις ἠμείψατο τὸν Εὐστράτιον.

Οὐ πολλαὶ δὲ ἡμέραι παρῆλθον, καὶ ὑποκύπτει τῷ βασιλεῖ καὶ τοῦτο τὸ φρούριον, καὶ ὁ Κωνσταντῖνος συλληφθεὶς ἀπάγεται δορυάλωτος, σιδήρῳ τοὺς πόδας ἀσφαλισθεὶς, καὶ ναῦς τριήρης τοῦτον εἰσδέχεται, ἥτις καὶ διακομίσαι ἤμελλε δεσμώτην τοῦτον εἰς Βυζάντιον· ὁ δὲ, τολμηρὸς ὢν καὶ θερμουργὸς, τοῖς φύλαξιν αὐτοῦ νυκτὸς ἐπιθέμενος, καὶ πλείστους διαχειρισάμενος, καὶ τῶν δεσμῶν ὑπὸ τῶν θεραπόντων ἀνεθεὶς, φυγὰς οἴχεται· ἀλλ' οὔπω νεωτέροις ἐπιχειρήσας πράγμασι, συσχεθεὶς αὖθις, καταπροδίδοται βασιλεῖ.

Οἱ δὲ κατὰ τὴν Ἀνάζαρβον ἀγῶνες τοῦ βασιλέως καὶ τὰ πρὸς ἅλωσιν αὐτῆς στρατηγικὰ καὶ ἀρεϊκὰ κατορθώματα καὶ ἐπιχειρήματα, τίνα μὴ πρὸς θαῦμα καὶ ἔκπληξιν ὡς εἰκὸς κινήσειεν; Ἡ γὰρ πόλις αὕτη πολυάνθρωπος οὖσα καὶ τείχη προβεβλημένη ὀχυρά τε καὶ δύσμαχα, τότε μᾶλλον ἀσφαλεστέρα γεγένηται, πολλῶν εἰς αὐτὴν συνδραμόντων ὁπλοφόρων κρατίστων ἀνδρῶν. Βασιλεὺς μὲν οὖν μέρος τι τῆς αὐτοῦ στρατιᾶς ἀπέστειλεν εἰς αὐτὴν, καὶ τοῦτο Πέρσαις συντεταγμένον, οὓς ἐκ τῆς Γαγγρῶν ἁλώσεως ἑαυτῷ περιεποιήσατο, πεῖραν λαβεῖν ἐντεῦθεν τῆς τῶν Ἀρμενίων γνώμης βουλόμενος. Οἱ δὲ πρὸς μόνην τὴν τοῦ στρατοῦ θέαν θυμῷ ὑπερζέσαντες, τὰς πύλας ἀνακλίναντες κατὰ τούτων ἐξέδραμον, καὶ συμβολῆς γενομένης, ἡττῶσι τοὺς Πέρσας, καὶ νῶτα στρέψαντας ἐπὶ πλεῖστον καταδιώκουσι· συστάντων δὲ τῶν φευγόντων, οἷα βεβοηθηκότων αὐτοῖς καὶ Ῥωμαίων, ἡ μάχη παλίνστροφος γίνεται, καὶ εἰς τὴν πόλιν ἐγκλείονται οἱ Ἀρμένιοι. Μικρῷ δὲ ὕστερον καὶ τοῖς τείχεσιν αἱ μηχαναὶ προσάγονται, καὶ λίθοι ἐκσφενδονῶνται, καὶ τὰ τείχη βάλλουσιν. Ἀλλὰ καὶ οἱ βάρβαροι, οὐκ ἠρέμουν· ἀπὸ δὲ τῶν τειχῶν πετροβόλα στήσαντες μηχανήματα, ἠκόντιζον εἰς τὸ στράτευμα, καὶ σιδήρια σπινθηρακίζοντα ἐξετίνασσον, καὶ τοὺς Ῥωμαίους ἐλύπουν· ἔπειτα καὶ ἑαυτοὺς ὑποθήξαντες, ἐξιόντες ἐμπιπρῶσι τὰς ἑλεπόλεις, ὕλην εὐέξαπτον εὑρόντες τὰ

ἐκ δονάκων πλέγματα, ἅ πρὸς τὰ μηχανήματα φυλακὴν προετέθησαν. Τὰ δ' ἐπὶ τούτοις καγχασμοὶ τῶν βαρβάρων, καὶ χλευασμοὶ κατὰ Ρωμαίων καὶ τοῦ βασιλέως αὐτοῦ, καὶ λῆροι μακροί. Ἀνοχῆς δὲ γενομένης, καὶ τῆς μάχης ληξάσης ἐπὶ βραχὺ, τὰ πετροβόλα ἐπισκευάζονται ὄργανα, καὶ τὰ τούτων εἰς φυλακὴν ἐκ πηλίνων πλίνθων συντίθενται, καὶ οὕτω τῇ ἑξῆς τὰ τείχη ἐτύπτετο, καὶ τὰ ἐκπυρούμενα σιδήρια παρὰ τῶν Ἀρμενίων καὶ κατὰ τῶν πετροβόλων ἐπαφιέμενα κατ' οὐδέν τι ἐλυμαίνοντο. Ὅθεν καὶ κατὰ πολλὰ μέρη διαρραγέντος τοῦ περιβόλου τῆς πόλεως, εὐέφοδα τὰ ἔνδον γίνονται, καὶ τὸ πρὶν ἀναιδὲς καὶ ἀγέρωχον ὑποκλίνει τῷ βασιλεῖ, καὶ τὴν πόλιν Ἀνάζαρβον ἀνάγκῃ καὶ βίᾳ, ἀλλ' οὐ γνώμῃ αὐτῷ παραδίδωσιν. Ὁμοίως δὲ καὶ τὰ παρακείμενα τῇ πόλει ταύτῃ φρούρια ὁ βασιλεὺς μετελθὼν, εἰς τὴν Κοίλην Συρίαν ἄπεισι, καὶ τὴν καλλίπολιν Ἀντιόχειαν εἰσιὼν, ὑπτίαις χερσὶ παρὰ τοῦ πρίγκηπος Ραϊμούνδου καὶ τοῦ πλήθους παντὸς τῶν ἀστῶν ὑποδέχεται.

Ἐφ' ἱκαναῖς δὲ ἡμέραις | τῇ πόλει ἐνδιατρίψας, καὶ λίζιον φ. ἑαυτῷ τὸν πρίγκιπα ἀποδείξας, καὶ τὸν Τριπόλεως κόμητα ἔγνω προσβαλεῖν, καὶ ταῖς περὶ τὴν Ἀντιόχου παρὰ τῶν Ἀγαρηνῶν κατεχομέναις τῶν Σύρων καὶ Φοινίκων πόλεσι. Τοίνυν καὶ τῷ ποταμῷ πλησιάσας Εὐφράτῃ, ἀφικνεῖται εἴς τι πολίχνιον Πιζὰ ἐγχωρίως καλούμενον, ἔνθα καὶ πολλὴν ἐνδειξαμένων τῶν πολεμίων περὶ τὴν συμβολὴν γενναιότητα, ὑπονοστεῖ τὸ Ρωμαϊκὸν, καὶ μέχρι τινὸς καταδίωξις γίνεται. Μετ' οὐ πολὺ δ' ἐγγὺς τοῦ βασιλέως φανέντος, πολλοὶ τῶν περὶ αὐτὸν τοῖς ἀντιπάλοις συμβάλλουσιν· οἱ δὲ μὴ ἐνεγκόντες τὴν τῶν Ρωμαίων φορὰν, τειχῶν εἴσω συγκλείονται· τεῖχος γὰρ καὶ περίτειχος ὑπῆν τῷ πολίσματι, καὶ βαθεῖα τάφρος περιεζώννυεν, ἐν μέρει δὲ καὶ λίθος αὐτοφυὴς κατωχύρου. Πολλὰ γοῦν τῶν πυργωμάτων ταῖς τῶν λιθίνων νιφάσι καταπεσόντα, καὶ τὸ φρόνημα

τῶν ἐντὸς Ἀγαρηνῶν συγκαθεῖλε· τῷ βασιλεῖ τὰς χεῖρας προτείνοντες, τῶν ἐνόντων ἁπάντων, τὴν ζωὴν αὐτῶν ἀνταλλάττονται.

Ἐκ δὲ τούτου μοῖραν διαφεὶς τοῦ στρατεύματος κατὰ τῶν ἐπέκεινα Εὐφράτου πόλεων καὶ φρουρίων, πλῆθος λαφύρων συνέλεξε, καὶ τὸ Πιζὰ τῷ τῆς Ἐδέσης δωρησάμενος κόμητι, τῷ Βίμπετζ παραλλάξας ὡς εὐκαταγώνιστον, κἀπὶ πεδίου κείμενον, κατὰ τοῦ Χάλεπ καὶ τοῦ Φέρεπ ἐξώρμησε, τοῦτο αἰτησαμένου τοῦ τῆς Ἀντιοχείας πρίγκιπος, ἐπεὶ καὶ οὗτος τῷ βασιλεῖ συνεστράτευεν. Ἐπιστὰς δὲ τῷ Χάλεπ, τοῦτο δὲ ἐστιν ἡ πάλαι περίφημος Βέρροια, ὁρᾷ πολυάνθρωπον πόλιν πλεῖστον ἔχουσαν ἔνδον ὁπλιτικὸν, οἳ καὶ ἐξελθόντες μετὰ ῥύμης τοῖς περὶ τὸν βασιλέα Ῥωμαίοις συμπλέκονται· τὸ δ' ἧττον ἀπενεγκάμενοι, τὸν περίβολον εἰσῆλθον. Οὐχ ἅπαξ δὲ ἀλλὰ καὶ πολλάκις ἐπιδρομὰς θέμενοι, κατ' οὐδεμίαν κἂν τὸ ἶσον, ἀλλὰ τὸ ἧττον ἐν πάσαις ἐκτήσαντο· ἐνίοτε δὲ καὶ βασιλεῖ περιόντι τὴν πόλιν καὶ κατασκοποῦντι τὸ τεῖχος δι' ἐκηβόλων ἐπιβουλεύσαντες, ἀπέτυχον τοῦ σκοποῦ. Οὐδὲν οὖν δράσειν ἐξ ἐφόδου δυνάμενος διὰ τὴν τῶν τειχῶν τῆς πόλεως ὀχυρότητα, καὶ τὴν ἔνδον εὔϊππον καὶ εὔοπλον στρατιὰν, οὐχ ἧττον δὲ καὶ διὰ τὸ ἐπιλιπεῖν τὰ ἐφόδια, καὶ τὴν πυρὸς καὶ ὕδατος ὑποσπάνισιν, ἐκεῖθεν μεθίσταται, καὶ τὸ Φέρεπ ἐξ ἐφόδου παραστησάμενος, καὶ τοῦτο κόμητί τινι τῆς Ἀντιοχέων πόλεως ἀποχαρισάμενος, πρὸς ἑτέραν πόλιν μεταχωρεῖ, Καφαρδὰ λεγομένην, μεγίστης χώρας παρακαθημένην καὶ οὐκ ἐλάχιστα φρούρια περὶ αὐτὴν ἔχουσαν, ἔτι δὲ καὶ στερρότητι τειχέων κομπάζουσαν. Ἀλλὰ καὶ ταύτην διὰ ταχέος χειρωσάμενος μεταβαίνει πρὸς ἕτερα, καὶ τῆς πρὸς τὸ Ζέβερ πορείας ἁπτόμενος, στρατοπεδεύει περὶ τὸ Νίστριον, πόλις δὲ καὶ τοῦτο τῆς Μέσης τῶν ποταμῶν. Ὁδοῦ δὲ πάρεργον καὶ τούτου διαφθαρέντος, καὶ τοῖς στρατιώταις ἀφεθέντος, καὶ τούτων μάλιστα τοῖς ἐκ Σκυθῶν ὑφ' ὧν καὶ

ἑάλω, ἐκεῖθεν ἀπαναστὰς τῷ Σέζερ πρόσεισιν. Οἱ δ' ἐκ τοῦ ἄστεος τοῦδε καὶ τῶν πέριξ σατραπῶν συνελθόντων, πλείστους συνηθροικότες προσυπήντων τὸν ἐκεῖσε ποταμὸν διαβάντες· ἀλλὰ καὶ ἐκ καλάμων προβεβλημένοι δόρατα, τοῖς τοῦ βασιλέως συμπλέκονται, καὶ τὴν νίκην οἱ τοῦ βασιλέως ἀποφέρονται· ὅθεν οἱ μὲν τῶν πολεμίων κατὰ τοῦ ὕδατος καταδύονται, οἱ δὲ καὶ τοῖς δόρασι κατασφάττονται, τὰ ἐκ καλάμων αὐτῶν δοράτια καλαμίνην ὄντως ἐπεγνωκότες ἐπικουρίαν. Ἐντεῦθεν εἰς τὴν πόλιν ἀποκλεισθέντες, οὐκέτι ἐτόλμων ἐπεξελθεῖν· ἐκ δὲ τῶν γηΐνων ὀρόφων προφαινόμενοι Ρωμαίοις ἀντεφέροντο, τὴν ἑαυτῶν χώραν ἐάσαντες ἀδεῶς ληΐζεσθαι, καὶ χειροῦσθαι τὰ φρούρια. Οὕτω δὲ τούτων πραττόντων, ὁ βασιλεὺς τὰς φάλαγγας κατὰ γένος συντάξας, ὡς μίαν ἐνορᾶσθαι μοῖραν τῶν Μακεδόνων, ἑτέραν τε ἐκ Κελτῶν, καὶ ἄλλην τὸ Σκυθικὸν, ἔτι δὲ καὶ τὸ ἐκ Περσῶν προσχωρῆσαν Ρωμαίοις κατὰ πολέμους τοὺς πρότερον, τῶν στρατευμάτων διαφόρους προφαινόντων τὰς ἐφοπλίσεις, φόβῳ ληφθὲν τὸ πολέμιον, τὸν ἐκτὸς τῆς πόλεως περίβολον καταλεῖψαν, ἐπὶ τὸν ἔνδον μεθίσταται. Ἐπὶ πολλαῖς οὖν ἡμέραις ἀρεϊκαὶ συνέβαινον συμπλοκαί, καὶ πεῖραι, καὶ διαμάχαι, καὶ μονομαχίαι, καὶ τῶν ἀρίστων φυγαὶ καὶ ὑποχωρήσεις, καὶ καταδιώξεις ἐξ ἑκατέρων. Ἀλλὰ, εἰ τὰ Ρωμαίων ἐπικρατέστερα κατεφαίνετο, τὸ δὲ τῶν ἐναντίων κἂν ἔπιπτεν, ὅμως ἔμενεν ἔτι ἀκράδαντον, ὑπὲρ ψυχῶν αὐτῶν, καὶ γυναικῶν καὶ τέκνων καὶ πολλοῦ πλούτου μαχόμενον. Καὶ τάχ' ἂν ἥλω |φ. 5 καὶ ἡ πόλις αὐτὴ, καὶ κλέος Ρωμαῖοι ἐπὶ τῇ ταύτης χειρώσει ἐκτήσαντο, εἰ μὴ ἀγγελίαι τινὲς ἐκεῖθεν καὶ ἄκοντα τὸν βασιλέα μεθείλκυσαν, αἵ τὴν Ἔδεσσαν ἔλεγον κυκλωθῆναι παρὰ Περσῶν, καὶ κινδυνεύειν, μὴ βασιλέως αὐτῇ βοηθήσαντος.

Οὐκοῦν ἐκ τῶν πολιορκουμένων δῶρα μεγαλοπρεπῆ κομισάμενος ἐξ ὕλης τιμίας, καὶ ἵππους ἐριαύχενας, καὶ νήματα συνυφασμένα χρυσῷ, καὶ τράπεζαν ἀξιοθέατον, πρὸ δὲ τούτων

σταυρὸν εἰς χεῖρας δεξάμενος λυχνίτῃ λίθῳ κεκολλημένον, ἐν ᾧπερ αὐτοφυῶς ἡ τέχνη διύφανε γράμματα εἰς κάλλος τοῦ θείου εἰκάσματος καὶ ὀφθαλμῶν τρυφὴν, λύει τὴν πολιορκίαν τῆς πρὸς Ἀντιόχειαν ἐφαψάμενος. Ἔφασκον δὲ οἱ κατὰ τὸ Σέζερ Σαρακηνοὶ ταῦτα κτήσασθαι τοὺς προγόνους αὐτῶν, ἡνίκα Ῥωμανὸν τὸν Διογένην τὸν βασιλέα εἷλον, καὶ τὴν βασίλειον σκηνὴν ἐσκύλευσαν κεκρατηκότες τοῦ χάρακος.

Ἐν δὲ τῇ ἐκ τοῦ Σέζερ βασιλέως ἀπάρσει, ἐπιτίθενται τὰ τοῦ Ζακῆ καί τινων ἄλλων Περσικὰ στρατεύματα τῇ τῶν ἵππων ὠκύτητι καὶ τῇ βαρβαρικῇ τόλμῃ θαρροῦντα· ἀλλὰ τῶν ἐλπίδων ἀποτυχόντα, οὐ μόνον οὐδὲν γενναῖον εἰργάσαντο, ἀλλὰ καὶ δύο τῶν ἡγεμόνων ζωγρίας προσαπεβάλοντο, τὸν υἱὸν τοῦ Ἀτάπακα, καὶ τὸν ὁμαίμονα τὸν Σαμούχ.

Εἰσιὼν δὲ ὁ βασιλεὺς τὴν Ἀντιοχείας μεγαλόπολιν, τὸ ἀστικὸν πλῆθος οὕτως ἑαυτοῦ ἀνηρτήσατο, ὡς μεθ' ἱερῶν εἰκόνων καὶ πλείστης φιλοκαλίας λαμπρὰν ἐκείνῳ πάντας σχεδιάσαι τὸν εἰσιτήριον. Ἐκ δὲ ταύτης μετὰ φωνῶν αἰνεσίμων εἰς τὰ τῆς Κιλικίας ὅρια παραβαλὼν, ἐκεῖθεν τῆς πρὸς τὸ Βυζάντιον ἅπτεται, κατὰ τάξιν προϊών.

Στέλλει οὖν κατὰ τῶν Ἰκονιέων Περσῶν ἀπόμοιράν τινα τοῦ στρατεύματος· οὗτοι γὰρ, ὁπότε τῆς Συρίας ἐπέβαινεν, ἐκδρομὰς κατὰ Ῥωμαίων εἰργάσαντο, χρησάμενοι τῷ καιρῷ πρὸς ἐπίθεσιν. Τοίνυν καὶ τῶν δυσμενῶν περιγενόμενος, ἔκειρε τὴν πολεμίαν, ἅλωσιν ἀνθρώπων καὶ ζώων ἀπέλασιν ἐργασάμενος. Τοιοῦτοι μὲν οἱ πρὸς ἀνίσχοντα ἥλιον ἀγῶνες τοῦ Ἰωάννου δι' ἐκστρατείας μιᾶς, πᾶσαν γλῶσσαν καὶ γνώμην εἰς ἑαυτοὺς ἐφελκύσαντες· ἐν ᾗ καὶ τριετὴς χρόνος τούτῳ διήνυστο.

Τότε κατήλλακται τῷ βασιλεῖ καὶ ὁ αὐτάδελφος Ἰσαάκιος ὁ σεβαστοκράτωρ, ὃν ὁ λόγος φθάσας εἴρηκε συνάρασθαι τούτῳ εἰς τὴν τῆς βασιλείας κατάσχεσιν, συνέκδημον καὶ συμπλανήτην ἔχων καὶ τὸν τῶν παίδων πρωτότοκον Ἰωάννην· ἀ-

νὴρ οὗτος ἀρεϊκὸς, καὶ τὰ πάντα τὴν σωματικὴν διαρτίαν καλὸς, ὃς καὶ πλείστοις ἄλλοις προσμίξας ἔθνεσι καὶ τῷ τῶν Γκονιέων δὲ σατραπεύοντι, ἤθελε μὲν χώραις ἐπιθέσθαι Ῥωμαϊκαῖς καὶ ἀντικεῖσθαι τῷ βασιλεῖ, χρημάτων δὲ ἀπορῶν, καὶ τὸν βασιλέα δὲ ἐν πᾶσιν ὁρῶν εὐοδούμενον, οὐδένα εὕρισκε τῷ σκοπῷ τούτου συμβαίνοντα, μᾶλλον μὲν οὖν καὶ πάντας εἶχεν ἀποπηδῶντας, καὶ τὴν ἐπιχείρησιν ἀποτρέποντας. Ὅθεν μετὰ πολλὴν πλάνην, ὀψὲ καὶ μόλις συνεὶς ὡς διακενῆς τῆς συγγενείας ἀποδιΐσταται, πρὸς τὸν βασιλέα κατέφυγε. Καὶ ὁ βασιλεὺς ἀσμένως αὐτόν τε καὶ τὸν υἱὸν παραδέχεται καὶ τὸ πρῴην φίλτρον ἀλώβητον αὐτῷ συντηρεῖ. Τὴν δὲ Κωνσταντινούπολιν σὺν αὐτῷ εἰσιὼν, οὐ πλέον ἐπὶ τῇ νίκῃ, ἢ ἐπὶ τῇ τοῦ κασιγνήτου ἐπανόδῳ ἠγαλλιᾶτο.

Οὐκ ἐγχρονίσας δὲ τῷ Βυζαντίῳ, Περσῶν ἀκούσας ἔφοδον ἐν τοῖς κατὰ τὸν Σαγγάριον τόποις, ὑπεριδὼν καὶ καχεξίας, ὡς εἶχεν ἐξώρμησε κατ᾽ αὐτῶν. Ὅθεν καὶ τοὺς πολεμίους ἐκφοβήσας, καὶ ἀγέλας θρεμμάτων ἐλάσας ἐκεῖθεν παντοδαπῶν, ἐπανῆλθεν εἰς τὸ Λοπάδιον. Μετ᾽ οὐ πολὺ δὲ καὶ τῆς γυναικωνίτιδος ἐξιούσης τῆς Κωνσταντίνου, ἐπεὶ προσκαρτερῶν ἦν ἐκεῖ, τὴν πόλιν τὴν Ὀχυρὰν ἐδείματο, τὴν τῶν πολέμων ἄνεσιν εἰς τὸ συμφέρον Ῥωμαίοις διατιθείς.

Ἐμβραδῦναι δὲ τῷ τόπῳ βουλόμενος, τὴν στρατιὰν ἀθροισθῆναι διεκελεύετο, καὶ συνήγετο κατὰ τὸν αὐτοῦ ὁρισμόν. Πλὴν βαρὺς ἔδοξε τῷ στρατῷ ὡς οὐδέποτε, οἷα καὶ μέτρα ἐκστρατείας εἰδὼς, ἐπιλαθόμενος ὡς τρίτον ἔτος ἐν τοῖς Ἑῴοις διήνυσαν, καὶ τὸ πλέον ὅτι καὶ πολλοὶ οὔπω ἔφθασαν τὰ οἴκοι προσβλέψαντες ἀπὸ Συρίας ἐπανιόντες, νόσῳ ἢ ἄλλαις βιωτικαῖς περιστάσεσι κωλυόμενοι. Ὁ δὲ μὴ ἀγνοεῖν ἔχων τὸ τοῦ γογγυσμοῦ αἴτιον, τὸν οὐκ εἰδότα ἐπλάττετο, καὶ ὅλως τῆς αὐτοῦ προθέσεως εἴχετο.

Προθέμενος δὲ μετελθεῖν τοὺς κατὰ τὸ θέμα | τῶν Ἀρ-φ. 54

μενιακῶν ἐπεισελθόντας βαρβάρους, καὶ Κωνσταντῖνον τὸν Γαβρᾶν κατασχεῖν, χρόνιον ἤδη πολὺν τὴν Τραπεζοῦντα ὑποποιησάμενον καὶ τυραννικῶς αὐτὴν διεξάγοντα, διὰ τῆς τῶν Παφλαγόνων τὴν πορείαν τίθησιν, ἀεὶ τῶν τοῦ τόπου παραλίων τόπων ἐχόμενος, δύο τούτων ἕνεκεν, τοῦ τε πορίζεσθαι ἐκ τῆς οἰκείας χώρας τὴν στρατιὰν τὰ βιώσιμα, καὶ εἰ δεήσει πολεμεῖν, κατὰ μίαν ἔχειν αὐτὸν ἐπικείμενον τὸν πολέμιον, καὶ μὴ ἐξ ἑκατέρων μερῶν. Ἦν γὰρ ὁ τῆς Καισαρείας τότε κρατῶν Μουχούμετ, περὶ οὗ καὶ προείπομεν, πλείστην περιβεβλημένος ἰσχύν· μέρος τε τῆς Ἰβηρίας ὑπαγαγόμενος καὶ τῆς τῶν ποταμῶν Μέσης ἔνια παραστησάμενος, τὸ μὲν ἄνωθεν γένος ἐκ τῶν Ἀρσακίδων ἕλκων, τὸ δὲ προσεχὲς ἐκ τῶν Τανισμανίων καταγόμενος· ἦσαν δ' οὗτοι τολμητίαι καὶ ἀριστεῖς, καὶ τῶν χειρωσαμένων τὰς Ἑῴας πόλεις Ῥωμαίων οἱ κράτιστοι.

Ἔαρος μὲν οὖν ὑπολήγειν ἀρξαμένου, ὁ βασιλεὺς τοῦ Λοπαδίου ἀποσκηνοῖ, τὴν δὲ θέρειον πᾶσαν ὥραν καὶ τὸ μετόπωρον ἐν τῇ πορείᾳ κατατριψάμενος, περὶ τροπὰς χειμερινὰς πόλει ἐναυλίζεται Ποντικῇ τῇ Κιντῇ. Τῇ πολεμίᾳ δὲ ἔκτοτε προσβαλὼν, ἐν πολλοῖς ἐδυσπράγησεν· ἔστι γὰρ καὶ ἄλλως ἡ Καππαδοκῶν χώρα πᾶσα δυσχείμερος· τῷ γὰρ Εὐξείνῳ παρακειμένη καὶ πεδιὰς ὁρωμένη, πανταχόθεν ἀποτόμοις ὄρεσι περιστεφομένη καὶ ὑψηλοῖς, ἐκεῖθεν διὰ τῶν νεφελῶν τὴν χιόνα δέχεται κατὰ σωρείας καταφερομένην, ὡς εἰπεῖν τινα, μὴ νίφειν αὐτόθι, ἀλλ' ἐξ ἁμαξῶν πεφορτισμένων ἀποκενοῦσθαι τὴν χιόνα, καὶ τὸ τῆς γῆς πρόσωπον ἐπειλύειν, ἐπὶ πήχεις οὔτι μετρίους ἐπιτιθεμένην, ὡς καὶ τοὺς παριόντας συγκαλύπτειν ἔσθ' ὅτι αὐτοῖς ὑποζυγίοις, τάφον γεγενημένην τοῖς ἀθλίοις ἀπρόοπτον· οἱ δ' ἐνοικοῦντες ἐκεῖ τὴν γῆν ἀνορύττοντες καὶ καταγωγὰς καὶ σκηνώσεις οὕτω κατεργαζόμενοι, καὶ τὰ χρειώδη ἀποτιθέμενοι, ὑπόγειοι διαζῶσι καὶ ἐνδιαιτῶνται ἀπρόϊτοι ἕως ἂν ὁ χειμὼν παρέλθῃ καὶ τακῇ ἡ χιών. Ἀλλὰ

καὶ αἱ τοῦ βορέου δριμεῖαι πνοαὶ πολλοὺς ὡς βέλεμνα κρυερὰ καταστίζουσαι, τῷ ᾅδῃ προπέμπουσιν, ἐκπνοῆς τὴν ἀναπνοὴν δυστυχήσαντας πρόφασιν. Τοιαύτη δύσκρατος καὶ δυσάερος καὶ ψυχεινὴ ἡ τῆς Καππαδοκίας περίχωρος· τότε δὲ καὶ χειμῶνος ἐπιγενομένου ἀήθους, πολυτρόποις κακοῖς προσεπάλαισε· τά τε γὰρ χρειώδη σχεδὸν εἰς τέλος ἐξέλιπον, καὶ τῶν ζώων τά τε σκευοφόρα καὶ τὰ πολεμιστήρια διεφθάρη· κἀκ τοῦτο τὸ πολέμιον ἀναθαρρῆσαν (ἡ γὰρ φήμη τὰ πάντα διήγγελλεν), ἐφόδοις ἐχρῆτο συχναῖς καὶ ληστρικαῖς ἐπιθέσεσιν, ἐνίοτε δὲ καὶ προδήλως συμπλεκόμενον τοῖς Ρωμαίοις, πολλοὺς αὐτῶν ἐλυμαίνετο. Βασιλεὺς δὲ τὸ τῶν ἵππων μεθοδεύων ἀτύχημα, τὸ στράτευμα περιϊὼν τὰ κρείττω τῶν ὀχημάτων συνέλεγε, καὶ ταῦτα τοῖς Ρωμαίοις διδοὺς, ὁπόσοι κοντοφορεῖν ἐγίνωσκον, μάλιστα δὲ τοῖς τῶν Λατίνων ἐπισταμένοις δεξιῶς κινεῖν δόρατα, ἀνθίστα τούτους τοῖς πολεμίοις καὶ παρεῖχε γενναίως ἀντιμαχεῖν. Οἱ Πέρσαι δὲ μὴ ἔχοντες αὐτοὺς ἐνεγκεῖν πρὸς φυγὴν ἐτρέποντο. Ἱκανῶς μὲν οὖν διὰ τοιῶνδε μεθόδων καὶ τοῦ πολλοὺς τῶν πεζῶν σημαίας ἀνέχειν εἰς ἔμφασιν στρατοῦ πολλοῦ, τὴν τῶν Περσῶν ἀναστείλας φορὰν, ἐπὶ Νεοκαισαρείας ἐβάδισε. Πολλαὶ δὲ μεταξὺ Ρωμαίων καὶ Περσῶν γεγόνασι συμπλοκαί· καὶ τῶν τοῦ βασιλέως υἱῶν ὁ νεώτερος, Μανουὴλ ὄνομα τούτῳ, δόρυ λαβὼν, τοῦ πατρὸς καὶ βασιλέως εἰδότος μηδὲν, τοῖς πολεμίοις συμπλέκεται· καὶ τὸ ἔργον τοῦτο τοῦ Μανουὴλ παραθήγει τοὺς στρατιώτας καὶ ὑπὲρ δύναμιν ἀγωνίσασθαι, τινῶν μὲν ἐς τὸν ὅμοιον ζῆλον διαναστάντων ὅσοι νεώτεροι, τῶν δ' ἄλλων ἁπάντων δεισάντων περὶ τῷδε, καὶ χαριεῖσθαι τὰ μέγιστα οἰηθέντων τῷ βασιλεῖ, εἰ συναρχμένων αὐτῶν, μηδαμῶς τι πρὸς τῶν πολεμίων γένοιτο ἀηδές. Ἀλλὰ τότε μὲν ὁ πατὴρ ἐπαίνοις τὸν παῖδα προδήλως ἠμείψατο, τὴν δὲ σκηνὴν εἰσιὼν διὰ λίγου ἔτυψεν, ὡς θρασύτερον ἢ εὐτολμότερον αὐτοῦ μὴ ἐπιτρέψαντος συμπλακέντα τοῖς ἐναντίοις.

Ἴσως δ' ἂν καὶ τῆς Νεοκαισαρείας ὁ βασιλεὺς τότε ἐκράτησεν, εἰ μὴ ὁ τοῦ ἀδελφοῦ αὐτοῦ τοῦ σεβαστοκράτορος Ἰσαακίου υἱὸς Ἰωάννης πρὸς τοὺς Πέρσας ἀπέδρασεν ἐξ αἰτίας τοιᾶσδε. Ἱππότην ἐπίσημον ἐξ Ἰταλίας ἄνιππον ὁ βασιλεὺς θεασάμενος, κελεύει τῷ ἀνεψιῷ, πολλοὺς ἔχειν εἰδὼς ἵππους, τὸν ἵππον ᾧ ἐπωχεῖτο δοῦναι τῷ Ἰταλῷ· ὁ δέ, φρονηματίας ὢν 1° καὶ ἀγέρωχος, ἀνθίστατο τῷ κελεύσματι |, καὶ τὸν Λατῖνον ἐξουθενῶν προεκαλεῖτο εἰς ἀντιμάχησιν, ὡς εἰ νικήσειεν αὐτὸν, καὶ τὸν ἵππον τούτου ἀποληψόμενον· ὅμως ὡς ἑώρα τὸν βασιλέα κινούμενον πρὸς ὀργὴν, τοῦ ἵππου ἀποβάς, καὶ ἄκων δίδωσιν· εἰς ἕτερον δ' ἵππον ἐπιβάς, καὶ δόρυ λαβὼν, θυμοῦ ἔμπλεως κατὰ τῆς τῶν πολεμίων παρατάξεως φέρεται, καὶ μικρὸν προβάς, τὸ δόρυ ὀπίσω ἀπέστρεψε τῷ νώτῳ ἐπαναθέμενος, καὶ πρὸς Πέρσας αὐτόμολος γίνεται, τὸ κράνος τῆς κεφαλῆς ἀφελόμενος. Δέχεται οὖν ἀσμένως τοῖς βαρβάροις, καὶ ὡς πάλαι συνήθης ὅτε μετὰ τοῦ πατρὸς αὐτοῖς συνδιῆγε, καὶ ὡς τότε τὰ κατ' αὐτοὺς ἀναρρώσων πράγματα. Ὁ δ' αὐτὸς μικρῷ ὕστερον, καὶ τὸν χριστιανισμὸν ἐξομοσάμενος, τὴν τοῦ Ἰκονιέος σουλτάνου θυγατέρα ἐγήματο. Ὁ βασιλεὺς δὲ γενόμενος ἔκθαμβος ἐπὶ τῷ συμβεβηκότι, οὐκ ἀγαθαῖς ἐλπίσι συνεταράττετο, οἰόμενος ὡς οὐδὲν ἄφθεγκτον ἐάσει ὁ ἀνεψιὸς τοῖς Πέρσαις, ἀλλ' ἀναγγελεῖ πάντα, τῶν ἵππων τὴν σπάνιν, τὴν τῶν βρωσίμων στέρησιν, καὶ πᾶν ἕτερον δυστύχημα τῶν Ῥωμαίων· διὸ καὶ ὑποκλέπτων τὴν ἐπανάλυσιν, κατ' ὀλίγον ἐκεῖθεν μεθίστατο. Πλὴν οὐδ' οὕτω ποιῶν ἐλάνθανε τοὺς ἐχθρούς, ἀλλὰ καὶ οὗτοι τοῖς τελευταίοις ἐπικείμενοι τοῦ στρατεύματος, διενοχλοῦντες τοὺς ὄπισθεν ἑλκομένους ἐνέλιπον οὐδαμῶς. Ἀλλὰ τὴν παραλίαν φθάσας ὁ βασιλεὺς ἐν τῷ ἀσφαλεῖ καθειστήκει, καὶ τὸ βάρβαρον ἐδραπέτευσε.

Τὸν μὲν οὖν Ἰανουάριον μῆνα ἐκ τῶν τοιούτων καμάτων πρὸς τὴν Κωνσταντινούπολιν ἐπανῆλθεν· ἅμα δὲ ἔαρι πάλιν

πρὸς τὸ περὶ τὸν Ρυνδακὸν πόλισμα ἀφικνεῖται. Ἐπεὶ δὲ καὶ τὸ θέρος παρεληλύθει, καὶ ὁ χειμὼν ἤδη παρῆν, ἐπάνεισιν αὖθις εἰς τὸ Βυζάντιον, τῷ ψυχεινῷ τοῦ καιροῦ ὑπενδούς.

Τοῦ δὲ ἔαρος ἐπιστάντος ἔξεισι τῶν ἀνακτόρων, τὰς ἐξ ὀσφύος προσειπὼν δακρυρροούσας, καὶ τὴν Φρυγίαν παρελθών, τὴν Ἀττάλου πόλιν καταλαμβάνει, ἐν ᾗ καὶ χρονοτριβῆσαι προέθετο, ὅπως τὰς πέριξ πόλεις καὶ χώρας πρὸς τὸ εὖ διάθοιτο· ἤδη γὰρ ἔνιαι τούτων τοῖς Τούρκοις ὑπέκυψαν, ἐν οἷς ἦν καὶ ἡ τοῦ Πουγγούση λεγομένη λίμνη, ἣ Γαζουρὸς πρότερον ἐκαλεῖτο, εἰς μῆκος μέγιστον ἐκτεινομένη, καὶ νήσους ἀνίσχουσα, τείχεσιν ἐν πολλοῖς ὀχυροῖς περιβεβλημένας. Ὤκουν μὲν οὖν τὰς νήσους Ρωμαῖοι, οἳ καὶ διὰ λέμβων καὶ ἀκατίων τοῖς ἐν Ἰκονίῳ Τούρκοις ἐπιμιγνύμενοι, οὐ μόνον τὴν πρὸς ἀλλήλους φιλίαν ἐκράτυναν, ἀλλὰ καὶ τοῖς ἐπιτηδεύμασιν αὐτῶν προσεσχήκασι, καὶ ὡς ὁμόροις προστιθέμενοι Ρωμαίους ὡς ἐχθροὺς ὑπεβλέποντο, καὶ τὸν βασιλέα κακῶς ἔφασκον, ὑποκύψαι τοῖς αὐτοῦ θεσμοῖς πάμπαν ἀπαναινόμενοι. Ὁ δὲ μεθίστασθαι παρῄνει τῆς λίμνης ὡς παλαιοῦ Ρωμαίων κτήματος, καὶ προσχωρεῖν τοῖς Πέρσαις εἰ τοῦτο βούλοιντο· εἰ δὲ μὴ οὕτω πράξαιεν, οὐκ ἂν ἀνασχέσθαι ἔλεγεν, αὐτούς τε καὶ τὴν λίμνην ἀποξενοῦσθαι Ρωμαίων ἐπὶ μακρόν. Μὴ προχωρούντων δὲ τῶν λόγων, ἔργων πολεμίων ἥπτετο· ὅθεν καὶ ἁλιάδας καὶ ἀκάτια σχεδιάσας, καὶ ζεῦγμα διὰ τούτων ἐργασάμενος, τὰς ἑλεπόλεις ἄνωθεν ἔστησε, καὶ τοῖς ἐπὶ τῶν νήσων προσῆγεν ἐρύμασι· καὶ ἴσχυσε μὲν κρατῆσαι αὐτῶν, πλὴν οὐδ᾽ οἱ Ρωμαῖοι ἀπαθεῖς κακῶν ἐκεῖ κατὰ τὸν πόλεμον πάμπαν συνετηρήθησαν· ἐνιοτε δὲ καὶ τὴν λίμνην ἀνέμου διακινήσαντος, τῶν ὁλκάδων πολλαὶ παρηνέχθησαν, καὶ τὸν φόρτον διαφῆκαν τοῖς κύμασιν.

Ἐν τοῖς καιροῖς τοῖσδε μετήλλαξε τὸν βίον καὶ ὁ πρωτότοκος τῶν παίδων τοῦ βασιλέως Ἀλέξιος, ὃν καὶ βασιλέα ἀ-

νηγορεύσας τῶν παρασήμων πάντων τῆς βασιλείας μετέδωκε· τὸ δὲ εἶδος τῆς νόσου πυρετὸς λαῦρος τῇ κεφαλῇ ἐπιθέμενος. Ἀλλὰ καὶ ὁ μετ' αὐτὸν Ἀνδρόνικος βραχύ τι ἐπιβιοὺς, ὅσον ἐπικωκύσαι τῷ ἀδελφῷ, ἐξ ἀνθρώπων ἐγένετο.

Τοιαύταις συμφοραῖς ἐγκύρσας ὁ βασιλεὺς, καὶ οἰωνοὺς ἀπαισίους τοὺς τῶν φιλτάτων θανάτους δεξάμενος, ὅμως οὐδέν τι πέπονθε μαλθακὸν, ἢ καθυφῆκέ τι τῆς προθέσεως, ἢ ἐπανῆκεν εἰς τὸ Βυζάντιον, ἔτος ὁλόκληρον ἐπὶ τοῖς εἰρημένοις διηνυκώς· ἀλλ' ἐς Ἰσαυρίαν ἀφιγμένος, καὶ τὰ ἐκεῖ πρὸς τὸ δέον καταστησάμενος, τῆς πρὸς Συρίαν ὁδοῦ εἴχετο, ἐφεπόμενον ἔχων τὸν ὑστερότοκον παῖδα, τὸν Μανουήλ. Ἦν δὲ ἡ μὲν
5. πρόδηλος τῆς στρατείας πρόφασις |, ἡ τῆς Ἀρμενίας πρὸς τὸ κρεῖττον μεθάρμοσις, καὶ τῶν πόλεων καὶ φρουρίων, ὧν ἐγκρατὴς γέγονε πρότερον, βεβαία συνοχὴ καὶ κατάστασις· ἡ δ' ἀνέκφορος πρὸς τὸ στράτευμα, αὕτη ἦν· ἀεὶ ἔρωτα εἶχε συνάψαι τὴν Ἀντιόχου τῇ Κωνσταντίνου, καὶ τοῖς ἐν Ἱερουσαλὴμ τόποις ἐπιφοιτῆσαι, καὶ προσκυνῆσαι τὸν ζωοποιὸν Τάφον, καὶ ἀναθήμασι κοσμῆσαι, καὶ ἀνακαθάραι τὸ κύκλῳ βάρβαρον. Ὅθεν καὶ πᾶσαν μηχανὴν μετιὼν ἦν ὡς ἂν ὑπεκσταῖεν τῆς Ἀντιοχείας ἑκόντες οἱ Ἰταλοὶ, ἢ, εἰ μὴ οὗτοι πείθοιντο, ἠπίστατο γὰρ τὸ τῶν Λατίνων ἀταπείνωτον φρόνημα, κἂν οἱ Κίλικες καὶ Σύροι ἁπαξάπαντες τούτῳ προσέλθοιεν. Γράφει τοίνυν τοῖς Ἀντιοχεῦσι τὴν αὐτοῦ ἄφιξιν, καὶ μήπω τῶν ὁρίων ἐπιβὰς τῆς Συρίας, πρεσβείαν ἐκεῖθεν ἐφειλκύσατο, ἀγαθὰς ἐλπίδας ἐπὶ τοῖς μέλλουσιν ὑποβάλλουσαν. Ἐπεὶ δὲ τῇ Ἀντιοχείᾳ προσήγγισεν, ἀλλοίους εὕρατο τὰς γνώμας τοὺς Ἰταλοὺς, τῆς φήμης προαγγειλάσης ὁπόσα ἐνδόμυχα καὶ τῶν βασιλικῶν χειλέων ἀπρόϊτα. Μὴ γοῦν ῥᾳδίαν εὑρίσκων τὴν εἰς τὴν Ἀντιόχειαν πάροδον, ἀλλ' ἔνορκον συγχωρουμένην τὴν εἰσέλευσιν, καὶ ὡς εἴπερ εἰσελεύσεται πρὸς ἡμέρας προσκυνηθεὶς καὶ τιμηθεὶς τὰ εἰκότα, πάλιν ἐξελεύσεται μηδέν τι καινουργήσας

ἐπὶ τοῖς κατ' αὐτὴν πράγμασιν ἤ τι μετακινήσας τῶν καθεστώτων ἐθῶν, ἀχθεσθεὶς ἐφ' οἷς ἐξηπάτητο, τὴν μὲν εἴσοδον οὐ βιάζεται, τὸν μετὰ χριστιανῶν πόλεμον ἐκτρεπόμενος, τοῖς προαστείοις δὲ τῆς πόλεως καταλύσας, ἐνδίδωσι τῇ στρατιᾷ ταῦτα κείρειν, καὶ ἀπάγειν ἅπαν τὸ ἐν χερσὶν εὔληπτον· καὶ ἦν ἐκ τοῦδε τοῦ παραγγέλματος, πρόφασιν τὴν τῶν ἀναγκαίων ὑποσπάνισιν ἔχοντος, μηδὲ τὰ καρποφόρα τῶν δένδρων ἀσινῆ παρορώμενα, ἀλλὰ τῷ πυρὶ τῆς διαίτης παραδιδόμενα.

Ἐν δὲ τούτοις ἀποπλήσας τὴν ἄμυναν, πρὸς τὰ τῶν Κιλίκων παρέκλινεν ὅρια· ἐν εὐρυτάτῃ δὲ στρατοπεδευσάμενος φάραγγι, καθ' ἣν ὄρη ἐπὶ πολὺ τοῦ ἀέρος ἀνέϐαινον, ἅπερ ἐλέγοντο πρὸς τῶν ἐκεῖ Φωλεοὶ Κοράκων, εἰς κυνηγέσιον ἔξεισι, καὶ συὶ προσυπαντήσας, τὴν μὲν αἰχμὴν τῷ στέρνῳ τοῦ θηρίου ἐνείρησε, πλείονι δὲ ὠθισμῷ τοῦ συὸς χρησαμένου, καὶ ὅλον τὸν σίδηρον εἰσδεξαμένου ἐντὸς, ἡ κατέχουσα τὸ ἀκόντιον χεὶρ ὑποναρκᾷ, καὶ ὑπενδίδωσι πρὸς τὸ πολὺ τῆς τοῦ θηρὸς ἀντωθήσεως· κἀντεῦθεν τοῦ εὐθέος παρενεχθεῖσα, συμπίπτει τῷ γωρυτῷ, ὃς περὶ τὸ πλευρὸν τοῦ βασιλέως ἐξήρτητο πλάγιος, ἔχων ἔνδον ἰοϐόλα βέλεμνα· ὅθεν τῆς φαρέτρας ἀνατραπείσης, ἓν τῶν ἐκεῖ βελῶν πλήττει τὸν βασιλέα κατὰ τὸ μέσον δέρμα τῶν ὑστάτων δακτύλων τῆς χειρός. Ἀεὶ τοίνυν τοῦ φαρμάκου νενομημένου τὰ ἔμπροσθεν, καὶ περὶ τὰ καίρια παρενσκήψαντος καὶ ἀπονεκροῦντος ταῦτα, μετὰ καιρὸν τοῦ βίου μεθίσταται. Τότε δ' οὖν ὁ βασιλεὺς παρ' οὐδὲν θέμενος τὴν πληγὴν ἐκδορᾶς ἐπιθέσει, τῆς τῶν ποδῶν ἀποσυρείσης πεδίλου, ἠκέσατο σφαλερῶς ἐντεῦθεν ἐθέλων ἐπισχεῖν τὸν ἰχῶρα τοῦ τραύματος. Ἐπανελθὼν οὖν εἰς τὴν αὐτοῦ σκηνὴν πρὸς ἑσπέραν, καὶ ἀριστήσας, τὴν μὲν νύκτα ἐν ἀνέσει διήγαγε, τὴν δὲ μετὰ ταύτην ἡμέραν οἰδαίνειν ἀρξαμένου τοῦ τραύματος, περιωδινίαις ἐϐάλλετο, καὶ δείκνυσι τοῖς ἰατροῖς τὸ συμβάν· οἱ δὲ τὸν τῆς χειρὸς ὄγκον ἰδόντες, καὶ τὴν τῆς ἐκδο-

ρᾶς ἐπίθεσιν περιεργασάμενοι, ἀπήνεγκαν τῆς χειρὸς ὡς μηδὲν ὠφελοῦσαν, ἀλλὰ καὶ βλάπτουσαν, φαρμάκοις δ' ἄλλοις ἐχρήσαντο καταλεαίνειν δυναμένοις τὰ τῶν τραυμάτων φλεγμαίνοντα· ἐπεὶ δ' οὐδὲν ταῦτα πρὸς θεραπείαν ἑώρων συμβάλλοντα, πρὸς χειρουργίαν ἐτράπησαν. Τμηθέντος οὖν τοῦ οἰδήματος, οὐδ' οὕτως ὑπεχάλα τὸ νόσημα, ἀλλ' ὅ τε ὄγκος κατὰ μικρὸν ἐπὶ μεῖζον ἤρετο, καὶ δακτύλους καὶ καρπὸν καὶ παλάμην, εἶτα καὶ πῆχυν καὶ βραχίονα ἐπενέμετο· καὶ ὁ βασιλεὺς τῶν χρηστοτέρων ἐλπίδων ἐξέπεσεν· ἀμέλει καὶ τοῖς ἰατροῖς ἀποροῦσιν, ἔδοξε τὴν χεῖρα τοῦ βασιλέως ἀποτεμεῖν εἰς μηροῦ πάχος ἀνδρῴου αὐξηθεῖσαν τῇ φλεγμονῇ, κατ' ἀμφίβο-
5ᵛ. λον καὶ τότε τοῦ πάσχοντος ἴασιν. Ὁ βασιλεὺς δὲ | τὴν προτέραν τομὴν αἰτίαν τοῦ κακοῦ λογιζόμενος, οὐδόλως τὸ λεγόμενον παρεδέχετο, ἀλλ' ἔκειτο κάμνων. Ἐπιστάσης δὲ τῆς Λαμπρᾶς ἡμέρας τῆς τοῦ Χριστοῦ ἀναστάσεως, τῶν θείων μυστηρίων ἐν μεθέξει γίνεται, καὶ πρὸς τὸ δεῖπνον ἀναπεσὼν ἀνῆκε τοῖς εἰς αὐτὸν εἰσιέναι καὶ δεηθῆναι βουλομένοις πᾶσι τὴν εἴσοδον· καὶ τὴν ἐφεξῆς δὲ ἡμέραν τὸν αὐτὸν διαπραξάμενος τρόπον, ὑποθήκῃ τοῦ μεγάλου δομεστίκου Ἰωάννου, καὶ τὰ παρατεθέντα βρώματα τοῖς παρεστῶσι διανειμάμενος, καθ' ἑαυτὸν ἰδιάσας περὶ τοῦ διαδόχου τῆς βασιλείας ἐσκέπτετο. Ὑετοῦ δὲ κατενεχθέντος ραγδαίου καὶ τῆς κοιλάδος καταρρύτου φανείσης ἐφ' ᾗ ἐστρατοπεδεύετο, ἥ τε κλίνη τοῦ βασιλέως πρὸς τὸ καθαρεῦον ἐφέρετο, καὶ αὐτὸς ἐπὶ στόματος εἶχε τὸ φάσκον οὑτωσὶ χρησμῴδημα,

Τόποις δ' ἐν ὑγροῖς καὶ παρ' ἐλπίδα πέσῃς.

Τινὲς δὲ τῶν τὰς βασιλικὰς διασκοπουμένων διαδοχὰς καὶ τοῦτο ἔλεγον τελεσθῆναι τὸ λόγιον·

Ὦ, πῶς γεννήσῃ βρῶμα δεινὸν κοράκων,

πῇ μὲν εἰς τὰ μέλανα σιδήρια δι' ὧν ὁ καυτὴρ τῇ τοῦ βασιλέως χειρί, πῇ δὲ εἰς τὸ τῶν βουνῶν προσώνυμον ἐκλαμβάνοντες.

Ἐκκλησιάσας δ' ἔπειτα τὸ συγγενὲς καὶ φίλιον καὶ ὅσον ἐν ὑπεροχαῖς τε καὶ ἀξιώμασι, καὶ παραστησάμενος τὸν ὑστερογενῆ παῖδα τὸν Μανουὴλ ἔλεξε τοιάδε· « Οὐκ ἐπ' ἐλπίσι ταῖς ὁρωμέναις, ἄνδρες Ῥωμαῖοι, τὴν Συρίαν κατέλαβον, ἀλλὰ διενοούμην τῶν προτέρων ἔργα μείζονα καὶ πλείονα ἐργάσασθαι, καὶ ἐντρυφῆσαι μὲν τοῖς περὶ τὸν Εὐφράτην καλοῖς, καὶ Τίγριν ἰδέσθαι τὸν ποταμὸν, καὶ τὰ ἐκεῖ πάντα τῇ τῶν Ῥωμαίων προσενῶσαι ἀρχῇ, Κίλικας καὶ Σύρους καὶ ὅσοι τῆς Ἄγαρ φυλῆς δούλους ἀπεργασάμενος, ἀναδραμεῖν δὲ καὶ πρὸς Παλαιστίνην ὅπου τὸ τῆς ἡμετέρας φύσεως πτῶμα ἀνήγειρεν ὁ Χριστὸς τὸν διὰ σταυροῦ καταδεξάμενος θάνατον, καὶ ἀναβῆναι εἰς τὸ ὄρος Κυρίου τὸ τῆς Σιὼν, καὶ στῆναι ἐν τόπῳ ἁγίῳ αὐτοῦ, τὸν ζωοδόχον Τάφον· ἐπεὶ δὲ οἷς τρόποις τῷ θεῷ ἔδοξεν οὐκ ἦλθε πρὸς πέρας τὰ προσδοκώμενα, εὐχαριστῶ τῷ οὕτω τὰ κατ' ἐμὲ συμφερόντως πάντη οἰκονομήσαντι· ἀνθομολογοῦμαι δὲ καὶ ἐφ' οἷς ἐμεγάλυνε τοῦ ποιῆσαι ἔλεος μεθ' ἡμῶν· καὶ ἐπ' ἀκροαταῖς ὑμῖν καὶ τὰ λεγόμενα γινώσκουσι τάδε φημί· ἐκ πατρὸς βασιλέως ἔφυν, ἀρχῆς γεγονέναι τῆς ἐκείνου διάδοχος· οὐδὲν ἀπεβαλόμην ὧν εἰς χεῖράς μοι παραδέδωκεν, εἰ δὲ καὶ τὰ τῆς βασιλείας ὅρια θεῷ συνεπηύξησα, ἄλλοις λέγειν ἐῶ· αὐτὸς δὲ ἀνεπαχθῶς διηγησαίμην, οὐ κομπάζων, ἀλλὰ τὰ περὶ ἐμὲ θαυμάσια τοῦ θεοῦ διηγούμενος. Ἀνατολή με καὶ Δύσις μαχόμενον ἔβλεψεν· ὀλίγα τοῖς ἀνακτόροις προσέμεινα· ὁ βίος μοι σχεδὸν ἅπας ἐπὶ σκηνῆς· ἡ γῆ αὕτη ἐφ' ᾗ τοὺς λόγους ποιούμεθα δίς με ἤδη προσέβλεψε· καὶ ἣν μακρῶν πρὸ χρόνων στρατιὰν Ῥωμαίων οὐκ εἶδον Πέρσαι καὶ Ἄρραβες, ταύτην πεφόβηνται ἄρτι ὑφ' ἡγεμόνι θεῷ, καὶ στρατηγοῦντος ἐμοῦ, καὶ πολλῶν πόλεων ἡμῖν ἐξέστησεν, ὧν εἰς δεῦρο κύριοι καθεστήκαμεν, αἳ καὶ ζῶσι κατὰ τοὺς νόμους ἡμῶν· καὶ δοίη Κύριος ὑπὲρ τῶν χριστιανῶν κοπιάσαντι κλῆρον ἀΐδιον ἐν τοῖς οὐρανοῖς, ὑμῖν δὲ τὰς χεῖρας ἔτι κραταιῶσαι

καὶ ἐνισχῦσαι κατὰ τῶν τοὺς πολέμους ἐθελόντων ἐθνῶν· ἔσται δὲ ταῦτα, εἰ καὶ ὑμεῖς τῆς τοῦ ὑψίστου δεξιᾶς ἐξαρτᾶτε τὸ κατορθούμενον, καὶ βασιλεὺς ὑμῖν δοθῇ μὴ δημοβόρος, καὶ τὴν κλῆσιν ψευδόμενος, καὶ τὸ ἦθος ὑπέρογκος, περὶ τράπεζαν κεκυφὼς, καὶ ἐν χερσὶν ἀεὶ φέρων ποτήριον, καὶ τῶν ἀνακτόρων μὴ ἀποσπώμενος, ὡς τὰ διὰ ψηφίδων ἢ χρωμάτων ἐν τοίχοις εἰκονιζόμενα· ὅτι καὶ φιλεῖ πως τῇ κατὰ τὸν ἄνθρωπον διαθέ-
56.σει συνδιατίθεσθαι πάντα, ὡς δι' αὐτὸν ἀρχῆθεν γενόμενα |, καὶ κακυνομένου μὲν αὐτοῦ, καὶ αὐτὰ κακύνεται, ἀγαθυνομένου δὲ, ἀγαθύνεται, ὡς τοῦ θεοῦ ἀγαθύνοντος τοῖς ἀγαθοῖς καὶ εὐθέσι, τοὺς δ' ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς μετὰ τῶν ἐργαζομένων τὴν πονηρίαν ἀπάγοντος, καθὼς τὸ πνεῦμα τὸ ἅγιον λέγει διὰ τοῦ θείου Δαυΐδ. Ἐπεὶ δὲ καὶ περὶ τοῦ διαδεξομένου τὴν ἀρχὴν μετὰ τὴν ἐμὴν ἀποβίωσιν, ἥτις καὶ ἐφέστηκεν ἤδη, διελθεῖν βούλομαι, δέον ὑμᾶς τοῖς εἰρημένοις προσέχειν· ὅτι μὲν ὡς πατρῷον κλῆρον τὴν βασιλείαν παρέλαβον, οὐ δέομαι λέγειν, δῆλον γάρ· ὁρῶν δὲ τὴν ἐπ' ἐμοὶ τάξιν πρὸς τοῦ πατρὸς τηρηθεῖσαν, κἀπὶ τοὺς ἐμοὺς παῖδας διαβῆναι προθυμουμένους ὑμᾶς καὶ ὑφ' ἑνὸς τῶν ἔτι περιόντων μοι υἱῶν, Ἰσαάκιος οὗτοι καὶ Μανουὴλ, ἐπιποθοῦντας ὑμᾶς ἄρχεσθαι καὶ τὴν ἐκλογὴν ἀνατιθέντας ἐμοὶ, φημὶ δὴ, ὡς ἡ μὲν φύσις τῷ πρωτοτόκῳ τὰ πρωτεῖα βραβεύειν εἴωθε, παρὰ δὲ τῷ θεῷ οὐχ οὕτως ἔχει ἐν ταῖς μεγίσταις τῶν διοικήσεων· ἀναλογίσασθε γὰρ τὸν Ἰσαὰκ τοῦ Ἰσμαήλου τὰ δεύτερα, καὶ τὸν Ἰακὼβ τοῦ Ἡσαῦ, τὸν Μωσῆν δὲ τοῦ Ἀαρὼν, καὶ τὸν Δαυΐδ τὸν βασιλέα καὶ θεοπάτορα ὕστερον ἐν τοῖς ἀδελφοῖς, καὶ ἑτέρους δὲ πλείστους· οὐ γὰρ εἰς πρόσωπον βλέπει θεὸς, οὐδὲ πολιᾷ πρόσκειται ἐξ ἡλικίας, ἀλλ' εὐγενείᾳ χαίρει ψυχῆς, καὶ ἐπὶ τὸν πρᾶον βλέπει καὶ ἥμερον, καὶ τὸν αὐτοῦ φυλάττοντα τὰ ἐντάλματα. Κατὰ ταῦτα τοιγαροῦν κἀγὼ, οὐ τῇ φύσει τὰ πολλὰ χαριζόμενος, ἀλλὰ τοὺς θεσμοὺς αὐτῆς παρα-

βλέπων, μιμεῖσθαι θέλω τὸν προσωποληψίας πάσης ἀνώτερον. Εἰ μὲν οὖν εἰς τὸν καθ' ἡλικίαν πρῶτόν μοι παῖδα μετέβαινεν ἡ ἀρχὴ, κατ' οὐδὲν ἄν μοι λόγων ἐδέησεν εἰς παράστασιν τῆς αὐτῶν φύσεως· ἐπεὶ δὲ πρὸς τὸν ὑστερογενῆ Μανουὴλ ἡ βασιλεία διαβαίνει, ἀποσειόμενος τοὺς τῶν πολλῶν λόγους, ὡς φίλτρῳ, οὐκ ἀρετῇ προστιθέμενος, τὸν ὑστερότοκον προτετίμηκα τοῦ προτέρου, ἀναγκαίως τὰ εἰκότα ῥηθήσεται. Οὐ πάντες ἄνθρωποι πεφύκασι φιλεῖν τὰ αὐτὰ, ἀλλ' ἄλλος, ἄλλο, καὶ ἕτερος ἕτερον, καὶ εἰσὶ περὶ τοῦτο διαφοραὶ ὅσαι περὶ τὰς γνώμας εἰσίν· εἰ γὰρ πάντες τὰ αὐτὰ προῃρούμεθα, τάχ' ἂν οὐδὲ διένεξις ἐν ἡμῖν ἦν· οἱ δύο μοι γοῦν υἱοὶ, πατρὸς ἑνὸς ὄντες ἐμοῦ, εἰς γνώμας διαφόρους μερίζονται· καλοὶ μὲν γὰρ καὶ ἀμφότεροι ῥώμῃ σώματος, καὶ εἴδους σεμνότητι, καὶ φρονήσει, καλλίων δὲ ὡς μάλιστα δείκνυται περὶ τὴν τῆς ἀρχῆς κυβέρνησιν ὁ Μανουήλ· ὁ γὰρ Ἰσαάκιος ἀκρόχολος πολλάκις ἐφάνη μοι, παροξυνόμενος κἀκ μικρᾶς αὐτίκα προφάσεως, ἐν τῷ νοσεῖν ἀμετρίαν θυμοῦ, ὃς ἀπόλλυσι καὶ σοφοὺς, καὶ δι' ὃν μετ' ἀβουλίας οἱ πλεῖστοι πράσσουσιν· ὁ δὲ Μανουὴλ πρὸς ταῖς λοιπαῖς τοῦ Ἰσαακίου ἀρεταῖς πάσαις, πλουτεῖ καὶ πρᾳότητα, πρὸς τὸ χρήσιμον ἐνδιδοὺς καὶ λόγῳ πειθόμενος. Ἐπειδὴ τοίνυν ἀκακίᾳ μᾶλλον καρδίας, ᾗ καὶ Δαυῒδ ἐσεμνύνετο, ἢ ἀμυντικῇ διαθέσει τὰ τῶν ἀρχομένων λεπτολογούσῃ πλημμελήματα φιλοῦμεν ὑπάγεσθαι πάντες ἄνθρωποι, τὸν Μανουὴλ εἰς βασιλέα κατὰ τόδε προκέκρινα. Δέξασθε τοίνυν αὐτὸν ὡς θεόστεπτον ἄνακτα, καὶ ὡς δι' ἐπικρίσεως ἐμῆς βασιλεύοντα. Ὅτι δὲ καὶ θεὸς εἰς βασιλέα τοῦτον προώρισε, τεκμήριον αἱ πολλαὶ προρρήσεις, καὶ τὰ τῶν θεοφιλῶν ἀνδρῶν προθεσπίσματα, ἅπαντα βασιλέα τοῦτον κατήγγελλον. Τὸ δὲ καὶ τοὺς παρ' ἐμοῦ προκριθέντας πρότερον εἰς τὸ ἄρχειν τεθνηκέναι, ἀπεῖναι δὲ καὶ τὸν μετ' ἐκείνους καλούμενον Ἰσαάκιον, ποῦ θήσει τίς; ἢ πάντως ἐρεῖ δεῖγμα εἶναι τοῦ τὸν θεὸν τὸν Μανουὴλ βού-

λεσθαι βασιλεύειν. Εἰ δέ τις ἐθέλει σκοπεῖν, οὐδ' ἐμὲ τὸν πατέρα δῶρον ἐπόψεται τὴν διαδοχὴν τῆς βασιλείας παρέχοντα τῷ παιδὶ, ἀλλ' ἀρετῆς ἆθλον τὴν προχείρισιν νέμοντα· ἴστε γὰρ ὅσα παρ' ἡλικίαν ἐν τῇ Νεοκαισαρείᾳ ἠρίστευσε κατὰ Περσῶν, 6v. δι' ὧν καὶ τὰ Ῥωμαίων | οὐ μικρῶς ἀνερρώσθη πράγματα. »

Ταῦτα ὁ βασιλεὺς Ἰωάννης ἐφθέγξατο· οἱ δὲ παρεστῶτες τοῖς εἰρημένοις ἐπικωκύσαντες δι' αὐτὸν ἤδη ἐκλείποντα, τὸν Μανουὴλ εἰς βασιλέα ἐδέξαντο. Ἔπειτα καὶ πρὸς τὸν παῖδα λόγους κινήσας, καὶ παραινέσας τὰ συμφέροντα, ταινίᾳ διαδεῖ τῇ βασιλικῇ, καὶ τὴν χλαμύδα ἐπενδύει τὴν περιπόρφυρον. Ἐπὶ τούτοις συναθροισθέντα καὶ τὰ στρατεύματα, βασιλέα Ῥωμαίων ἀνεῖπον τὸν Μανουὴλ, ἑκάστου τῶν μεγιστάνων μετὰ τῆς οἰκείας τάξεως εὐφημίαις διατρανοῦντος αὐτόν· ἐφεξῆς δὲ καὶ τῶν θείων προτεθέντων εὐαγγελίων, ἐπ' αὐτῷ ἐμπεδοῦνται τὰ τῆς εὐνοίας καὶ πίστεως παρὰ πάντων ὁμοῦ. Ἦν δὲ τούτων εἰσηγητὴς ὁ μέγας δομέστικος, ἀμβλύναι βουλόμενος τὰς τῶν φιλάρχων ὁρμὰς, καὶ διαχαλάσαι τὸ τάχα δοκοῦν ἰσχυρὸν τῶν τὴν πρεσβυγένειαν προβαλλομένων.

Τούτων οὑτωσὶ τελεσθέντων, μεθ' ἡμέρας ὁ βασιλεὺς Ἰωάννης τὸν βίον ἐκλέλοιπεν, ἐν τῇ τῆς βασιλείας ἀρχῇ ζήσας ἔτη τέσσαρα πρὸς τοῖς εἴκοσι, καὶ μῆνας ὀκτὼ, ἀνὴρ καὶ τὴν ἀρχὴν ἄριστα διοικήσας, καὶ θεῷ εὐαρέστως βιώσας, καὶ τὰ τοῦ ἤθους οὐκ ἔκλυτος, οὐδ' ἀκόλαστος, κἀπὶ ταῖς δωρεαῖς καὶ δαπάναις μεταδιώξας μεγαλοπρέπειαν· καὶ δηλοῦσιν αἵ τε διὰ χρυσίνων πρὸς τοὺς τῆς Πόλεως οἰκήτορας συχναὶ διαδόσεις, καὶ τῶν ναῶν ὁπόσους μεγίστους καὶ καλλίστους ἐκ βάθρων ἐδείματο· ἀλλὰ καὶ δόξης ἐραστὴς γεγονὼς τοῦ καταλιπεῖν ἐν τοῖς ἔπειτα μέγιστον τὸ ἑαυτοῦ ὄνομα φροντίδα ἐτίθετο· τοσοῦτον δὲ καὶ τῆς τῶν οἰκείων εὐσχημοσύνης ἐξείχετο ὡς καὶ κουρὰν τριχὸς περιεργάζεσθαι, καὶ ποδὸς σκύτος περιαθρεῖν

εἰ πρὸς τὸ τοῦ ὑποδουμένου σχῆμα ἔρραπται· ἀργολογίαν δὲ καὶ σαπρολογίαν τὴν ἐπὶ κοινῆς ἀκροάσεως, καὶ ἱματισμῶν ἄσωτον δίαιταν, ὅσα καὶ λύμην τῶν ἀνακτόρων ἀπεσκοράκισε, καὶ τὸν ἐμβριθῆ χαρακτηρίζων σωφρονιστήν, καὶ μιμητὰς ἑαυτοῦ τοὺς ὑπὸ χεῖρα εἶναι γλιχόμενος, πᾶσαν ἀρετῆς ἰδέαν μετιὼν οὐκ ἀνήει. Οὐ μὴν ταῦτα πράττων χαρίτων ἀπείχετο, καὶ στυγνὸς ἦν τὴν ὄψιν, καὶ συννεφὴς τὴν ὀφρὺν, ἀλλὰ καὶ κομψείαν σεμνὴν εἰσῳκίζετο„ καὶ τὸν εὐτράπελον οὐ παρέτρεχε, πάσης ἀρίστης πράξεως πίνακα ἑαυτὸν προτιθείς· ὀλίγα γοῦν τοῦ ἄγαν ἀποσφαλεὶς ἐγκρατοῦς, καὶ μηδένα διὰ πάσης αὐτῷ τῆς ἀρχῆς, ἢ ψυχῆς στερήσας, ἢ εἰς σῶμα ὁσονοῦν λυμηνάμενος, ἐπαινετὸς ἐς δεῦρο παρὰ πᾶσι λελόγισται, καὶ κορωνὶς εἰκὸς εἰπεῖν τῶν ὅσοι Ρωμαίων ἐκ τοῦ τῶν Κομνηνῶν γένους ἐβασίλευσαν, ἵνα μὴ λέγοιμι, ὅτι καὶ τῶν ἀνόπιν ἀρίστων τοῖς μὲν ἡμιλλήσατο, τοὺς δὲ καὶ παρήνεγκεν.

Ὁ Μανουὴλ οὖν ἀναγορευθεὶς αὐτοκράτωρ, εὐθέως τὸν μέγαν δομέστικον τὸν Ἀξοὺχ εἰς τὴν βασιλίδα πέμπει τῶν πόλεων, σὺν αὐτῷ δὲ καὶ τὸν χαρτουλάριον Βασίλειον τὸν Τζιντζιλούκην, εὖ τὰ κατὰ τὴν βασιλείαν αὐτοῦ διαθήσοντας, καὶ μετελευσομένους τὸν σεβαστοκράτορα Ἰσαάκιον τὸν τοῦ βασιλέως ὁμαίμονα. Καταταχήσας οὖν ὁ Ἰωάννης τὴν Πόλιν εἴσεισι, καὶ τὸν σεβαστοκράτορα, ἀγνῶτα ἔτι ὄντα τῶν γενομένων, αἱρεῖ, καὶ ἐν τῇ μονῇ τοῦ Παντοκράτορος εἴργνυσιν, ἣ τὸν βασιλέα Ἰωάννην ἔσχε δομήτηρα, τά τε ἀνάκτορα εἰσιὼν ἔνθα τῶν χρημάτων αἱ σωρεῖαι καὶ τὰ τῶν βασιλέων γνωριστικὰ περιβλήματα, τὰ ἐν αὐτοῖς ὡς ὡρίσθη διέθετο, τῆς φυλακῆς αὐτῶν ἐπιμεληθεὶς, καὶ τῆς τοῦ βασιλέως Μανουὴλ παρὰ τοῖς Πολίταις ἀναγορεύσεως, καὶ χρυσόβουλλον τοῖς ἐν τῷ κλήρῳ τῆς Μεγάλης ἐκκλησίας ἐπιδίδωσι, τυποῦν αὐτοῖς ἀργύρεα ἐτήσια κέρματα, μνᾶς διακοσίας· ἐλέγετο δὲ καὶ ἑτέραν ἐπιφέρειν χρυσόβουλλον γραφὴν διὰ χρυσίνων ταῦτα βρα-

βεύουσαν· ὑπέτρεχε γὰρ τὸν κρατοῦντα, μήπως ἢ αὐτὸς ὁ σεβαστοκράτωρ τὰ κατὰ τὴν Πόλιν διαστασιάσειε πράγματα, ἢ
57. ἡ ταῖς τῶν βασιλέων | μεταθέσεσιν ἐπεισερχομένη φιλοτάραχος ἔφεσις, οὐκ εὔοδα τῷ νέῳ ἄνακτι τὰ κατὰ τὴν βασιλείαν διάθοιντο· καὶ διὰ τοῦτο καὶ τῷ Ἰωάννῃ πρὸς τὸν καιρὸν διπλᾶ καὶ τὰ χρυσόβουλλα ἐγχειρίζεται. Οἱ μὲν οὖν οὕτω τὴν βασιλικὴν παρεσκεύασαν εἴσοδον· ὁ δὲ βασιλεὺς τὰ ὅσια τῷ πατρὶ ἐκτελέσας, καὶ ναυσὶ τὸ σῶμα ἐνθέμενος, αἳ τῷ ποταμῷ Πυράμῳ, ὃς Μοψουεστίαν διέρχεται καὶ τῇ θαλάσσῃ συμμίγνυται, ἐνωρμίζοντο, τά τε κατ' Ἀντιόχειαν ὡς ὁ καιρὸς ἐδίδου καταστησάμενος, ἀπάρας τῆς τῶν Κιλίκων, διὰ τῆς ἄνω καλουμένης Φρυγίας ἐπορεύετο· (1) ὅτε καὶ ὑπὸ Περσῶν ἑάλωσαν, καὶ πρὸς τὸν κρατοῦντα τότε τοῦ Ἰκονίου Μασοὺτ ἀπηνέχθησαν ὅ τε πρὸς πατρὸς ἐξάδελφος τῷ βασιλεῖ ὁ Κομνηνὸς Ἀνδρόνικος, ὃς καὶ ὕστερον ἐτυράννησε, καὶ ὁ Δασιώτης Θεόδωρος ᾧ εἰς γαμετὴν Μαρία ἥρμοστο ἣν ὁ σεβαστοκράτωρ Ἀνδρόνικος ὁ τοῦ βασιλέως αὐτάδελφος ἔτεκεν, εἰς θήραν μὲν ἐξιόντες ζώων ἀγρίων, πολεμίων δὲ χερσὶν ἐμπεσόντες καὶ θηρευθέντες αὐτοί. Τότε μὲν οὖν ὁ βασιλεὺς τῆς προκειμένης ἅπας γενόμενος τῶν κατὰ τοὺς ἄνδρας τούτους οὔτε πεφρόντικεν ὡς εἰκὸς, μετέπειτα δὲ καὶ ζωαγρίων ἄνευ ἐλύσατο· καὶ τὴν Πράκαναν καστέλλιον τοῖς Ῥωμαίοις ἀνεσώσατο παρὰ Περσῶν πορθηθὲν, ὃ δὴ Σελευκείας ἐχόμενον ἵδρυται.

Ὡς δὲ τὴν βασίλειον πόλιν ἐπεφθάκει ὁ Μανουὴλ (2), ἀσμένως παρὰ τῶν ἐν αὐτῇ πάντων δέχεται, τοῦτο μὲν, ὡς τὴν πατρῴαν βασιλείαν παραλαβὼν, τοῦτο δὲ, ὡς παρὰ πᾶσιν

---

(1) Ἐν περιθ: Ἅλωσις τοῦ Κομνηνοῦ Ἀνδρονίκου καὶ τοῦ Δασιώτου θηρευόντων καὶ πρὸς τὸν σουλτάνον ἀπένεξις. Λύσις τῶν ἑαλωκότων ἀνδρῶν, καὶ τῆς Πρακάνης ἅλωσις.

(2) Οἷος ἦν ὁ βασιλεὺς Μανουήλ.

ἀσπάσιος· ἐπεὶ κἀν τῷ μείρακι, τῶν καταγηρασάντων ἐν τοῖς πράγμασι πλείονα σύνεσιν ἔσωζε, πολεμικός τις καὶ μεγαλόφρων καὶ ἀκατάπληκτος ὤν· ἐπέπρεπε δὲ καὶ χάρις ἐπὶ τοῦ προσώπου αὐτῷ, καὶ τῷ τῆς ὄψεως ὑπομειδιῶντι, τὸ ἐπαγωγὸν ἐπλούτει· εὐμήκης τὴν ἡλικίαν, τὴν χροιὰν οὔτε κατὰ τοὺς σκιατραφουμένους λευκὸς καὶ χιονώδης, οὔτε μὴν ἐπὶ πολὺ μέλας, ἀλλὰ τῆς παντελῶς λευκῆς θέας ἀναχωρῶν, τῷ δὲ μέλανι προσεγγίζων χρώματι, εὐπρεπείας καὶ οὕτως εἴχετο. Διὰ ταῦτα καὶ ὑπτίαις ἀγκάλαις ὃ δὴ λέγεται περιχυθέντων τούτῳ τῶν Πολιτῶν, εἴσεισι τὰ βασίλεια· ἐν δὲ τῷ μέλλειν εἰσιέναι διὰ τῆς πύλης, μεθ' ἣν ἡ ἐκ τῆς ἕδρας ἀπόβασις ἐφεῖται μόνοις τοῖς αὐτοκράτορσιν, ὁ ἵππος ᾧ ἦν ὁ βασιλεὺς ἔποχος εἰς ἀκουστὸν χρεμετίσας καὶ συχνὰ κόψας ποσὶ τὸ δάπεδον (1), εὐήνιά τε προποδίσας καὶ περιδινηθεὶς ἀγέρωχα, ὀψέποτε ὑπερέβη τὸν οὐδόν· ἀγαθὸν οὖν ἔδοξε τοῦτο τοῖς ταῦτα περιεργαζομένοις, καὶ πολυχρόνιον τὴν ζωὴν ἐκ τούτου τῷ αὐτοκράτορι προηγόρευον.

Θύσας οὖν θεῷ τὰ ἀναγορευτήρια καὶ ἐπιβατήρια, σκέπτεται περὶ πατριάρχου (2)· ὁ γὰρ Στυπῆς Λέων θανάτῳ ἐξ ἀνθρώπων ἐγένετο· κοινοῦται οὖν τὰ τῆς γνώμης τοῖς τε συγγενέσι καὶ τοῖς τῆς συγκλήτου βουλῆς καὶ ὅσοι τοῦ βήματος, καὶ πάντων ἡ ψῆφος πρὸς τὸν ἀπὸ τῆς Ὀξείας τρέπει μονῆς μοναχὸν Μιχαὴλ (3), ὡς ἀρετῇ περιώνυμος καὶ τῆς ἡμετέρας ἐν μεθέξει παιδεύσεως. Προβληθεὶς οὖν ὁ Μιχαὴλ πατριάρχης, χρίει τὸν χρίσαντα. Καταλλάττεται δὲ τῷ βασιλεῖ καὶ ὁ ἀδελφὸς Ἰσαάκιος (4), καὶ ἀντεδίδοσαν ἀλλήλοις οἱ ἀδελφοὶ τὴν εὔνοιαν· ὁ δ' Ἰσαάκιος, ὡς ὀξύχολος καὶ διὰ τὸ ἐκ μικρᾶς αἰτίας

---

(1) Ὅπερ ὁ ἵππος τούτου ἐν εἰσόδῳ εἴργασται.

(2) Σκέψις περὶ πατριάρχου. (3) Ἐκλογὴ τοῦ Ὀξείτου.

(4) Περὶ τοῦ σεβαστοκράτορος Ἰσακίου.

εἰς μεγάλας κολάσεις κινεῖσθαι τοῖς πολλοῖς ἀπεστρέφετο, καὶ ψοφοδεὴς δὲ ὑπῆρχε καὶ ἀγεννής. Ἦν οὖν ὁ βασιλεὺς Ἰωάννης καὶ διὰ τοῦτο μακαριστὸς, ὅτι τοῦ Ἰσαακίου τὸν Μανουὴλ εἰς τὴν ἀρχὴν προτετίμηκε.

Τοῦ δὲ Μασοὺτ τὰ πρὸς ἕω ληϊζομένου καὶ κατατρέχοντος, ἔξεισιν ὁ Μανουὴλ κατ' αὐτοῦ (1), καὶ γεγονὼς κατὰ τὰ Μελάγγεια, τοὺς ἐκεῖ Πέρσας μετῆλθε, καὶ ἐπιμεληθεὶς τῆς τῶν Μελαγγείων φυλακῆς καὶ ἀνακτίσεως, εἰς τὴν Κωνσταντινούπολιν ἐπάνεισι νόσῳ προσπαλαίσας πλευρίτιδι. Ἀλλὰ καὶ τὸν τῆς Ἀντιοχείας πρίγκηπα Ραΐμοῦνδον (2) μετιέναι δεῖν οἰηθεὶς ταῖς ἐν Κιλικίᾳ Ρωμαίων ἐπιφυόμενον πόλεσι, στρατιὰν ἐξέπεμψεν, ἡγεμόνας αὐτῇ ἐπιστήσας τοὺς ἀδελφόπαιδας Κοντοστεφάνους, τόν τε Ἰωάννην καὶ τὸν Ἀνδρόνικον, καί τινα Προσοὺχ, πολὺν τὰ πολέμια, καὶ νῆας δὲ προσεπεπόμφει, ὧν ἡγεῖτο Δη-
57* μήτριος ὁ Βρανᾶς. Ἀμέλει καὶ τῶν κακῶς ἐκεῖσε | πασχόντων ἐπικουρίας τετυχηκότων, κατὰ Περσῶν ἐκστρατεύειν αὖθις προέθετο (3)· ἤδη γὰρ οὗτοι τὰ περὶ τὸν Πιθηκᾶν φρούρια ὑπαγαγέσθαι σπεύδοντες, καὶ τῷ θέματι τῶν Θρακησίων ἐμβάλλοντες ἐκάκουν τοὺς ἐν αὐτοῖς· ὑπερβὰς τοίνυν Λυδίαν καὶ ταῖς κατὰ Φρυγίαν καὶ Μαίανδρον ἐπιστὰς πόλεσιν, αὐτάς τε διεσώσατο, καὶ τοὺς Πέρσας φοβήσας ἐδίωξε. Γενόμενος δὲ κατὰ τὸ Φιλομίλιον, κἀκεῖσε τοῖς Τούρκοις συνέμιξεν, ὅτε καὶ τὸν τοῦ ποδὸς ταρσὸν ἐτοξεύθη παρά τινος Πέρσου, καταβληθέντος μὲν ὑπὸ τοῦ βασιλέως τῷ δόρατι, ἐν τῷ ἀνατραπῆναι δὲ βέλος ἐπαφέντος κατὰ τοῦ πέλματος.

Δόξας οὖν παρὰ τοῖς Πέρσαις φοβερὸς εἶναι καὶ τοῦ πα-

(1) Στρατεία κατὰ Περσῶν ὅτε καὶ ἐνόσησεν ὁ βασιλεύς.

(2) Ἀποστολὴ στρατοῦ κατὰ τοῦ Ραϊμούνδου.

(3) Κίνησις κατὰ Περσῶν ὅτε καὶ ἐτοξεύθη κατὰ τὸν πόδα ὁ βασιλεύς.

τρὸς φιλοκινδυνότερος, οὐχ ᾑρεῖτο ὑποστρέφειν, οὐδ' ἐπείθετο τοῖς τοῦτο αὐτῷ συμβουλεύουσι, μήπως ἐπιστάντες οἱ Πέρσαι, ὡς περὶ τῶν ὅλων ἀπογινώσκοντες, κακώσωσί τι τὸ στράτευμα. Ἀμέλει καὶ τὸ πρόθυμον ἐπιτείνας, εἰς τὸ Ἰκόνιον ἤλασεν· ὁ δὲ Μασοὺτ μεταναστεύσας ἐκεῖθεν, παρενέβαλεν εἰς τὰ Τάξαρα, ἤτοι τὴν λεγομένην πόλιν Κολώνειαν· τῶν δὲ θυγατέρων αὐτοῦ μία, ἥτις καὶ συνῳκηκέναι τῷ ἐξαδέλφῳ τοῦ βασιλέως Ἰωάννῃ, ὃς ἀπὸ τῆς κατὰ Νεοκαισάρειαν ἐκστρατείας, ὡς εἴρηται, ἀπέδρα καὶ τὸν χριστιανισμὸν ἠθέτησεν, ἀπὸ τῶν τειχῶν διεγκύπτουσα ὑπὲρ τοῦ πατρὸς καὶ σουλτάνου πιθανὸν ἐτίθετο τὸν ἀπόλογον. Ὁ βασιλεὺς δὲ ἀγχοῦ τῶν περιβόλων τοῦ Ἰκονίου γενόμενος, καὶ τὰ τείχη τῷ στρατῷ διαζώσας, καὶ τόξα τείνειν ἐπὶ τὰς ἐπάλξεις τῇ νεολαίᾳ ἐνδοὺς, οὕτως ἐκεῖθεν ἐξώρμησε, καὶ παλίμπους ἐφέρετο. Τῶν δὲ πολεμίων λόχους ὑποκαθισάντων ἐν τοῖς πρὸς τοῦτο εὐκαίροις τόποις, μείζους τῶν προτέρων ἐγένοντο πόλεμοι· ἐναγωνίως δὲ καὶ τούτων διῳκημένων, εἰς τὸ Βυζάντιον ἀνέζευξεν.

Ἠγάγετο δὲ γυναῖκα ὁ βασιλεὺς ἐξ Ἀλαμανῶν· αὕτη οὐ τοσοῦτον τοῦ ἔξω καὶ τοῦ σωματικοῦ κάλλους ἐφρόντιζεν, ὅσον τοῦ ἔνδον καὶ περὶ ψυχὴν ἐπεμέλετο· οὐκοῦν ἐξομοσαμένη πάντα τοῦ φαινομένου καλλωπισμὸν, ταῖς ἀρεταῖς προσανεῖχε καὶ ὡραΐζετο· εἶχε δὲ καὶ τὸ ἐθνικὸν ἀταπείνωτον, καὶ τὸ τῆς γνώμης δυσμετάθετον· ὅθεν οὐδ' ὁ βασιλεὺς προσεῖχεν αὐτῇ τὰ πολλὰ, ἀλλὰ τῶν μὲν εἰς τιμὴν καὶ δορυφορίαν πάντων βασιλικὴν μετεῖχε, τὰ δ' εἰς κοίτην ἠδίκητο· νέος γὰρ ὢν ὁ βασιλεὺς καὶ ἐρωτικὸς, τῷ ἀνειμένῳ βίῳ προσέκειτο.

Ἐμέλησε καὶ τῶν κοινῶν πράξεων τῷδε τῷ βασιλεῖ καὶ μέγαν λογαριαστὴν τὸν ἐκ Πούτζης Ἰωάννην προβάλλεται καὶ αὐτὸς, ὥσπερ ὁ πατὴρ αὐτοῦ καὶ βασιλεὺς πρότερον, ὄντα καὶ τοῦ δρόμου πρωτονοτάριον, μεσίτην δὲ τῶν οἰκείων διαταγμάτων καὶ μελεδωνὸν τὸν Ἁγιοθεοδωρίτην τίθησιν Ἰωάννην,

ὃς ὑπουργοῖς τῶν γραφομένων πολλοῖς ἐκέχρητο, μάλιστα τῷ Στυπειώτῃ Θεοδώρῳ. Ἦν δὲ ὁ ἐκ Πούτζης Ἰωάννης δεινότατος τὰ δημόσια, φορολογίας παιπάλημα καὶ ἐπίτριμμα, τῶν ὄντων φορολογημάτων συζητητὴς ἀκριβέστατος, τῶν δὲ οὐκ ὄντων εὑρετὴς ἀπαράμιλλος, τὸ ἦθος ἀδυσώπητος καὶ ἀμείλικτος· εὐκοπώτερον γὰρ ἄν τις ἀμειδῆ καὶ ἀγέλαστον πέτραν ἐμάλθαξεν, ἢ ἐκεῖνον τοῖς ἀβουλήτοις ὑπέκλινεν· ὃ δὲ τούτου θαυμασιώτερον, οὐ μόνον δακρύοις ἦν ἄτεγκτος, σχήμασι δεητηρίοις ἀπροσκλινής, ἀργυρίου καὶ χρυσίου ἀτίνακτος ἑλεπόλεσιν, ἀλλ' εἶχε καὶ τὸ δυσέντευκτον ὡς ἀπάνθρωπον, καὶ τὸ πλέον οὐδ' ἀπόλογος ἦν παρ' αὐτῷ ἐφ' οἷς ὁ προσιὼν προετίθετο, ἀλλὰ χαίρων τῇ ἀφασίᾳ ἔστιν ὅτε καὶ ἀπροσήγορον εἴα τὸν παραβάλλοντα· τοσαύτην δ' ἐκ βασιλέως εἶχεν ἐξουσίαν, ὡς καὶ τῶν βασιλικῶν ὁρισμῶν οὓς μὲν ἠβούλετο διαρρήσειν, ἐνίους δὲ τοῖς δημοσίοις ἐγγράφειν κώδιξιν· ὑποθήκῃ τούτου καὶ τὰ εἰς ἐξάρτισιν ἀπαιτούμενα στόλου χρήματα ἐπὶ τοῦ βασιλέως Ἰωάννου ἐκωλύθη δίδοσθαι τῷ ναυτικῷ, καὶ τὸ ταῖς νήσοις κοινωφελὲς ἔργον τοῦ στόλου ἤργησε, καὶ ἔδοξεν εἶναι ἀνδρῶν βέλτιστος ὁ καταποντιστοῦ βουλὴν εἰσενεγκών· ἐκ γὰρ τῆς κακοβουλίας ταύτης θαλαττοκρατοῦσιν οἱ πειραταί, καὶ κακῶς ποιοῦσι τὰ Ῥωμαίων παραθαλάσσια· ἀλλ' οὐκ εἰς τέλος ἔσχε τὸ δύνασθαι. Καὶ ὁ Ἁγιοθεωρί-
8. της δὲ διάδοχον εἶδε τὸν Στυπειώτην Θεόδωρον [, ὃς καὶ ἐπὶ τοῦ κανικλείου τετίμητο· ἦγε τοίνυν ὁ ἀνὴρ ὅδε τὰ πράγματα ὡς ἠβούλετο, βαθυγνώμων ὢν καὶ τὸ ἦθος ἐπίχαρις, καὶ πτηνὸς τὴν φρόνησιν· ᾑρεῖτο δὲ ὅσα ἐπέταττε βασιλεύς, ἐπέταττε δ' οὗτος ὅσα ὁ κανικλείου ἠβούλετο. Ἦν δὲ τῷ τότε καὶ βασιλεὺς λημμάτων αἰσχρῶν ἐλεύθερος, θάλασσα φιλοδωρίας, ἐλέους ἄβυσσος, τῷ προσηνεῖ τοῦ ἤθους εὐέντευκτος, καὶ τὴν βασίλειον ἀρετὴν ἀπαράμιλλος, ψυχὴν πλουτῶν καὶ γνώμην ἀπερίεργον, καὶ οἱ τῷ τότε ζῶντες ἐπὶ τὰς χρυσᾶς Ἐν-

νας ἔλεγον πεφθακέναι, καὶ δωρεαῖς βασιλικαῖς οἱ πλείους κατεπλουτίζοντο ἄνθρωποι, καὶ τὰ κοινὰ ταμιεῖα ἐκ τούτου εἰς τοῦτο ἐξερευγόμενα κατὰ τὰς συναγωγὰς τῶν ὑδάτων ἐπλήμμυρον· ἡ γὰρ μερίδα τῷ θεῷ καὶ τῷ δικαίῳ διδοῦσα φορολογία τοῦ βασιλέως καὶ πατρὸς τῷ βασιλεῖ Μανουὴλ, καὶ τὸ μὴ τῶν δαπανημάτων ἄσωτον καὶ ἀκόλαστον εἰς σωρείας τὰ χρήματα ἐθησαύρισεν· ἦν δὲ καὶ τὸ θεῖον ἐπευλογοῦν καὶ πληθῦνον αὐτὰ κατὰ τὸ ἐπάγγελμα, ὅ καὶ λῆψιν ὑπισχνεῖται οὐρανίου μισθοῦ καὶ τὴν τῶν διδομένων πολλαπλάσιον ἀνταπόδοσιν. Ἀλλ' οὐ μόνιμα τῷ βασιλεῖ τὰ τῆς ἀρίστου ταύτης προθέσεως, ἀλλὰ βραχύχρονα καὶ ἐπίκηρα· ἐς γὰρ ἄνδρας ἐλάσας, ἀρχικώτερον ἥψατο τῶν πραγμάτων, καὶ τοῖς ὑπὸ χεῖρα οὐχ ὡς ἐλευθέροις, ἀλλ' ὡς θεράπουσι προσεφέρετο, καὶ τὰ τῆς φιλοδωρίας συνέστειλεν, ἵνα μὴ λέγω ὡς εἰς τὸ παλίρρουν ἐβιάσατο, καὶ τὸν ἀναδασμὸν ἔστιν ὅτε καὶ ἐφ' οἷς ἐδικαίωσεν, οὐκ ἐκ τῆς γνώμης, οἶμαι, χρὴ γὰρ ἐν τοῖς ἀδήλοις ῥέπειν πρὸς τὸ φιλάνθρωπον, ἀλλ' ὅτι οὐ κοτύλης ἐδεῖτο χρημάτων, ἀλλὰ πελάγους Ἀτλαντικοῦ πρὸς ἃς εἶχεν ἐξόδους καὶ δαπάνας πολλάς.

Ἀλλ' οὕτω διεξάγοντι τὴν βασιλείαν τῷ αὐτοκράτορι ἡ τῶν Ἀλαμανῶν ἐπισυμβέβηκε κίνησις, καὶ ὁμογενῶν ἐθνῶν τούτοις ἑτέρα τις μοῖρα, οἷς καὶ γυναῖκες κατελέγοντο ὡς ἄρρενες τοῖς ἵπποις ἐποχούμεναι καὶ ὁπλοφόροι κατ' ἄνδρας ὁρώμεναι, καὶ ἀνδρείαν στολὴν περικείμεναι κατὰ τὰς Ἀμαζόνας ἐκείνας· μία δὲ τούτων ὑπερεξήρετο, ἥτις καὶ ἐκ τοῦ περικοσμοῦντος αὐτὴν πολλοῦ χρυσοῦ, Χρυσόπους κατωνομάζετο. Τὸ δὲ τῆς κινήσεως αὐτῶν αἴτιον, ἡ εἰς τὸν Κυριακὸν τάφον ἀπέλευσις, καὶ τῶν ἐκεῖ ἀσεβῶν ἐθνῶν ἐξολόθρευσις· τοῦτο τὸ παρορμῆσαν ἐκεῖνοι ἔλεγον καὶ διώμνυντο, καὶ ὡς ἐκ τοῦ τέλους ἔδειξαν οὐκ ἐψεύδοντο· ᾐτοῦντο δὲ τὴν τῶν Ῥωμαίων παρελθεῖν, καὶ ἀγορὰς αὐτοῖς γίνεσθαι ἐξ ὧν ὠνήσονται τὰ πρὸς χρείαν. Ὁ δὲ βα-

σιλεὺς διαταραχθεὶς ὡς εἰκὸς τῷ ἀνελπίστῳ τοῦ πράγματος, τοῖς πρέσβεσι τούτων διηλέχθη μετὰ προσηνείας τὰ πρόσφορα, καὶ ἐπαινεῖν τὸ γινόμενον ὑπεκρίνετο, καὶ ἑτοιμάσασθαι τὰ πρὸς δίοδον ἐπηγγέλλετο, καὶ τὰ χρειώδη λαβεῖν αὐτοὺς ὤνια ἄφθονα, ὥσπερ ἂν εἰ δι οἰκείας καὶ οὐ δι ἀλλοτρίας παρώδευον, ἂν μόνον δώσουσιν ὅρκους, ὡς θεοφιλὴς αὐτῶν ἡ δίοδος ἀληθῶς, καὶ ὡς ἀμάχως τὰ τῶν Ρωμαίων ὅρια ὑπερβήσονται.

Ταῦτα καταστησάμενος γράφει πανταχοῦ τὰ ζωαρκῆ τούτοις καθ' ὁδὸν εἰς πρᾶσιν προτίθεσθαι· καὶ τῷ λόγῳ τὸ ἔργον ἐπηκολούθει. Ὑποβλεπόμενος δὲ μήπως ἐν σχήματι προβάτων λύκοι ἔρχονται, τὰς Ρωμαϊκὰς ἀθροίζει δυνάμεις, καὶ συνδιασκέπτεται κοινῇ περὶ τῶν κοινῶν, καὶ τὸ πλῆθος τῶν παρελευσομένων διέξεισι, τὸ ὁπλιτικὸν ὅσον διασαφεῖ, καὶ τῶν πεζῶν παρίστησι τὸ μυρίανδρον, καὶ ὅτι ὡπλισμένοι πάντες καὶ ἄνδρες αἱμάτων· σὺν τούτοις καταγγέλλει πᾶσι καὶ ὅσα ὁ ἐκ Σικελίας τύραννος κατὰ τῶν παραθαλαττίων χωρῶν καὶ πόλεων διαπράττεται, τὰ ἐν ποσὶ κείρων κατὰ πολλὴν τοῦ κωλύσοντος ἐρημίαν. Καὶ δὴ τὰς πυργοβάρεις ἐπισκευάζει τῆς Πόλεως, καὶ τῇ στρατιᾷ χιτῶνας φολιδωτοὺς χορηγεῖ, καὶ κοντοῖς καὶ δρομικοῖς ἵπποις διεγείρει τὰ τούτων φρονήματα, καὶ χρημάτων ἐπιρρώνυσι διαδόσεσιν. Οὕτω σὺν θεῷ συλλήπτορι καὶ τῇ Πολιούχῳ Μητροπαρθένῳ ὡς ἐνῆν τὰ στρατεύματα δυσμαχώτατα θέμενος, τὰ μὲν εἰς φυλακὴν τάττει τῆς μεγαλοπόλεως, τοῖς δὲ ἐπισκήπτει παρέπεσθαι τῇ τῶν Ἀλαμανῶν στρατιᾷ, μὴ ἀφισταμένοις ἐπὶ πολύ, καὶ εἴργειν τοὺς ἐκ τούτων ἐξιόντας εἰς προνομάς τε καὶ ἁρπαγάς, εἰρηνικῶς μέντοι καὶ μὴ πολεμίως.

68'. | Ἐπεὶ δὲ εἰς τὴν Φιλιππούπολιν οἱ Ἀλαμανοὶ παρενέβαλλον, ἐντυγχάνει τῷ ἐκεῖσε ἀρχιερεῖ ὁ ῥήξ· ἦν δ' οὗτος ὁ πολὺς τὸν ἀρετὴν καὶ τὴν σοφίαν Ἰταλικὸς Μιχαὴλ, ὃς καὶ οὕτω τὴν ῥῆγα τοῖς λόγοις κατεγοήτευσεν οἷς ἐφθέγγετο τοῖς Ρωμαίοις ἐπωφελῶς, ὡς ἐκ τῶν ὤτων ἀναρτῆσαι, καὶ σύσσιτον

παραλαμβάνειν, καὶ μεταδιδόναι προπόσεων· καὶ ὠμοτάτως δὲ ὁ ῥὴξ ἐκόλαζεν, αὐτῷ χαριζόμενος, τοὺς ἄνευ ἀργυρίου καταθέσεως τὰ σῖτα ποθὲν κτωμένους. Ἐν δὲ τῷ μεθίστασθαι ἐκεῖθεν τὸν ῥῆγα καὶ προβαίνειν τοῖς ἔμπροσθεν, ἐκ τῶν ὄπισθεν ἐπακολουθούντων Ἀλαμανῶν καὶ Ῥωμαίων δίκη παρρησιάζεται, ὡς κακῶς δῆθεν πασχόντων τινῶν· εἶτα εἰς τοσοῦτον αὔξεται τὸ κακὸν, ὡς καὶ τὰς χεῖρας ἀμφοτέρους ὁπλίζειν εἰς πόλεμον, εἰ μὴ ὁ ῥηθεὶς προφθάσας ἀρχιερεὺς τὸν ῥῆγα ἐπιστραφέντα καὶ πόλεμον πνέοντα τοῖς λόγοις ἐμάλαξε, καὶ ἠρεμεῖν ἀνέπεισε παρὰ δόξαν.

Ὡς δὲ καὶ κατὰ τὴν Ἀδριανούπολιν ἔφθασαν τὰ στρατεύματα, ὁ μὲν ῥὴξ διὰ τῆς πόλεως ἐλάσας, τῆς προκειμένης εἴχετο, τῶν δὲ προσγενῶν αὐτοῦ τις νόσῳ περιπεσὼν ἐκεῖ περιέμενε· Ῥωμαίων δέ τινες νυκτὸς ἐπιθέμενοι τῇ καταγωγῇ πῦρ ὑφάπτουσι καὶ τὸν ἄνδρα συγκατακαίουσι. Τοῦτο μαθὼν ὁ Κοράδος, (τοῦτο γὰρ ὄνομα τῷ ῥηγὶ), ἐπιτρέπει τὰ τῆς ἀμύνης τῷ ἀδελφιδῷ Φρεδερίχῳ, ὃς ἐπαναστραφεὶς, τὸ σεμνεῖον τίθησι πυρὸς παρανάλωμα ἐν ᾧ κατέμενεν ὁ Ἀλαμανὸς· τοῦτο πάλιν μάχης παραίτιον, ἀλλ' ἐπεγέλασεν εἰρήνη, καὶ ἄλλων μὲν Ῥωμαίων τῶν ἐν τῇ Πόλει κατασβεσάντων τὸν πόλεμον, μάλιστα δὲ τοῦ Προσούχ.

Εἶχε τοίνυν μεθ' ἡμέρας αὐτοὺς ἡ τῶν Χοιροβάκχων, πηγνύντας στρατόπεδον, οὐ μὴν βάλλοντας χάρακα· τοῦτο γὰρ δι' ὅλης τῆς ὁδοῦ ἦν αὐτοῖς, πεποιθόσι τοῖς τῶν Ῥωμαίων ὅρκοις καὶ ταῖς συμβάσεσι· παραρρεῖ δὲ ταῖς ἐκεῖ πεδιάσιν ὁ λεγόμενος Μαυροπόταμος· οὗτος θέρους μὲν ἐς χαράδραν τεναγώδη συνάγεται, χειμῶνος δὲ, ἢ ῥαγδαίων ὄμβρων κατενεχθέντων, ἐκ μικροῦ μέγιστος καὶ πλωτὸς ἐκ βατοῦ γίνεται· τότε τοίνυν οὗτος νυκτὸς ἐκ τοῦ αἰφνηδὸν ὑπερπλημμύρας, ἀπάγει τῆς παρεμβολῆς τῶν Ἀλαμανῶν οὐ μόνον ὅπλα καὶ ἐνδύματα τὰ προστυχόντα, καὶ εἴ τι ἕτερον ἔφερον αὐτοῖς τὰ

ὑποζύγια, ἀλλὰ καὶ ἵππους καὶ ἱπποκορυστάς· καὶ ἦν τὸ θέαμα ἐλεεινὸν καὶ δακρύων ἄξιον, ὡς λογίζεσθαι τὸ συμβὰν μῆνιν ἀπὸ θεοῦ ἄντικρυς εἰς τὸ τῶν Ἀλαμανῶν στρατόπεδον. Ὁ δὲ ῥὴξ κατώδυνος γεγονώς, καὶ τοῦ πολλοῦ ὑπενδοὺς κόμπου, καὶ θαυμάσας εἰ καὶ τὰ στοιχεῖα Ῥωμαίοις ὑπείκουσιν, ἄρας ἐκεῖθεν ἐπορεύετο τὴν ὁδόν.

Ὡς δ' εἰς τὴν βασιλεύουσαν πόλιν ἤγγισεν, εὐθὺς διαπεραιοῦσθαι ἠναγκάζετο, κἂν ὑπερεφρόνει τὰ πρῶτα, τῆς αὐτοῦ λέγων εἶναι γνώμης τὸ δρᾶσαι τοῦτο, καὶ μή, τῇ Περαίᾳ τοῦ Πικριδίου ἐναυλιζόμενος. Ὅθεν καὶ ἅπας ἐρέτης καὶ πορθμεῖον καὶ ναῦς ἱππαγωγὸς πρὸς τὴν τούτων διάβασιν ἔσπευδον. Ὁ βασιλεὺς δὲ καὶ τοῦ πλήθους τῆς στρατιᾶς ὑπογραφέας ἐφίστησιν· ἀλλ' ἦν τὸ πλῆθος ὑπερβαῖνον ἀπογραφήν· ὅθεν καὶ οἱ πρὸς τοῦτο ἀπεσταλμένοι ἄπρακτοι ἐπανῆλθον.

Οὕτως τοίνυν τοῦ ῥηγὸς εἰς τὴν Ἑῴαν λῆξιν διαβάντος μετὰ τῶν σὺν αὐτῷ, ὁ βασιλεὺς πάλιν τῆς τῶν οἰκείων χωρῶν εἴχετο προμηθείας· οὐκ ἠμέλει δὲ καὶ οἷς οὗτοι τραφήσονται. Ἐν μέντοι τοῖς τῶν χωρίων ἐπικαίροις καὶ ταῖς στεναῖς τῶν ὁδῶν λόχοι Ῥωμαίων ἱστάμενοι, δόξαν οὕτω τῷ βασιλεῖ, οὐκ ὀλίγους τούτων κατέσφαττον· ἀλλὰ καὶ οἱ τῶν καθ' ὁδὸν τὰς πύλας τῶν πόλεων ἀσφαλίζοντες, (οὐκ) ἀγορῶν αὐτοῖς μετεδίδοσαν, σχοίνους δὲ τοῦ τείχους ἀποκρεμῶντες, ἀνεῖλκον πρότερον τὸ τίμημα, ἔπειτα ἐχάλων ὅσον ἠβούλοντο, εἴτε ἄρτος ἦν τὸ πωλούμενον, εἴτέ τι βιώσιμον ἕτερον. Οἱ δ' Ἀλαμανοὶ κατ' αὐτῶν ἐπαρώμενοι ἦσαν τὸν παντέφορον ὀφθαλμόν, ὡς μὴ χρωμένων σταθμοῖς δικαίοις μηδ' οἰκτειρόντων ὡς ξένους αὐτούς, μηδέ τι οἴκοθεν αὐτοῖς ὡς ὁμοπίστοις διδόντων, ἀλλὰ καὶ ἃ ἔχουσιν ἀφαρπαζόντων ἀθέσμως· οἱ πολλοὶ δὲ καὶ τὸ ἀργύριον λαβόντες ἀφανεῖς ἦσαν· εἰσὶ δ' οἵ καὶ τῇ ζύμῃ τίτανον ἐμφύραντες, ἐποιοῦντο τὰ σῖτα ὀλέθρια· τοῦτο δέ τινες ἔλεγον, προσταγῇ βασιλικῇ γίνεσθαι. Ἀλλὰ καὶ ἀργύριον ἀδό-

κιμον εἰς νόμισμα κόπτεται, καὶ τοῦτο δίδοται τοῖς ἐκ τῶν Γταλῶν ἀποδόσθαι τι θέλουσι· καὶ ἁπλῶς εἰπεῖν οὐδὲν ἀπῆν τῶν δεινῶν ὅ οὐκ ἐπιτεχνώμενος ἦν | τούτοις ὁ βασιλεὺς, καὶ φ. τοῖς ἄλλοις δρᾷν παρακελευόμενος. Παρόμοια δὲ καὶ τοῖς Τούρκοις ποιεῖν κατὰ τῶν Ἀλαμανῶν ἐπείληφε γράφων καὶ διανίστα πρὸς πόλεμον. Καὶ τοίνυν περὶ τὸν Βαθὺν, Μαμπλάνου τινὸς ἡγουμένου τοῦ τούτων στρατεύματος, πολλοὺς διέφθειραν. Ἐπεὶ δὲ καὶ τῇ μοίρᾳ ἐπέθεντο ἥ τὴν Φρυγίαν παρώδευε, τὸν ὄλεθρον κατὰ τῶν κεφαλῶν αὐτῶν ἐποιήσαντο· διὸ καὶ δέον οὐ μὴ παρενοχλεῖν, οἱ δὲ ταῖς ὄχθαις τοῦ ποταμοῦ ἐφεστῶτες (ὁ Μαίανδρος οὗτος ἦν) οὐκ εἴων τὰ Λατινικὰ στρατεύματα διελθεῖν· ὡς δὲ τῇ ὄχθῃ τοῦ ποταμοῦ προσάγοντος τοῦ ρηγὸς, νῆες οὐ παρῆσαν οὔτε γέφυρα πρὸς διάβασιν, καὶ οἱ Τοῦρκοι πεζοὶ καὶ ἱππεῖς ἀντιπέραν φαινόμενοι ἠκροβόλιζον, καὶ τὰ τοξεύματα ἐλύπει τοὺς παριόντας τὸν ποταμὸν, τότε μὲν ἐπαναγὼν τῆς ὄχθης στρατοπεδεύεται ὅσον μὴ εἶναι βέλους ἐντὸς, καὶ ἐπιτάττει πάντας ἑτοιμασθῆναι ὡς ἐς αὔριον τοῖς Τούρκοις πολεμησείοντας. Πρωϊαίτερον τοίνυν διαναστὰς, αὐτός τε ὥπλιστο, καὶ ἡ ὑπ' αὐτὸν στρατιὰ πᾶσα· καὶ οἱ Τοῦρκοι δὲ ὁμοίως καὶ αὐτοὶ παρετάττοντο. Ὅτε καὶ τὰς τάξεις διερχόμενος ὁ ῥὴξ, καὶ παρακλήσεις αὐταῖς ποιούμενος, ἔλεξε τοιάδε·

« Ὅτι μὲν, ὦ συστρατιῶται, ἡ ἡμετέρα κίνησις αὕτη διὰ Χριστὸν, καὶ οὐ τὴν ἐξ ἀνθρώπων θηρώμενοι δόξαν, ἀλλὰ τὴν ἐκ θεοῦ ταύτην ἐποιησάμεθα, τῶν οἰκείων ἀποξενωθέντες καὶ διὰ τῆς ἀλλοτρίας παροδεύοντες, θλίψεσι προσομιλοῦμεν καὶ κινδύνοις παραβαλλόμεθα, λιμῷ τηκόμενοι, καὶ κρύει πηγνύμενοι καὶ ἐκλυόμενοι θάλπει, καὶ τὴν γῆν ἔχομεν κλίνην, καὶ στέγην τὸν οὐρανὸν, οἱ εὐγενεῖς, οἱ τρυφεροὶ, οἱ ἔνδοξοί τε καὶ πλούσιοι καὶ πολλῶν κυριεύοντες, καὶ τὰ ὅπλα ἀεὶ περικείμενοι ὥσπερ δεσμὰ ἀκούσια, καὶ κάμνομεν ὡς ὁ μέγιστος τῶν τοῦ Χριστοῦ μαθητῶν Πέτρος ἁλύσεσι κακουχούμενοι, ἴστε

πάντες· ὅτι δὲ καὶ οἱ πέραν βάρβαροι ἐχθροί εἰσι τοῦ σταυροῦ Χριστοῦ, οἷς συμβαλεῖν ἐγλιχόμεθα, οὐδὲ τοῦτο ἄδηλον. Εἴπερ οὖν ποθητὸν ὑμῖν τῶν ἀκηράτων ἐπιτυχεῖν μονῶν, οὐ γὰρ ἄδικος ὁ θεὸς, ὡς μὴ τὸ τῆς ὁδοῦ μῆκος καὶ ἃ πάσχομεν καθορῶν τὴν ἐν Ἐδὲμ κατάπαυσιν μεταδοῦναι τοῖς τὰ οἴκοι καταλιποῦσι καὶ τοῦ ζῆν ἀνταλλαξαμένοις τὸ θανεῖν δι' αὐτὸν, καὶ εἰ μνήμη δέ τις ὑμᾶς εἰσέρχεται τῶν ὅσα οἱ ἀπερίτμητοι τὴν καρδίαν οὗτοι ἐμπαροινοῦσιν εἰς τοὺς ἐκ τοῦ γένους ἡμῶν, στῆτε γενναίως ἄρτι καὶ ἐρρωμένως διαγωνίσασθε. Γνώτωσαν οἱ ἀλλόφυλοι ἀληθῶς ὅσον ὁ καθηγητὴς ἡμῶν καὶ σωτὴρ Χριστὸς ὁ θεὸς ὑπέρκειται τοῦ ψευδοπροφήτου καὶ λαοπλάνου διδασκάλου αὐτῶν, καὶ ὅσον καὶ ἡμεῖς αὐτῶν ὑπερφέρομεν. Ναὶ, παρεμβολὴ ἁγία καὶ στρατὸς θεόλεκτος, μὴ φιλοψυχήσωμεν πρὸς φιλόχριστον καὶ ἀείμνηστον τελευτήν. Εἰ Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανεν, ἀποθάνωμεν καὶ ἡμεῖς δι αὐτόν. Ἐπειδὴ δὲ καὶ ποταμὸς οὐκ ἄλλως περάσιμος, εἰ μὴ καινοτέραν δείξει τις πάροδον, ἐγὼ πρῶτος καὶ τούτου κατάρξομαι· ὁμοῦ πάντες φραξάμενοι καὶ ταῖς χερσὶ δόντες τὰ δόρατα ἱππασώμεθα σὺν ῥύμῃ τοῦ ποταμίου τοῦδε ῥεύματος, καὶ ἐμβάλωμεν εἰς αὐτὸ μεθ' ὁρμῆς· καὶ στήσεται οἶδα, καὶ εἴη ἂν τὸ ἔργον τοῖς ὀψιγόνοις ἀοίδιμον, καὶ κατάγελως τῶν Περσῶν ὧν τὰ κῶλα περὶ τουτονὶ πεσοῦνται τὸν ποταμόν.»

Τοιαῦτα παρακελευσάμενος, καὶ τὰ σημεῖα τῆς μάχης ἀναδείξας, τὸν ἵππον ἐφῆκεν ὡς τὸν ποταμὸν μετὰ ῥύμης διαβησόμενος· καὶ οἱ λοιποὶ δὲ τὸ σύνηθες ἀλαλάξαντες, ἐχώρουν ὁμοῦ, ὡς τοῦ ποταμίου ῥεύματος, τὸ μὲν εἰς τὴν χέρσον ἐκτιναχθῆναι, τὸ δὲ διακοπῆναι καὶ τῆς πρόσω στῆναι φορᾶς, αὐτοὺς δὲ ὡς διὰ ξηρᾶς ὁδοιποροῦντας τοῖς Πέρσαις ἐπεισπεσεῖν. Ὅτε καὶ τὸ βάρβαρον, μὴ ἔχον φυγῇ τὴν σωτηρίαν ὑποκλέψαι, ἐκρεανομοῦντο καὶ ἄλλος ἐπ' ἄλλου ἔπιπτον, ὡς τοὺς πεσόντας Πέρσας τὰ ἐκεῖσε καλύψειν πεδία τοῖς πτώμασι. Τῶν

δὲ Ἰταλῶν βληθῆναι μὲν ἀπὸ τόξων πολλούς, βραχεῖς δὲ ἀφυπνῶσαι εἰς θάνατον. Τὸ δ' ἐκ τούτου, ἀπόλεμος αὐτοῖς ἦν ἡ πορεία, μηδενὸς τῶν βαρβάρων ἀνθισταμένου. Τοιούτοις οἱ Ἰταλοὶ ἀγῶσι διηθληκότες, τὴν Κοίλην Συρίαν κατέλαβον.

Ἐν ᾧ δὲ τὴν ἐπὶ τὴν Ἱεροσολύμων οὗτοι ἐβάδιζον, τὰ Ρωμαίων ὅρια παραλλάξαντες, τῆς δ' ἄνω Φρυγίας ἁπτόμενοι, Λυκαονίας τε καὶ Πισιδίας ἃ πάλαι Ρωμαίοις ὑπέκειντο, ὁ αὐτοκράτωρ Μανουὴλ διεσκοπεῖτο | πῶς ἂν Σικελοὺς μετελεύσεφ ται, δίκην ἀποτίσαντας ὧν εἰς Ρωμαίοις ἔπραξαν, καὶ τὴν τῶν Κερκυραίων ἄκραν, ἣ καὶ Κορυφὼ καλεῖται, τῆς τούτων ἀπαλλάξῃ φρουρᾶς. Ὁ γὰρ τῆς Σικελίας τότε κρατῶν Ρογέριος, εἴτε καθ' ὁμολογίαν ὡς ἐλέγετο τῆς μετὰ τοῦ ῥηγὸς τῶν Ἀλαμανῶν, εἴτε καὶ αὐθαιρέτως ὡρμημένος, σύνδρομον τῇ τῶν Ἀλαμανῶν κινήσει ποιεῖται διὰ νηῶν τὴν τῶν παρακτίων χωρῶν τῆς Ρωμαΐδος καταδρομήν. Ἀπάρας τοίνυν ἐκ τοῦ Βρεντησίου στόλος τῇ τῶν Κερκυραίων, ἤτοι τῶν Φαιάκων νήσῳ, προσίσχει, καὶ ἐξ ἐφόδου ταύτην αἱρεῖ· τὸ δ' αἴτιον οἱ τῆς χώρας οἰκήτορες, καὶ τούτων μάλιστα οἱ Γυμνοὶ τὴν ἐπίκλησιν· οὗτοι γὰρ τὸν τότε φορολόγον οὐ φέροντες ὡς βαρύν, τῷ τοῦ στόλου ἡγεμόνι προσιόντες φρουρὰν τῶν Σικελῶν ὡσεὶ χιλίους δέχονται, καὶ καπνὸν φεύγοντες τῆς φορολογίας, ἔλαθον ἐμπεσόντες πυρί, καὶ Ρωμαίοις εἰσενεγκόντες πόλεμον χρόνιον ὁμοῦ καὶ βαρύτατον.

Ἐκεῖθεν ἀποπλεύσας τῇ Μονεμβασίᾳ καταίρει, ἀλλ' ἀνδράσιν ἐκεῖ ἐντυχὼν νῷ διοικουμένοις, ἄπρακτος πάλιν ἀνάγεται. Τὸν δὲ Μαλέαν ὑπερβάς, τὸν αὐτοῦ που πορθμὸν παραλέγεται, καὶ τὰ τούτου ἑκατέρωθεν ἐπιών, καὶ τὰ μὲν ὁμολογίᾳ χειρούμενος, τὰ δὲ καὶ δουλούμενος, Ἀκαρνᾶνάς τε καὶ Αἰτωλοὺς καὶ ὅσα παράλια ληϊζόμενος, τὸν Κορινθιακὸν κόλπον εἰσέπλευσε, καὶ τῷ Κρισσαίῳ λιμένι καθορμισθείς, τοῖς ἐν μεσογείῳ θαρρεῖ προσβαλεῖν, οὐδένα ἔχων ἀντίπαλον. Ἀμέλει καὶ ὁ τοῦ στό-

λου ἀρχηγὸς, χερσαῖος στρατηγὸς ἀναφανεὶς, τῇ Καδμείᾳ γῇ προσβάλλει, καὶ τὰς ἐν μέσῳ κωμοπόλεις ὁδοῦ πάρεργον ποιησάμενος, ταῖς Ἑπταπύλαις Θήβαις προσπίπτει· ὧν καὶ γενόμενος ἐγκρατὴς, ἀπανθρώπως τοῖς ἐκεῖ προσηνέχθη, χρημάτων ἀπληστίᾳ κεκινημένος· τέλος τὸ ἱερὸν προθεὶς Εὐαγγέλιον, ἠνάγκαζεν ἕκαστον τὴν οἰκείαν περιουσίαν οἷς ἐνθεωρεῖται μεθ' ὅρκου διασαφεῖν. Καὶ οὕτω πάντα χρυσὸν, ἄργυρον πάντα διεκφορήσας, καὶ τὰς χρυσοϋφεῖς ὀθόνας ταῖς ναυσὶν ἐνθέμενος, οὐδὲ τῶν σωμάτων τῶν ἀνθρώπων ἀπέσχετο, ἀλλὰ καὶ τούτων συλλαβὼν τοὺς προέχοντας, καὶ τῶν γυναικῶν ὅσαι καλαὶ τὸ εἶδος καὶ νάμασι πολλάκις τῆς Δίρκης λουσάμεναι, καὶ τὴν ἱστουργικὴν ἐπιστάμεναι, οὕτως ἐκεῖθεν ἀνάγεται καὶ τοῦ πρὸς Κόρινθον ἔχεται πλοῦ, πόλιν πλουσίαν καὶ κειμένην πρὸς τῷ Ἰσθμῷ, δύο λιμένας ἔχουσαν, ὧν ὁ μὲν τοὺς ἐξ Ἀσίας, ὁ δὲ τοὺς ἐξ Ἰταλίας καταίροντας δέχεται. Καὶ δὴ τὸ ἐμπόριον εὑρὼν ἔρημον, ὅπερ ἡ Κάτω πόλις ἐπονομάζεται, ὡς πάντων ἀνελθόντων εἰς τὸν Ἀκροκόρινθον καὶ τὰ προσόντα ἐν αὐτῷ ἀποθησαυρισάντων, ἔγνω δεῖν τούτου πειραθῆναι. Ἔστι δὲ ὁ Ἀκροκόρινθος τῆς μὲν πάλαι Κορίνθου ἀκρόπολις, νῦν δὲ φρούριον ὀχυρὸν, ἐν ὄρει ὑψηλῷ κείμενον, ἔνδοθεν ἔχον οὐκ ὀλίγα τὰ φρεάτια καὶ τὴν Πειρήνην κρήνην ἧς καὶ Ὅμηρος μέμνηται. Τούτου τὸ πλέον οἱ Σικελοὶ ἀπονητὶ εἰσῄεσαν, βραχὺν ἀνηλωκότες καιρὸν εἰς τὴν τούτου ἅλωσιν· οὐ γὰρ εἶχεν ἔνδον φρουρὰν ἀξιόμαχον· ὁ Χαλούφης γὰρ Νικηφόρος μετὰ τῶν προεχόντων Κορίνθου καί τινων τῶν ἐκ τῶν πέριξ κωμοπόλεων εἰς φυλακὴν τούτου ἐτύγχανον. Ὁ τοίνυν τριηράρχης ἔνδον τοῦ φρουρίου γενόμενος, καὶ τοῦτο ἰδὼν ἀνεπιχείρητον, σὺν θεῷ πολεμῆσαι ἔφη, καὶ θεὸν αὐτῷ τὸν χῶρον παρασχεῖν, τοὺς ἔνδον πλύνων ὀνείδεσι, μάλιστα δὲ τὸν Χαλούφην, ὃν καὶ γυναικὸς ὠνόμαζε μαλακώτερον. Ὡς δὲ καὶ τὸν αὐτόθι πλοῦτον ἐνέθετο ταῖς τριήρεσι, καὶ τοὺς κρείττους τῶν Κορινθίων ἀν-

δρας τε καὶ γυναῖκας, μηδ' αὐτῆς ἀποσχόμενος τῆς εἰκόνος τοῦ ἐν θαύμασι περιβοήτου ἁγίου Θεοδώρου τοῦ στρατηλάτου, ἀνήγετο φορῷ χρησάμενος πνεύματι, τὴν τῶν Κερκυραίων ἐν τῷ διάπλῳ ἐπὶ πλέον ἀσφαλισάμενος. Ὅτε καὶ τὰς τριήρεις ἰδών τις, μὴ νῆας πειρατικὰς, ἀλλὰ μυριοφόρους εἴκασεν εἶναι φορταγωγούς.

Ταῦτα ἐλύπει τὸν ἄνακτα Μανουὴλ, καὶ ἔσπευδεν εἰς τὴν ἄμυναν. Συνεκάλει τοίνυν εἰς τὴν τοῦ γενησομένου βουλὴν πάντα τῶν τακτικῶν ἐπιστήμονα, καὶ μία βουλὴ ἀρίστη δέδοκτο καὶ τῷ βασιλεῖ ἐψηφίζετο, μετελεύσεσθαι πολέμῳ τοὺς Σικελοὺς κατά τε ξηρὰν συγκροτηθέντι καὶ θάλατταν. Συλλέγεται οὖν τὰ Ἑῷα καὶ τὰ Ἑσπέρια τάγματα, καὶ στόλος συνεκροτήθη ἐγγὺς τῶν χιλίων πλοίων· αἱ πεζικαὶ δυνάμεις εἰς μυριάδας ἠθροίσθησαν· ἔφριξαν ἂν καὶ Γίγαντες, εἰ παρῆσαν, τοιαύτην παρεμβολήν· ἔτρεφε γὰρ τῷ τότε καιροῦ ἡ Ῥωμαίων νεολαίαν | ἡρωϊκὴν ἐνδεικνυμένην ἀλκήν· οἱ δὲ στρατιῶται λεοντώδεις ἦσαν καὶ ἀνυπόστατοι· ὁ γὰρ στρατηγικώτατος βασιλεὺς Ἰωάννης καὶ τῶν στρατιωτικῶν καταλόγων διαφερόντως ἐφρόντιζε, συχνοῖς πιαίνων φιλοδωρήμασι, καὶ γυμνασίαις ὑπαλείφων πρὸς ἔργα πολεμικά. Ψ.

Οὕτω τοίνυν παρασκευασάμενος ἀνάγεσθαι κελεύει τὸν στόλον, μέγαν δοῦκα προχειρισάμενος τὸν ἐπ' ἀδελφῇ γαμβρὸν Στέφανον τὸν Κοντοστέφανον, ἀπαίρειν δὲ καὶ τὴν στρατιὰν ὑπ' ἀρχηγοῖς ἑτέροις, ἀλλὰ δὴ καὶ τῷ μεγάλῳ δομεστίκῳ τῷ Ἀξούχ. Εἶχε τοίνυν τὰς τριήρεις ἡ τῶν Φαιάκων, ἤτοι Κερκύρων πάραλος, ἣν καὶ διαμερίζονται αἵ τε τῶν Βενετίκων νῆες καὶ αἱ Ῥωμαϊκαί. Μετὰ βραχὺ δὲ καὶ βασιλεὺς αὐτὸς ἔξεισι μετὰ τῆς στρατιᾶς· ἐξ ἐφόδου δὲ τοὺς Σκύθας φοβήσας, οἳ τὸν Ἴστρον διαβάντες, τοὺς περὶ τὸν Αἷμον ἐλύπουν, ἄρας ἐκ τῆς Φιλίππου πρὸς τὴν εὐθὺ Κεφαλλήνων ἢ τῶν Φαιάκων ἐβάδιζεν.

Ἔστι δὲ ἡ Κερκυραίων ἄκρα, πέτρα πᾶσα ἀγχινεφὴς προσνενευκυῖα πρὸς θάλασσαν κατὰ τὸν βορρᾶν· τείχη δὲ ἀρραγῆ τὴν πόλιν περιείληφε, καὶ πύργων ὑψώματα, περίβολος δὲ ἐπὶ τῷ περιβόλῳ ἐγείρεται, πεντάπολιν αὐτὴν ἀποφαίνοντες· τοσοῦτο γὰρ οἱ περίβολοι ταύτης· καὶ πάμπαν ἐστὶ δύσμαχος, ἑλικοειδῆ προβεβλημένη τὴν εἰς αὐτὴν ἄνοδον.

Αἱ μὲν οὖν ναυτικαὶ δυνάμεις σιδηρόφρακτοι περιεκύκλουν τὴν πόλιν. Ὁ βασιλεὺς δὲ πρὸ τοῦ πολέμου, δεῖν ἔγνω δι ὁμογλώττων πειραθῆναι τῶν ἔνδον εἴ πως ὑπεκσταῖεν ἀμαχητί· ὡς δὲ τοῖς λεγομένοις οὐδόλως προσέσχον, ἀλλὰ καθοπλισθέντες ὡς εἶχον δῆλοι ἦσαν ὁρμῶντες πρὸς πόλεμον, τότε καὶ βασιλεὺς εἴασε τοῖς αὐτοῦ τὰ ὅμοια δρᾶν καὶ ἀμύνεσθαι. Ἀλλὰ Ῥωμαῖοι μὲν ὡς εἰς οὐρανὸν τὰ βέλη ἠκόντιζον, οἱ δ' ὡς νιφετὸν κατέχεον τὰ τοξεύματα· οἱ μὲν τοὺς λίθους ἀνώθουν ἐκ τῶν πετροβόλων ἀφιεμένους, οἱ δὲ ὡσεὶ χάλαζαν τούτους ἠφίεσαν, ὡς τοὺς ἐκτὸς μὲν τὸ ἀντιπίπτον βραχέα λυπεῖν ἢ οὐδέν, τοὺς δὲ ἐντὸς ἐνεργὰ ἐπαφιέναι τὰ βέλεμνα. Ὡς δὲ πάλιν καὶ πάλιν δρῶντες Ῥωμαῖοι οὐδὲν ἤνυον, πολλοὶ δὲ αὐτῶν κακῶς ἔπασχον, οἱ δ' ἐντὸς ἀπαθεῖς κακῶν ἔμενον, καινότερον ἀεί τι πρὸς τῶν Ῥωμαίων ἐφευρίσκετο, φιλοτιμουμένων ἐπ' ὄψεσι βασιλέως, καὶ ἔργα δρώντων μεγάλα, καὶ καρτερίαν ἐνδεικνυμένων ἐν τοῖς δεινοῖς· ἀλλ' ἠλέγχοντο τῶν ἀνεφίκτων ἐπιχειροῦντες. Τέλος δὲ καὶ αὐτὸς ὁ μέγας δοὺξ θνήσκει λίθῳ βληθείς· ἐλέγετο δ' ἐπ' αὐτῷ πέρας εἰληφέναι τὴν τοῦ πατριάρχου Κοσμᾶ πρόρρησιν, ὅς μετὰ τὸν Ὀξείτην παραιτησάμενον, κἀν τῇ νήσῳ Ὀξείᾳ ἀποφοιτήσαντα, ὅπου πρὸς τῷ προνάῳ προκείμενος τὸν αὐχένα πατεῖν παρεῖχε τοῖς εἰσιοῦσι μοναχοῖς, ἀνθ' ὧν τὴν ἡσυχίαν παριδών, ἐπ' οὐδενὶ συμφέροντι τὸν θρόνον ἀνέβη τὸν ὑψηλόν. Ὁ δὲ Κοσμᾶς ἐξ Αἰγίνης μὲν εἷλκε τὸ γένος, τοῖς δὲ διακόνοις τῆς μεγάλης ἐκκλησίας ἦν ἐναρίθμιος, καὶ ἀρετῆς ἐπιμελούμενος, τῇ ἐλεημοσύνῃ μάλιστα

ἔλαμπεν, ὡς καὶ τὸν ἐπενδύτην καὶ τὸν χιτῶνα καὶ τὴν τῆς κεφαλῆς καλύπτραν διδόναι τοῖς πένησι· διὰ ταῦτα καὶ παρ' ἅπασι μὲν ἦν αἰδέσιμος, μάλιστα δὲ τῷ σεβαστοκράτορι Ἰσακίῳ τῷ αὐταδέλφῳ τοῦ βασιλέως, διὸ καὶ ἡ ἀντίθετος τῆς ἀρετῆς φατρία τῶν τότε ἀρχιερέων ἐνδιαβάλλουσι τὸν ἄνδρα τῷ βασιλεῖ, ὡς τῷ σεβαστοκράτορι τὴν βασιλείαν μνώμενον. Ο' τοίνυν Μανουὴλ νέος ὢν ἔτι καὶ αὐτάρεσκος καὶ τὸν ἀδελφὸν ὑποβλεπόμενος, ταῦτα ἀκηκοὼς, καθελεῖν τοῦτον τοῦ θρόνου ἐζήτει· εὗρεν οὖν αἰτίαν τὸν μοναχὸν Νίφωνα, ὅς αἱρετικὸς ἐλέγετο, καὶ διὰ τοῦτο ἐπὶ τοῦ Ὀξείτου πατριάρχου τὴν μακρὰν γένυν ἐκάρη καὶ δεσμωτηρίῳ ἐναπεκλείσθη· φίλος δὲ ἦν ὁ Νίφων τῷ πατριάρχῃ Κοσμᾷ. Κρινόμενος οὖν ὁ Κοσμᾶς ὡς συναιρετίζων τῷ Νίφωνι, ἢ μᾶλλον κατακρινόμενος καὶ ἃ οὐκ ἐγίνωσκεν ἐρωτώμενος, ζήλου πίμπλαται, καὶ πρὸς τὸ συνέδριον ἀπιδὼν, τῇ μὲν τῆς βασιλίδος μήτρᾳ ἐπιτιμᾷ μὴ παῖδα τεκεῖν ἄρρενα, ἀφορίζει δὲ καὶ τῶν περὶ τὸν βασιλέα τινὰς καὶ τὴν συνελθοῦσαν εἰς αὐτοῦ καθαίρεσιν σύνοδον. Τότε τοίνυν ὁ Κοντοστέφανος εἷς ὢν τῶν περιϊσταμένων τὸν βασιλέα, καὶ ὑπὲρ τῆς δεσποίνης παρὰ πάντας τὸν ζηλωτὴν ὑποκρινάμενος, πὺξ πατάξαι τοῦτον διενοήθη καὶ ὥρμησε· παρὰ πάντων δὲ τῶν τῆς γερουσίας καὶ αὐτοῦ δὲ τοῦ βασιλέως ἀποτραπεὶς καὶ ἐπιπληχθεὶς, τοῦ ἔργου ἀπέσχετο |. Τότε τοίνον ὁ πατριάρχης πρᾳείᾳ οὑτωσί πως ἔφησε τῇ φωνῇ « ἄφετε αὐτὸν, ὅσον οὔπω τὴν οἰκείαν πετραίαν ληψόμενον ». Ἐκβέβηκε γοῦν τὸ ῥηθέν. Ἀλλ' οὐδ' ἡ βασιλὶς ἄρρεν τεκεῖν ἠξιώθη καθ' ὅλον τὸν ταύτης βίωτον· ὅ καὶ ὁ βασιλεὺς ὡμολόγει. φ.

Πεσόντος δὲ τοῦ Κοντοστεφάνου, ὁ μέγας δομέστικος Ἰωάννης τῆς τριηραρχίας ἐπιλαμβάνεται, οὐχ ὥστε καὶ μέγας δοὺξ ὀνομάζεσθαι, ἀλλ' ὅσον ἐξηγεῖσθαι τοῦ στόλου, καὶ τοῖς γινομένοις ἐπιστατεῖν. Ὁ δὲ βασιλεὺς εἰκῆ κατατρίβειν τὸν καιρὸν μὴ βουλόμενος, εἰς γὰρ μῆνας τρεῖς ἡ πολιορκία ἐξε-

τείνετο, εἰς νῆα ἐνέβη τὴν στρατηγίδα, καὶ κύκλῳ τὴν τῶν Κερκυραίων κατασκοπήσας, ὅθεν ἂν προσβάλοι ἐζήτει· ὡς δὲ πάντοθεν ἦν ἀπορούμενος, ἔδοξε κατά τινα φάραγγα βαλέσθαι ξυλίνην κλίμακα ἐς σχῆμα πύργου τεκτονηθεῖσαν· ἡρμόττοντο οὖν ναυπηγήσιμα ξύλα καὶ ἱστοὶ μεγάλων νηῶν συνεπήγνυντο, καὶ οἱ μὴ ἐξικνούμενοι τοῦ ὕψους συμβολὰς ἐδέχοντο· ὡς δὲ ἔδει ποτὲ ἀρθῆναι καὶ παρὰ τὴν ἄκραν τεθῆναι, ἡ μὲν κορυφὴ αὐτῆς πέτρᾳ προσήγγιζεν ὅθεν ὁ τῆς πόλεως τειχισμὸς ἀρχόμενος βάσιν ἐδίδου τοῖς ἐκ τῆς κλίμακος ἀποβαίνειν μέλλουσι, καὶ πρὸς τοὺς ἐπὶ τοῦ τείχους μάχεσθαι, ἡ δ' ὑποβάθρα πλοίοις ἐπανέκειτο εὖ πεπηγυῖα καὶ ἡρμοσμένη. Ἐξελέγοντο οὖν οἱ ἀναβησόμενοι, οἵ τῶν ἄλλων ἔξοχοι καὶ ἄλκιμοι κατὰ πόλεμον, ὅτι καὶ τὸν βασιλέα φιλῶν ἀναβαινέτω, βασιλεὺς αὐτὸς προεκήρυττε. Πάντες οὖν ἀνένευον πρὸς τὴν ἄνοδον, τὸν κίνδυνον εὐλαβούμενοι, ἕως Πετραλίφαι αὐτάδελφοι τέσσαρες, ἐκ τοῦ τῶν Φράγγων γένους ὁρμώμενοι, καὶ κατὰ τὸ Διδυμότοιχον τὴν οἴκησιν ἔχοντες, τῆς κλίμακος πρῶτοι ἐπέβησαν· τούτων γὰρ ἀποτεθαρρηκότων, μάλιστα δὲ πρὸ αὐτῶν τοῦ Παπούκη, ὅς δορυφορῶν τὸν μέγαν δομέστικον ὅλως ἦν πρὸς τὸ ἔργον ἐνθεάζων, καὶ ἕτεροι οὐκ ὀλίγοι τούτοις ἐπηκολούθησαν· ἀφορίσας δὲ ὁ βασιλεὺς καὶ οὕς ᾔδει κατὰ πόλεμον ἀρίστους, ἐς τετρακοσίους ἠριθμημένους, ἐπαφῆκεν ἀναβαίνειν, πολλὰ πρότερον εἰς ἀνδρείαν παρακαλοῦντα διαλεχθείς, καὶ αὐτοῖς καὶ τέκνοις αὐτῶν μεγάλα ἐπαγγειλάμενος καὶ ζῶσι καὶ τελευτήσασι. Πρῶτος οὖν ὁ Παπούκης τὸ σημεῖον τοῦ σταυροῦ διατυπώσας ἐν ἑαυτῷ, τῆς ἀναβάσεως ἄρχεται, καὶ μετ' αὐτὸν οἱ Πετραλίφαι, καὶ καθεξῆς ἕτεροι, ἕως τοὺς πάντας ἡ κλίμαξ ἐδέξατο. Οὐδεὶς οὖν τῶν θεωμένων ἦν ὅς ἐπὶ τῷ πραττομένῳ οὐκ ἀνῴμωξε, καὶ τὸν θεὸν ὑπὲρ τῶν ἀνδρῶν ἐλιπάρησεν· ἦν γὰρ τὸ ἔργον καταπλῆττον πάντα θεώμενον. Ἤδη γοῦν τοῦ Παπούκη τῆς κλίμακος ἀπο-

βάντος, καὶ τὼ πόδε ταῖς πέτραις ἐρείσαντος, ὅθεν καὶ τοῖς ἐκ τῶν τειχῶν διεμάχετο, κατασπᾶται ἡ κλίμαξ διαλυθεῖσα, καὶ οἱ ἐν αὐτῇ πάντες καταβάλλονται, καὶ ἀπώλλυντο, ἐλεεινὸν θέαμα, ταῖς τῶν κυμάτων φοραῖς παραφερόμενοι, καὶ πέτραις καὶ νηῶν προσριπτόμενοι τμήμασι, κἀκ τῶν ὑψόθεν λίθοις καταχωννύμενοι, ὡς βραχεῖς ἀπ' ἐκείνων τὸν θάνατον διεκφυγεῖν. Ο' δὲ Παπούκης καὶ τοὺς ἐναντίους αὐτοὺς τοὺς ἐν τοῖς τείχεσι διαταράξας, καὶ ἀναπεπταμένην πυλίδα εὑρὼν δι' αὐτῆς εἰς τοὺς ἰδίους ἐξέθορε· καὶ ἦν τοῦτο Ρωμαίοις καὶ βασιλεῖ δι' ἐκπλήξεως.

Ἀλλ' οὔπω ἀκριβῶς τοῦτο διεθρηνήθη, καὶ τὴν ἐπ' αὐτῷ τοῦ βασιλέως λύπην ὁ πάντα μαραίνων χρόνος διαφορήσας ἐλέανε, καὶ ἄλλη τις ἐπισυμπλέκεται συμφορά. Διαστασιάζουσι πρὸς ἀλλήλους Ρωμαῖοι καὶ Βενέτικοι κατὰ μέσην τὴν ἀγορὰν, καὶ οὐχ ὕβρεσιν ἀλλήλους ἔπλυνον ὥσπερ ἐν τοῖς τοιούτοις φιλεῖ, ἀλλ' αἱ χεῖρες εὐθὺς εἶχον τὰ ὅπλα, καὶ ἡ μάχη ἀγχώμαλος διηγείρετο· συχνοὶ οὖν οἱ κατὰ φήμην ἐξ ἑκατέρων συρρέοντες τοῖς ὁμοφύλοις μεθ' ὅπλων ἀμύνοντες. Πολλοὶ δὲ καὶ μὴ ὁπλενδυτοῦντες τοῦ βασιλικοῦ γένους παρενέβαλον καὶ λαμπροὶ τὰ ἀξιώματα καὶ τῶν Βενετίκων οἱ γεραίτατοι κατασβέσοντες τὸ κακὸν καὶ διαλλακτῆρες· ἀλλ' οὐκ ἦν τῶν λεγομένων ἐπιστροφή· ὅσον γὰρ ὁ μέγας δομέστικος τοὺς Ρωμαίους ἀνέκοπτε τῆς ὁρμῆς, τοσοῦτον οἱ Βενέτικοι τῷ θυμῷ σφαδάζοντες, ἐκ τῶν τριήρεων ἐξεχέοντο· ἰδὼν οὖν ὁ ἀνὴρ ὡς οὐδὲν ὠφελεῖ διαλλαγὰς μετιὼν, τοὺς ἰδίους μεταπέμπεται δορυφόρους καὶ τοῖς Βενετίκοις ἀφίησι καὶ μέρος τῆς στρατιᾶς. Ε'π' ὀλίγον οὖν ἀντισχόντες, τὰ νῶτα μεταβαλόντες, φεύγουσι, καὶ ταῖς ναυσὶν ἄκοντες συνωθοῦνται. [Πλὴν οὐδ' οὕτως ἠρέμησαν, ἀλλ' ἐν δεινῷ τίθενται ὅτι μὴ Ρωμαίων ὑπερίσχυσαν. Α'μέλει καὶ κατὰ χέρσον οὐ δυνάμενοι μάχεσθαι, τὰς νῆας ἀποσαλεύουσι καὶ κατά τινα νῆσον ἀναχθέντες, ὡς πολέμιοι ἐ-

πιτίθενται τοῖς ἐκεῖσε παρορμῶσιν ἐξ Εὐβοίας πλοίοις Ρωμαϊκοῖς, καὶ τὸ ναυτικὸν κακῶς διαθέμενοι, καὶ αὐτὰ τὰ πλοῖα ἐνέπρησαν· ἀλλὰ καὶ τὴν βασιλίδα νῆα κλέπτουσι, καὶ πρῶτα μὲν τὰς ἐν αὐτῇ διαιτήσεις βασιλικὰς πέπλοις χρυσοϋφέσι κοσμοῦσι καὶ ἁλουργοῖς τάπησιν, ἔπειτα ἀνδράριον ἐπίτριπτον, Αἰθίοπα μελανόδερμον, ἐπ' αὐτῇ ἐμβιβάσαντες, εὐφήμουν ὡς βασιλέα Ρωμαίων περιάγοντες μετὰ λαμπρᾶς στεφηφορίας καὶ προπομπῆς, τὰ τῆς βασιλείας σεμνὰ διαπαίζοντες, καὶ καταμωκώμενοι τὸν ἄνακτα Μανουὴλ ὡς μὴ ξανθίζοντα τὰς τρίχας, ἀλλ' ὑπομελαινόμενον.

Ἀλλ' εἶχε μὲν ὁ βασιλεὺς ἀξίαν τότε δίκην ἐπιθεῖναι τοῖς Βενετίκοις, δείσας δὲ μὴ ἐμφυλίου κινηθέντος πολέμου, ἄτοπόν τι ἐπισυμβῇ, πέμψας τινὰς τῶν προσγενῶν ἀμνηστίαν δίδωσι, κἂν καὶ τὸν χόλον ἔτρεφεν ἐν ψυχῇ, ὅν καὶ κατὰ καιρὸν ἐπεδείξατο, ὡς ῥηθήσεται. Τότε δ' οὖν φιλιωθέντων ἀμφοτέρων τῶν στρατευμάτων, εἰς πολιορκίαν ἐξάγει τὰς φάλαγγας, καὶ κατὰ θάλατταν τὸ πόλισμα κυκλωσάμενος, παντοῖος ἐγίνετο εἴ πως ἐξελεῖν αὐτὸ δυνηθείη. Ἐπεραίνετο δὲ οὐδέν· οἱ γὰρ ἔνδον καὶ αὐτοὶ γενναίως ἐμάχοντο. Ὡς ἔγνω τοίνυν ἀδυνάτοις ἐπιχειρῶν ὁ βασιλεὺς πολέμῳ κρατῆσαι τοῦτο ἐπιχειρῶν, τὴν μὲν πολιορκίαν ἀφεῖναι ἀτέλεστον οὐκ ἔκρινε δεῖν ὡς ἀδοξίας παραίτιον, ἐσκέψατο δὲ χρονοτριβεῖν· διὰ γὰρ τῆς πολυημέρου προσεδρείας καὶ ἄκοντας συνελάσας τοὺς ἐπὶ τῆς φρουρᾶς ᾤετο καταπροδοῦναι τούτῳ τὸ φρούριον. Ὅθεν οὐδὲ διήμαρτε τοῦ σκοποῦ. Μεθ' ἡμέρας γὰρ διαπρεσβεύονται οἱ πολέμιοι καιρὸν αὐτοῖς ὑποχωρήσεως ἐνδοθῆναι μεθ' ὅπλων καὶ τῶν ἄλλων ὧν εἰσιν ἔχοντες, μηδεμίαν ἐκ τοῦ ῥηγὸς ὁρῶντες βοήθειαν, καὶ τὸν λιμὸν ἤδη ἐπικαταλαβόντα καὶ συνέχοντα βλέποντες. Ἐνῆγε δὲ πρὸς τοῦτο ὁ Καπελάνος Θεόδωρος. Ὁ βασιλεὺς τοίνυν ἀκούσας τὴν ἀγγελίαν, ἐζήτει καὶ τὸ πέρας αὐτίκα ἰδεῖν· ἐπλάττετο δὲ τὸν τραχὺν, καὶ ἀπειλαῖς ἐκέ-

χρῆτο, εἰ μὴ τὰ εἰρημένα πληρώσαιεν· ὡς οὖν ἐκ τούτων τινὲς προσερρύησαν, καὶ εὐμενῶς αὐτοὺς προσδεξάμενον εἶδον τὸν βασιλέα καὶ φιλοτίμως, τότε καὶ οἱ λοιποὶ πάντες ἐνέδωκαν, καὶ τῷ βασιλεῖ παραδεδώκασι τὸ φρούριον· καὶ πολλοὶ μὲν αὐτῶν συμπαρέμειναν τῷ βασιλεῖ, καὶ πρὸ πάντων ὁ Καπελάνος· οἱ δὲ λοιποὶ πρὸς τὴν πατρίδα Σικελίαν ὑπέστρεψαν. [Βασιλεὺς δὲ] παριὼν εἴσω τῆς πόλεως, καὶ τὴν ἄκραν καταπλαγεὶς ὡς οὐδ' ὅλως ὅπλοις ἁλώσιμον, καὶ φρουρὰν ἐπιστήσας ἐκ Γερμανῶν, ἄρας ἐκεῖθεν μετὰ τῆς στρατιᾶς εἰς τὸν Αὐλῶνα μετασκηνοῖ, καὶ μεθ' ἡμέρας τὴν εἰς Σικελίαν κυροῖ περαίωσιν, γνωματεύων ἤρεμον εἶναι τὸν μαχόμενον, καὶ εἰρήνης τὸν πολέμιον αἴτιον, κἀκείνας εὐδαιμονεῖν τῶν πόλεων ὅσαι μὴ τείχεσι μόνον ἀλλὰ καὶ ἔγχεσι φράττονται· ὡς τοὺς δι' εἰρήνην τὸν πόλεμον φεύγοντας λεληθέναι ὅτι πλείονες ἐντεῦθεν ἀναφύονται οἱ ἐχθροί.

Τότε τοίνυν τὸν αὐτοκράτορα τὴν εἰς Σικελίαν κυρώσαντα ἔλευσιν, τὸ Ἀειρρονήσιον εἶχε πρὸς τοῦτο κατάραντα· ἀλλ' ἐπέσχον τοῦ ἐγχειρήματος τὸ πέλαγος διακυκήσασαι λαίλαπες· καὶ αὖθις δὲ τὴν περαίωσιν ἐπισπεύδοντι ἡ θάλασσα ἠγριαίνετο καὶ ἀνεβράσσετο κάτωθεν· ὡς οὖν ἀντέστησαν αἱ ἀντίπνοιαι τὰ πλοῖα διαλύσασαι γνόφῳ τραχεῖ, μόλις τινὰ τούτων τῇ χέρσῳ ἐσώθησαν, καὶ αὐτὸς δὲ ὁ βασιλεὺς τὸν κίνδυνον ἐξέφυγε, τὰ δὲ λοιπὰ διεσπάρη καὶ τοῦ κλύδωνος γεγόνασι πάρεργον.

Τῷ τοι καὶ τὴν δι' ἑαυτοῦ κίνησιν ὁ βασιλεὺς πρὸς Σικελίαν ἐάσας, ἀπαίρει ἐκ τοῦ Αὐλῶνος μετὰ τῶν τάξεων, καὶ εἰς τὴν Πελαγονίαν ἀφιγμένος, καὶ καταστήσας ὡς ἐδόκει συμφέρον τὰ πράγματα, κατὰ Σέρβων ἔγνω μεταθέσθαι τὴν κίνησιν. Οὗτοι γὰρ πρότερον τὸ εὔνουν πλαττόμενοι, ἐπεὶ εἶδον μάχαις τοὺς Ῥωμαίους σχολάζοντας αἷς εἰρήκαμεν, παρὰ τὸ δέον καταχρησάμενοι τῷ καιρῷ ὅπλα κατὰ Ῥωμαίων ἦραντο,

καὶ τοὺς ὁμόρους Ῥωμαίους κακῶς διέθηκαν. | Καὶ δὴ τὸ εὔοπλον ἀπολαβὼν τοῦ στρατεύματος, καὶ πρὸς τὸ εὔζωνον ἀποτάξας εἴσεισι τὴν Σερβίαν. Τὸν δὲ ταύτης ζουπάνον οὐ διέλαθεν ἡ κατ' αὐτοῦ κίνησις, κἂν καὶ ὁ βασιλεὺς λήσειν ἤθελε· μὴ δυνάμενος οὖν τὴν ὁρμὴν τῶν Ῥωμαίων ἐνεγκεῖν, ἀφίσταται μὲν τῶν πεδινῶν, εἰς δὲ τὰ ὄρη αἴρει τοὺς ὀφθαλμοὺς, καὶ τὰς δυσβάτους λόχμας εἰσέρχεται, ἑκάστῳ τῶν οἰκείων ἐπιτρέψας ποιεῖν τὰ αὐτῷ ὅμοια. Βασιλεὺς δὲ ὡς λέων ἀλκῇ πεποιθὼς, βουκόλια καὶ αἰπόλια τὰ τῶν βαρβάρων κείρας συστήματα, καὶ πολλὰς μὲν κτήσεις πυρὶ παραδοὺς, πολλῶν δὲ σωμάτων ἐγκρατὴς γεγονὼς, ἐκεῖθεν ἐπάνεισι, καὶ γράφει τοῖς ἐν τῇ Πόλει τὰ κατορθώματα διακομιστῇ τοῦ γράμματος τῷ μεγάλῳ δομεστίκῳ χρησάμενος. Μετὰ βραχὺ δὲ φθάνει καὶ αὐτὸς, καὶ καταγαγὼν θρίαμβον, καὶ παρὰ τοῦ δήμου καὶ τῆς συγκλήτου εὐφημισθεὶς, εἰς ἁμίλλας ἵππων ἀπεῖδε καὶ θέατρα.

Ἄρτι δὲ τοῦ ἔαρος ὑπομειδιῶντος τὴν Πελαγονίαν αὖθις κατέλαβε, καὶ χρήμασιν ἐφοδιάσας πολλοῖς καὶ στρατιὰν παραδοὺς ἱκανὴν τῷ Παλαιολόγῳ Μιχαὴλ, ἀνδρὶ εὐγενεῖ καὶ δραστηρίῳ, ἐκεῖθεν ἐξέπεμψε κατὰ τοῦ ῥηγός. Ὁ δὲ τὴν Βενετίαν καταλαβὼν, ὡς ὁ βασιλεὺς ἐπέσκηψε, καὶ μισθοφορικὸν ἀγηοχὼς, καὶ κοντοφορικὸν συναθροίσας ἐκ τῶν Ἰταλιωτίδων χωρῶν, καὶ μεγαλοδύναμος γεγονὼς, πρὸς τὴν Λαγγουβαρδίαν κατέπλευσε καὶ συμβαλὼν ταῖς ἐκεῖ δυνάμεσι τοῦ ῥηγός, τροπαιοφορεῖ κατ' αὐτῶν, καὶ νίκαις ἀναδεῖται λαμπραῖς, ἔχων ἐν πᾶσι συναντιλαμβανόμενον καὶ τὸν κόμητα Ἀλέξανδρον, ὃς ἐκ τοῦ αὐτοῦ ἦν αἵματος τῷ ῥηγὶ, προσκεχωρήκει δὲ Ῥωμαίοις δι' ἅπερ ὑπέστη παρὰ τούτου δεινά. Καὶ ὁ μὲν Παλαιολόγος ἀεὶ ηὔξανε, καὶ σπείρων φιλοτίμως τὰ χρήματα ἐλύπει τὸν ῥῆγα, πλείστας τῶν ἐκεῖ πόλεων τὰς μὲν ὁμολογίᾳ χειρούμενος, τὰς δὲ καταστρέφων. Ἀλλὰ καὶ λίθων μετενεχθέντων ἐκ

Βάρης καὶ τινων αἰχμαλώτων πόλις κατὰ τὴν χώραν τοῦ Αἰγαίου τειχίζεται Βάρη καὶ Αὐλωνία ἕως ἄρτι ὠνομασμένη.

Βασιλεὺς δὲ καὶ αὖθις μαθὼν κακουργεῖν τὸν Σερβίας ἄρχοντα Οὔρεσιν καὶ χείρονα δρᾷν τῶν προτέρων, σπεισάμενον κατὰ Ῥωμαίων τοῖς γείτοσι Παίοσιν, εἰσβάλλει κατ' αὐτῶν, ὡς οὐκ ἀξιομάχων ἀφροντιστῶν. Οἱ δὲ καὶ ὑπὲρ δόξαν χεῖρας ἀντῆραν καὶ τὸν κατ' ὀφθαλμοὺς ἐθάρρησαν πόλεμον, συμμαχικὸν Οὐννικὸν ἐπαγόμενοι· ὅτε καὶ ὁ Καντακουζηνὸς Ἰωάννης συμπλακεὶς αὐτοῖς, δακτύλους τῶν χειρῶν ἀφῃρέθη. Καὶ βασιλεὺς δὲ αὐτὸς τῷ ἀρχιζουπάνῳ Βακχίνῳ προσέμιξεν, ἡρωϊκῷ τὸ σῶμα καὶ τὰς χεῖρας δραστηρίῳ τε καὶ πολεμικῷ· καὶ ὁ μὲν κατὰ τοῦ προσώπου πλήττει τὸν βασιλέα καὶ διαθλᾷ τὸ τοῦ κράνους κατακεχυμένον σιδήρεον παραπέτασμα, ὁ δὲ τὴν χεῖρα τούτου διήλασε ξίφει καὶ ἀπόλεμον ἔδειξε καὶ ζωγρίαν συνείληφεν. Ὡς δὲ τοὺς Σέρβους κατηγωνίσατο, κατὰ τῶν Οὔγγρων ὁρμᾷ, ἐγκαλῶν τὴν τῶν Σέρβων ἐπικουρίαν, καὶ τὴν ἀποδημίαν ἁρπάζων τοῦ ῥηγός, ὃς καὶ τοῖς Ῥῶς τότε ἦν συμπλεκόμενος· διαβὰς οὖν τὸν Σάουβον ποταμόν, καὶ τῷ Φραγγοχωρίῳ ἐμβαλών, ἔστι δὲ τοῦτο τῆς Οὐγγρίας μέρος τὸ χαριέστατον καὶ πολυανθρωπότατον, καθὸ καὶ τὸ Ζεύγμινον ἔκτισται, κακῶς τὰ ἐκεῖθεν διέθετο· ὅτε καί τις τῶν Παιόνων μεγέθει μέγιστος καὶ ψυχῆς προφαίνων ἀνδρεῖον παράστημα, τῶν ἄλλων ἀποδιαστὰς πρὸς τὸν βασιλέα θυμῷ φέρεται· ὁ δὲ ἀντέπεισι τούτῳ καὶ τὸ ξίφος εἰς τὸν ὀφθαλμὸν διελᾷ, καὶ τῆς ζωῆς στερίσκει αὐτῇ τῇ πληγῇ. Πολλοὺς τοίνυν ζωγρίας λαβών, καὶ πραγμάτων οὐκ ὀλίγων γενόμενος ἐγκρατής, εἰς τὴν βασιλίδα πόλιν ὑπέστρεψε, καὶ θρίαμβον λαμπρότατον συστησάμενος ὡς ἐνῆν διὰ τῶν ἀμφόδων ἐπόμπευσεν. Ὑπεξῆραν δὲ τὴν πομπὴν τῶν Οὔγγρων οἱ νεαλεῖς καὶ τῶν Σέρβων οἱ δορυάλωτοι, λαμπρὰς στολὰς ἐκ τοῦ βασιλέως ἀμφιεννύμενοι· θαυμαστὴν δ' ἐποίει τὴν πανήγυριν καὶ τὸ κατὰ συμμο-

ρίας καὶ ἐκ διαλειμμάτων αὐτοὺς παριέναι, καὶ ὑπὲρ τοὺς ὄντας οὕτω φαντάζεσθαι.

Ἐν τούτῳ δὲ καὶ Σκυθῶν τὸν Ἴστρον διαβάντων καὶ τὰ πέριξ τούτων ληϊζομένων Ρωμαϊκὰ φρούρια, στέλλεται κατ' αὐτῶν ὁ Καλαμάνος· ἀλλ' οὗτος οὐ καλῶς στρατηγήσας τὸν πόλεμον, ἡττήθη τε καὶ πολλοὺς ἀπεβάλετο, καὶ ἄνδρας δὲ ἀγαθούς, καὶ αὐτὸς καιρίαν πληγεὶς τὸ ζῆν μετήμειψεν. Οἱ δὲ Σκύθαι τὰ ἐν ποσὶ λείαν θέμενοι, καὶ τὰ λάφυρα τοῖς ἵπποις ἐνθέμενοι, ἀκινδύνως ἀπέστρεψαν εἰς τὰ ἴδια.

2. | Ὁ δὲ Παλαιολόγος, ὅτε τῆς Καλαβρίας ἐπέβη, τῆς στρατηγίας παραλύεται, ὡς φιλοπράγμων αἰτιαθεὶς καὶ δαπανηρὸς, στέλλεται δὲ ἀντ' αὐτοῦ ὁ Κομνηνὸς Ἀλέξιος ὁ τοῦ Βρυεννίου καίσαρος υἱὸς, ἐξάδελφος ὢν τῷ βασιλεῖ πρὸς μητρὸς, καὶ τὴν τοῦ μεγάλου δουκὸς τιμὴν ἄρτι περιζωσάμενος· συνεκπέμπεται δὲ καὶ ὁ Δούκας Ἰωάννης, ἀνὴρ τῶν ἐλευθερίων παιδευμάτων οὐ λιχανῷ ἄκρῳ γευσάμενος, ἀλλὰ σοφὸς, καὶ γένους εὖ ἔχων καὶ πολέμων ἴδρις στρατηγικῶν. Οὗτοι πολλάκις συνέμιξαν ταῖς δυνάμεσι τοῦ ῥηγὸς, καὶ ναυμαχίαις αὐτὸν κατεπάλαισαν, ὡς τάς τε νῆας τούτου διαρρυῆναι, καὶ πολιορκίας ἐγγὺς καὶ αὐτὸ γεγονέναι τὸ Βρεντήσιον.

Ἀλλ' οὔπω ταῖς καλλίσταις ἀγγελίαις ὁ βασιλεὺς ἐνεώρτασε, καὶ ὁ ῥὴξ δύναμιν ἀθροίσας μείζονα, καὶ ξενικὸν οὐ βραχὺ, τὴν ἧτταν ἐπῆλθεν ἀνακαλούμενος, καὶ συμβαλὼν περιγίνεται τῶν ἀνδρῶν, καὶ συλλαβὼν δεσμώτας καθείργνυσιν, ἐν ἀκαρεὶ ἀνατρέψας ὅσα πόνῳ καὶ δαπάναις μεγίσταις ὑπὸ Ρωμαίων εὐημερήθησαν. Τοιούτοις ὁ Μανουὴλ ἀκούσμασιν ἐκπικρανθεὶς τὴν ψυχὴν ἱκανῶς ἐπαθήνατο· οὐκ ὢν δὲ ψοφοδεὴς, οὔτε ταῖς εὐθηνίαις παρ' ὃ δεῖ κουφιζόμενος, οὔτε πάλιν ταῖς δυστυχίαις ὑποκλινόμενος, διημιλλᾶτο πρὸς τὰ γινόμενα. Ἔνθεν τοι καὶ ἑτέραν ἐξαρτύσας δύναμιν ναυτικὴν, ἐφίστησιν ἡγεμόνα ταύτης Κωνσταντῖνον τὸν Ἄγγελον, ὃς ἐκ Φιλαδελφείας μὲν ὥρμητο,

καὶ γένους ἦν οὐ τῶν εὐγενῶν, διὰ δὲ τὴν σωματικὴν εὐφυΐαν καὶ τὸ τοῦ προσώπου κάλλος τὴν Θεοδώραν πρὸς γάμον ἠγάγετο, ἣν ὁ βασιλεὺς Ἀλέξιος ὁ προπάτωρ τῷ Μανουὴλ ἐγείνατο, τὸ κάλλος εὐτυχήσας προμνήστριαν. Ἀπερισκέπτως οὖν τὸν πλοῦν εἰς Σικελίαν ποιούμενος, Σικελικαῖς συνελήφθη τριήρεσι καὶ ἤχθη παρὰ τὸν ῥῆγα αἰχμάλωτος· ὁ δὲ τῆς ἄγρας ἐπαινέσας τοὺς συλλαβόντας, εἶχε καὶ τοῦτον ἐν τῇ φρουρᾷ. Ὁ βασιλεὺς δὲ μετὰ δευτέραν καὶ ταύτην πληγὴν, διηρεύνα τὰ τῆς ἀμύνης· ἐννοῶν δὲ τὸ τοῦ πολέμου ἀσύμφορον καὶ τὸ τῶν ἀναλωμάτων ὑπέρογκον ὑπειδόμενος, ἐγγὺς γάρ που τριακοσίων κεντηναρίων ἀνάλωκε χρήματα, δέον εἶναι διενοήθη σπείσασθαι τῷ ῥηγί. Τοίνυν εἰσδεξάμενος οὐκ ἀηδῶς τὴν τοῦτο ἐπισκήπτουσαν πρεσβείαν τοῦ τῆς πρεσβυτέρας Ῥώμης προέδρου, στέλλει κατὰ τὸν Ἀγκῶνα τὸν πρωτοστράτορα Ἀλέξιον, ὅς πρεσβύτερος ἦν τῶν υἱῶν τοῦ μεγάλου δομεστίκου, πρὸς ἀμφότερα μερίσας τὸ βούλευμα, πρὸς ἑτοιμασίαν δηλαδὴ ὅπλων καὶ ξενικοῦ στρατεύματος συλλογὴν, εἰ τούτου δεήσει, καὶ πρὸς φιλίαν τὴν τοῦ ῥηγός. Ἔνθεν τοι καὶ ἐκεῖ γενόμενος ὁ Ἀλέξιος, δραστήριος ὢν καὶ αὐτουργὸς, νοΐ τε τὴν γλῶτταν ἔχων ἀνθάμιλλον, στρατολογεῖν ἤρξατο, κατασεῖσαι τῇ ἀκοῇ τὸν ῥῆγα διανοούμενος, καὶ πολλοὺς ἱππεῖς συνέλεξεν· ἐν τῷ μέρει δὲ καὶ τῶν σπονδῶν ἐπεμελεῖτο γράμματα πέμπων ἐς Μάϊον καὶ δεχόμενος, τὸν στολάρχην τότε τῶν Σικελῶν. Πρεσβείαν οὖν ἐκ Σικελίας ἐπισπασάμενος, ἀναπέμπει ταύτην τῷ βασιλεῖ, καὶ δεῖται προσχεῖν οἷς λέγουσιν οἱ πρέσβεις, καὶ αὐτῷ δὲ δηλωθῆναι τὰ τῆς καταλλαγῆς πρὸ τοῦ εἰς ὦτα διαβῆναι πολλῶν· ὡς οὖν ἐπέστη τις ἐκ βασιλέως τὴν ἀγγελίαν τῶν σπονδῶν φέρων τῷ Ἀλεξίῳ, λάθρα ἐκεῖθεν τὰ χρήματα μετατίθησι καὶ συνεκπέμπει ἀνδράσι πιστοτάτοις αὐτῷ· τὰ δὲ κιβώτια κενὰ καταλείψας καὶ σφραγῖδας τούτοις ἐπιβαλὼν τοῖς κατὰ χώραν μέγα δυναμένοις παρέθετο, ἐπισκήψας ἀσυλίαν ἐ-

πὶ τούτοις ἕως ἂν αὐτὸς ἐς βασιλέα ἀφιγμένος ἐπανελεύσεται. Καὶ οὕτω τοῦ Ἀγκῶνος ἐξῆλθε.

Βασιλέως δὲ καὶ ῥηγὸς εἰρηνικὰς θεμένων σπονδὰς ὤναντο τῆς τούτων ἑνώσεως οἱ αἰχμάλωτοι, λυθέντες λύτρων ἄνευ, οὐ μόνον οἱ λαμπροὶ τὸ γένος, ἀλλὰ καὶ οἱ τοῦ στρατιωτικοῦ καταλόγου, ἄνευ τῶν ἐκ Κορίνθου καὶ Θήβηθεν ὡρμωμένων, καὶ τούτων ὅσοι τὴν τύχην ἀφανεῖς, οἵ καὶ τὰς χρυσοϋφεῖς καὶ ἑξαμίτους ὀθόνας ὑφαίνειν ἔλαχον.

Ἀλλ' οὔπω μακρὸς παρεληλύθει καιρὸς, καὶ αὖθις ἑκάτεροι πρὸς μάχας διηγείροντο· καὶ βασιλεὺς μὲν ἀνέσειε τῷ ῥηγὶ τοὺς ἀστυγείτονας ἐκείνῳ δυνάστας, χρημάτων ἐπαίρων αὐτοὺς ὑποσχέσεσιν· ὁ ῥὴξ δὲ τῷ κόμητι τοῦ στόλου Μαΐῳ ἐντέλλεται | νῆας ταχυναυτούσας τεσσαράκοντα τῶν νεωρίων καθελκύσαι, καὶ ὁπλισθέντα τὴν Κωνσταντινούπολιν καταλαβεῖν· καὶ αὐτὸν μὲν ἐπ' ἀκροάσει τῶν Πολιτῶν ἀναγορεῦσαι Σικελίας, καὶ Σκύλλας, Καπύης τε καὶ Καλαβρίας καὶ τῶν μεταξὺ χωρῶν τε καὶ νήσων κύριόν τε καὶ βασιλέα, [τὸν δὲ] τῶν Ῥωμαίων ἐκφαυλίσαι, καὶ κακῶς εἰπόντα ἐπανελθεῖν. Ἀμέλει καὶ τὸ κελευσθὲν πληρῶν ὁ Μάϊος τῇ βασιλίδι πόλει προσώκειλε, καὶ τοῖς ἐν Βλαχέρναις βασιλείοις προσιὼν, βέλη κατ' αὐτῶν ἀφῆκεν, ἀργυρέους ἔχοντα τοὺς ἀτράκτους ἀληλιμμένους ἐς βάθος χρυσῷ. Ἐν δὲ τῷ ἐκεῖθεν ὑποστρέφειν, κατέναντι τοῦ μεγάλου Παλατίου, σχάσας τὰς κώπας, τὸν οἰκεῖον ῥῆγα ταῖς εὐφημίαις γεραίρει, συνεπηχοῦντος τοῦ ναυτικοῦ πληρώματος. Καὶ ὁ μὲν οὕτω τὸν πλοῦν ἐπιταχύνας, Σηστοῦ καὶ Ἀβύδου ἐξέθορε. Πολὺς δὲ τάραχος τὴν Πόλιν ἐκύμαινε, τοῦ βασιλέως μὴ παρόντος ἐντός. Καὶ ἦν τοῦτο καύχημα τῷ Σικελίας ῥηγί. Ὁ δὲ Μανουὴλ εἰς παίγνιον τὸ γεγονὸς ἀναφέρων, διὰ κενῆς ἀφῆκε τὸν ῥῆγα φυσᾷν ἐπ' οὐδενὶ χρηστῷ κατορθώματι. Τοιοῦτο μὲν οὖν πέρας εἰλήφει τὰ κατὰ τοῦ Σικελῶν ῥηγὸς τοῦ βασιλέως Μανουὴλ ἀγωνίσματα.

Αὖθις δὲ κατὰ Παιόνων, οὓς καὶ Οὔννους φασὶ, στρατείαν ἐκήρυξε, καὶ τοῖς Δυτικοῖς στρατιώταις προσέταξεν ἁμάξας ἄγειν εἰς τὸ στρατόπεδον δι' ὧν καὶ αὐτοὶ καὶ ὁ λοιπὸς στρατὸς τὰ βιώσιμα ἕξουσιν. Εἰς ἓν οὖν συνήθροιστο ὁ στρατὸς, καὶ εἶχεν αὐτοὺς ἡ Σαρδικὴ πόλις, ἡ νῦν λεγομένη Τριάδιτζα. Οὐ πολὺ δὲ προσμείνας, ἐπεὶ ἐκ τῶν Παιόνων πρεσβεία ἧκε, καὶ συνθήκας μετὰ τούτων πεποίηκεν, ἐτράπετο πρὸς τοὺς Σέρβους, καὶ ἐκφοβήσας αὐτοὺς καὶ πείσας αὐτὸν μόνον βασιλέα γινώσκειν, καὶ τῶν μετὰ τῶν Οὔννων ἀπέχειν σπονδῶν, τοὺς μὲν στρατιώτας ἀπέλυσεν εἰς τὰ οἰκεῖα ἤθη, αὐτὸς δὲ τὴν Θεσσαλῶν καταλαβὼν ἐπαρχίαν, κἀκεῖ διατρίψας ὅσον ἐδόκει αὐτῷ, πρὸς τὴν βασιλίδα πόλιν παλινδρομεῖ, καὶ τὸν χειμερινὸν ἐγκαρτερήσας καιρὸν ἐν αὐτῇ, ἅμα ἔαρι τὰ τῆς Πελαγονίας ἱππήλατα εἶχεν αὐτὸν, χῶρος προσφυὴς εἰς στρατόπεδον καὶ κείμενος μέσον τῶν ἐθνῶν μεθ' ὧν διεφέρετο· ἔτι γὰρ τὰ τῶν Σικελῶν οὐκ ἐσιγάσθησαν τέλεον, καὶ ὁ τῶν Οὔννων κατάρχων πρὸς μάχην ἔβλεψεν, ὡς ἔδειξεν ἐξ ὧν ἔδρασεν. Ἐπειδὴ γὰρ παρελύθη τῆς δουκικῆς ἀρχῆς Βρανιτζόβης καὶ Βελεγράδων ὁ Κομνηνὸς Ἀνδρόνικος, ὁ καὶ τυραννήσας Ῥωμαίων, οἷα κρύφα συντιθέμενος Παίοσιν ὁπόσα δύσνουν αὐτὸν ἤλεγχον περὶ τὸν ἐξάδελφον καὶ βασιλέα, καὶ μετάπεμπτον εἶχε τοῦτον ἡ Πελαγονία, κἀκεῖθεν ἡ Κωνσταντινούπολις ἀναπεμπόμενον δέσμιον, καὶ φρουρᾷ τῶν ἐν τῷ Παλατίῳ καθειργνύμενον, τὸν κατὰ Ῥωμαίων εὐθὺς ὁ Οὖννος ἐξέφερε πόλεμον, καὶ ἦν πολιορκῶν τὴν Βρανίτζοβαν. Στέλλεται οὖν κατ' αὐτοῦ ὁ χαρτουλάριος Βασίλειος ὁ Τζιντζουλούκης, ὅς καὶ συμπλακεὶς τοῖς Οὔννοις, πρῶτα μὲν κατὰ τούτων ἵστησι τρόπαιον, νῶτα δόντων καὶ διωχθέντων μέχρι πολλοῦ· ἔπειτα δ' ἐπαναστραφέντες, κακῶς τὸ περὶ ἐκεῖνον ἔθεντο στράτευμα. Ἐφ' ᾧ καὶ ὁ βασιλεὺς τὴν ἐκεῖσε πορείαν διέτεινε, καὶ οἱ Παίονες τῇ ἀκοῇ καὶ μόνῃ διαταραχθέντες, εἰς τὰ ἴδια ἔφυγον. Ὁ βασιλεὺς δὲ

τὰ κατὰ Βρανίτζοβαν καὶ Βελέγραδα καταστησάμενος, εἰς τὴν βασιλίδα πόλιν μεταχωρεῖ.

Οὐκοῦν καὶ τῶν Δυσμικῶν ἀφέμενος κυροῖ τὴν εἰς Ἀρμενίαν ἀνάβασιν. Ἀπάρας οὖν εἰς Ταρσὸν, καὶ ἀφιγμένος εἰς Ἄδανα, καὶ ταῦτα πάσχοντα ὑπὸ τοῦ Τορούση τῆς δεούσης ἀσφαλείας ἠξιωκὼς, σχάζει τὸ πρόθυμον, τὸν πατέρα ἐζηλωκὼς, οὐδὲ περὶ τῆς ὅλης Ἀρμενίας διαγωνίζεται, τὸν Τορούσην εὔνουν ὑπολαβὼν ἐξ ὧν ἔλεγε. Τοίνυν καὶ στρέψας τὰ χαλινὰ πρὸς Ἀντιόχειαν παραγίνεται.

Ὄντι δὲ τῷ βασιλεῖ κατὰ τὴν Ταρσὸν ἀγγέλλεται ἡ ἐκ τῆς φυλακῆς Ἀνδρονίκου τοῦ ἐξαδέλφου φυγή· ὑπωπτεύετο δὲ ὁ Ἀνδρόνικος διὰ τὸ ἐλευθεροστομεῖν, καὶ τὸ τῇ ῥώμῃ τῶν πολλῶν διαφέρειν, καὶ τὴν τοῦ σώματος πλάσιν εὖ ἔχουσαν, καὶ τὸ τοῦ φρονήματος ἀταπείνωτον, καὶ τὸ ἐν μάχαις ἐνδέξιον, καὶ τὸ τοῦ γένους ἐπίσημον. Συνέβη δέ τι καὶ ἕτερον δι' ὅ καὶ πολλοὶ ἄλλοι τοῦτον εἶχον κακῶς. Τῷ βασιλεῖ Μανουὴλ τρεῖς ἦσαν ὁμαίμονες, Ἀλέξιος, Ἀνδρόνικος, καὶ ὁ Ἰσαάκιος· τούτων οἱ δύο τὸ ζῆν μετήλλαξαν ἔτι τοῦ πατρὸς περιόντος Ἰωάννου τοῦ βασιλέως· εἶχε δὲ ὁ Ἀλέξιος θυγατέρα, ἣν καὶ ἡρμόσατο ὁ τοῦ μεγάλου δομεστίκου Ἰωάννου υἱὸς Ἀλέξιος· | τῷ Ἀνδρονίκῳ τρεῖς ἐγένοντο θυγατέρες, Μαρία, Θεοδώρα καὶ Εὐδοκία, καὶ υἱεῖς δύο, Ἰωάννης τε καὶ Ἀλέξιος· τῶν θηλειῶν δὲ ἡ Εὐδοκία τὸν ἐκ παρθενίας ὁμευνέτην ἀποβαλοῦσα θανάτῳ, τῷ Ἀνδρονίκῳ ἀνοσίως συνήρχετο, ὅπερ καὶ τῷ βασιλεῖ ἀπήρεσκε, καὶ τοὺς ἐκ γένους μαίνεσθαι κατ' Ἀνδρονίκου ἐποίει, πλέον δὲ τὸν τῆς Εὐδοκίας ὁμαίμονα τὸν πρωτοσέβαστόν τε καὶ πρωτοβεστιάριον, καὶ τὸν ἐπ' ἀδελφῇ τῆς Εὐδοκίας γαμβρὸν, Ἰωάννην τὸν Καντακουζηνόν· διὰ τοῦτο πολλαὶ ἐπιβουλαὶ τούτων κατὰ τοῦ Ἀνδρονίκου, ἀλλὰ διέλυε πάσας ὡς ἱστὸν ἀράχνης Ἀνδρόνικος, ὡς καί ποτε κατὰ τὴν Πελαγονίαν ἐν σκηνῇ καταληφθέντα μετ' αὐτῆς, πολλῶν ὁπλοφόρων τὴν

σκηνὴν περιϊστάντων ὡς ἂν τῇ ἐξόδῳ διαχειρισομένων αὐτὸν, τὸ γινόμενον γνόντα διαθροηθῆναι· ὅμως διαζωσάμενον σπάθην τὸ ποιητέον σκοπεῖν, καὶ τὴν ἐρωμένην γυναικείαν ὑποδύναι στολὴν ὑποτιθεμένην, μὴ παραδέξασθαι ὅλως, τὸ μετὰ γυναικείας ἐσθῆτος εἰ γένοιτο κρατηθῆναι καὶ ἀπενεχθῆναι πρὸς βασιλέα θανάτου χεῖρον ἔχειν καὶ ἀτιμότερον φάμενον· διὸ καὶ τὸ ξίφος γυμνώσας καὶ δοὺς τοῦτο τῇ δεξιᾷ, ἐφάλλεται διατεμὼν τὴν σκηνὴν, καὶ ὑπερβαίνει τοὺς ἐνεδρεύοντας. Διὰ ταῦτα ὁ Μανουὴλ ὑπέβλεπε τὸν Ἀνδρόνικον ὡς βασιλειῶντα καὶ ἐπίβουλον, καθὼς πολλοὶ τοῦτον διέβαλλον, καὶ φρουρᾷ τίθησι καὶ ποδοκάκαις αὐτὸν ἀσφαλίζεται. Ἔμενεν οὖν ἐφ' ἱκανὸν ἐν τῇ φυλακῇ, καὶ κατανοήσας ὑπόνομον καθ' ὃν ἐφρουρεῖτο οἰκίσκον, πύργος δὲ οὗτος ἐκ πλίνθου ὀπτῆς, ὕπεισι τοῦτον ταῖς χερσὶ διασαλεύσας τὰ πρὸς τὴν εἴσοδον καὶ τὴν ἔξοδον. Ἐνστάσης οὖν ὥρας ἀρίστου, τοῦ δεσμωτηρίου αἱ πύλαι παρὰ τῶν φρουρῶν ἀνεῴγησαν, καὶ τὸ δεῖπνον εἰσήγετο· ὁ δὲ Ἀνδρόνικος οὐδαμοῦ· περιεβλέπετο τοίνυν ἡ φρουρὰ πανταχοῦ, καὶ οὐδὲν οὐδαμοῦ ἦν λυμανθὲν μέρος αὐτῆς· τῷ τοι καὶ ἀνεβόων, ὡς ὃν ἐφρούρουν οὐκ ἔχοντες, καὶ μηδὲ τὸν τόπον ἢ τὸν τρόπον καθ' ὃν ἀπέδρα κατανοεῖν ἔχοντες, δῆλα ταῦτα τῇ βασιλίδι καὶ τοῖς ἐν τοῖς βασιλείοις ἐτίθεσαν. Ὅθεν καὶ ἄλλος ἀλλαχοῦ πέμπεται τοῦτον ἀναζητοῦντες. Ἀλλὰ καὶ ἡ γυνὴ τούτου συλληφθεῖσα, ὡς τῆς φυγῆς συνίστωρ, τῷ δεσμωτηρίῳ παραρριπτεῖται ἐν ᾧ ἦν ὁ Ἀνδρόνικος, ὅς καὶ ἄνεισι τοῦ ὑπονόμου καὶ τῇ γυναικὶ ἐντυγχάνει, ἐφ' ἱκανόν τε συγγεγονὼς ὡς καὶ ἐγκύμονα ἀπεργάσασθαι, καὶ παιδὸς ἄρρενος ἀκοῦσαι πατὴρ, τοῦ Ἰωάννου, ᾧ καὶ βασιλείας Ἀνδρόνικος μετέδωκεν, ὡς ὁ λόγος εἴπῃ κατὰ καιρὸν. Ἐκεῖθεν ἀναχωρεῖ, οἷα τῶν φυλάκων μὴ τόσον ἀσχολουμένων περὶ τὴν τῆς γυναικὸς φυλακήν· γενόμενος δὲ κατὰ τὰ Μελάγγεια συλλαμβάνεται παρά του στρατιώτου, ᾧ Νικαίας ἦν ἐπίκλησις, καὶ εἶχε πάλιν αὐ-

τὸν φρουρὰ καὶ σιδηροπέδαι διπλαῖ. Ταῦτα ὡς ἠγγέλη τῷ Μανουὴλ κατὰ Συρίαν στρατεύοντι, στέλλεται ὁ λογοθέτης τοῦ δρόμου Ἰωάννης ὁ Καματηρὸς, καὶ τὴν τοῦ βασιλέως ὅσον οὔπω ἄφιξιν εὐαγγελισόμενος, καὶ τὰ συμβάντα κρειττόνως διασκεψόμενος, καὶ παραδηλώσων τῷ βασιλεῖ.

Βούλεται τοίνυν ἐν παρόδῳ ὁ βασιλεὺς ἐλθεῖν εἰς τὴν Ἀντιόχειαν. Οἱ Ἀντιοχεῖς δὲ πρῶτα μὲν ἀγαπητῶς τὴν εἰς αὐτοὺς ἄφιξιν οὐκ ἐδέχοντο, ἀλλὰ καὶ βαρέως ἔφερον, ὡς δὲ κωλύειν οὐκ ἦν, οὐ μόνον τῶν πυλῶν διεκχυθέντες μετὰ δουλικοῦ σχήματος ὑπηντίαζον, ἀλλὰ καὶ τὴν εἴσοδον ἐς τὸ πομπικώτερον διεσκεύασαν, τάς τε ἀγυιὰς ἐπίπλοις καὶ τάπησι διεκόσμων, καὶ δένδρων νεοτμήτοις κλωσὶ κατηγλάϊζον, τὰς τῶν λειμώνων καὶ ἀνθέων χάριτας ἐς τὸ ἄστυ μέσου μετακηπεύοντες, καὶ φιλότιμον τὴν πρόοδον καταρτίζοντες, οὐχ ὁ μὲν, ὁ δ' οὔ, ἀλλὰ πάντες οἱ τῆς πόλεως οἰκήτορες Σύροι τε καὶ Κίλικες, καὶ Ἴσαυροι, καὶ Ἰταλιῶται, πεζοὶ προοδεύοντες. Ὁρῶν δὲ καὶ τὸ τῶν Λατίνων στρατιωτικὸν μέγα τῇ μεταχειρίσει τοῦ δόρατος ἐγκαυχώμενον, παιδιᾶς ἡμέραν τάττει διὰ ἀσιδήρων δορατισμῶν· ὡς οὖν ἡ τεταγμένη ἐνέστη, ἐξάγει τῶν Ρωμαϊκῶν καταλόγων τοὺς περὶ τὸ κινεῖν δόρατα εὐφυεῖς, καὶ ὅσοι πρὸς αὐτὸν τὸ γένος ἀνέφερον· ἔξεισι δὲ καὶ αὐτὸς ὁ βασιλεὺς, τῷ συνήθει μειδιάματι καλλυνόμενος, ἐς πεδίον ἱππήλατον, τὸ δόρυ μετεωρίζων, χλαμύδα φορῶν ἀστειοτέραν περὶ τὸν δεξιὸν ὦμον ἐμπεπορπημένην, καὶ ἀφιεῖσαν τὴν χεῖρα ἄνετον· ἵππος δὲ | αὐτὸν ἐποχούμενον εἶχε πολεμιστήριος, καλλίθριξ καὶ χρυσοφάλαρος, ὃς ἠρέμα καμαρῶν τὸν αὐχένα καὶ ὑποσκαίρων τὼ πόδε ὡς δρόμων ὀρεγόμενος, ἀνθημιλλᾶτο τῇ τοῦ ἱππότου καὶ βασιλέως λαμπρότητι. Καὶ ἑκάστῳ δὲ τῶν ὅσοι τοῖς Ἰταλοῖς διαγωνίζεσθαι ἔμελλον λαμπρειμονεῖν ὥρισεν ὅσον ἦν δυνατόν. Ἐξῆλθε δὲ καὶ ὁ πρίγκιψ Γεράρδος, ἵππῳ λευκῷ ἔποχος, καὶ χιτῶνα ἐνδεδυμένος διάσχιστον, καὶ πίλον ἀνέχων ἐπὶ κεφαλῇ

χρυσῷ διαλάμποντα· συνεξίασι δὲ καὶ οἱ ἀμφ' αὐτὸν ἱππόται πάντες. Ἐφ' ᾧ καὶ συνεπλέκοντο ἐξ ἀμφοῖν ἱκανοὶ ἀξίφως ἀλλήλους δορατίζοντες, καὶ τοὺς κατ' αὐτῶν ἀκοντισμοὺς ὑπεκκλίνοντες· ὅτε καὶ ἦν ἰδεῖν κατὰ τὸν ἄχαλκον ἐκεῖνον Ἄρεα, πῇ μὲν κύμβαχον ἀνατρεπόμενον ἐπὶ βρεχμόν τε καὶ ὤμους ἄλλοσε τῆς ἀστράβης ἐκσφαιριζόμενον, ἄλλον πρηνῆ ἐξυπτιάζοντα ἕτερον, ἄλλον φεύγοντα· ὁ μὲν ὑπὸ δέους ὠχρία, τὸν ἀκοντίζοντα δεδιώς, ὁ δὲ τῷ σάκει ὥσπερ ἐθάπτετο, ὁ δὲ ἀνθηρὸς ἦν τὸν ἀνταγωνιστὴν κατεπτηχότα ὁρῶν· τὸ δὲ τοῦ ἀέρος ῥόθιον, τῇ ὁρμῇ τῶν ἵππων τεμνόμενον, ἠνέμου τὰς σημαίας, καὶ λιγυρὸν ὑπεσύριττεν. Οὕτω τὰ τότε παίγνια ποικίλου καλοῦ ἐτύγχανον. Βασιλεὺς δὲ σὺν δύο ἱππόταις προσούδισε, καθ' ἑνὸς μὲν ἐλάσας τὸν ἵππον καὶ τὸ δόρυ κραδάνας, ἐκείνου δὲ συγκαταβαλόντος τὸν σύνεγγυς. Πλήσας οὖν τοὺς Ἀντιοχεῖς θαύματος, ὄψεσι παρειληφότας ἅπερ ἤκουον πρότερον, παλινῳδίαν ᾖσε πρὸς τὴν Κωνσταντίνου τραπόμενος. Διὸ καὶ ὡς διὰ φιλίας μέλλων διέρχεσθαι, ἀφίησι τὸν στρατὸν πορεύεσθαι ὁπόθεν ἂν ἕκαστος ἕλοιτο· καὶ οὕτως ἔλαθεν ἀπολέσας πολλούς· ἡ γὰρ πρὸς τὰ οἰκεῖα τῶν στρατιωτῶν ἀλόγιστος ὁρμὴ οὐκ ὀλίγους αὐτῶν ἐλυμήνατο, τῶν Τούρκων ἐπεισπεσόντων αὐτοῖς· τάχα δ' ἂν καὶ χείριστα ἐπράχθη, εἰ μὴ βασιλεὺς ἐπαναστραφείς, τῶν Τούρκων ἀνέστειλε τὴν ὁρμήν, καὶ μεθ' οἵας ἔδει συντάξεως παρέπεμψε τὸν στρατόν. Ὅτε καὶ λέγεται τοῖς τῶν πεσόντων ἐπιστάντα πτώμασι καὶ τοὺς διαφθαρέντας κατανοήσαντα, πλῆξαί τε τὸν μηρὸν τῇ χειρί, καὶ τὰ χείλη περιψοφῆσαι, σημαίνων τὸν παθαινόμενον· καὶ ὁρμῆσαι μὲν τὸ ὄνειδος τοῦτο ἀνακαλέσασθαι, μὴ ἔχειν δὲ γενναῖόν τι τότε πρᾶξαι, διὰ τὸ τῆς ὁδοῦ ἔχεσθαι.

Ὁ δὲ τοῖς καλοῖς ἐπιφυόμενος φθόνος οὐδὲ τὸν Στυπειώτην Θεόδωρον τῆς παρὰ βασιλεῖ παρρησίας εἴασεν ἀμετάθετον, ἀλλὰ καὶ κατ' αὐτοῦ πνεύσας, πολλάκις μὲν τοῦ στασίμου

μετήνεγκε, τέλος δὲ καὶ εἰς πτῶμα κατήνεγκε, καὶ τοῦ φάους τῶν ὀμμάτων ἐστέρησεν, ἐνδιαβαλόντος αὐτὸν ἐς βασιλέα τῶν ὁμοτέχνων τινός· ὁ τοῦ δρόμου λογοθέτης ἦν οὗτος ὁ Καματηρὸς Ἰωάννης, μὴ στέγειν ἔχων τὸ δύνασθαι τὸν ἄνδρα παρὰ τῷ βασιλεῖ τὰ μέγιστα καὶ τῆς τούτου παρουσίας ἄνευ μηδέν τι τῶν γινομένων περαίνεσθαι· πέπρακται δὲ τῷ Καματηρῷ ἡ κατὰ τοῦ Στυπειώτου ἐπιβουλὴ οὕτως. Ἔτι τῷ βασιλεῖ κατὰ τὴν Κιλικίαν ἐνδιατρίβοντι, αὐτὸν μὲν τὸν βασιλέα ὑπὸ παραπετάσματι ἐφίστησι, λαβὼν δὲ τὸν Στυπειώτην ὥς τι ἔχων εἰπεῖν αὐτῷ, τὰ κατὰ Σικελίαν ἀνακινεῖ, τοῦ βασιλέως μὴ θεωμένου, μόνον δὲ τῶν λεγομένων ἀκούοντος· τότε ὁ Στυπειώτης οὐκ ἐπαινεῖν εἶπεν ἔχειν τὴν κατὰ Σικελῶν κίνησιν, ἐπεί, πολλὰ τῶν Ῥωμαίων μογησάντων τε καὶ παθόντων, καὶ χρημάτων ἀπείρων ἀναλωθέντων, οὐδὲν κατώρθωται χρήσιμον. Τοῦτο ὡς σπινθῆρα τῶν διαβολῶν τῇ τοῦ βασιλέως ἐνθεὶς ψυχῇ ὁ Καματηρὸς, οὐκ ἐπαύσατο αἰτίας συμπλάττων καὶ διαβολὰς ἐπιτεχνώμενος, ἕως οὗ τοῦτον κατήνεγκεν, ὡς δεδήλωται. Λέγεται συνθέσθαι καὶ χάρτην ὡς ἀπὸ τοῦ Στυπειώτου σταλησόμενον τῷ τῆς Σικελίας ῥηγί, λήρων μεστὸν, καὶ τοῦτον ἀναμίξας τοῖς τοῦ Στυπειώτου τόμοις καὶ γράμμασι, στεῖλαι πεῖσαι τὸν βασιλέα τοὺς ἐρευνήσαντας περὶ τούτου τοῦ γενομένου, ἐπὶ πλέον διεγερθῆναι κατὰ τοῦ Στυπειώτου τὸν βασιλέα, καὶ πρᾶξαι ἃ ἔπραξε κατ' αὐτοῦ.

Ἦν δὲ ὁ Καματηρὸς, ἵνα καὶ τοῦτο παρενείρω τῇ ἱστορίᾳ, μαθημάτων μὲν τῶν ὑψηλοτέρων ἄκρῳ λιχανῷ γεγευμένος, καὶ φιλοσοφίας οὐ δόκιμος ἐραστὴς, εὐφυὴς δὲ καὶ ἀμελετήτως φρά-
4. ζων ἃ βούλοιτο, καὶ ἐκ τούτου κλέος ἠνέγκατο |· πολλοῦ δὲ τοῦ οἴνου ἐμφορούμενος, οὐ παρετρέπετο τὸν νοῦν καθὼς οἱ πολλοί, οὔτε τὴν κεφαλὴν παρεφέρετο, ἀλλ' ἔλεγέ τι τότε μᾶλλον σοφός· διώκων δὲ τὰ συμπόσια, οὐ βασιλεῖ μόνον ἀλλὰ καὶ τοῖς τῶν ἐθνῶν δυνάσταις ὅσοι περὶ πότους ἐσπούδαζον

πλεῖστα πεφίλητο· κατὰ πρεσβείαν γὰρ αὐτοῖς παραβάλλων, τοὺς μὲν ὑπερέβαλεν ἐν πότοις, τοῖς δὲ ἰσοφάρισε. Συνέθετό ποτε τῷ βασιλεῖ, ὕδατος πλησθεῖσαν πιεῖν τὴν πορφύρεον λεκανίδα, ἥν εἶχε πρότερον μὲν ἡ αἰθριώδης αὐλὴ τοῦ βασιλέως Νικηφόρου τοῦ Φωκᾶ, ἡ τοῦ Βουκολέοντος, νῦν δὲ ὁ τοῦ Μανουὴλ χρυσοτρίκλινος, ὅ καὶ πεπλήρωκεν, ἀποκερδήσας ὅσα ὁ βασιλεὺς δοῦναι τούτῳ συνέθετο, ἅπαξ ἀνακόψας τὸ συνεχὲς τῆς πόσεως ὡς τὸ πνεῦμα συνάξειε. Τελευτῶν δὲ τὸν βίον, καὶ πλῆττον ἔχον τὸ συνειδὸς ἐφ' οἷς εἰς τὸν Στυπειώτην ἐξήμαρτε, μετάπεμπτον ποιεῖται τὸν ἄνδρα, καὶ συγγνώμην μετὰ δακρύων αἰτεῖ· ὁ δὲ ἀμνησικάκως, καὶ σωτηρίαν ψυχῆς προσεπηύξατο.

Ὁ δὲ Μανουὴλ ἀποβαλόμενος θανάτῳ τὴν ἐξ Ἀλαμανῶν σύννευνον, καὶ θρηνήσας ὅσα εἰκὸς ἐπὶ τῷ χωρισμῷ ἐκείνης, καὶ δράσας τὰ ὅσια, καὶ ἐν τῇ τοῦ Παντοκράτορος ἐνταφιάσας μονῇ, εἶτα καιρόν τε ὅσος αὐτῷ ἔδοξε περιμείνας, πρὸς δεύτερον ἔβλεψε γάμον, πατὴρ παιδὸς ἄρρενος ἀκοῦσαι γλιχόμενος· πολλῶν δὲ ἐπιφοιτώντων ἐπὶ τούτῳ ἐκ βασιλέων, ἀπὸ ῥηγῶν καὶ δυναστῶν ἁπάσης τῆς γῆς, ὁ δὲ προέκρινε τοῦ τῆς Ἀντιοχείας ἄρχοντος Πετεβίνου τὴν θυγατέρα· στείλας οὖν ἐκ τῆς γερουσίας ἄνδρας εἰσοικίζεται τὴν κόρην καὶ συζεύγνυται ταύτῃ· ἦν δὲ ἡ κόρη καλὴ τῷ εἴδει, καὶ καλὴ λίαν, καὶ τῶν πολλῶν διαφέρουσα.

Ὁ δὲ λόγος τὰ κατὰ τοὺς Τούρκους μέλλων αὖθις διεξιέναι, καί τινα τῶν ἄνωθεν προστίθησι εἰς ἀφήγησιν, σαφηνείας ἕνεκα. Τῷ κατάρχοντι τῶν Τούρκων Μασοὺτ πολλοὶ μὲν υἱοὶ, καὶ θυγατέρες οὐκ ἐλάττους γεγόνασιν· ἐν δὲ τῷ τὸν βίον ἀπολιμπάνειν διανέμει τούτοις τὰς ποτὲ μὲν τῶν Ῥωμαίων, τότε δὲ ὑπ' ἐκείνῳ ταττομένας πόλεις καὶ χώρας· ἄλλοις μὲν οὖν ἄλλας κατέλιπε, τὴν δὲ τῶν Ἰκονιέων μητρόπολιν καὶ τὰ ὑπ' αὐτὴν τῷ Κλιτζασθλαάν· τῶν δὲ γαμβρῶν αὐτοῦ Ἰαγουπασὰν

μὲν Ἀμάσειαν, καὶ Ἄγκυραν καὶ τὴν τῶν Καππαδοκῶν, Δαδούνῃ δὲ ἀπονενέμηνται πόλεις Καισάρεια, καὶ Σεβάστεια. Οἱ γοῦν τοῦ Μασοὺτ οὕτως εἰς τρία μερισάμενοι τὰ τῆς ἀρχῆς, ἐπ' ὀλίγον μὲν εἰρήνην ἔστερξαν πρὸς ἀλλήλους, τὰ δὲ πλεῖστα εἰς διαστάσεις ἀπεῖδον καὶ μάχας. Ὁ γὰρ τοῦ Ἰκονίου σουλτὰν τῷ τῆς Καππαδοκίας τοπάρχῃ σκαιόν τι ἐνέβλεψε, κἀκεῖνος ὀλέθριον τούτῳ ἐνεῖδε, καὶ κατ' ἀλλήλων εἶχον πονηρὰ διαβούλια, ἃ καὶ βασιλεῖ ὑπ' ἀλλήλων δῆλα ἐγίνετο· ὁ δὲ καὶ ἀμφοτέρους ἐπαρώμενος, ἠγάπα καὶ ὅπλα τούτους κατ' ἀλλήλων κινεῖν, ἵν' αὐτὸς ἐπιχαίρῃ τοῖς ἐκείνων κακοῖς, καὶ πέμπων λάθρα ἀγγέλους ἐνῆγεν εἰς πόλεμον· ἐκ δὲ τοῦ προδήλου τῷ Ἰαγουπασὰν προσέκειτο οἷς ἐδωρεῖτο, μυσαττόμενος τὸν σουλτὰν ὡς δολιόφρονα καὶ παλίνστροφον, καὶ Ῥωμαίων τὸ γειτονοῦν ληστρικῶς διαφθείροντα. Πεποιθὼς τοίνυν ὁ Ἰαγουπασὰν τῷ αὐτοκράτορι, ἐκφέρει πόλεμον κατὰ τοῦ σουλτὰν, καὶ συρραγέντων, μετὰ πολλῶν αἱμάτων ἐξ ἑκατέρων τῶν στρατευμάτων χύσιν καὶ πτῶσιν πολλῶν, ἡ νίκη βλέπει πρὸς Ἰαγουπασὰν, καὶ πρὸς καιρὸν τὰ ὅπλα καταθέμενοι, ὁ μὲν ἐπέμενε κατὰ χώραν, ὁ δὲ σουλτὰν τῷ βασιλεῖ πρόσεισιν, ἄρτι πρὸς τὴν βασιλεύουσαν Πόλιν τῶν Δυτικῶν ἐπανιόντι μερῶν, καὶ προσδεχθεὶς φιλοφρόνως, ἧττον διαχυθῆναι βασιλέα πεποίηκεν, ἤπερ αὐτὸς ηὐφράνθη ἐπὶ τῇ ἐντίμῳ παραδοχῇ· ἤλπιζε γὰρ ὁ βασιλεὺς, ὡς εὖ τὰ κατὰ τὴν Ἕω διάθοιτο διὰ τῆς τοῦ σουλτὰν παρουσίας καὶ τῆς ξενίας, χρήμασι καταδουλώσας τὸν βάρβαρον, ἀλλὰ καὶ δόξαν τῆς βασιλείας ᾤετο τὸ συμβάν. Εἰσιὼν τοίνυν ἅμα τῷ σουλτὰν τὴν Κωνσταντινούπολιν, κηρύττει θρίαμβον, καὶ ἦν ὁ θρίαμβος εὐπρεπὴς, πέπλος τιμίοις κοσμούμενος, καὶ ἤμελλεν ὁ βασιλεὺς προελθεῖν κροτούμενος ὑπὸ τῶν Πολιτῶν, καὶ μέρος εἶναι τῆς δορυφορίας καὶ ὁ σουλτὰν αὐτός. Θεὸς δὲ ἠκύρωσε τὴν βουλήν· ἥ τε γὰρ γῆ κλονηθεῖσα πολλὰς τῶν λαμπρῶν οἰκιῶν καταβέβληκε, καὶ ὁ ἀὴρ ἐν τα-

ραχῆ ἦν καὶ ἀνώμαλος, καὶ ἕτερα δὲ ἐπισυμβάντα δείματα, ἐκείνοις οὐ τῷ θριάμβῳ προσέχειν ἠνάγκασεν· ἔφασκον δὲ οἱ τοῦ βήματος μὴ παραδέχεσθαι τὸν θεὸν προκύπτειν ὅλως εἰς θρίαμβον ἄνδρα ἀσεβῆ |, ἐπεὶ ὁ ἐν αὐτῷ κόσμος ἐξ ἐπίπλων φ. οἷς ἁγίων ἐκτυπώματα γέγραπται καὶ χαρακτὴρ τοῦ Χριστοῦ.

Ἀλλ' οὕτω μὲν ὁ θρίαμβος διελύθη· ὁ δὲ σουλτὰν ἐς χρόνον ἱκανὸν τῷ βασιλεῖ συνδιέτριψε, καὶ ἵππων ἁμίλλαις σταδιοδρόμων τὸν ὀφθαλμὸν ἐνέδωκεν· ὅτε καί τις τῶν ἐκ τῆς Ἄγαρ ὡς ἐδόκει θαυματοποιὸς ἐπὶ τὸν κατὰ τὸ θέατρον πύργον ἀνιών, οὗ κάτωθεν μὲν αἱ τῶν διαθεόντων ἵππων ἀφετηρίαι, ἄνωθεν δὲ χαλκοῖ ἵπποι ἵστανται τέσσαρες, διαπετάσαι τὸ στάδιον ἐπηγγέλλετο· εἱστήκει οὖν ἐπὶ τοῦ πύργου χιτῶνα λευκὸν ποδήρη ἠμφιεσμένος, λύγοι δὲ εἰς κύκλον περιαχθέντες κολπῶδες ἐποίουν τὸ ἄμφιον· ἦν δὲ σκοπὸς τῷ Ἀγαρηνῷ ὥσπερ ἱστίῳ ναῦς πτερωθῆναι τῷ πέπλῳ, τοῦ πνεύματος ταῖς κοιλότησι περιχοροῦντος καὶ δοκεῖν πέτασθαι ποιοῦντος αὐτόν. Πᾶς οὖν ὁ ἐν τῷ θεάτρῳ ἔβλεψεν ἐπ' αὐτὸν, καὶ συχνὰ ἔλεγον, Πέτασον. Βασιλεὺς δὲ διεκώλυεν αὐτὸν τοῦ ἔργου, ἀλλὰ καὶ ὁ σουλτὰν ἐδεδίει περὶ τῷ ὁμογενεῖ. Ὁ δὲ τὸν ἀέρα περιχάσκων, ἐπεί ποτε φορὸς αὐτῷ ἔδοξε, διατινάσσεται πτηνοῦ δίκην ἀεροβατῆσαι καραδοκῶν. Ἀλλὰ καταπεσὼν διέρρηξε τὴν ψυχὴν, τὰ ὀστᾶ τοῦ σώματος συντριβείς. Ἦν οὖν τὸ πέτασμα τούτου εἰς γέλωτα τῶν μετὰ τοῦ σουλτὰν Τούρκων τοῖς Πολίταις θρυλλούμενον, καὶ οὐκ ἦν ἐπ' ἀγορᾶς ἀκαταγελάστους αὐτοὺς παρελθεῖν. Ὡς δ' ἠνωτίζετο ταῦτα ὁ βασιλεὺς, διεχεῖτο μὲν, τῷ σουλτὰν δὲ χαριζόμενος, (ἤδη γὰρ τοῦτον ἔδακνε τὰ λεγόμενα), ἐπλάττετο τὸν τὸν κατάγελων ἀναστέλλοντα.

Πολλὰ τοίνυν καὶ λαμπρὰ δῶρα ἐκ τῶν βασιλικῶν ταμιείων ὁ σουλτάνος ἀπαρυσάμενος, ἐφ' οἷς καὶ ἔκθαμβος ἐγεγόνει καὶ διαπορούμενος ἦν, εἰ καὶ τοσούτων ἑτέρων εὐπορεῖ βασιλεὺς,

χαίρων εἰς τὰ οἰκεῖα παλινδρομεῖ· ὁ γὰρ αὐτοκράτωρ γινώσκων μὲν ὅτι καὶ πᾶς βάρβαρος χρημάτων ἡττᾶται, φιλοτιμούμενος δὲ μάλιστα καὶ θέλων ἐκπλῆξαι τὸν Κλιτζασθλάνην ἐφ' οἷς ἡ βασιλεία Ῥωμαίων πλουτεῖ θησαυροῖς, ἐν ἑνὶ τῶν κατὰ τὰ ἀρχεῖα δόμων παρατέθεικεν ὅσα τούτῳ δῶρα παρασχέσθαι προέθετο· ἦν δὲ ταῦτα χρυσός τε καὶ ἄργυρος εἰς νόμισμα κεκομμένα, καὶ ἐσθῆτες λαμπραὶ, ἀργύρεά τε καὶ χρύσεα σκεύη, καὶ ἐκπώματα, καὶ ὑφάσματα τίμια, ἄλλοι τε κόσμοι ἐξαίρετοι, Ῥωμαίοις μὲν εὐπόριστοι, παρὰ δὲ βαρβάροις καὶ λίαν δυσπόριστοι· εἰσιὼν δὲ εἰς τὸν οἶκον τοῦτον ὁ βασιλεὺς, καὶ τὸν σουλτάνον ἐκεῖσε μεταπεμψάμενος, ἤρετο εἴ τι δωρηθῆναι αὐτῷ τοῦ θησαυροῦ βούλοιτο. Τοῦ δὲ εἰπόντος, ὡς αἱρεῖται ὅσοις αὐτὸν δωρήσεται ὁ βασιλεὺς, ἐπήγαγεν αὖθις, εἴ τις τῶν ἀντιπάλων Ῥωμαίοις ὑπενέγκοι ἂν τὴν κατ' αὐτοῦ τῶν Ῥωμαίων ὁρμὴν, αὐτοῦ ταῦτα διαδόντος εἰς ξενικοῦ καὶ ἰδίου στρατοῦ συλλογήν· τοῦ δὲ μετ' ἐκπλήξεως εἰρηκότος ὡς εἰ δεσπόζων ἦν τοσούτων χρημάτων, εἶχεν ἂν πάλαι ὑπήκοα τὰ κύκλῳ πολέμια· φιλοτιμοῦμαί σε τούτοις πᾶσι, βασιλεὺς ἔφη, ἵνα καὶ τὸ ἐμὸν γνωρίσῃς φιλόδωρον, καὶ ὅσων ἐστὶ κύριος χρημάτων ὁ τούτοις ἕνα δωρούμενος. Ὁ δὲ ἥσθη τῇ δωρεᾷ, τυφλώττων πρὸς κέρδος, καὶ βασιλεῖ τὴν Σεβάστειαν καὶ τὴν ταύτης χώραν παρασχέσθαι κατεπαγγέλλεται.

Ὁ δὲ Μανουὴλ τὴν ὑπόσχεσιν ταύτην δεξάμενος, καὶ ἕτερα δώσειν ὑπέσχετο χρήματα, εἰ τοὺς λόγους τοῖς ἔργοις πιστώσεται. Στείλας γοῦν τὸν Γαβρᾶν Κωνσταντῖνον μετὰ καιρὸν ὁ βασιλεὺς, καὶ φιλοτίμους δόσεις καὶ παντοδαπὰ ὅπλα συνεκπέμψας τῷ σουλτάνῳ ᾐτεῖτο τὴν ὑπεσχημένην Σεβάστειαν· ὁ δὲ, ἀπατεὼν ὢν, τῶν συνθηκῶν ἐπελάθετο. Ἀπελθὼν δὲ εἰς Ἰκόνιον, καὶ τὴν Σεβάστειαν χειρωσάμενος, γέγονε καὶ αὐτῆς ἐγκρατής.

Ἐπειδὴ δὲ καὶ τὸν Δαδούνην παρέλυσε τῆς ἀρχῆς, ἐκεῖνον

μὲν δραπέτην καὶ πλανήτην εἰργάσατο, τῆς δὲ Καισαρείας αὐτὸς λαβόμενος, καὶ τὸν λοιπὸν μετήρχετο προσγενῆ, τὸν Ἰαγουπασὰν φημί, διψῶν αὐτὸν ἀνελεῖν καὶ τὴν ὑπ' αὐτῷ χώραν προσκτήσασθαι. Ὁ δὲ καὶ αὐτὸς τὸ οἰκεῖον συγκροτῶν στρατόπεδον, καὶ ὡς πρὸς ἀνταγωνιστὴν μείζονα παρατατόμενος, φθάνει τὴν προθυμίαν θανάτῳ διακοπείς.

Δαδούνης δὲ, ὡς ἔρημον δυνάστου τὴν Ἀμάσειαν εἰσιὼν, ἐκεῖθέν τε ἀποκρούεται, καὶ τῇ μεταπεμψαμένῃ τοῦ Ἰαγουπασὰν συννεύνῳ θανάτου αἴτιος γίνεται· οἱ γὰρ Ἀμασεῖς ἐπαναστάντες, αὐτήν τε θανάτῳ ἠμύναντο | ὡς τῷ Δαδούνῃ μνηστεύουσαν τὴν ἀρχὴν, καὶ τὸν Δαδούνην ἀπώσαντο, ἀλλ' οὐχὶ καὶ τοῦ Κλιτζασθλὰν γεγόνασιν ἰσχυρότεροι· ἀλλ' οὗτος φανεὶς δυνατώτερος, ὡς εἶχε πρῴην Καππαδοκίαν, καὶ τὴν Ἀμάσειαν εἴληφεν ὕστερον· ἄνθρωπος οὐκ εὐφυὴς τὴν διαρτίαν τοῦ σώματος, ἀλλ' ἠκρωτηριασμένος· αὐτίκα γὰρ αἱ χεῖρες αὐτῷ ἔξαρθροι, καὶ οἱ πόδες ὑποσκάζοντες ἦσαν, καὶ τὰ πολλὰ ἐφ' ἁρμαμάξης τὴν πορείαν πεποίητο, ὅθεν καὶ Ἀνδρόνικος Κουτζασθλάνην τοῦτον ὠνόμαζε, φιλολοίδορος ὢν εἴπέρ τις ἄλλος καὶ καθάψασθαι ἀνθρώπων δεινότατος.

Ὁ μὲν οὖν μεγάλην ἀρχὴν εἰληφὼς, οὐχ εἵλετο βίον ἤρεμον, ἀλλὰ φιλοτάραχος ὢν, Ῥωμαίοις ἐν οἷς εἶχε λυπεῖν διεφέρετο, καὶ πόλεμον ἐπῆγε σὺν οὐδενὶ λόγῳ, παραλύων σπονδάς. Οὐδ' αὐτῆς ἀπέσχετο τῆς Μελιτηνῆς, τὸν ταύτης ἀμηρὰν μηδὲν ἐπεγκαλεῖν ἔχων, ἀλλ' αὐτὸς αἰτίαν πλασάμενος, ἐκεῖθεν αὐτὸν ἐξήλασεν· ἔπειτα δὲ καὶ τὸν οἰκεῖον κασίγνητον, μετανάστην ἔθετο. Οἳ καὶ πρὸς τὸν αὐτοκράτορα φυγάδες ἀφίκοντα· καὶ ταῦτα μὲν συμβέβηκεν ὕστερον. Τότε δὲ πολυδύναμος γεγονὼς, τὴν πρὸς τὸν βασιλέα αἰδῶ ἀποτίθεται, καὶ ἣν αὐτὸς θεραπείαν προσῆγε τῇ τῶν πραγμάτων δυσκολίᾳ συνεχόμενος, ταύτην αὐτὸς ἔχειν παρὰ τοῦ αὐτοκράτορος ἤθελεν. Ἐνίοτε δὲ θεραπεύων τὸν βασιλέα, καὶ δόξαν ἀπονέμων πα-

τρὸς, υἱοθεσίας τιμὴν ἐλάμβανε, καὶ ἦν τὰ παρ' ἀλλήλων γράμματα, πατέρα βασιλέα, καὶ σουλτάνον υἱὸν καταγγέλλοντα.

Πλὴν οὐδ' οὕτως εἰς φιλίαν ἀκραιφνῆ συνηρμόζοντο, ἢ τὰς σπονδὰς συνέχεον τέλεον· ὅθεν ὁ μὲν τῶν ἡμετέρων πολιχνίων κατέτρεχεν, ὁ βασιλεὺς δὲ στρατῷ καὶ δώροις τοῦτον ἐπράϋνε. Ποτὲ δὲ καὶ τοὺς ὡς ποίμνια ἐξηπλωμένους τοῖς Ρωμαϊκοῖς ὁρίοις Τούρκους ἀναστέλλων, τοῖς περὶ τὴν Πεντάπολιν ἐπιτίθεται, καὶ ἀνθρώπων καὶ ζώων ἀλόγων γενόμενος ἐγκρατὴς, τῶν Περσῶν μὴ ὑποστάντων αὐτῷ, τροπαιοφόρος ἀνέζευξεν· ὁπηνίκα καὶ Σολυμᾶς ὁ τῶν παρὰ τῷ σουλτάνῳ μέγιστα δυναμένων κορυφαῖος τῷ βασιλεῖ ἐποφθεὶς, πολλὰ τοῦ σουλτάνου ὑπερηγόρει, καὶ παρὰ τὴν ἐκείνου γνώμην τὰ παρὰ τῶν Τούρκων πραττόμενα διετείνετο. Θεραπεύων δὲ καὶ ὑπὲρ τὸ ἀληθὲς, ὡς ἔθος τοῖς βαρβάροις, ὁ Σολυμᾶς τὸν ἄνακτα, καὶ ἵππους ὠκύποδας προσενήνοχεν· ὁ δὲ βασιλεὺς τοὺς ἵππους δεξάμενος, καὶ τῆς εὐγνωμοσύνης τὸν Σολυμᾶν ἀποδεξάμενος, πρὸς τὸν σουλτάνον ἀπέστειλεν, ἐξηγησόμενον ἐκείνῳ ἃ οὐκ ἦν ἀγνοῶν, καὶ τὸ τοῦ τρόπου παλίμβολον καὶ ἄπιστον ὀνειδίσοντα, κἂν οὐκ ἦν αὐτὸν ἠρεμήσειν, ταῖς συνήθεσι λῃστείαις χρώμενον.

Στείλας οὖν στρατὸν μέγιστον, τὴν κατὰ Φρυγίαν ἐκπορθεῖ Λαοδίκειαν, οὔπω τετειχισμένην ὡς νῦν ἐστι, κατὰ δὲ κώμας ἐκκεχυμένην περὶ τὰς ὑπωρείας τῶν ἐκεῖσε βουνῶν· ἤλασε δ' ἐκεῖθεν μεγίστην λείαν ἀνθρώπων καὶ ζώων, πολλοὺς δὲ καὶ κατέκτανεν, ἐν οἷς καὶ τὸν ἀρχιερέα Σολομῶντα, ἐκτομίαν μὲν, χαρίεντα δὲ τὸ ἦθος, καὶ τῷ θεῷ δι' ἀρετῆς προσεγγίζοντα. Ἔλεγε δὲ πρὸς τοὺς οἰκείους, ὅσῳ ἂν μείζω δράσειε Ρωμαίους δεινὰ, τοσούτῳ ἀγαθὰ μείζω ὑπὸ τοῦ βασιλέως πείσεται.

Οὐδ' ὁ βασιλεὺς μέντοι ἐπὶ τούτοις ἠρέμει, ἀλλὰ πρῶτα μὲν διὰ τοῦ Τζικανδίλη Γουδελίου, εἶτα καὶ διὰ τοῦ Ἀγγέ-

λου Μανουὴλ τοῖς Τούρκοις ἐπέθετο, ὅσοι πολυθρέμμονες ὄντες, πόας ἕνεκα τὰ τῶν Ρωμαίων παγγενεὶ ἐπίασιν ὅρια. Οὗτοι γὰρ τὰ στρατόπεδα συντάξαντες καὶ τούτοις ἐπιτιθέντες νυκτὸς, σύνθημα δεδώκασι τῷ στρατῷ ἐν τῷ συμπλέκεσθαι τοῖς Τούρκοις ἀναφωνεῖν, Σίδηρος, ὡς ἂν εἴη αὐτοῖς οὕτως παρέρχεσθαι μὲν τὸ ὁμόφυλον, καίνειν δὲ τὸ σιγῇ ἐπιὸν ὡς ἀλλόφυλον· μετὰ πολὺν δὲ ὀψέποτε φόνον, οἱ βάρβαροι συνέντες ὅ βούλεται τὸ λεγόμενον, καὶ αὐτοὶ τοῦτο ἔλεγον, ἕως τῆς νυκτὸς διαγενομένης ἀπ' ἀλλήλων διέστησαν. Γεγόνασι μὲν οὖν καὶ ἄλλαι πολλαὶ ἐκδρομαὶ κατὰ Τούρκων Ρωμαίοις, καὶ παρὰ Τούρκων αὐτοῖς, ἅς, καὶ διὰ τὸ μηδέν τι ἀξιόλογον ἔχειν, λέγειν εἰάσαμεν.

Ἐπάνειμι δ' αὖθις ἐπὶ τὰ Παιονικά· σαφηνείας δ' ἕνεκεν εἰρήσεται τάδε. Τῷ ἄρχοντι τῶν Οὔνων Ἰατζᾷ δύο ἦσαν ὁμαίμονες, Στέφανος καὶ Βλαδίσθλαβος, καὶ παῖδες Στέφανος καὶ Βελᾶς· τῶν ἀδελφῶν τοίνυν, ὁ Στέφανος τὰς ἀδελφικὰς ἐκφυγὼν χεῖρας ὡς κατ' αὐτοῦ φονώσας, τὴν Κωνσταντίνου κατέλαβε, καὶ τῷ αὐτοκράτορι προσδεχθεὶς, ἄλλης τε φιλοφροσύνης ἐπέτυχεν, ἀλλὰ καὶ Μαρίαν ἔγημε τὴν τούτου ἀνεψιὰν |,φ. 6 τὴν τοῦ σεβαστοκράτορος Ἰσαακίου θυγατέρα. Μετὰ βραχὺ δὲ καὶ ὁ Βλαδίσθλαβος τὰ ὅμοια τῷ ἀδελφῷ Στεφάνῳ ἔδρασεν, οὐ τοσοῦτον ὡς τῷ Ἰατζᾷ μὴ φιλούμενος, ὅσον τῇ τοῦ Στεφάνου εὐημερίᾳ παρορμηθεὶς. Τοίνυν οὐδ' αὐτὸς τῶν ἐλπίδων ἠστόχησεν, ἀλλὰ καὶ αὐτὸς περιφανῶς προσλαμβάνεται, καὶ γυναῖκα ἔσχεν, ἂν εἰ μὴ δι' αὐτῆς ὑπώπτευε τῆς ἐς τὴν πατρίδα ἐπανόδου κωλύμην. Τὰ δ' ἐπὶ τούτοις, ὁποῖα; Τελευτᾷ ὁ ῥὴξ Ἰατζᾶς, καὶ ἡ ἀρχὴ ἐπὶ τὸν ἐκείνου παῖδα διαβαίνει τὸν Στέφανον. Ὁ δὲ βασιλεὺς ὡς ἥδιστον τὸ γεγονὸς ἡγησάμενος, καὶ κατὰ νοῦν λαβὼν, ὡς εἰ πρὸς τὸν ἐπ' ἀνεψιᾷ γαμβρὸν Στέφανον ἡ ἀρχὴ μεταβῇ τῶν Οὔνων, ἕξει ἂν καὶ αὐτὸς κλέος, καὶ ἡ βασιλεία Ρωμαίων, ἢ δασμοῦ μέρος ἐκεῖ-

θεν, ἢ τὴν τοῦ Φραγγοχωρίου καὶ τοῦ Ζευγμίνου κατάσχεσιν, σπεύδει πρὸς τὴν τῶν σκοπουμένων ἐκπλήρωσιν· καὶ εὐθὺς στέλλει πρέσβεις τῷ γαμβρῷ Στεφάνῳ, τὸν τῆς ἀρχῆς στέφανον περιθέσθαι προετοιμάσοντας. Μετὰ βραχὺ δὲ εἶχε καὶ τοῦτον ἡ Σαρδική. Οὖνοι μὲν οὖν οὐδ' ἀκοῇ παρεδέξαντο τὴν τοῦ Στεφάνου ἐξουσίαν αὐτῶν, καὶ δὶ ἄλλα μὲν ὡς ἔλεγον, μάλιστα δὲ διὰ τὸ γῆμαι παρὰ Ρωμαίοις· ἀσύμφορον γὰρ ὅλως αὐτοῖς, ἄνδρα ἔχειν ἄρχοντα κατὰ κῆδος τῷ βασιλεῖ συναπτόμενον. Διὸ καὶ ἄπρακτα ἦσαν τὰ τῆς πρεσβείας, καὶ τῷ Στεφάνῳ ἐκεῖσε ἀφικομένῳ οὐδόλως οἱ Οὖνοι προσέκειντο. Ἔνθεν τοι καὶ δεῖν ἔγνω ὁ βασιλεὺς διὰ δυνάμεως μείζονος βοηθῆσαι τῷ Στεφάνῳ.

Ἀπάρας οὖν τῆς Σαρδικῆς, ἀφικνεῖται εἰς τὰ παρίστρια, λέγω δὴ Βρανίτζοβαν καὶ Βελέγραδα, καὶ τὸν ἀδελφιδοῦν Ἀλέξιον τὸν Κοντοστέφανον συναποστέλλει τῷ Στεφάνῳ μετὰ δυνάμεων, οἵ καὶ τὸν Χράμον κατέλαβον, ὑποποιούμενοί τε δώροις τοὺς τῶν Οὔνων προέχοντας, καὶ κολακείαις καὶ ὑποσχέσεσι τὰ πρὸς ἀρχὴν διεπράττοντο· ἤνυον δὲ οὐδὲν, ἢ ὅσον τὸν Βλαδίσθλαβον, τὸν τοῦ Στεφάνου αὐτάδελφον, εἰς ἄρχοντα δέξασθαι. Ἀλλὰ καὶ τούτου βραχὺν χρόνον ἐπιβιώσαντος τῇ ἀρχῇ, οἱ Οὖνοι τὸν τοῦ Ἰατζᾶ παῖδα Στέφανον ἄρχειν αὐτῶν εἵλοντο. Ἀλλ' οὔτε ὁ βασιλεὺς τὸ γεγονὸς πρᾴως ἤνεγκε, καὶ ὁ τοῦ Ἰατζᾶ ἀδελφὸς Στέφανος πάντα ἦν μηχανώμενος, βασιλέως συναιρομένου, εἴ πως ἐπιτεύξεται τῆς ἀρχῆς. Πολλῶν οὖν τούτου ἕνεκα συμβεβηκότων πολέμων, καὶ τοῦ βασιλέως τὸν τοῦ Ἰατζᾶ υἱὸν τὸν Βελᾶν εἰς γαμβρὸν ἐπὶ τῇ θυγατρὶ Μαρίᾳ ἀνελόμενου, οἱ τῶν Οὔνων τῷ Στεφάνῳ ἀντικαθιστάμενοι, ἔγνωσαν ἐξ ἀνθρώπων ποιῆσαι αὐτὸν, φαρμάκου ποτήριον κεράσαντες· εὗρον οὖν ὑπουργὸν πρὸς τοῦτο τινὰ τῶν τοῦ Στεφάνου Θωμᾶν λεγόμενον· ὁ δὲ δεινότατος ὢν καταλῦσαι ζωὴν ἀνθρώπου, καὶ σώματος διαζεῦξαι ψυχὴν, καὶ οἴκοθεν ἐ-

φεῦρε μέθοδον· ἀμέλει καὶ τὴν φλέβα τῷ Στεφάνῳ τετμημένῳ, ἐγχρίεται φαρμάκῳ τὸ ἐπίθεμα τῆς τομῆς· ὅ καὶ τεθὲν τῇ πληγῇ, θάνατον αὐτῷ ἐπέφερεν οἴκτιστον. Ἔκειτο οὖν ὁ τοῦ Στεφάνου νεκρὸς οὕτως ἄτιμος, καὶ ταφῆς ἄμοιρος, καὶ τὸ Ζεύγμινον ὑπὸ τῶν Οὔνων ἑάλω.

Ταῦτα ὡς ἠνώτιστο βασιλεὺς, κατὰ τῶν Οὔνων κηρύσσει πόλεμον· ὅτε καὶ Ἀνδρόνικος πάλιν ἀποδρὰς, εἰς Γάλιτζαν τὴν τῶν Ρῶς, οὓς καὶ Σκύθας Ὑπερβορέους φαμὲν, ἀπῆλθεν. Ὁ δὲ τῆς φυγῆς τρόπος οὗτος. Πλάττεται τὸν νοσοῦντα, καὶ παιδὸς ἀλλοεθνοῦς εἰς τὴν ὑπηρεσίαν ηὐμοιρηκὼς, ἐπισκήπτει τούτῳ ὑφελέσθαι λάθρα τὰς κλεῖς τῶν τοῦ πύργου πυλῶν, ὁπότε πρὸς ὕπνον ἡμερινὸν οἱ φύλακες βλέψαιεν, καὶ κηρῷ τοὺς τύπους τούτων ἐκμάξασθαι· δρᾷ τὸ παιδίον τὰ προσταχθέντα, καὶ εἰσάγει Ἀνδρονίκῳ τοὺς τύπους· ὁ δὲ ὑποτίθησι τῷ οἰκείῳ υἱῷ Μανουὴλ ἐμφανίσαι ταῦτα καὶ εἰπεῖν τοιαῦτα χαλκεύσασθαι, ἀλλὰ καὶ ἐν τοῖς ἀγγείοις τῶν οἴνων, οἷς φέρουσιν αὐτῷ τὸ τοῦ ἀρίστου πόμα, καλώδια λίνου παραβύειν. Ὡς δ' εἶχε πέρας τὰ βουλευθέντα, ἀνοίγει τὸ δεσμωτήριον νυκτὸς, καὶ ὁ παῖς ὑπουργεῖ τῷ ἔργῳ· καὶ ὁ Ἀνδρόνικος ἔξεισι τὰ λῖνα φέρων ἐν ταῖς χερσί. Γίνεται οὖν τὸ κατάντημα τῆς τότε νυκτὸς χόρτος περί που τὰ ἄβατα τῶν ἀνακτόρων φυεὶς καὶ εἰς ὕψος ἀναδραμών· περὶ δευτέραν δὲ καὶ τρίτην ἡμέραν ταῖς πόαις κρυπτόμενος, ἐλάνθανε τοὺς διώκτας· ἔπειτα διὰ τοῦ μεσοπύργου χαλασθεὶς, ἀκάτιον εἴσεισι περὶ τὰς ἀκτὰς σαλεῦον καὶ τὸ τεῖχος τῆς πόλεως· ὁ δὲ τῷ ἀκατίῳ τὸν Ἀνδρόνικον δεξάμενος, Χρυσοχοόπωλος ἐπεκέκλητο. Ἀλλ' οὔπω ἀνάγεσθαι ἤρξαντο, καὶ συνέχεται παρὰ τῶν κατὰ τὸν Βουκολέοντα προφυλάκων· ἐξ ἐκείνου δὲ | τὰ τῆς σκοπιᾶς ταύτης ἤρξατο, ἐξ ὅτου ὁ Τζιμισχῆς Ἰωάννης τῷ Φωκᾷ Νικηφόρῳ νυκτὸς ἐπέθετο, διὰ σαργάνης ἀνιμηθείς. Παρὰ βραχὺ γοῦν ἦν Ἀνδρόνικος καὶ πάλιν ἐν δεσμοῖς κρείττοσιν, ἢ καὶ

πλέον τι πεπονθώς· ἀλλὰ πρόσωπον δούλου πλασάμενος χρόνια δεσμὰ φεύγοντος, ἐδεῖτο μὴ περιϊδεῖν αὐτὸν οὐκ ὀλίγα πρὸς τοῦ δεσπότου πάλαι πεπονθότα δεινὰ, καὶ τότε δίκας εἰσπραττόμενον τῆς φυγῆς· ἐκάλει δὲ δεσπότην τὸν Χρυσοχοόπωλον, πρὸς τὸ βάρβαρον τὴν φωνὴν στρέφων. Καὶ ὁ Χρυσοχοόπωλος δὲ, δώροις παρακρουσάμενος τοὺς σκοποὺς, ἴσχυσεν ὡς δραπέτην ἑαυτοῦ δοῦλον ἐξελεῖν τὸν Ἀνδρόνικον. Ἀμέλει καὶ παρὰ δόξαν ὁ Ἀνδρόνικος εἰς τὸν οἶκον παρελθὼν, ὃς τοῦ Βλάγγα ἐπικέκληται, ὁμοῦ τε προσεῖπε τοὺς φιλτάτους τὰ εἰσιτήρια, καὶ ὅσα τῆς ἀποδημίας, τούς τε πόδας τῶν σιδήρων ἀπολυθεὶς, καὶ τὸ Μελίβοτον καταλαβὼν καὶ τῶν ἐκεῖσε ἵππων ἐπιβὰς, οἵ πρὸς ἀπόδρασιν αὐτῷ ἡτοιμάσθησαν, τὴν εὐθὺ τῆς Ἀγχιάλου εἶται· ἔνθα δὴ γεγονὼς, καὶ τῷ Παπούκῃ γνωσθεὶς, καὶ λαβὼν τὰ ἐφόδια, καὶ ἡγεμόνων τῆς ὁδοῦ εὐπορήσας, εἰς Γάλιτζαν ἐπορεύετο. Ἀλλ' ὅτε τοῦ δειμαίνειν ἠλευθερώθη ὡς τῶν τῆς Γαλίτζας ὁρίων λαβόμενος, τότε θηρευτῶν ἐμπίπτει χερσί· συλληφθεὶς γὰρ παρὰ Βλάχων πρὸς βασιλέα πάλιν ἀπήγετο. Μὴ ἔχων οὖν τὸν σώζοντα, ταῖς οἰκείαις μεθόδοις βοηθῷ ἐχρήσατο· γαστρὸς γὰρ ῥύσιν πλασάμενος, συχνάκις τοῦ ἵππου ἀποκατέβαινε· τοῦτο οὖν πολλάκις τοῦ νυχθημέρου ποιῶν, λανθάνει κατασοφισάμενος τοὺς ἀπάγοντας· τὴν ῥάβδον γὰρ ἣν ἐπεφέρετο ὡς νοσῶν, ἔτι σκοτίας οὔσης, ἀναστὰς τῇ γῇ ἔπηξε, καὶ τὸ τοῦ σώματος φάρος αὐτῇ περιείλησε, καὶ τὸν ἐπὶ κεφαλῆς πῖλον ἀνέθετο ἄνωθεν, ὡς εἰκάζεσθαι αὐτὸν γόνυ κάμπτοντα τὴν γαστέρα τῶν σκυβάλων κενοῦν. Καὶ οὕτως ἴσχυσε τοὺς φυλάσσοντας ἀποφυγεῖν καὶ τὴν λόχμην εἰσδύναι, τὴν ῥάβδον οἰομένους εἶναι αὐτόν. Ὡς δ' ὀψέποτε ἔγνων τὸν δόλον, οἱ μὲν ἐπὶ τὰ ἔμπροσθεν ἔτρεχον, οἰόμενοι τοῦτον τῆς προτέρας ἔχεσθαι, ὁ δὲ δι ἄλλης εἰς Γάλιτζαν ᾤχετο.

Τὸν δὲ Παπούκην ὁ βασιλεὺς συλλαβὼν, ἔξανε διὰ λώρων

πολλαῖς δημοσίᾳ κατὰ τῶν νώτων, καὶ ὁ κῆρυξ σχοινόδετον προάγων αὐτὸν ἐπεβόα· « ὅστις τὸν τοῦ βασιλέως ἐχθρὸν εἰσοικίζεται, καὶ διδοὺς ἐφόδια ἐκπέμπει, οὕτω καὶ μαστίζεται καὶ πομπεύεται. » Ὁ δὲ ἀντεφθέγγετο, « αὕτη μοι αἰσχύνη, ἐπιστάντα μὴ καταπροδόντι τὸν εὐεργέτην. »

Τότε δ' οὖν ὑπτίαις ἀγκάλαις πρὸς τοῦ τῆς Γαλίτζας ἄρχοντος προσδεχθεὶς Ἀνδρόνικος, ἔμεινε παρ' ἐκείνῳ χρόνον πολὺν, ὁμέστιος καὶ σύσσιτος παραλαμβανόμενος καὶ συνθηρευρευτής. Ὁ δὲ βασιλεὺς οἰκεῖον ὄνειδος εἰκάζων τὴν ἀποδημίαν αὐτοῦ, ἄλλως τε καὶ ὑφορώμενος μήπως, ὡς ἐλέγετο, Σκύθας λαβὼν ἐς τὰ Ῥωμαίων ἐσβαλεῖ ὅρια, μετάπεμπτον ἐκεῖθεν ποιεῖται, πίστεις δοὺς καὶ λαβὼν, καθ' ὃν καιρὸν οἱ Παίονες τὰ παρίστρια ἐλυμαίνοντο. Συμβαλόντες δὲ καὶ τοῖς στρατηγοῖς, τῷ τε Γαβρᾷ Μιχαὴλ καὶ τῷ Βρανᾷ, ὡς ἐρρέθη, τούτους ἐτρέψαντο.

Ἦν δὲ ὁ Γαβρᾶς νεωστὶ τὸν μετὰ τῆς Κομνηνῆς Εὐδοκίας, ᾗ ὁ Ἀνδρόνικος ἐπλησίαζε, συστησάμενος γάμον· οὐκοῦν καὶ τῶν προσγενῶν Εὐδοκίας συνιστᾶν αὐτὸν ἐς βασιλέα ἐθελόντων, πολὺς ἦν ὁ περὶ αὐτοῦ ἔπαινος, καὶ ἐρρωμένως κατὰ τῶν Οὔννων ἀγωνίσασθαι αὐτὸν ἰσχυρίζοντο, καὶ μάρτυρα παρῆγον τὸν συστράτηγον τὸν Βρανᾶν. Ὁ δὲ πρὸς τοῦ βασιλέως τὴν οἰκείαν κεφαλὴν εἰς ὅρκον ἐπαγαγόντος, ὃ γινώσκει περὶ τοῦ Γαβρᾶ γενναῖον λέγειν ἐπιτραπεὶς, ἤρετο τὸν Γαβρᾶν, εἰ καὶ αὐτὸς ἀνδρεῖόν τι καὶ ἀξιέπαινον τότε κατὰ τῶν Οὔγγρων ἐνεδείξατο, καὶ καθομολογοῦντα σχὼν, καὶ ὡς οὐκ ἄλλον τὸν Βρανᾶν ἀνδρίσασθαι, ἐκεῖνος φησὶ μηδαμῶς ὑποστῆναι τῶν ἐναντίων τὴν ἐμβολὴν τὸν Γαβρᾶν, ἀλλ' ἐκ πρώτης δειλιάσαντα φεύγειν, αὐτοῦ καὶ ταῦτα πολλάκις ἀνακαλουμένου, καὶ, στῆθι, ὦ φίλος, βοῶντος, στῆθι.

Ὁ δὲ βασιλεὺς σπεύδων τὸ τε Ζεύγμινον ἐπανασώσασθαι, καὶ δίκας εἰσπράξασθαι τοὺς Οὔνους ὧν εἰς Στέφανον ἐξήμαρ-

τον, τοῖς ἐκεῖ παρενέβαλε μέρεσιν. Οἱ δὲ βάρβαροι παρὰ τὰς ὄχθας τοῦ Ἴστρου διαταξάμενοι, τῆς στρατιᾶς διεκώλυον τὴν περαίωσιν· [ἀλλ' ἦσαν οὐδὲν περαίνοντες. Οἱ γὰρ τοξόται Ῥωμαῖοι καὶ τὸ ὁπλιτικὸν τούτους ἐξέκρουσαν τῶν παρακτίων μερῶν. Βασιλεὺς δὲ καταλαβὼν τὸ Ζεύγμινον, ἐκεῖ που κατασκηνοῖ. Ἔστι δὲ τοῦτο κατὰ μεσημβρίαν ἀπρόσβατον, γηλόφῳ καὶ ποταμίῳ τειχιζόμενον ῥεύματι. Ὤετο μὲν οὖν αὐτοβοεὶ τοῦτο αἱρήσειν, πρὸς τὴν αὐτοῦ θέαν καταπλαγέντων τῶν ἔνδοθεν· ὡς δ' οὗτοι τοὺς εἰσόδους ἀπέκλεισαν, καὶ τὰ τείχη παντοίοις ὅπλοις καὶ ἀφετηρίοις ὀργάνοις ἐκράτυναν, ἀλλὰ καὶ ἄνωθεν φαινόμενοι τὰς γλώσσας ἔθηγον κακολογίας ἀφιέντες ὡς βέλη θανάσιμα, οὐδ' οἱ Ῥωμαῖοι κεναῖς χερσὶν αὐτοῖς προσεφέροντο, ἀλλὰ τὸ κακολογεῖν παραιτούμενοι ὡς γυναικῶδες, σιδήρεα κατὰ τούτων βέλη ἠφίεσαν. Πρῶτος τοίνυν ὁ βασιλεὺς τῷ τῆς μιμήσεως τρόπῳ διερεθίζων τοὺς ὑπ' ἐκεῖνον, κατὰ τῶν τῆς πόλεως πυλῶν τὸν ἵππον ἐφίησι, καὶ μέσον αὐτῶν τὸ δόρυ ἤλασεν· ἐπὶ τούτοις τὴν τάφρον ἐμπλήσας ἐξ ὕλης τῆς παρατυχούσης, καὶ τέσσαρας πετροβόλους μηχανὰς περιστήσας, τὰ τείχη κατέσειεν· ἐνεργεῖς γὰρ πᾶσαι ἦσαν, μάλιστα δὲ μία τούτων, ἧς ἀρχιτέκτων Ἀνδρόνικος, πλέον διεσάλευε τὸν περίβολον, ὡς καὶ ὑποχαλᾶν ἤδη καὶ περιτρέπεσθαι. Τότε τοίνυν κατά τινα τῶν νυκτῶν τινὲς τῶν μεγιστάνων Παιόνων τῶν τοῦ τείχους προνευουσῶν μηχανῶν, ἄρκλας ταύτας καλοῦμεν, εἰσιόντες μίαν, καὶ γυμνὰς τὰς σπάθας ἀνατείναντες, διηπειλοῦντο Ῥωμαίοις, καὶ τὸν ἀέρα ἔπληττον· ἀλλὰ κατὰ πόδας ἡ δίκη· λίθον γὰρ μέγιστον διὰ τῆς μηχανῆς ἀφεὶς ὁ Ἀνδρόνικος, τήν τε ἄρκλαν συνέτριψε, κἀκείνους δὲ συγκατέσπασε, θάνατον ἀλλαξαμένους τοῦ ζῆν. Μετὰ βραχὺ δὲ καὶ τὸ τεῖχος ὑπέκυπτε, καὶ διὰ κλιμάκων Ῥωμαῖοι τὴν πόλιν εἰσιόντες πολλοὶ πολλοὺς εἰς θάνατον ἔβαλλον. Οὐκ ὀλίγοι δὲ Παιόνων καὶ τοῖς κρατοῦσι προσιόντες ἐσώθησαν· εἰσὶ δ' οἳ καὶ ἀπέδρα-

σαν. Εἷς δὲ τῶν οἰκητόρων τῆς πόλεως καὶ γένει καὶ πλούτῳ λαμπρὸς, γύναιον ἦχει τῷ εἴδει σφόδρα καλὸν· τοῦτο ὁρῶν ὑπό του τῶν Ρωμαίων εἰς ὕβριν ἑλκόμενον, καὶ μὴ ἔχων βοηθῆσαι, ὃ ἐπεφέρετο ξίφος κατὰ τῶν σπλάγχνων τοῦ γυναίου ὠθεῖ, βίᾳ τὴν βίαν ὠθήσας, καὶ οὕτω στήσας τὸν ἄθεσμον ἔρωτα. Συνήραντο δὲ τοῖς Ρωμαίοις εἰς τὴν τῆς πόλεως ἅλωσιν οὐκ ὀλίγοι τῶν ἔνδοθεν τὰ Ρωμαίων, φρονοῦντες· οὗτοι γὰρ ἀσιδήροις βέλεσι πρὸς τὸ στράτευμα ἔξωθεν τῆς νυκτὸς διεκπέμποντες, τάς τε βουλὰς καὶ τὴν ἰσχὺν τῶν ἐντὸς παρεδήλουν. Ἤγετο δὲ καί τις τῶν Παιόνων τότε αἰχμάλωτος, πῖλον ἐγχώριον ἐπὶ κεφαλῆς ἔχων, καὶ τὴν λοιπὴν πάτριον ἠμφιεσμένος στολήν· τοῦτόν τις παριὼν Ρωμαῖος, πλήττει καὶ θανατοῖ, καὶ τὸ τῆς κεφαλῆς ἐκείνου ἑαυτῷ περιτίθησι κάλυμμα· ἐφίσταται τοίνυν ἕτερος ξιφήρης, καὶ Παίονα εἶναι τοῦτον διὰ τὸ πῖλον ὑπολαβὼν, παίει κατὰ τοῦ τένοντος καὶ τοῦ ζῆν μεθίστησιν.

Ἀλλ' οὕτω μὲν ἑάλω τὸ Ζεύγμινον, καὶ βασιλεὺς ἐκεῖθεν ὑπονοστήσας, πρὸς τὰ Ρωμαίων ὅρια μεταβέβηκε, τόν τε θεῖον αὐτοῦ τὸν ἀπὸ Φιλαδελφείας Κωνσταντῖνον τὸν Ἄγγελον, σὺν αὐτῷ δὲ καὶ τὸν Τρίψυχον Βασίλειον ἐάσας τοῦ Ζευγμίνου ἐπιτειχιστὰς, καὶ τῶν ἄλλων πολιχνίων ὅσα ἐν Βελεγράδοις ἐπιμελητάς· οἵ καὶ τὰ ἐντεταλμένα πληρώσαντες, καὶ τὸν Νίσον τείχεσι περιέβαλον, καὶ τὴν Βρανίτζοβαν συνῴκισαν, καὶ τὰ λοιπὰ πρὸς τὸ εὖ διαθέμενοι ἔνθα ἦν διάγων ὁ βασιλεὺς ἀφίκοντο.

Ἐπεὶ δὲ καὶ ὁ Δεσὲ κακουργότερος ἑαυτοῦ γένοιτο, ἐς τὴν Σερβίαν ὥρμα τραπέσθαι ὁ βασιλεύς. Ὁ Δεσὲ δὲ τὰ πραττόμενα ἐπιτηρῶν, καὶ δεδιὼς τὴν εἰς τὴν αὐτοῦ χώραν τοῦ βασιλέως εἴσοδον, πέμψας ἐς βασιλέα καθικετεύει ἐνδοθῆναι τὴν εἰς αὐτὸν ἀπαθῆ ἄφιξιν· ὡς οὖν εἶχεν ὃ ᾔτησεν, ἀφίκετο, καὶ εἰς θέαν τῷ βασιλεῖ καταστὰς, τὸ δολιόρρον τῆς γνώ-

μης κατονειδίζεται, καὶ οὕτως ὡς ἄσπονδος ἀποπέμπεται, καὶ ἐγγὺς ἐλθὼν τοῦ συλληφθῆναι, ἀφίεται πάλιν οἴκαδε ἀπελθεῖν, τὴν τοῦ τρόπου μεταβολὴν καὶ τὸ μηκέτι τὰ μὴ δοκοῦντα βασιλεῖ διαπράττεσθαι φρικώδεσιν ὅρκοις ἐμπεδωσάμενος. Ἐξιὼν δὲ ἀπὸ προσώπου τοῦ βασιλέως, πολλοῖς πάθεσιν ἐμερίζετο τὴν ψυχήν· ᾐσχύνετο ἐφ' οἷς προσῆλθε τῷ βασιλεῖ, ὠργίζετο ὧν πέπονθεν ἕνεκα, ἐπαθαίνετο οἷς ὅρκοις τὰς τῆς γνώμης παρεκτροπὰς ἀπετείχισε· | τέλος ὅσα συνέθετο καὶ ὤμοσε βασιλεῖ θέμενος παρ' οὐδὲν, τὴν συνήθη ἔστεργε γνώμην, παλίμβολος καθορώμενος. Εἶχε μὲν οὖν οὕτω ταῦτα.

Ὁ δὲ βασιλεὺς γονῆς ἄρρενος ἀμοιρῶν, ἠνάγκασε πάντας καὶ ὅρκοις κατενεπέδωσε τὴν θυγατέρα αὐτοῦ Μαρίαν καὶ τὸν ταύτης μνήστορα Ἀλέξιον τὸν ἐξ Οὔγγρων, μετὰ τὸν αὐτοῦ μόρον κληρονόμους ἔχειν τῆς οἰκείας ἀρχῆς, καὶ ὡς Ρωμαίων ἄναξι καθυπείκειν. Καὶ πάντες τοῖς κελεύσμασι τούτου ὑπέκυπτον. Μόνος δὲ ὁ Ἀνδρόνικος ἀποδυσπετῶν ἦν, καὶ λέγων ὡς ὁ βασιλεὺς εἰς δευτέρους ἀποκλίνας γάμους, γενήσεται καὶ υἱοῦ πατὴρ, καὶ δι' ὅρκων πιστουμένους ἡμᾶς τὰ τῆς ἀρχῆς τῷ υἱῷ τοῦ βασιλέως τότε, ἀνάγκη παραβάτας τῶν νῦν ὅρκων εὑρίσκεσθαι· καὶ ἄλλως δὲ, πῶς ὀρθὸν, πάντα μὲν Ρωμαῖον παρορᾶσθαι εἰς εὐνέτην τοῦ θυγατρίου τοῦ βασιλέως καὶ τῆς ἀρχῆς διάδοχον, ὁμόφυλον ὁμοφύλων, τὸν δὲ ἀλλογενῆ προκρίνεσθαι; Ταῦτα τοῦ Ἀνδρονίκου λέγοντος, ὁ μὲν βασιλεὺς ἀπεστρέφετο τοὺς λόγους ὡς δύσνου περὶ αὐτόν· πολλοὶ δὲ τῶν Ρωμαίων καὶ μετὰ τοὺς ὅρκους αὐτῷ γεγόνασι σύμψηφοι.

Ὁ δὲ λόγος καὶ ἔτι τὰ κατὰ Κιλικίαν βούλεται ἀφηγήσασθαι, τοῦ μὴ λαθεῖν ὄντα ὑπέρτερα. Τῷ βασιλεῖ Μανουὴλ φροντὶς πολλή τις ἦν τῶν κατὰ Κιλικίαν πόλεων, ὧν ἡ Ταρσὸς ὡς μητρόπολις προκαθέζεται. Πολλῶν οὖν εὐγενῶν ἐκεῖσε ἀφικομένων, ἔφθασεν ἡ ψῆφος καὶ εἰς Ἀνδρόνικον· τῷ τοι καὶ ἀφιγμένος ἐκεῖσε, καὶ τὴν τῆς Κύπρου δασμολογίαν προσειλη-

φὼς εἰς δαπάνας, πολλάκις μὲν τῷ Τορούσῃ ἀντικατέστη, οὐδέν δέ τι γενναῖον κατώρθωσε πώποτε· τελευταῖον δὲ ἡττηκότος αὐτὸν αἰσχρῶς τοῦ Τορούση, βουλεύεταί τι παράβολον· ὡς γὰρ τὰς δυνάμεις κατ' ἀλλήλων ἐξήνεγκαν, ὁ μὲν Ἀνδρόνικος ὅσα καὶ ζῶον τὴν στρατιὰν εἰς κεφαλὴν καὶ μέλη διαθέμενος εἶχεν, ὁ δὲ Τορούσης εἰς πολλὰ καταδιεῖλε τμήματα τὸν οἰκεῖον στρατόν· ἐπεὶ δὲ συμβαλόντες ἐμάχοντο, πάλιν ἡ νίκη πρὸς τὸν Τορούσην ἔβλεπε· τοῖς γὰρ ἀεὶ ἐκπηδῶσιν ἐκ τῶν λόχων Ἀρμενίοις αἱ τοῦ Ἀνδρονίκου ἐνέδωκαν φάλαγγες. Διὰ ταῦτα τῇ λύπῃ καταποθεὶς Ἀνδρόνικος, καὶ μὴ ἔχων ὅπως ἢ τὴν ἧτταν ἀναμαχέσαιτο, ἢ δράσειέ τι γενναῖον κατὰ τῶν πολεμίων, τοῖς ἐγγὺς ἀνεφίκτων ἐπιχειρεῖ· ἰδὼν γὰρ τὸν Τορούσην μετὰ τῶν δορυφόρων μόνον ἱστάμενον ἔφιππον, καὶ τὴν τῶν ταγμάτων συλλογὴν ἀναμένοντα ἐξ ἧς εἴχοντο τῶν Ῥωμαίων διώξεως, ὅλῳ ρυτῆρι τὸν ἵππον ἐλάσας κατ' ἐκείνου τὸ δόρυ κινεῖ· καὶ δὴ κατὰ τοῦ θυρεοῦ βαλὼν, ἀνατρέπει τοῦτον τοῦ ἵππου· καὶ διεκφυγὼν τὸ περὶ ἐκεῖνον ἐπίλεκτον, ὡς πτηνὸς ἱππότης τὰς πάντων χεῖρας ἐξέφυγεν. Ἀλλ' ἕως τούτου τὸ τοῦ Ἀνδρονίκου κατόρθωμα· τὸ δὲ παθεῖν τὸν Τορούσην κακῶς ἀπεκώλυσαν τὰ ὅπλα ἃ ἐνεδέδυτο.

Οὐ πολλαὶ δὲ ἡμέραι παρῆλθοσαν, καὶ πάντα ὅσα τοῦ πολέμου καταλιπὼν, ὅλος ἐρωτόληπτος γίνεται, καὶ πρὸς τὴν ἐρωμένην αὐτομολεῖ, οὖσαν κατὰ τὴν Ἀντιόχου πόλιν, θυγατέρα τοῦ Πετεβίνου, Φιλίππαν, ἀδελφὴν τυγχάνουσαν τῆς συναφθείσης τῷ ἐξαδέλφῳ τούτου πρὸ βραχέος, τῷ αὐτοκράτορι. Ἔνθεν τοι καὶ τὴν Ἀντιόχειαν εἰσιὼν, τρυφαῖς καὶ καλλωπισμοῖς ἐνευκαιρῶν ἦν, καὶ δορυφόροις κατὰ τὰς ἀγυιὰς ἐπόμπευε, νέοις τὰς κόμας ξανθίζουσι· κἀντεῦθεν θηρῶν τὴν θηράσασαν, περὶ στολὰς ἐξάλλους καὶ λαμπρὰς σχολάζων, καὶ τούτων ὅσαι περὶ μηροὺς καταβαίνουσαι διασχίζονται καὶ οἷον εἰσὶ συνυφασμέναι τῷ σώματι (καβάδια ταύτας φαμέν). Οὐ-

κοῦν ἑάλω ἡ Φιλίππα καὶ ὑπέκυψεν εἰς εὐνὴν, οἴκου τε καὶ πατριᾶς ἐπελάθετο, καὶ τοῦ ἐραστοῦ ὀπίσω κατηκολούθησεν.

Ὁ δὲ Μανουὴλ ὡς τοῖς τοιούτοις κατεβροντήθη ἀκούσμασι, μικροῦ καὶ ἐννεὸς ἦν, ἐκάκιζέ τε τὸν Ἀνδρόνικον ὡς ἀθεμιτογαμοῦντα, καὶ συλλαβεῖν ἐζήτει, καὶ δίκας λαβεῖν ἐξ αὐτοῦ. Στέλλει τοίνυν τὸν σεβαστὸν Κωνσταντῖνον τὸν Καλαμάνον, ἄνδρα γενναῖον, καὶ τοῖς κατ' Ἀρμενίαν ἐπιστατήσοντα πράγμασι, καὶ τῇ Φιλίππᾳ δὲ ὅπως συναφθείη πειραθησόμενον. Ὁ δὲ τὰ μὲν πρῶτα, εἰς νυμφίον ἑαυτὸν σχηματίσας καὶ λαμπρυνάμενος, τὴν Ἀντιόχειαν εἴσεισι· τοσοῦτον δὲ τούτῳ ἡ Φιλίππα προσέσχεν, ὡς μηδὲ βλέμματος γοῦν μεταδοῦναι, ἢ ἀξιῶσαι προσρήματος, μᾶλλον μὲν οὖν καὶ προσονειδίσαι τὸ τῆς ἡλικίας βραχὺ, καὶ ἐς αὐτὸν δὲ ἀποσκῶψαι τὸν αὐτοκράτορα, εἰ οὕτως ᾠήθη εὐήθως, ὡς ἀποστήσεται μὲν Ἀνδρονίκου τοῦ ἥρωος, οὗ τὸ κλέος καὶ τὸ γένος πολὺ, προσκολληθήσεται δὲ ἀνδρὶ, ὃς τὸ γένος ἕως χθὲς, οὐδὲ εἰ ἔστιν ὅλως ἐγνώρισται. Ἐπεὶ οὖν τῆς Φιλίππας ὁ Κωνσταντῖνος οὕτως ἀπέτυχεν, ἐκεῖθεν μεθίσταται, καὶ τὴν Ταρσὸν καταλαβὼν, μετὰ τῶν ἀντιπάλων Ῥωμαίοις Ἀρμενίων συγκροτεῖ πόλεμον, [ἡττηθεὶς δὲ ἑάλω καὶ ἦν ἐν δεσμοῖς· ὁ δὲ βασιλεὺς ἔλυσε τοῦτον χρήματα καταθέμενος ἱκανά.

Ἀνδρόνικος δὲ τὰς ἀπειλὰς τοῦ Μανουὴλ δεδιὼς, ἄρας ἐκεῖθεν, τῆς ἐπὶ τὰ Ἱεροσόλυμα εἴχετο, κἀκεῖ ἀκολάστως ἐνασελγαίνει τῇ τοῦ σεβαστοκράτορος Ἰσαακίου, ὃς ἀδελφὸς ἦν τοῦ Μανουὴλ, θυγατρὶ Θεοδώρᾳ, θανάτῳ ἀποβαλούσῃ τὸν σύννευνον, ὃς ἦρχε πρὸ βραχέος τῆς Παλαιστίνης, Βαλδουῖνος ἦν οὗτος, τὸ γένος ἥκων ἐξ Ἰταλῶν. Τοῦτο ἑτέραν πληγὴν ὁ βασιλεὺς δέχεται Μανουὴλ, καὶ πράττων ἦν πάντα ὅπως εἴη συνειληφὼς τὸν Ἀνδρόνικον. Ὅθεν καὶ γράφει τοῖς κατὰ Κοίλην Συρίαν, κρατῆσαι τὸν Ἀνδρόνικον ὡς ἐναντίον καὶ περὶ τὸ συγγενὲς ἀκόλαστον, καὶ στερῆσαι τοῦ φάους τῶν ὀφθαλ-

μῶν· καὶ τάχ' ἂν ἔπασχε τοῦτο, εἰ χεῖρες εἶχον ἑτέρων τὸ περὶ τούτου βασιλικὸν πρόσταγμα· νῦν δὲ τοῦ Θεοῦ τηροῦντος αὐτὸν ὡς ἔοικεν εἰς ἡμέραν ὀργῆς, ἐμπίπτει τοῦτο ταῖς τῆς Θεοδώρας χερσίν· ἡ δὲ ἀναγνοῦσα, ἐξ αὐτῆς αὐτῷ ἐγχειρίζει. Ὁ δὲ συνεὶς ὡς ἐκχωρεῖν δέον ἐκεῖθεν, ἀφίστησι καὶ τὴν Θεοδώραν τῶν οἴκοι, αἰτήσας ἀποδιδράσκοντι ἐπ' ὀλίγον παρεκβαλεῖν, καὶ οὕτως ἀπατήσας συνέκδημον ἐπεσπάσατο. Χώραν δ' ἐκ χώρας ἀμείβων, καὶ τοῖς κατὰ τόπον δυνάσταις ἐπιξενούμενος, καὶ φιλοφροσύνης καὶ μεγάλων δωρεῶν ἀξιούμενος, ὀψέποτε παρὰ τῷ Σαλτούχῳ τῆς πλάνης ἵσταται· ἦν δ' οὗτος ἄρχων Κολωνείας, Χαλδίας τε καὶ τῶν προσοίκων χωρῶν· ἐκεῖ τοίνυν τῇ Θεοδώρᾳ συνῆν μεθ' ὧν ἔτεκεν αὕτη δύο παίδων αὐτῷ, Ἀλεξίου τε καὶ Εἰρήνης, ἔτι δὲ καὶ Ἰωάννου ὃν ἐκ σπερμάτων ἐννόμων ἔσχε, κἀκ τοῦ Βυζαντίου συνέκδημον ἐπήγετο ἕως τῆς ἐς τὸν βασιλέα ἐπαναλύσεως, ἣν ὁ λόγος τῇ ἱστορίᾳ παραδώσει κατὰ καιρόν.

Ἀλλὰ τίνα τὰ παρὰ πόδας; περιδεεῖς οἱ πολλοὶ τῶν κρατούντων εἰσὶ, καὶ ταχύποπτοι, καὶ χαίρουσιν ἐν τῷ τοὺς εὐπατρίδας ἐκ μέσου τιθέναι καὶ ἐκποδῶν ποιεῖν πάντα ὑψηλὸν καὶ μετέωρον, καὶ τὸν πλούτῳ κομῶντα ὑποβλέπονται, καὶ τὸν ἐπ' ἀνδρείᾳ διαφέροντα ἀποστρέφονται, καὶ τὴν φύσιν δὲ κακολογοῦσιν, ὅτι καὶ ἑτέρους εἰς τὸ ἄρχειν ἐπιδόξους προήνεγκεν, ἀλλὰ καὶ πρώτους καὶ ὑστάτους, καλλίστους ἀνθρώπων αὐτούς. Καὶ ὁ Μανουὴλ τοίνυν μηδὲν ἐγκαλεῖν ἔχων τῷ πρωτοστράτορι Ἀλεξίῳ, κακοσχόλων δὲ ἀνθρώπων καθυπαχθεὶς ὡς ἄνθρωπος ὑφηγήσεσιν, ἐκ τοῦ τὸν ἄνδρα ὁρᾷν τοῖς πᾶσιν ἐράσμιον καὶ φιλοτίμῳ γνώμῃ καὶ χειρὶ πρὸς ἅπαντας χρώμενον, συλλαμβάνει τοῦτον διάγων ἐν Σαρδικῇ, καὶ τῶν ὄντων ἀπογυμνώσας, εἰς μοναχόν τε ἀποκείρας, ἐν ἑνὶ τῶν κατὰ τὸ Παπύκιον φροντιστηρίων ἐγκλείει. Ἦν δὲ ὁ μάλιστα τοῦ ἀνδρὸς συκοφαντῶν Ἀαρών τις Κορίνθιος, τὴν Λατινίδα γλῶτταν ἐξασκήσας ἡνίκα τοῖς

πατριώταις εἰς Σικελίαν συναπήχθη αἰχμάλωτος, καὶ τῶν Ἰταλῶν διερμηνεύων τοὺς λόγους τῷ βασιλεῖ. Ἡ δὲ τοῦ Ἀλεξίου γυνὴ, θυγάτηρ οὖσα τοῦ πορφυρογεννήτου Ἀλεξίου, ὃς ἦν πρωτότοκος τῶν τοῦ Μανουὴλ ἀδελφῶν, ἐφιλοτιμεῖτο μὲν ἑαυτὴν ἀνελεῖν, φιλανδρίαν καὶ σωφροσύνην ὡς αἱ κρείττους μάλιστα τῶν γυναικῶν ἀγαπήσασα καὶ τιμήσασα, καὶ κόσμος οὖσα τότε τοῦ γένους καὶ περιλάλημα· τοῦ δ' ἐγχειρήματος ἀτυχήσασα, προσέπιπτε τοῖς τοῦ βασιλέως ποσὶ, χαρίσασθαι τὸν ἄνδρα αὐτῇ κοπτομένη θερμότατα, μαρτυρομένη θεὸν, ἀπαραλόγιστον καὶ ἀκαταιτίατον εἶναι θεράποντα τῆς αὐτοῦ βασιλείας τὸν ἄνδρα αὐτῆς. Ἀλλ' οὐκ ἴσχυσε μεταθέσθαι τὴν γνώμην τοῦ αὐτοκράτορος, καὶ ταῦτα ἕως δακρύων αὐτὸν ἐκθηλύνασα. Ὅθεν καὶ τῇ περισσοτέρᾳ λύπῃ καταποθεῖσα, τοῦ φρονεῖν παρετράπη, ἐπὶ δυσὶ παισὶν ἄρρεσι τὸν βίον σαλεύουσα. Καὶ Ἀλέξιος μὲν τὸ μέλαν ἀσπασάμενος ἄμφιον, τῷ θείῳ ἔρωτι ἐκουφίζετο· οὕτω δ' ἦν κρεωφαγίας ἐραστὴς ὁ ἀνὴρ ὅτε τοῖς κατὰ κόσμον ἐνευπάθει πλουτῶν, ὡς καὶ τὰς νηστίμους ἡμέρας, τετράδα καὶ παρασκευὴν, κρέα τῇ τραπέζῃ αὐτοῦ παρατίθεσθαι, δεσποτικῆς ἑορτῆς κατὰ ταύτας ἀγομένης ἢ μνήμης ἐνδόξου μάρτυρος, ἢ τινὸς τῶν ὀπαδῶν τοῦ Χριστοῦ, τότε δὲ βοτάνας ἐσθίων καὶ ὀπώρας καὶ ἀκάπνοις τραπέζαις ἐνεστιώμενος, ὀψὲ δὲ καὶ ἰχθύων παραθέσεσιν ἐνεορτάζων, ἔχαιρε, καὶ μνήμην τῶν προτέρων λαμβάνων ὄψων, τρυφὴν κοιλίας ἐκάλει καὶ ὀρέξεως μέθοδον, πᾶν δὲ τὸ παρατιθέμενον εἰδέναι τὸ σωμάτιον συνιστᾶν καὶ εὐεξίας εἶναι ποιητικόν.

Φήμη δέ τίς ἐστιν ὡς ἦλθεν εἰς χεῖρας τοῦ βασιλέως χρησμός τις, ὃς ἔλεγεν ἐκείνου εἶναι τούτου διάδοχον, ὃς ἔχει τὸ
68. Ἄλφα πρῶτον γράμμα τοῦ ὀνόματος αὐτοῦ, [καὶ διὰ τοῦτο παθεῖν τὸν πρωτοστράτορα ὅσα πέπονθε. Τί δὲ ἡ φίλη Δίκη; παρυπέφηνε καὶ τότε ὡς τὰ ἐν μυχῷ γῆς διορᾶν, ἐφ' ᾧ καὶ ὁ Μανουὴλ τοὺς συκοφάντας μετῆλθε, καὶ ἄλλῳ μὲν ἄλλην

δίκην ἐπέθηκε, τὸν δ' Ἀαρὼν κατέβαλε χαλεπώτερον· μετ' οὐ πολὺν γὰρ χρόνον ἁλίσκεται μαγείαις προσανέχων, ἑάλω δὲ καὶ βίβλον Σολομώντιον ἀνελίττων, ἥτις ἀναγινωσκομένη παρίστησι τὰ δαιμόνια συχνάκις πυνθανόμενα ἐπί τινι προσκέκληνται, καὶ τὸ ἐπιταττόμενον ἐπειγόμενα περατοῦν· οὐκ ἐπὶ τούτοις δὲ μόνον Ἀαρὼν συνελήφθη, ἀλλὰ καὶ πρέσβεις ἐκ τῶν Λατίνων ἀφικόμενοι, μεταγλωττίζων ἃς ἐκόμιζον ἀγγελίας, καὶ πρὸς τὰ θελήματα τοῦ βασιλέως ῥᾳδίως ὁρῶν ὑποκύπτοντας, ἐπιπλήττει ἐν μιᾷ τῶν αἰτήσεων καὶ ἀντιτεῖναι ὑποτίθησι πρὸς τὸ τῶν ζητημάτων προκείμενον, ὡς ἐντεῦθεν κἀκ τοῦ βασιλέως μείζω κερδανοῦντας φιλίαν, κἀκ τῶν ὁμογενῶν πλείω τιμήν. Καὶ τότε μὲν ὡς ἡ διάλεξις λέλυτο, ἀφώρατα τῷ βασιλεῖ ἦσαν τὰ εἰρημένα. Ἡ δὲ βασιλὶς, Λατινὶς οὖσα τὸ γένος, καὶ τὰ εἰρημένα συνιεῖσα, ἀνακαλύπτει πάντα τῷ ἄνακτι· ὁ δ' ἐφ' οἷς ἤκουσεν ἀγανακτήσας, καὶ οὐσίας πάσης στερίσκει τὸν Ἀαρὼν καὶ τοῦ φάους τῶν ὀφθαλμῶν. Οὗτος τὴν οἰκείαν κακογνωμοσύνην δεικνὺς, ἐνῆγεν ὕστερον τυραννήσαντα τὸν Ἀνδρόνικον μὴ μέχρι τυφλώσεως τὴν τιμωρίαν περιϊστᾷν, ἀλλ' ἢ θάνατον ἁπάντων καταψηφίζεσθαι, ἢ βαρυτέραις ἐκμοχλεύειν κολάσεσιν, ἑαυτὸν τιθεὶς εἰς παράδειγμα, ζῶντά τε καὶ κινούμενον καὶ φθεγγόμενον, καὶ σύμβουλον εἶναι δυνάμενον, καὶ μὴ μόνον διὰ χειρῶν, ἀλλὰ καὶ διὰ γλώττης φονεύειν ἰσχύοντα τὸν ἐχθρόν· ὧν δὴ πονηρῶν παραιφάσεων μικρὰν ἀποτιννύντα ἀμοιβὴν τὸν τούτων γεννήτορα Ἀαρὼν, ὁ τὸν Ἀνδρόνικον καθελὼν τῆς ἀρχῆς Ἰσαάκιος ὁ Ἄγγελος ἐκτέμνει τὴν γλῶτταν αὐτοῦ.

Ἐπὶ τούτοις ἐκτυφλοῦνται καὶ ὁ Σικιδίτης Μιχαὴλ, καὶ ὁ Σκληρὸς Σὴθ, λόγῳ μὲν ἀστρονομίας ἐχόμενοι, ἔργῳ δὲ μαγγανείαις προσκείμενοι. Ὁ μὲν γὰρ Σκληρὸς ἐπιγάμου παρθένου ἤρα, καὶ ἐπήρα αὐτῆς, παρορώμενος δὲ στέλλει ταύτῃ διὰ προαγωγοῦ τινος γυναίου μῆλον· ἡ δὲ παρθένος καταθεμένη

τοῦτο τῷ κόλπῳ, ἐκμαίνεται πρὸς τὸν ἔρωτα, καὶ διακορεῖται παρ' αὐτοῦ· οἱ δὲ τῆς παιδὸς προσγενεῖς βαρέως ἐνεγκόντες τὸ γεγονὸς, καταβοῶνται τοῦ ταῖς νεάνισιν ἀφοπλίζοντος δαίμονος· καὶ οὕτως ἣν κακῶς ἔβλεψεν, οὐδόλως ἔτι ὀφθαλμοῖς ἐθεάσατο. Ὁ δὲ Σικιδίτης διά τινων ἀρρητουργιῶν τῶν θεωμένων ἀπεπλάνα τὰς ὄψεις, κατὰ φάλαγγας ἐπισυνιστῶν δαίμονας οὓς ἂν ἐκπλῆξαι βούλοιτο· ἔτυχε γοῦν ποτε ἀπὸ τῶν βασιλείων βλέπων εἰς θάλασσαν, ἐπέπλει δὲ πλοιάριον, ὄστρακα ἔχων ἀγώγιμα· φησὶ τοίνυν πρὸς τοὺς συνεστῶτας, ὡς τίνα ἂν αὐτῷ δοῖεν μισθὸν εἰ τὸν ἐν τῇ νηῒ τῶν φρενῶν παρατρέψας παρασκευάσειε συντρίψαι τὰ ὄστρακα· τῶν δὲ εὐγνωμονεῖν εἰπόντων πρὸς ἅπαν τὸ αἰτηθὲν, οὗτος μὲν βρύελον λαβὼν ταῖς χερσί, κάτω ἀφίησιν· ὁ δ' ἐν τῇ νηῒ τῆς ἕδρας ἀνίσταται, καὶ τὴν κώπην λαβὼν συντρίβει τὰ ὄστρακα. Καὶ οἱ μὲν ἄνωθεν βλέποντες τῷ γεγονότι ἐκάγχαζον· ὁ δὲ ἐν τῇ νηῒ τῶν γενείων δραξάμενος, ἑαυτὸν ὠλοφύρετο· ἐρωτώμενος δὲ τί πεπονθὼς τὸν φόρτον οὕτω διέθετο, ἔλεγε περιπαθῶς ὡς ὄφιν ὁρᾷ μέγιστον τῶν ὀστράκων ἐκτεταμένον καὶ ἐς αὐτὸν ὁρῶντα καὶ καταπιεῖν θέλοντα, ὃς οὐδὲ ἔληξε τῆς ὁρμῆς, ἕως τὰ ὄστρακα συνετρίβησαν, τὸ δ' ἀπὸ τοῦδε ἄφαντος γέγονε. Καὶ τοῦτο μὲν τοιοῦτον. Ἐπισυνέβη δέ τι καὶ ἕτερον· ἐν βαλανείῳ λουόμενος ἦν, ἐς λόγους δὲ ἐλθὼν μετὰ τῶν συλλουομένων μαχίμους, ἔξεισιν εἰς τὰ τοῦ λουτροῦ προπύλαια, καὶ μετὰ μικρὸν οἱ λουόμενοι πάντες φεύγοντες καὶ συμπατοῦντες ἀλλήλους ἐξῆλθον περιδεεῖς, φάσκοντες ὡς ἐκ τῆς θερμοδόχου ἄνδρες ἐξελθόντες μέλανες ἐξῶσαν αὐτούς, κατὰ τῶν γλουτῶν παίοντες τῷ πλατεῖ τοῦ ποδός. Διὰ ταῦτα οὖν καὶ ἑτέρας πράξεις ἀσελγεστέρας, τῶν ὄψεων ἐστερήθησαν· καὶ ὁ μὲν Σὴθ καὶ πάλιν τοῖς προτέροις ἐπέμενεν, ὁ δὲ Σικιδίτης τὰ μοναχικὰ ἐνδυσάμενος, χρόνῳ ὕστερον συγγράμματι περὶ τῶν θείων μυστηρίων συνθέμενος, τὴν ἐκκλησίαν ἐτάραξεν.

Ἔργον τοῦ βασιλέως Μανουὴλ περιφανὲς, καὶ ὃ δηλῶσαι ὁ λόγος βούλεται· αἱ εἰς τὴν Ἀσίαν πόλεις, τὰ Χλιαρὰ, τὸ Πέργαμόν τε, καὶ Ἀτραμύτιον κακῶς ἔπασχον ὑπὸ τῶν Περσῶν· αἱ γὰρ περὶ αὐτὰς χῶραι ἀοίκητοί τε ἦσαν τὸ πρὶν, καὶ ἐκ τοῦ κατὰ κώμην οἰκεῖσθαι, εἰς προνομὴν τοῖς πολεμίοις προέκειντο· | καὶ αὐτὸς τοίνυν κατωχύρωσε τείχεσι, καὶ τὰς πλη- φ. 6 σίον δὲ πεδιάδας φρουρίοις συνῴκισεν· οὕτω δὲ πλήθουσιν οἰκητόρων καὶ τοῖς κατὰ τὸν βίον πλουτοῦσι χρηστοῖς, ὡς κρείττους εἶναι πόλεων εὐδαιμόνων· ἀγροί τε γὰρ εἰς εὐφορίαν καρπῶν ἡμέρων ηὐξήνθησαν, καὶ ξύλον ἔχειν ἅπαν εὐτυχοῦσι καρποδοτοῦν. Εἴ τι οὖν λυσιτελέστερον Ῥωμαίοις κατόρθωμα ὁ βασιλεὺς Μανουὴλ διεπράξατο, τοῦτο εἴη ἂν τὸ κράτιστον καὶ κοινωφελέστατον· τίς γὰρ παράγων ἐκεῖ, καὶ εἰδὼς τὴν προτέραν ἀγριότητα τοῦ χώρου, καὶ οἵους εἶχεν οἰκήτορας, οὐκ ἂν τὰς χεῖρας εἰς θεὸν ἀνατείνας, τῷ βασιλεῖ ἐπεύξαιτο τῷδε κλῆρον ἀΐδιον ἐν Ἐδέμ; Οὐκοῦν καὶ ἴδιον ἐπώνυμον τὰ φρούρια ταῦτα κληρωσάμενα, Νεόκαστρα ὀνομάζονται, καὶ ἴδιον ἔχοντα ἁρμοστὴν ὅν δοῦκα φαμὲν, φόρους ἐτησίους εἰς τὸ βασιλικὸν ταμεῖον εἰσφέρουσιν.

Αὖθις δὲ τῶν Παιόνων τοὺς ὅρκους ἠθετηκότων, ὁ κατ' αὐτῶν ἐκινήθη πόλεμος. Ὡς οὖν ὁ καιρὸς ἐνέστη τῆς ἐκστρατείας εἶχε τὸν βασιλέα ἡ Σαρδική· ἐκεῖ γὰρ συνελθεῖν τὰς δυνάμεις ἦν τεταγμένον, ἃς ἔμελλεν ἄγειν ἐπὶ τοὺς Παίονας.

Τότε ἤκουσται τῷ βασιλεῖ, ὡς ἄνω τῆς ἀψῖδος τῆς Κωνσταντίνου ἀγορᾶς ἐκ χαλκοῦ δύο ἵστανται στῆλαι γυναικόμορφοι, ἡ μία μὲν καλουμένη Ῥωμαία, ἡ ἑτέρα δὲ Οὔγγρισσα· ἀλλ' ἡ μὲν Ῥωμαία παρεκινήθη τῆς ὀρθῆς στάσεως, ἡ δὲ λοιπὴ ὄρθιος ἵδρυται· πέμψας οὖν τὴν μὲν Ῥωμαίαν ἐπὶ τῆς προτέρας ἥδρασε στάσεως ἀνορθώσας, τὴν Οὔγγρισσαν δὲ ἐπὶ μέρους κατήνεγκε παρεγκλίνας, ταῖς τῶν εἰκόνων μεταβολαῖς οἰόμενος μεθαρμόσαι τὰ πράγματα. Σκέψιν δὲ προέθηκεν, εἰ χρὴ

καὶ αὐτὸν ἐπιδημήσειν ἐκεῖσε, τῶν ταγμάτων κεκινημένων κατὰ τῆς τῶν Παιόνων, ἢ στρατηγοῖς τὰς δυνάμεις ἐπιτρέψαντα οὕτω μετελθεῖν τὸ ἀντίπαλον· ἔδοξεν οὖν κρεῖττον, τὸν μὲν προσμένειν τῇ Σαρδικῇ, στρατηγοῖς δὲ τὸν πόλεμον διοικήσασθαι. Αἱρεῖται γοῦν τῆς στρατιᾶς ἀρχηγὸς ὁ μέγας τοῦ στόλου δοὺξ Ἀνδρόνικος ὁ Κοντοστέφανος. Ἐν δὲ τῷ μέλλειν ἀπαίρειν τῆς Σαρδικῆς τὰ στρατόπεδα, ὁ βασιλεὺς πολλοὺς καὶ καλοὺς διεξῆλθε λόγους, τόν τε στρατηγὸν καὶ τὴν στρατιὰν παραθαρρύνων εἰς πόλεμον, μεθόδους εἰσηγούμενος τῷ στρατηγῷ τακτικάς, καὶ προσβολῶν σημαίνων καιρὸν, καὶ εἶδος ὁπλίσεων, καὶ σχήματα παρατάξεων· τοὺς δὲ στρατιώτας ἐνάγων εἰς μνήμην τῶν προτέρων, καὶ πείθων τοῖς ὑποδείγμασι θαρρῆσαι τὸν πόλεμον, καὶ ἀγαθὸν ἐπιθεῖναι σὺν θεῷ τούτῳ τέλος, καὶ μετὰ λαμπρᾶς νίκης ἐπανελθεῖν· οὕτω γὰρ καὶ αὐτὸς δοξασθεὶς ὡς ἀπὼν νικήσας, μεγάλας παρέξει τούτοις τὰς ἀμοιβάς. Οἱ δὲ ἡδέως τούτων ἀκροασάμενοι, τὸν βασιλέα εὐφήμουν, καὶ τὸ πρόθυμον καὶ ὑπὲρ δύναμιν ἐνδείξασθαι ἰσχυρίζοντο· ἀμέλει μηδὲ μέλλειν ἐβόων τὸν στρατηγόν. Ἐν τοσούτῳ δὲ θροῦς αἴρεται τῷ στρατῷ· ἐκ γὰρ τοῦ τῶν Παιόνων τις ἔθνους τὸν ἵππον ἐλαύνων, ἐπὶ στόμα τῷ ἵππῳ συγκατήνεκται. Βασιλεὺς τοίνυν τοῦτο πυθόμενος, θαρρεῖν παρεκελεύετο τὸ μέλλον ἐντεῦθεν φάσκων σημαίνεσθαι, καὶ χαίρειν, ὡς ἐπὶ δεξιᾷ ἤδη τοῦ πολέμου τῇ τελευτῇ, θεὸν σωτῆρα καὶ ὁδηγὸν ἐπικαλούμενος τοῖς στρατεύμασιν.

Ὁ στρατηγὸς δὲ Ἀνδρόνικος, ἐκεῖθεν ἀπάρας ὀλίγων ἡμερῶν διαγενομένων, τὸν Ἴστρον καὶ Σάουβον διαπεράσας, εἰς τὸ Ζεύγμινον ἔρχεται. Καὶ οἱ Παίονες δὲ συναθροισθέντες, καὶ συμμαχικὸν ἐκ τῶν αὐτοῖς πέριξ ἐθνῶν, καὶ Ἀλαμανῶν δὲ, ὡς ἐλέγετο, προσκτησάμενοι, στρατηγὸν αὐτοκράτορα τὸν Διονύσιον, ἄνδρα γενναῖον καὶ πολλάκις τοὺς ἐναντίους συγκόψαντα, προχειρίζονται, καὶ μετὰ κόμπου πρὸς πόλεμον ἔτρεχον· ὁ δὲ

Διονύσιος, καὶ μάλιστα γαυρούμενος τῇ προτέρᾳ νίκῃ, ὅτε τὸν Γαβρᾶν καὶ τὸν Βρανᾶν κατηγωνίσατο ὡς ἐρρέθη, ὅτε ἤκουσε διαβῆναι τὸν Ἴστρον τὴν Ῥωμαϊκὴν στρατιὰν, μεγαλαυχῶν ἔλεγεν, ὅτι καὶ πάλιν στήσειν ἕτοιμος εἶναι βουνὸν τῶν Ῥωμαϊκῶν ὀστῶν.

Ἐνστάσης οὖν τῆς ἑορτίου μνήμης τοῦ μεγαλομάρτυρος Προκοπίου, συντάσσει τὰς δυνάμεις εἰς πόλεμον ὁ Κοντοστέφανος· | καὶ τὸ μὲν τῆς φάλαγγος μέτωπον ἀπένειμεν ἑαυτῷ, φ. τὸ δὲ δεξιὸν κέρας εἶχεν ὁ Λαπαρδᾶς Ἀνδρόνικος, τὸ δὲ λαιὸν, ἕτεροι· τάττει δὲ καὶ ἄλλας φάλαγγας μικρὸν ἄπωθεν ἑκατέρου κέρατος, ὅπως κατὰ καιρὸν βοηθοὶ εἴησαν τοῖς κάμνουσι τάγμασι. Τότε ἐφίσταταί τις ἐκ βασιλέως τῷ στρατηγῷ παραδραμεῖν ἐκείνην τὴν ἡμέραν τὴν συμπλοκὴν, βασιλικὰ διακομίζων γράμματα. Ὁ δὲ, μὴ προσχὼν ὅλως αὐτοῖς, προσεφώνησε τῷ στρατῷ. « Μνήσθητε, ἄνδρες Ῥωμαῖοι, πολεμίου ἀλκῆς, μνήσθητε, καὶ μηδέν τι φρονήσητε τῆς δόξης ὑμῶν ἀνάξιον, εὖ εἰδότες ὡς καὶ θῆρες τοὺς κατ' αὐτῶν εὐθαρσῶς ἐπιόντας δεδίασιν, ὅσοι δὲ ἀντιστῆναι πεφόβηνται ἕτοιμοί εἰσι πρὸς βοράν. Ἀνδρισώμεθα τοιγαροῦν κατὰ τῶν βαρβάρων τούτων, καὶ μὴ φιλοψυχίαν νοσήσωμεν· ἐπεὶ, οὐδὲ ἡμεῖς μὲν ἐσμὲν βλητοὶ καὶ θνητοὶ, οἱ δὲ πολέμιοι ἡμῶν οὗτοι ἄτρωτοι καὶ ἀθάνατοι, οὐδ' οὗτοι μὲν ὡπλισμένοι, ἡμεῖς δὲ ἄοπλοι, οὐδ' αὐτοὶ μὲν ἵπποις ἀνέχονται, ἡμεῖς δὲ κατὰ τοῦτο αὐτῶν ἐλαττούμεθα· τῇ δὲ παιδείᾳ καὶ τῷ λόγῳ οὐδ' ἐστιν εἰπεῖν ὅσῳ τούτων ὑπέρτεροι καθεστήκαμεν. Ἤδη καὶ ἄλλοτε πρὸς αὐτοὺς διηγωνισάμεθα, τὴν γῆν αὐτῶν ληϊζόμενοι. Οὕτω τοίνυν πρὸς τούτους ἴωμεν ὡς ἔθος νικᾷν αὐτοὺς ἔχοντες. Ναὶ, ἄνδρες, καὶ συστρατιῶται, χρεὼν δὲ πρὸς τούτοις σκοπεῖν, ὡς ὁ ἐκπέμψας ἡμᾶς εἰς τόνδε τὸν πόλεμον, ἅπας ἡμῶν ἐξήρτηται, χρησταῖς ἐλπίσιν ὑποθαλπόμενος, οἷς καὶ ὑπὲρ ἰσχὺν ἀνδρίσασθαι συνεθέμεθα· μὴ τοίνυν κἀκεῖνον αἰσχύνωμεν, καὶ ἡμᾶς

αὐτοὺς εἰς ὄνειδος ποιήσωμεν τοῖς Ῥωμαίοις, κατά τι μαλακισθέντες. » Ταῦτα εἰπὼν ἐπὶ τοῦ πεδίου προῆκεν.

Ἀντεξάγει δὲ καὶ Διονύσιος τοὺς οἰκείους, κροτῶν ἅμα καὶ χαίρων· οὔτε δὲ εἰς κέρας δεξιὸν καὶ εὐώνυμον ἐμερίσατο τούτους, οὔτε εἰς φάλαγγας, ἀλλ' εἰς μίαν ὁμαιχμίαν τὸ τοσοῦτον ἐπύκνωσε στράτευμα, οὐδὲν ἐλλείπων ὑπεροψίας· ἦν δὲ καὶ ἡ σημαία ἐκείνου μετέωρος ἐπὶ παχέος ὑψιτενοῦς ἱστοῦ, τεσσάρων βοῶν ζεύγμασιν ἑλκομένη. Ἦν δὲ ἡ τῶν Παιόνων στρατιὰ, φοβερὸν ὅραμα, ἱππότις πᾶσα, καὶ ὡπλισμένοι οὐ μόνον οἱ ἄνδρες ἀλλὰ καὶ οἱ ἵπποι αὐτῶν. Ἐπεὶ δὲ προῆλθον ὡς εἰς μεταίχμιον, καὶ περὶ μεσημβρίαν ἦν ἡ ἡμέρα, καὶ καιρὸς ἐδόκει συγκροτεῖν τὰ στρατεύματα, ὁ μὲν Κοντοστέφανος τοῖς ἐκ δεξιοῦ καὶ λαιοῦ μέρους, τὰ τῶν βαρβάρων ἄκρα κόπτειν ἐπέταξε, καὶ τοῖς ἱπποτοξόταις βάλλειν συχνά· σκοπὸς δὲ ἦν τῷ στρατηγῷ διαλῦσαι οὕτως αὐτῶν τὴν συνέχειαν. Ὁ δὲ Διονύσιος ὡς τεῖχος προέβαινεν, ἐς τὸν Κοντοστέφανον ἐντείνων τὸ τόξον. Ὡς οὖν ἐδέξαντο τοῦτον Ῥωμαῖοι, διὰ δοράτων ἦν ἡ μάχη μέχρι τινός· ἐπεὶ δὲ αὐτὰ συνετρίβη, τὰς ἐπιμήκεις μαχαίρας σπασάμενοι διὰ τούτων ἐμάχοντο· ὡς δὲ καὶ αὐτὰ τὰ σώματα εἶχον ἐξασθενήσαντα διὰ τὸ τῶν στρατευμάτων ὡς ἂν τις εἴποι σιδήρεον, οἱ μὲν Παίονες ἠμηχάνουν, Ῥωμαῖοι δὲ τὰς ἐκ σιδήρου κορύνας χειρισάμενοι ἔπαιον τοὺς Παίονας δι' αὐτῶν· καὶ ἦσαν τὰ πλήγματα καίρια κατὰ κεφαλῆς καὶ προσώπων γινόμενα· πολλοὶ τοίνυν σκοτειδινιῶντες ἔπιπτον, εἰσὶ δὲ οἳ καὶ ἐλειφαίμουν τοῖς τραύμασι. Καὶ οὕτω τοῦ ἀρραγοῦς ἐκείνου διακοπέντος συντάγματος, οὐκ ἦν οὐδεὶς τῶν Ῥωμαίων ὃς οὐκ ἦν βάλλων καὶ καταβάλλων Παίονα, ἢ μὴ σκυλεύων τὸν πεπτωκότα, ἢ πανοπλίαν ἐπενδυόμενος, ἢ ἵππου ἐπιβαίνων οὗ τὸν ἀναβάτην κατέβαλεν. Ἐπεὶ δὲ καὶ περὶ τὸ ὀψὲ ἦν ἡ ἡμέρα, ἡ μὲν σάλπιγξ τὸ ἀνακλητικὸν ἤχησε, καὶ τὸ τῆς Διονυσίου σημαίας καταβέβλητο δίαρμα, ὁ

δ' Ἴστρος εἶχε τὰ πορθμεῖα καὶ ὁ στρατὸς τὸν ποταμὸν διεπέρασε· φήμη γὰρ διεφοίτα ὡς οἱ Παίονες κατὰ τὴν αὔριον οὐκ ἀγεννῆ καὶ μικρὰν συμμαχίαν ἐκδέχονται· διὰ τοῦτο τέλος αἴσιον ἐσχηκότος τοῦ πολέμου, ἀπῆρεν ἐκεῖθεν Ἀνδρόνικος.

Βασιλεὺς δὲ τὴν καλλίστην ταύτην νίκην ἐνωτισάμενος, ηὐχαρίστει θεῷ |, καὶ ἦν ἐν κρότοις καὶ χαρμοναῖς· γράφει καὶ φ. τοῖς ἐν Κωνσταντινουπόλει, τὰ εὐφρόσυνα ταῦτα εὐαγγέλια ἐκδιηγούμενος· μεθ' ἡμέρας δὲ καὶ αὐτὸς τὴν μεγαλόπολιν εἴσεισι, καὶ θριαμβεῦσαι προθέμενος, ἐπέταξε τὰς ἀγυιὰς κοσμηθῆναι ὡς ἐπὶ μεγίστῳ τροπαίῳ, τοῦ συνήθους περιφανέστερον. Πάντων οὖν τῶν Πολιτῶν συνδραμόντων, καὶ μηδὲ τῶν αἰχμαλώτων Παιόνων ἀπολιμπανομένων, κατάγει τὸν θρίαμβον, ἀρξάμενος ἀπὸ τῆς ἑῴας πύλης τῆς κατὰ τὴν ἀκρόπολιν· προηγεῖτο δὲ τέτρωρον ἀργύρεον ἐπίχρυσον, ἵπποις λευκοῖς ἑλκόμενον χιονώδεσιν· ἵδρυτο δ' ἐπ' αὐτοῦ ἡ εἰκὼν τῆς ἀκαταγωνίστου συμμάχου καὶ συστρατήγου τῷ βασιλεῖ Θεομήτορος· μετὰ δὲ τοῦτο οἱ καθ' αἷμα ᾠκειωμένοι τῷ βασιλεῖ, καὶ ὅσοι εἰς ἀρχὰς τὰς πολιτικάς· ἔπειτα ὁ αὐτοκράτωρ αὐτὸς ἵππῳ ὑψαύχενι ἔποχος, καὶ κόσμους τοὺς βασιλικοὺς περικείμενος· παρείπετο καὶ ὁ τοῦ θριάμβου αἴτιος Κοντοστέφανος, τοῦ στρατηγήματος ἐπαινούμενος. Εἰς δὲ τὸν μέγιστον τῆς τοῦ θεοῦ Σοφίας νεὼν εἰσιών, καὶ τοῦ παντὸς ἐνώπιον λαοῦ, τὴν τοῦ Κυρίου λαλήσας αἴνεσιν, ἔρχεται ἐκεῖθεν εἰς τὰ βασίλεια. Καὶ μεθ' ἡμέρας ἵππων ἁμίλλαις διεχεῖτο.

Καὶ τὸ ἐπιὸν δὲ ἔαρ εἰς ἄνεσιν τοῦ σώματος ἀποτάξας, ἐπεὶ αἱ χειμέριοι τροπαὶ ἤδη ἐνίσταντο, ἔξεισι πρὸς τὰ Ἑσπέρια, καὶ κατὰ τὴν Φιλίππου ἐναυλίζεται· ἤκουσε γὰρ ὁ τῶν Σέρβων ἄρχων ὁ Νεεμὰν Στέφανος θρασύτερος γέγονεν ὑπὲρ ὅ δεῖ, καὶ σοφὸν ἥγηται τὸ περίεργον, καὶ τοῖς ὁμοφύλοις βαρὺς ἐμπίπτει, καὶ ξίφει μετέρχεται, Χορβάτας τε ὑποποιεῖται, καὶ πρὸς ἑαυτὸν ἐπισπᾶται τῶν Δεκατόρων τὴν κυριότητα. Διὰ

ταῦτα τοίνυν πεῖραν εἰληφέναι τοῦ βουλήματος θέλων αὐτοῦ, στέλλει μετὰ δυνάμεως τὸν Παδιάτην Θεόδωρον. Ὁ δὲ Νεεμὰν εὐθὺς ἀκήρυκτον ἐκίνησε πόλεμον, Ῥωμαίοις ἐπεισπεσών. Βασιλέως δὲ μετελθεῖν αὐτὸν κρίναντος, ὀλίγον παραφανείς, ἀπεκρύβη, τὰς τῶν ὀρῶν καταδύσεις καὶ τὰς πέτρας θέμενος εἰς ἀποκρυβήν· κατὰ μικρὸν δὲ ταπεινούμενος, τέλος τοῖς τοῦ βασιλέως ποσὶ τὴν ἑαυτοῦ τέθεικε κεφαλήν, περὶ τοῦ μὴ παθεῖν κακῶς δεόμενος· ἠγωνία γὰρ μήπως παραλυθῇ τῆς δυναστείας, καὶ ἡ ἀρχὴ μεταπέσῃ πρὸς τοὺς ἐκείνου ἄρχειν δικαιοτέρους, οὓς αὐτὸς καθελών, τὴν ἀρχὴν ἔλαβεν. Οὕτω δ' εὐμαρῶς ἔφερε τοῦτον πρὸς τὴν αὐτοῦ ὁ βασιλεὺς πίστιν, ὡς οὐδὲ ποιμὴν ποίμνιον· οὕτω τε πεφόβητο τοῦτον ὁ Νεεμάν, ὡς οὐδὲ τὸν θῆρα λέοντα τὰ τῶν θηρίων βραχύτατα.

Ἀλλὰ τίνα τὰ ἐπὶ τούτοις; Ἐρᾷ καὶ ὑπερορίου στρατείας ὁ βασιλεύς, ἐνωτιζόμενος τὸ τῆς Αἰγύπτου πολύφορον· ὅθεν καὶ ἔγνω στόλον ἀποστεῖλαι ἐκεῖ, ὅπως τὰ τῆς Αἰγύπτου γένοιτο κτήσασθαι τοῦτον καλά, καὶ ἤθελεν ἁμιλλᾶσθαι πρὸς ἐκείνους τοὺς βασιλεῖς ὧν τὸ κλέος πολὺ καὶ τὰ σχοινίσματα οὐκ ἀπὸ θαλάσσης μόνον ἐξηπλοῦτο ἕως θαλάσσης, ἀλλ' ἐκ τῶν ἑῴων μέχρι τῶν ἑσπερίων στηλῶν ἐξετείνετο. Οὐκοῦν καὶ τὴν περὶ τούτου βουλὴν τῷ τῶν Ἱεροσολύμων ῥηγὶ κοινωσάμενος Ἀμερίγῳ, κἀκεῖνον εὑρὼν συναινοῦντα καὶ συλλαβέσθαι τοῦ ἐγχειρήματος ὑπισχνούμενον, στόλον καταρτύει βαρὺν κατὰ τοῦ Ταμίαθι, εἰς διακοσίας μακρὰς νῆας καὶ ἔτι πλείους ἀριθμούμενον· ἀναδείκνυσι δὲ ναύαρχον τὸν μέγαν δοῦκα τὸν Κοντοστέφανον Ἀνδρόνικον· ἑξήκοντα δὲ παραδοὺς τῷ Μαυροζώμῃ Θεοδώρῳ πρὸς τὸν ῥῆγα ἐξέπεμψε προειπεῖν καὶ τὴν τοῦ λοιποῦ στόλου ὅσον οὔπω ἀναγωγήν, καὶ τὴν τοῦ Κοντοστεφάνου ἄφιξιν, διαναστήσοντα δὲ κἀκεῖνον ὡς εἴη ἕτοιμος πρὸς τὴν ἔξοδον, ἀποκομίσοντα δὲ καὶ τὰ τῶν Ἱεροσολυμιτῶν ἱππέων ὀψώνια ὅσοι ἤμελλον συνεκστρατεύειν τῷ ῥηγὶ κατ' Αἰγυπτί-

ων, τιθεμένῳ τὴν κίνησιν καθ' ὧν ὁ στόλος ὁ Ρωμαϊκὸς συγκεκρότητο. Μετ' οὐ πολὺ δὲ καὶ ὁ Κοντοστέφανος ἔξεισιν, εἶχε δὲ τότε ὀγδόην μὴν ὁ Ἰούλιος· καὶ δὴ πρὸς τὸ Μελίβοτον καταχθεὶς, καὶ παρὰ τοῦ βασιλέως ἐκεῖσε ἀφικομένου θεατοῦ τοῦ στόλου τὰ πρὸς τὸ ἔργον ὑφηγηθεὶς, | μετὰ δύο ἡμέρας ἀνάγεται, καὶ κατάγεται εἰς τὰ Κοῖλα, ταῦτα δὴ τὰ περὶ Σηστόν τε καὶ Ἄβυδον, καὶ ἐκεῖ τῶν τριήρεων εἰσάγει ἐντὸς τὸ παραδοθὲν αὐτῷ στράτευμα. Τὸ δ' ἐντεῦθεν, ἔχων τὸ πνεῦμα φορὸν, λύσας τὰ πρυμνήσια καὶ τὰ ἱστία πετάσας, ἐς τὴν Κύπρον ἀπεπλεε. Κατὰ δὲ τὸν πλοῦν τοῦτον ἓξ συναντήσας ναυσὶν, ἃς ὁ ἀμηρᾶς τῆς Αἰγύπτου εἰς κατασκόπησιν ἔπεμψε, τὰς μὲν δύο συνέλαβε, αἱ δ' ἄλλαι ὡς μακρὰν ἀπέχουσαι διαδιδράσκουσι.

Προσοκείλας δὲ τῇ Κύπρῳ, τὴν αὐτοῦ ἄφιξιν δήλην τίθησι τῷ ῥηγὶ, καὶ πυνθάνεται μαθεῖν τὴν τούτου βουλὴν, καὶ εἰ προσμενεῖ αὐτὸν ἐν Κύπρῳ, ἢ τὴν ἐπὶ Ἱερουσαλὴμ βαδιεῖται οὗτος· ὁ δὲ ῥὴξ οὐκ ἐπαινεῖν ἑαυτὸν εἶχεν, ὅτι καὶ τὴν πρώτην συνήνεσε πρὸς τοῦτο τῷ βασιλεῖ, καὶ συναρήξειν ὅλως κατένευσε, τῷ τοι καὶ ἀναβαλλομένῳ ἐῴκει· ὀψὲ δ' οὖν δηλοῖ τῷ μεγάλῳ δουκὶ τὴν ἐπὶ Ἱεροσολύμων τρέπεσθαι, ὡς ἐκεῖσε συνελθόντες σκέψονται κοινῶς ὅ διαπράξονται. Εἶχε τοίνυν ἡ μὲν Παλαιστίνη τὸν Κοντοστέφανον, τὸν δ' Ἀμέριγον ἡ βραδύτης αὖθις καὶ ὁ μετάμελος· πολλὰ δὲ οὗτος προφασιζόμενος εἰς ἀναβολὴν, καὶ τὴν τῶν οἰκείων στρατευμάτων προεβάλλετο συλλογήν. Ἀνδρόνικος δὲ ἐδυσφόρει, καὶ διὰ τὸν καιρὸν μὲν ὡς παρερχόμενον, αὐτοῦ μηδέν τι διαπραττομένου, τὸ δὲ πλέον διὰ τὸ ναυτικὸν· τριῶν γὰρ μηνῶν ὀψώνια λαβόντων τῶν ἐν ταῖς ναυσὶν ἀπὸ τοῦ αὐγούστου, τότε ἤδη ἔληγεν ὁ σεπτέμβριος.

Ἐπεὶ δὲ ἔδοξε κινηθῆναι ὁ ῥὴξ, τὴν διὰ ξηρᾶς πορείαν τοῦ θαλαττίου προτίθησι πλοῦ, καὶ Ἀνδρόνικος οὕτω συμβουλεύει

ποιεῖν, ὡς εὐμαρεστέρας τῆς τοιαύτης πορείας, καὶ ἅμα ὅτι ἐξ ἐφόδου παραλήψονται τὸ Τούνιόν τε καὶ τὸ Ταγέσιον, φρούρια τῷ ἀμηρᾷ τῆς Αἰγύπτου ὑποτελῆ, χριστιανοὺς οἰκήτορας ἔχοντα. Τούτῳ πεισθεὶς ὁ Ἀνδρόνικος τὴν διὰ ξηρᾶς πορείαν ἐβάδιζε, καὶ τὰ εἰρημένα φρούρια ἐχειρώσατο διερχόμενος, καὶ τῷ στόλῳ συμμίξαντες, ἐπὶ τοῦ Ταμιάθι ἤδη κατάραντι, συμβάλλουσι πόλεμον εὐθὺς τοῖς ἀπὸ τῆς πόλεως ἀπηντηκόσιν ἐνόπλοις Σαρακηνοῖς. Οὕτω δ' ἐξέπληξαν αὐτοὺς Ῥωμαῖοι, ὡς σὺν θορύβῳ ἀποστραφῆναι τειχῶν εἴσω, μηδ' ἀντιβλέψαι Ῥωμαίοις δυναμένους ὑπὸ δειλίας.

Καὶ τοῦτο μὲν οὕτω τότε· τῇ δ' ὑστεραίᾳ συνῆλθον Σαρακηνοὶ Ῥωμαίοις συμπλακῆναι βουλόμενοι, πλὴν οὐδὲ τότε ὑπέστησαν τὴν τῶν Ῥωμαίων ὁρμήν, ἀλλ' ἔτρεχον εἰς τὴν πόλιν· καὶ τοῦτο ἐπὶ πολλαῖς ἡμέραις ἐγίνετο. Ἦν δὲ ἡ στρατηγία τῶν Σαρακηνῶν αὕτη Ῥωμαίοις κατασοφίζεσθαι παρέλκειν ἄπρακτα τὸν καιρόν. Ἀμέλει καὶ τὰς ἑλεπόλεις προσαγαγὼν ὁ Ἀνδρόνικος, τὸ τεῖχος ἔτυπτεν, οὐκ ἀκινδύνως· οἱ γὰρ βάρβαροι τοὺς ἐπὶ τοῦ ἔργου ἔβαλλον ἄνωθεν, καὶ ἀπεκώλυον, καὶ ἀντεπενόουν τὰ τῷ τείχει σωτήρια· ὅμως ἴσχυσαν οἱ ἐκτὸς βάλλοντες μέρος τι τοῦ τείχους καταβαλεῖν, ἐφ' ᾧ καὶ τέμενος τῆς Θεομήτορος ἦν· ἐκεῖ δὲ τοῖς πολίταις ἐλέγετο καταλῦσαι τῆς φυγῆς τὴν ἀειπάρθενον σὺν τῷ δεσπότῃ Χριστῷ, βρέφος ὄντι, καὶ τῷ μνηστῆρι Ἰωσὴφ τὴν Ἡρώδου παιδοφονίαν φεύγοντας. Οἱ τοίνυν Σαρακηνοὶ ὕβρεσιν ἔπλυνον τὸν Ἀνδρόνικον, ὡς μὴ φειδόμενον ναοῦ ἐν ᾧ συνάγονται οἱ χριστώνυμοι. Ἐπεὶ δὲ οὐδ' οὕτω τι ἐπέραινεν ὁ Ἀνδρόνικος κατὰ νοῦν, ἔγνω διὰ προσβολῆς ἰσχυροτέρας ἀποπειράσασθαι τῶν ἐντός· καὶ τῷ ῥηγὶ πρὸς λόγους ἐλθών, παρέθηγε τὴν στρατιὰν ἐξαγαγεῖν καὶ τὸ τεῖχος ἅπαν διαλαβεῖν, καὶ κλίμαξι χρήσασθαι καὶ τοὺς εἰς τὸ τεῖχος ἀναβαίνοντας ἑτοιμάσαι. Ὁ ῥὴξ δὲ ἐπῄνει τὰ λεγόμενα, καὶ τῶν βουλευμάτων ἐθαύμαζε τὸν Ἀν-

δρόνικον, οὐκ ἄλλως δὲ τῷ ἔργῳ ἐγχειρίσειν, τὸν τοῦ Χριστοῦ τάφον εἰς ὅρκον παραλαμβάνων, εἰ μὴ ξύλινοι πύργοι ἐπιστῶσι τοῖς τείχεσι· καὶ ταῦτα λέγων ἐπέταττε τοὺς παραπεφυκότας φοίνικας καθαιρεῖν, καὶ εἰς πύργων ὑψώματα εὐτρεπίζεσθαι. Γέγονε τοῦτο, καὶ οἱ μέγιστοι τῶν φοινίκων ἐτέμνοντο, καὶ ἐψιλοῦτο ἅπας παράδεισος |, καὶ τὰ πρὸς ἀπαρτισμὸν τῶν πύρ- φ. γων ἡτοίμαστο· καὶ ἡ ἁρμογὴ αὐτῶν ἦν οὐδαμοῦ· ὁ γὰρ ῥὴξ ἐς μακροὺς ἡλίους ὑπερετίθει τὸ γενησόμενον. Ταῦτα ὁρῶν ὁ Ἀνδρόνικος οὐκ εἶχεν ὅ τι ποιήσει ἀχθόμενος· ᾤκτειρε δὲ καὶ τὴν στρατιὰν ἤδη σιτίων σπανίζουσαν, καὶ τοὺς μὲν εὐποροῦντας μηδ' ὀβολοῦ, τοὺς δὲ παρὰ τῷ μὴ ἔχειν ἀγορὰν ἰδίαν, ἀλλ' ἀπὸ τῶν τοῦ ῥηγὸς ἐξωνεῖσθαι, πολλὰ μὲν κατατιθεμένους, ὀλίγα δὲ ἀπὸ τούτων λαμβάνοντας· καὶ ὁ συντεθειμένος δὲ χρόνος τῇ στρατείᾳ παραδραμὼν, καὶ ἡ κενὴ προσεδρεία τὰ πολλὰ τοῦτον ἐλύπουν· ὅμως διὰ τὰ τοῦ βασιλέως ἐντάλματα, ἅπερ οὐκ εἴων αὐτὸν χωρὶς τῆς τοῦ ῥηγὸς γνώμης πρᾶξαί τι, ἀνέμενε τὸ τούτου ἐνδόσιμον.

Ἐπεὶ δὲ οὐδέν τι χρηστὸν ἑώρα τὸν ἄνδρα διανοούμενον, καὶ εἰς δεινὰ ἐμπεπτωκυῖαν τὴν στρατιὰν ὡς καὶ τῶν ἀπηγορευμένων διὰ λιμὸν ἅπτεσθαι, καὶ ῥιζοφαγεῖν, καὶ τὰς τῶν φοινίκων κόμας δρέπεσθαι, καὶ φήμη δὲ προσέβαλλεν ἀφικνεῖσθαι τοῖς πολιορκουμένοις συμμαχίαν ἔκ τε τοῦ σουλτάνου τῆς Αἰγύπτου καὶ τῶν πρὸς ἥλιον Ἀρράβων, καὶ Ἀσσυρίαν δὲ ἵππον ἐρχομένην πρὸς βοήθειαν τούτου ἄγχιστα εἶναι, ἀφεὶς τῷ ῥηγὶ συμβουλεύεσθαι, μόνος κέκρικε τὸν πόλεμον σὺν θεῷ ὑποστῆναι, καὶ τὸ ὑπ' αὐτὸν συναθροίσας στράτευμα ἔλεξε τοιάδε. « Καὶ τὸ προσκαρτερεῖν ἐνθάδε ἀνιαρὸν, καὶ τὸ μηδέν τι δράσαντα ἀπαίρειν αἴσχιστον, χεῖρον δὲ τούτων ἀνδρὶ πείθεσθαι, μὴ τὴν γνώμην φρονοῦντι ὀρθὰ, ἀλλὰ καὶ τῶν ἐχθρῶν οὐδὲν διακειμένῳ ἄμεινον· οὐχ ὁρᾶτε ὅπως ὁ ῥὴξ οὐχ ὡς συναγωνιστὴς, καὶ σύμμαχος ἡμῖν συμπράττει, ἀλλ' ὡς θεατὴς προσληφθείς·

ὥστε τὸ ἀπὸ τοῦδε, οὐ τοῦτο πεφόβημαι, μὴ οὐδὲν χρηστὸν κατορθώσαντες ἀπίωμεν, ἀλλὰ μὴ οὐχ ἱκανοὶ ἐσοίμεθα τὰς ἡμετέρας ἐντεῦθεν διασῶσαι ψυχάς· οὐδὲ βοηθεῖν ἡμῖν τοῦτον σκοπῶ, ἀλλὰ πῶς τοὺς δόλους αὐτοῦ διαδραμόντες, ἀπείρατοι κακῶν ἀπάρωμεν, τὸν ἐν ὀφθαλμοῖς ἐκφυγόντες κίνδυνον. Οὐδὲν αἱ συνθῆκαι τούτου, ἃς ἔθετο βασιλεῖ συμμαχήσειν Ρωμαίοις καθυποσχόμενος· ἡμεῖς δὲ δεινοῖς περιστοιχιζόμεθα, εἴ γε πόλεμος ὁμοῦ καὶ λιμὸς ἡμᾶς δαπανᾷ, καὶ τὰ τῶν Ρωμαίων ἐφ' ἡμῖν αὐχήματα οἴχεται. Κρεῖσσον οὖν μὴ ἐνταῦθα ἀποπλεῦσαι, τόσα διελθόντας πελάγη, ἢ ἀπράκτους ἀπιέναι ὡς νῦν γε· οὐ λευκοῖς ἱστίοις τὰς ναῦς πτερώσομεν ὡς ἐκ Βυζαντίου, ἀλλὰ φαιοῖς διὰ τὸ τῆς αἰσχύνης ἀπαίσιον. Ἀλλ' ἄνδρες ὁμογενεῖς καὶ συστρατιῶται, καὶ ὅσον ξενικὸν, ἀποστάντες τῶν τοῦ ρηγὸς, ὡς Ρωμαίοις ἀπίστων ὡς ἔδειξαν, προσβάλωμεν τοῖς βαρβάροις, τειχομαχίαν στησώμεθα, καὶ ἀγωνισώμεθα, ὡς τὸ πόλισμα τοῦτο ληψώμεθα, καὶ ὡς ἤδη ἔχοντες τὸν ἔνδον πλοῦτον ἁμιλληθῶμεν· εἰ τεῖχος τοῖς βαρβάροις καὶ ἀφ' ὕψους ἀμυντηρίων ἡ ἄφεσις, ἀλλ' εἰσὶ καὶ παρ' ἡμῖν ἀσπίδες (1) αἳ μόλις ἀνδράσιν ἀνέχονται· ταύτας ἀντιστήσαντες, ὀλίγα τοῦ τείχους καὶ τῶν ἐπ' αὐτοῦ μαχομένων φροντίσωμεν. Κἀγὼ δὲ ὅ, τι ἂν δέῃ σὺν ὑμῖν ἀσμένως πείσομαι· μηδὲ γὰρ εἴη τινὰ ἐρεῖν, ὡς Ἀνδρόνικος πρὸς συμπλοκὴν Ἄρεως ἱκανώτατος, ἀρχηγὸς δ' ἀχρεῖος· ἀλλὰ τὸ τῆς ἐμῆς κόρυθος μέτωπον ὄψονται πρὸ ὑμῶν οἱ ἀντίπαλοι, καὶ πρόμαχος ὤν, καὶ οὐραγὸς ὑμῶν ἔσομαι, εἰ καὶ τοῦτο δίδωσιν ὁ καιρός. Θεὸς δὲ περαίνοι τὰ βεβουλευμένα.»

Ταῦτα εἰπὼν, αὐτός τε ὡπλίσατο, καὶ οἱ λοιποὶ διαλυθέντες τὰς πανοπλίας αὐτῶν ἐνεδύσαντο· ἐπεὶ δὲ καὶ περὶ ὥραν ὡσεὶ τρίτην ἦν ἡ ἡμέρα, ἄρας ἐκεῖθεν προεπορεύετο τοῦ παντὸς σὺν

(1) Ἐν περιθ. τὰ λεγόμενα δόρκαι, εἴτουν τζαυτία.

κόσμῳ στρατεύματος. Οἱ δὲ Σαρακηνοὶ τὰς τῆς πόλεως πύλας κλείσαντες, ἔμενον ἐπὶ τῶν τειχῶν τοὺς ἐπιόντας ἀποκρουόμενοι. Ἀλλὰ καὶ οὕτω τῶν ἔνδον ἀμυνομένων, Ἀνδρόνικος κατὰ τῆς πύλης ἐπελάσας τὸν ἵππον, ἠκόντισε. Καὶ οἱ τοξόται καὶ ἅπας ἕτερος ἐν ἔργοις ἐδείκνυντο, αἵ τε σάλπιγγες ἤχουν καὶ τὰ κύμβαλα, καὶ πᾶν ὄργανον, ὡς τοὺς εἰς τὰ τείχη μὴ ἐνεγκεῖν τῶν στρατευμάτων τὴν ἀθρόαν ἐπέλευσιν καὶ ἀλαλαγὴν, καὶ τὰ ἐκ τῶν μηχανημάτων ἀφέματα. Ἤδη δὲ τῶν κλιμάκων προσαγομένων καὶ κατὰ πολλὰ μέρη τοῦ τείχους ἐρειδομένων | [φ.], παίει τὸν ῥῆγα ἡ ἀγγελία, καὶ ὡς αὐτός τι κακὸν πεπονθὼς, ἐνεὸς ἦν ἐφ' ἱκανόν· μόλις δ' ἀνενεγκὼν ἐφίσταται τῷ Ῥωμαϊκῷ στρατεύματι μετὰ τῶν ὑπ' αὐτὸν ἐπιλέκτων, καὶ τὰς πάντων ἀνακόψας ὁρμὰς, συνεβούλευε μὴ διαμάχεσθαι ἀνθρώποις πάλαι διαμεμηνυκόσιν αὐτῷ ὡς ἀναιμωτὶ ἑαυτοὺς καὶ τὴν πόλιν βασιλεῖ παραδώσουσι. Καὶ ὁ μὲν λόγος οὗτος τὰς τῶν Ῥωμαίων χεῖρας ἐξέλυσεν, ἐγγὺς ἤδη τοῦ πορθῆσαι τὴν πόλιν γεγενημένων. Αὐτὸς δὲ ὁ ῥὴξ εἰς συμβάσεις τραπόμενος, μᾶλλον τῶν Σαρακηνῶν ἢ Ῥωμαίων εἰς δόξαν, ταύτας συνέθετο. Οἱ δὲ στρατιῶται, μάλιστα δὲ οἱ ναυτικοὶ, μηδέν τι περὶ τούτων κατεξετάσαντες, τῆς πρὸς τὰ οἰκεῖα ὑποστροφῆς ὅλοι γενόμενοι, ἀταξίας ἐνέπλησαν τὰ στρατόπεδα· τάς τε γὰρ ἑλεπόλεις ἐνέπρησαν, γνώμης ἄνευ τοῦ στρατηγοῦ, καὶ τὰς πλείστας ἀποφορτισάμενοι τῶν ὁπλίσεων πρὸς ταῖς κώπαις ἐγένοντο, μηδὲ τὸ τοῦ καιροῦ δυσχειμέριον ἐννοοῦντες (τετάρτην γὰρ ἦγεν ὁ δεκέμβριος μήν). Ἦν οὖν ἰδεῖν τὸν παλύνεων ἐκεῖνον στόλον εἰς πολλὰ διασκεδασθέντα τμήματα, ἄλλων ἀγαπησάντων ἕτερον πλοῦν, καὶ πάντων πρὸς τὰς πατρίδας ἀποπλεόντων, ὡς μόλις ἓξ ἀπολειφθῆναι τριήρεις, αἳ ἤμελλον ἀνακομίσειν Ἀνδρόνικον. Ὁ δὲ τὴν ἐπὶ τῶν Ἱεροσολύμων ἅμα τῷ ῥηγὶ πορευθεὶς, κἀκεῖθεν προσηκόντως παραπεμφθεὶς, τὸ Γκόνιον παραλλάξας ἐς Βυζάντιον παρεγένετο. Τῶν δὲ πολ-

λῶν ἐκείνων νηῶν, αἱ μὲν ἀντιπνοίαις περιπεσοῦσαι κατέδυσαν αὔτανδροι, αἱ δὲ κλύδωνι θαλαττίῳ διασπαρεῖσαι, τοῦ ἔαρος ἐπιστάντος τῷ νεωρίῳ τῆς Πόλεως ἀπεδόθησαν· οὐκ ὀλίγαι δὲ καὶ τῶν ἐπιβατῶν κενωθεῖσαι ἐπιλαβομένων τῆς γῆς, αὐταὶ συντριβεῖσαι ἀπώλοντο· ὡς βραχείας περιλειφθῆναι βρασμὸν θαλάσσης καὶ ναυτῶν διαδράσας ἀμέλειαν. Οἱ δὲ Σαρακηνοὶ δειλιάσαντες τοῖς γεγενημένοις, καὶ εἰς τὸ μέλλον ὑφορώμενοι κίνδυνον, πρέσβεις πέμψαντες ἐς βασιλέα καὶ δῶρα, τὴν εἰρήνην ἐκράτυναν.

Τοῦ δὲ βασιλέως υἱὸν σχόντος ἐκ τῶν δευτέρων γάμων θεῷ τε χαριστήριοι φωναὶ ἀπεδίδοντο, καὶ ἅπας ἦν ἐν κρότοις καὶ χαρμοναῖς· ὑπεξαίρων δὲ τὴν γενέθλιον καὶ ὀνομαστήριον τοῦ παιδὸς ἡμέραν ὡς ἔθος τοῖς βασιλεῦσι, τούς τε Πολίτας εὐώχει, καὶ Ἀλέξιον τὸν παῖδα ὠνόμασεν, οὐ διὰ τὸν πάππον, ἀλλὰ τὸ εἰρημένον ὅτι ἐς τοσοῦτον ἡ τοῦ βασιλέως Ἀλεξίου τοῦ Κομνηνοῦ διαρκέσει σειρὰ ἐς ὅσον εἶχε τὸ προαγόρευμα· εἶχε δὲ ΑΙΜΑ, ὁ κατὰ στοιχεῖον ἀναλεγόμενον ὑπέγραφε διὰ μὲν τοῦ Α, τὸν Ἀλέξιον, διὰ δὲ τοῦ Ι, τὸν Ἰωάννην, διὰ δὲ τῶν ἐφεξῆς δύο γραμμάτων, τὸν Μανουὴλ καὶ τὸν ἐξ αὐτοῦ παραληψόμενον τὴν ἀρχήν. Ὡς οὖν ὁ παῖς τὴν ἡλικίαν προέκοπτεν, εἰς τὸν υἱὸν μετατίθησι τοὺς ὅρκους ὁ βασιλεύς, οὓς ἐπὶ τῇ θυγατρὶ προτιθέμενος ἦν.

Καὶ μετὰ βραχὺ τὴν θυγατέρα ἀποζεύγνυσι τοῦ μνηστῆρος Ἀλεξίου, καὶ εἰς γυναῖκα κατεγγυᾶται τῆς οἰκείας γαμετῆς τὴν ὁμόσπορον, ἄρτι σὺν τῷ ἀδελφῷ Βαλδουΐνῳ τῆς Ἀντιοχείας ἀπάρασαν. Ἐπεὶ δὲ καὶ πέρας βίου τὸν τῶν Οὔνων ἄρχοντα κατέλαβεν, οἰκεῖον εὐτύχημα τὸν ἐκείνου θάνατον ὁ βασιλεὺς δεξάμενος, πέμπει τὸν Ἀλέξιον εὐθὺς μετὰ λαμπρᾶς δορυφορίας καὶ βασιλείου παρασκευῆς παραληψόμενον τὴν τῶν Παιόνων ἐξουσίαν· καὶ εἶχε τοῦτον ἡ Παιονία, ταινίᾳ ῥηγικῇ διαδούμενον, καὶ τοῦ γένους δεσπόζοντα. Ὁ βασιλεὺς δὲ ἀνη-

ρεύνα τὸν τῇ αὐτοῦ θυγατρὶ συζευξόμενον· καὶ Ῥωμαίων ἀποδοκιμάζων ὅσοι ἐπίδοξοι, τοὺς τῶν ἐθνῶν δυνάστας ἐφιλοκρίνει ὁπόσοι μὴ ἦλθον εἰς γάμον, καὶ τῆς πατρῴας ἀρχῆς διάδοχοι μόνοι ἀποκεκλήρωντο. Καὶ ἐπειδὴ ἠρέσκετο εἰς τὸν κρατοῦντα Σικελίας Γιλίελμον, ἄλλος ἐπ' ἄλλῳ πρέσβυς εἰς ἐκεῖνον ἐστέλλετο, καὶ παρ' ἐκείνου αὖθις ἐπάλληλα τὰ μηνύματα. Ἀμφιτάλαντον δὲ καὶ τὰ πρῶτα τὴν ἐπὶ τούτοις ροπὴν ἔχων ὁ βασιλεύς, ὀψέποτε μεθίσταται τοῦ σκοποῦ, ἀσύμφορον κρίνας Ῥωμαίοις τὰ μετὰ τούτων μνηστεύματα. | Συνέζευκτο γοῦν ὕστερον ἑνὶ τῶν τοῦ μαρκεσίου Μόντου Φεράντης υἱῶν, χαρίεντι τὴν ὄψιν καὶ εὐπρεπεῖ καὶ μήπω φύοντι γένειον, αὐτὴ τριακοστὸν ὑπερβᾶσα ἔτος καὶ ἀνδρικὴ τὴν ἰσχύν.

Προσκείσθω τοῖς εἰρημένοις καὶ ταῦτα· ἔστι τις κόλπος θαλάσσιος καθ' Ἑσπέραν, τοῦ Σικελικοῦ μὲν πελάγους ἀφιστάμενος, λεγόμενος δὲ Ἀδρίας, τοῦ Ἰονίου ἀπορρέων καὶ πρὸς βορρᾶν ἄνεμον ἐπὶ πλεῖστον ἀποτεινόμενος· τούτου τὰ πέρατα νέμονται οἱ Βενέτικοι, ἄνδρες θαλάττης τρόφιμοι, ἀγύρται, πανοῦργοι τὸ φρόνημα. Οὗτοι Ῥωμαίοις προσληφθέντες ἦν ὅτε κατὰ χρείαν ναυμαχικήν, κατὰ φατρίας τὴν Κωνσταντινούπολιν τῆς οἰκείας ἠλλάξαντο, καὶ τῆς Ῥωμαίων ἀρχῆς διασπαρέντες ἁπανταχῇ, μόνον τὸ ἀπὸ γένους ὄνομα παραμεῖναν αὐτοῖς ἔχοντες, τὰ δ' ἄλλα σύμφυλοι ὄντες Ῥωμαίοις, εἰσκεὶ ηὔξανον, πλοῦτόν τε πολὺν περιβαλόμενοι, αὐθάδεις ἦσαν καὶ ἀναιδεῖς, ὡς μὴ μόνον Ῥωμαίων κατεπαίρεσθαι, ἀλλὰ καὶ τῶν βασιλικῶν ἀλογεῖν ἐντολῶν τε καὶ ἀπειλῶν. Ὁ δὲ βασιλεύς, νῦν μὲν τοῦ κατὰ Κέρκυραν μεμνημένος ἐμπαροινήματος, νῦν δὲ ἄλλου πεῖραν λαμβάνων κακοῦ, αὖθις δ' ἑτέρου πανουργεύματος τὴν ἐκείνου ψυχὴν ταράττοντος, ἀλλοιοῖ τὰς ἐπ' αὐτοῖς ροπάς. Διὸ καὶ γράμματα ἐφοίτων κατὰ πᾶσαν ἐπαρχίαν Ῥωμαϊκήν, τὴν τῶν Βενετίκων κατάσχεσιν ἐπισημαίνοντα, καὶ τὴν ἡμέραν καθ' ἣν ἔδει τοῦτο γενέσθαι, καὶ τὰ τούτων χρήματα γε-

νέσθαι δημόσια. Ἐνστάσης οὖν τῆς ὡρισμένης ἅπας ἐκρατήθη, καὶ τῶν προσόντων αὐτοῖς χρημάτων τὰ μὲν εἶχε τὸ βασιλικὸν θησαυροφυλάκιον, τὰ δὲ πλείω οἱ κατὰ τόπους ἄρχοντες ἴδια ἔθεντο. Οἱ δ' ἐν τῇ μεγαλοπόλει Βενέτικοι, καὶ μάλιστα ὅσοι μὴ γαμετὰς εἶχον, δρασμὸν βουλεύονται· καὶ ἐπειδὴ τῷ νεωρίῳ τῆς Πόλεως ναῦς ἐνωρμίζετο ἧς οὐδείς ποτε πολυχωροτέραν ἐλέγετο εἶδε, ταύτης νυκτὸς ἐπιβάντες καὶ τὰ λαίφη τοῖς ἀνέμοις διαπετάσαντες, τῆς Κωνσταντίνου ἀπέπλευσαν. Κατεδίωξαν οὖν ὀπίσω τούτων τριήρεις βασιλικαὶ πλήρεις ἀνδρῶν, οἵ τοὺς ἑτεροστόμους πελέκεις ἐπὶ τῶν ὤμων ἀνέχουσι, καὶ προσήγγισαν μὲν τῷ πλοίῳ, ἀλλ' οὐκ εἶχον ὅτι καὶ δράσουσι, τοῦ πνεύματος τὴν νῆα ἐπείγοντος ὡς δοκεῖν ἵπτασθαι, ἀπειπόντες δὲ καὶ πρὸς τὸ τῆς νηὸς ὕψος καὶ τὸ τοῦ φρονήματος τῶν ἐκπλεόντων ἀπονενοημένον.

Τότε μὲν εἶχε τούτους ἡ πατρὶς Βενετία· κατὰ δὲ τὸν ἐπιόντα ἐνιαυτὸν, στόλον κινήσαντες τὰς νήσους ἐπήρχοντο, καὶ εἰς τὴν Εὔβοιαν πλεύσαντες ἐπολιόρκουν τὸν Εὔριπον, καὶ μέρος τι κατασχεῖν δυνηθέντες, πῦρ ταῖς ἐν αὐτῷ οἰκίαις ὑφῆψαν. Ἔαρος δ' ὑποφαίνοντος, ἐκεῖθεν ἀνήχθησαν καὶ πρὸς τὴν Χίον κατῆραν.

Ἐπεὶ δὲ πύθοιτο ταῦτα ὁ βασιλεὺς, στέλλει τὸν μέγαν δούκαν τὸν Κοντοστέφανον Ἀνδρόνικον, περίπου τὰς ἑκατὸν καὶ πεντήκοντα τριήρεις ἔχοντα, ὅτι μηδ' ὁ τῶν Βενετίκων στόλος ἦν ἐνδεέστερος. Πρὸς δὲ τὴν ἀκοὴν τῶν Ῥωμαϊκῶν νηῶν δειλιάσαντες, λύσαντες ἐκ Χίου πρὸς ἑτέρας νήσους μετέβαινον, ἀεὶ φεύγοντες, καὶ τούτων δὲ ἀπανιστάμενοι, ἄλλαις δὲ προσπλέοντες, ὡς πράγματα ἔχειν, κἀκείνους τὰς νήσους ἀμείβοντας, καὶ Ῥωμαίοις ὅτι μὴ συντυχεῖν αὐτοῖς γέγονεν. Ὡς δὲ μέχρι τοῦ Μαλέου πεφθακὼς ὁ Ἀνδρόνικος, οὐδόλως ἠδυνήθη τούτους ἰδεῖν, πρύμναν κρουσάμενος τῷ νεωρίῳ προσέσχε τῆς Πόλεως.

Οἱ δὲ Βενέτικοι σπονδὰς μετὰ τοῦ ῥηγὸς ἐποίησαν Σικελίας. Ὁ δὲ βασιλεὺς οὐκ ἀφροντιστήσας τῶν ἀκουσμάτων, πρὸς τὰς προτέρας μετὰ τῶν Βενετίκων συνθήκας ἀπέβλεψεν ὅσον ἦν δυνατὸν, ἀκυρῶσαι σπεύδων τὰς μετὰ τοῦ ῥηγὸς Σικελίας τούτων σπονδάς· ἐπεὶ δὲ οὐκ ἠδυνήθη, καὶ οὕτως αὐτοῖς ἐσπείσατο, καὶ ἀνεξικακίαν καὶ φιλίαν αἰτουμένοις προσένειμεν, ὅσα ἔθιμα ἦν αὐτοῖς, ἰσοπολίταις οὖσι Ῥωμαίοις, ἀνανεωσάμενος, καὶ τὰ χρήματα δὲ ἀποδοῦναι ὑπέσχετο τούτων | ἅπερ τὸ βασιλικὸν φ. εἶχε ταμεῖον. Οἱ δὲ τὰ πολλὰ ἐάσαντες, ἐκ συμφώνου συνήλθοσαν, δέκα πρὸς τοῖς πέντε χρυσίου λαβεῖν κεντηνάρια, καὶ ἔλαβον ταῦτα οὐχ ἅμα, πολλάκις δὲ τούτοις διδόμενα.

Ἀλλ' οὕτω μὲν ταῦτα. Ἐπεὶ δὲ τὸν σουλτάνον οὐκ ἦν ἡσυχίαν ἄγειν, ἔξεισι καὶ πάλιν κατ' αὐτοῦ βασιλεύς· τὰ πλεῖστα γὰρ οὐκ εἴα τὸν Πέρσην αὐτὸς ἠρεμεῖν· θερμουργοὶ γὰρ ὄντες ἀμφότεροι, μικρᾶς αἰτίας παρεισπεσούσης, ἀλλήλοις ἐμάχοντο· κατὰ τοῦτο δὲ ἀλλήλων διέφερον, ὅτι ὁ μὲν σουλτάνος διὰ τῶν ὑπ' αὐτὸν στρατηγῶν συνίστα τὸν πόλεμον, (οὐ γάρ τις εἶδεν αὐτὸν πώποτε τοῖς αὐτοῦ κατὰ πόλεμον συνιστάμενον)· ὁ δὲ βασιλεὺς γενναίαν ἔχων τὴν φύσιν πρὸς τὰς διὰ χειρὸς πράξεις δραστήριος ἦν, καὶ φήμης διαδοθείσης ἐσβαλεῖν που τοὺς πολεμίους καὶ κακῶς ποιεῖν τὴν χώραν αὐτοῦ, αὐτὸς πρῶτος τὸν ἵππον ἀνέβαινε, καὶ ἀπεθάρρει τὴν κατ' ἐκείνων ἐπέλευσιν. Θελήσας οὖν ἀνακτίσαι τὸ Δορύλεον, ἐς πόλεμον ἐντεῦθεν τοῦτον ἐκίνησεν· ὅτε καὶ τὴν εἰς τὸ Δορύλεον τοῦ βασιλέως ἐπιδημίαν ἀγνοεῖν ἐκεῖνος σχηματιζόμενος, πέμψας πρέσβεις τὴν αἰτίαν ἐπυνθάνετο, καὶ ἠξίου ἐκεῖθεν ἐπαναστεῦσαι τὸν βασιλέα· ὁ δὲ, ἐπεγγελῶν ἔλεγε, θαυμάζειν ὅτι τὸν μέχρι Δορυλέου τούτου δρόμον ἠγνόησεν ὁ σουλτάνος· Ἐπεὶ δὲ καὶ τὴν πόλιν ἀνοικοδομεῖν ἤρξατο, νωτοφορεῖν ἐπιβαλλόμενος, οὕτω τοὺς ἄλλους παρέθηξεν, ὡς τὸ λεγόμενον ἀπτέρῳ τάχει τὸ τεῖχος ἀνεγερθῆναι, καὶ χάρακα τούτῳ ἐπι-

γενέσθαι, καὶ ἀνορυχθῆναι φρέατα ἔσωθεν. Ἐν δεινῷ δὲ οἱ Πέρσαι τιθέμενοι τὴν τῶν Δορυλέου πεδίων στέρησιν, ἐν οἷς ἐνέμοντο τὰ τούτων αἰπόλια καὶ βουκόλια, ὅλαις ἡνίαις κατὰ Ῥωμαίων ἐφέροντο, καὶ τὰς ἐπὶ σιτισμὸν ἐξόδους αὐτῶν ἐπιτηροῦντες, ἐκώλυον, καὶ τὴν ξύλευσιν, καὶ ἀνῄρουν τοὺς ἐν χερσί. Βασιλεὺς δὲ ῥᾷον τοῦτο ἰάσατο, τακτὸν ὁρίσας καιρὸν τοῖς ἐπὶ συλλογὴν ἐξιοῦσι τῶν ἀναγκαίων, αὐτὸς προσημαίνων τῇ σάλπιγγι πρῶτος τοῦ χάρακος ἐξήρχετο, καὶ ἡγεῖτο τῆς ὁδοῦ, οὔκουν οὐδὲ πρὸς βραχὺ τούτων διϊστάμενος, ἐνίοτε πρὸς βαθεῖαν ἑσπέραν ὑπέστρεφε. Πέρσαις δὲ ἔμελλε μὲν καὶ πολέμων, παρεδίδοσαν δὲ καὶ πυρὶ τοὺς καρποὺς καὶ τὰς οἰκίας ἔκαιον, ὅπως μὴ ἔχοιεν Ῥωμαῖοι ὅθεν τραφήσονται. Ὅτε πρὸς ἑστίασιν τραπομένου τοῦ βασιλέως, μῆλόν τι Περσικὸν μαχαιρίῳ ἀπολεπίζοντος, ἐπιδρομή τις ἀγγέλλεται Περσῶν κατὰ τῶν τὰ βιώσιμα συλλεγόντων· καὶ ῥίψας τὴν ὀπώραν αὐτίκα καὶ ὁπλισάμενος καὶ τὸν ἵππον ἀναβὰς ἐξώρμησε· καὶ οἱ βάρβαροι κατὰ φάλαγγας ἵστασθαι σχηματιζόμενοι, τούτου ἐποφθέντος, τὴν τάξιν ἔλυον. Ἐπεὶ δὲ ἀνέκτισε τὸ Δορύλεον, καὶ τὰ εἰς φυλακὴν τούτου παντοίως ἀπηκριβώσατο, τῶν ἐκεῖ ἀπανίσταται· εἰς δὲ τὸ Σούβλεον ὡς εἶχε παραγενόμενος, ἀνήγειρέ τε κἀκεῖνο, καὶ φρουρᾶς μετέδωκε· καὶ τὰ λοιπὰ ὡς ἐδόκει ἀρίστως διαπραξάμενος εἰς τὴν βασιλίδα πόλιν ὑπέστρεψεν.

Ἀλλ' οὔπω χρόνος συχνὸς, καὶ ἀλλήλοις ἐνεκάλουν, βασιλεὺς μὲν, τὸ πρὸς τὸν εὐεργέτην ἀχάριστον, καὶ τὸ ἀμνῆμον τῶν εὐεργεσιῶν, καὶ τὴν εἰς τὸ τῶν ὁμοφύλων ἄρχειν σύναρσιν· ὁ δὲ σουλτάνος, τὸ φιλίας εὐκόλως ἀφίστασθαι, καὶ συγχέειν τὰς ὑπὲρ εἰρήνης τεθείσας συνθήκας, καὶ τὸ πλεῖστα μὲν ὑπισχνεῖσθαι, ὀλίγα δὲ χορηγεῖν. Διά ταῦτα τοίνυν τάς τε οὔσας συνεκρότει δυνάμεις ὁ βασιλεὺς, καὶ ἄλλας συνέταττε, καὶ ξενικὸν οὐκ ὀλίγον ἐστρατολόγει, καὶ τοῦτο ἐκ τοῦ γένους μάλιστα τῶν Λατίνων καὶ τῶν παρὰ τὸν Ἴστρον Σκυθῶν· καὶ δὴ

ἐς μυριάδας τὸ οἰκεῖον ἀριθμήσας στράτευμα, ὡς ἀφανίσων ἠπείγετο τὸ Περσικόν, καὶ αὐτοῖς τείχεσι τὸ Ἰκόνιον ἀναρπάσων, καὶ τὸν σουλτάνον ληψόμενος. Ἀμέλει καὶ τὰ πρὸς τὴν ἔξοδον ἑτοιμασάμενος, εἴσεισι τὸ μέγα τῆς τοῦ θεοῦ Σοφίας τέμενος, καὶ τὸ θεῖον ἐπικαλεῖται συνέριθον, καὶ τὴν νίκην αἰτεῖται μὲν, οὐ δέχεται, κρίμασιν οἷς οἶδεν οὗ τὰ κρίματα ἄβυσσος. Ἀπάρας οὖν τῆς βασιλίδος τῶν πόλεων, Φρυγίαν τε καὶ Λαοδίκειαν διελθὼν |, ἀφικνεῖται εἰς Χώνας, πρότερον Κολασσὰς καλουμένην πόλιν, καὶ τὸν ἐκεῖ ἀρχαγγελικὸν ναὸν εἰσελθὼν, ἐκεῖθεν εἰς Λάμπην ἵκετο καὶ πόλιν Κελαινὰς, ἔνθα αἱ τοῦ Μαιάνδρου εἰσὶν ἀρχαὶ, καὶ ὁ Μαρσύας ποταμὸς ἐκβάλλων εἰς Μαίανδρον· κἀκεῖθεν εἰς τὸ Χῶμα ἐλθὼν, τῷ Μυριοκεφάλῳ ἐφίσταται· ἀεὶ δὲ σὺν κόσμῳ καὶ τάξει ὁ βασιλεὺς τοὺς σταθμοὺς ἐτίθετο, βάλλων χάρακας, καὶ τὰς ἀπάρσεις σὺν λόγῳ ποιούμενος, καὶ μεθόδοις στρατηγικαῖς χρώμενος, εἰ καὶ τὴν πορείαν σχολαίως ἤνυε, διὰ τὰ τὰς μηχανὰς ἀνέχοντα, καὶ τοὺς ἐπὶ τούτοις τεταγμένους, ὄντας πολλούς. Ἀλλὰ καὶ οἱ Πέρσαι παραφαινόμενοι, δι' ἀκροβολισμῶν ἐπέκειντο, καὶ τὴν πόαν ἔκειρον τὴν ἐν τῇ ὁδῷ, ὡς μὴ εἶναι τοῖς Ῥωμαίων ἵπποις εἰς βρῶσιν, καὶ τὰ ὕδατα ἠχρείουν ἵνα μὴ καθαρῷ ὕδατι ἔχωσι χρᾶσθαι Ῥωμαῖοι, οἵ καὶ κοιλιακῷ νοσήματι συνεχόμενοι ἔπασχον ἅπαν τὸ στράτευμα. Ἐπὶ τούτοις ἐμέλησε μὲν τῷ σουλτάνῳ καὶ τοῦ πολέμου, καὶ πέμψας συνήθροισε συμμαχικὸν ἀπὸ τῆς Μέσης τῶν ποταμῶν καὶ τῶν ἄλλων ὁμογενῶν βαρβάρων· ἔστειλε δὲ καὶ πρέσβεις εἰς βασιλέα τὰς πρὸς εἰρήνην συνθήκας αἰτῶν, καὶ τῶν βουλητέων αὐτῷ ὑπισχνούμενος τὴν ἐκπλήρωσιν. Πάντες οὖν ὅσοι τὰ τοῦ πολέμου ἐγίνωσκον, καὶ μάλιστα τοῦ Περσικοῦ, ἐλιπάρουν τὸν βασιλέα ἁρπάσαι τὸν καιρὸν, καὶ δέξασθαι τὴν πρεσβείαν, ἀφορῶντα πρὸς τὸ μέγεθος τοῦ ἀγῶνος καὶ τὰς δυσχωρίας τοῦ τόπου καὶ τὰ μὴ ῥᾳδίως βάσιμα, ὧν οἱ ἀντίπαλοι προλοχήσουσιν, ὑποβλεπό-

μενον δὲ καὶ τὴν τῶν Τούρκων δύναμιν, ἀλλὰ μηδὲ τὴν νόσον ἥ πιέζει τὸ στράτευμα παρατρέχοντα. Ὁ δὲ τοῖς παρὰ τῶν γεραιτέρων λεγομένοις μηδόλως προσχὼν, τὴν δ' ἀκοὴν ὅλην ἀναπετάσας τοῖς ἐκ τοῦ γένους καὶ νεάζουσι καὶ μηδ' ὅτι ἐστὶν ὁ πόλεμος εἰδόσι, τοὺς πρέσβεις ἀπράκτους ἀπέπεμψεν. Ὁ δὲ σουλτάνος οὐκ ἀνῆκεν αὖθις τὰ πρὸς εἰρήνην ἐπιζητῶν· ἐπεὶ δὲ ἑώρα μὴ προχωρούσας τὰς συμβιβάσεις, ἀλλὰ καὶ τὸν βασιλέα κατὰ τὸ Ἰκόνιον ἀποκριθῆναι τούτῳ μεγαλαυχοῦντα, προκαταλαμβάνει τὰς δυσχωρίας, αἳ κλεισοῦρα τοῦ Τζιβρίτζη κατονομάζονται, ἃς ἔμελλον ἀπὸ τοῦ Μυριοκεφάλου παριέναι Ῥωμαῖοι, κἀκεῖσε τὰς οἰκείας ἐγκρύπτει φάλαγγας ὡς ἐπιπέσωσι διερχομένοις Ῥωμαίοις. Ἔστι δὲ ὁ τόπος οὗτος ἐπιμήκης αὐλὼν, ἔχων ὀρέων ὑπερβολὰς, κατὰ μὲν τὸ βόρειον μέρος ὑποκαταβαίνων εἰς γήλοφα καὶ πρὸς φάλαγγας κοιλαινόμενος, κατὰ δὲ τὸ ἑῷον ἀκροτόμους ἔχων πέτρας καὶ εἰς κρημνώδεις ἀναβάσεις καὶ τραχείας ἀποτεινόμενος. Ἐπὶ τοιαύτης οὖν μέλλων ἐλαύνειν ὁδοῦ, οὐδέν τι τῷ στρατῷ συνοῖσον προεμηθεύσατο· οὔτε γὰρ τὸ πολὺ τῶν σκευοφόρων ἀπέπεμψεν, οὔτε τὰς ἁμάξας αἳ τὰς τοιχομάχους ἔφερον μηχανὰς, οὔτε μὴν σὺν εὐζώνῳ τάγματι ἀπεπειράσατο πρότερον τοὺς Πέρσας ἀπώσασθαι ἐκ τῶν δυσβάτων διόδων, καὶ λειᾶναι τῷ στρατῷ τὴν διάβασιν, ἀλλ' ὡς ἐπὶ πεδινῶν τὴν πορείαν ποιούμενος, οὕτω κἀπὶ τῆς δυσβάτου χαράδρας ὁδεύειν προέθετο, καὶ ταῦτα προακηκοὼς, καὶ ὀφθαλμοῖς δὲ βλέπων τὰ ἀκουσθέντα, ὡς οἱ βάρβαροι τὰς ἀκρωρείας καταλαβόντες ὁπλίζονται πρὸς ἐπίθεσιν. Ἦγεν οὖν οὕτω τὰς φάλαγγας ὁ βασιλεὺς, ἦν δὲ τότε μὴν ὁ σεπτέμβριος· προηγοῦντο δὲ τοῦ στρατοῦ μετὰ τῶν οἰκείων τάξεων οἱ δύο υἱοὶ τοῦ Ἀγγέλου Κωνσταντίνου, ὅ τε Ἰωάννης καὶ ὁ Ἀνδρόνικος, ὁ Μακροδούκας Κωνσταντῖνος, καὶ ὁ Λαπαρδᾶς Ἀνδρόνικος· μετὰ δὲ τούτους τὸ δεξιὸν ὑπεῖχε κέρας ὁ τοῦ βασιλέως γυναικάδελφος Βαλδουΐ-

νος, τὸ δὲ ἀριστερὸν ὁ Μαυροζώμης Θεόδωρος· ἐπὶ τούτοις εἵποντο τὰ σκευοφόρα καὶ τὸ οἰκετικὸν τοῦ στρατεύματος, καὶ αἱ φέρουσαι τὰς ἑλεπόλεις ἅμαξαι· μετὰ δὲ ταῦτα | ὁ βασιλεὺς αὐτὸς ὥδευε καὶ ὅσον ἐπίλεκτον, μεθ' οὓς ὀπισθοφύλαξ ὢν Ἀνδρόνικος ὁ Κοντοστέφανος. Ἐπεὶ δὲ καὶ ἥψαντο τῶν δυσβάτων, τὰ μὲν περὶ τοὺς υἱοὺς τοῦ Ἀγγέλου καὶ τὸν Μακροδούκαν καὶ τὸν Λαπαρδᾶν τάγματα διῆλθον κακῶν ἀπείρατα· αἱ γὰρ πεζικαὶ δυνάμεις προπορευόμεναι διεσόβουν τοὺς βαρβάρους ἐκ τῶν γηλόφων· τάχα δ' ἂν καὶ τὰ ἐφεπόμενα τούτοις στρατεύματα παρῆλθοσαν ἀβλαβῶς, εἴ περ συνεφράττοντο καὶ διὰ τῶν τοξοτῶν ἀνέκοπτον τὴν ὁρμὴν τῶν ἐπικειμένων Περσῶν· ἀλλ' αὐτοί τε τοῦ συνασπισμοῦ ἠμέλησαν, καὶ οἱ Πέρσαι πλείονες ἐπεισπεσόντες ἀπὸ τῶν ὑψηλῶν καὶ πρὸς τὰ ταπεινὰ τῶν ὀρῶν ὑποκαταβάντες, διακόπτουσι τὰς τάξεις καὶ τρέπονται τοὺς περὶ Βαλδουΐνον, καὶ πολλοὺς μὲν τιτρώσκουσιν, οὐκ ὀλίγους δὲ ἀναιροῦσιν· ἔνθα δὴ ὁ Βαλδουΐνος πάντοθεν πιεζόμενος, ἀναλαβὼν ἱππέας τινὰς εἰς τὰς φάλαγγας ἱππάζεται τῶν Περσῶν· κυκλωθεὶς δὲ ὑπὸ τῶν πολεμίων, αὐτός τε κατασφάττεται, καὶ οἱ σὺν αὐτῷ πίπτουσιν ἅπαντες, ἔργα χειρὸς γενναίας ἐπιδειξάμενοι. Ἐκ δὲ τούτου ἐπαρθέντες οἱ βάρβαροι, ἄπορον τὴν ὁδὸν Ῥωμαίοις ἐποίησαν, καὶ πάντῃ ἀπεῖργον τὴν πάροδον. Οἱ δὲ Ῥωμαῖοι, οἷα ἐν χώρῳ συγκλεισθέντες στενῷ, καὶ ἀλλήλοις συμπίπτοντες, οὐ μόνον οὐκ εἶχον δρᾶσαι τι τοὺς πολεμίους, ἀλλὰ καὶ τοῖς ὄπισθεν ἐρχομένοις οἱ ἔμπροσθεν προσιστάμενοι ἀπράκτους κἀκείνους ἐποίουν, καὶ οὐδεὶς ἠδύνατο τούτων ἀμύνεσθαι, ὅθεν καὶ ῥᾷον ὑπὸ τῶν ἐπικειμένων αὐτοῖς ἔθνησκον· αἱ γὰρ ἅμαξαι κατὰ μέσον ἑλκόμεναι, ὑποχωρῆσαι μὲν οὐδαμῶς παρεχώρουν τὰς προηγουμένας τάξεις καὶ μετακινηθῆναι πρὸς τὸ χρήσιμον τοῖς μετὰ τοῦ αὐτοκράτορος στρατεύμασιν, ὥσπερ ἀντίφραγμα γινόμεναι τὴν εἰς τὰ πρόσω πορείαν ἀπετείχιζον· ἔπιπτε τοί-

νυν βοῦς ἐκ τοξεύματος Περσικοῦ, καὶ παρ' αὐτῷ βοώτης καὶ ἵππος καὶ ἀναβάτης συγκατεβέβληντο· αἱ φάραγγες τῶν ὀρέων μεσταὶ σωμάτων τεθνηκότων ἐφαίνοντο, τὰ ἄλση τῶν πεσόντων πεπλήρωτο· αἱμάτων ῥύακες χεόμεναι ἐκελάρυζον· αἷμα συνεφύρετο αἵματι, τῷ τῶν ὑποζυγίων, τὸ ἀνθρώπινον. Οὕτως ἦν δεινὰ τὰ ἐκεῖ καὶ πᾶσαν ὑπερβαίνοντα θρηνῳδίαν. Ὡς οὖν οὔτε προοδεύειν ἦν, καὶ τὸ ὑποστρέφειν ἀδύνατον, (οἱ γὰρ Πέρσαι καὶ κατὰ νώτου ἐγένοντο, καὶ τὰ πρόσω ἐποίουν ἄβατα) ὅσα καὶ προβάτων ἀγέλαι περὶ τὰς δυσχωρίας ἐκείνας ἐφθείροντο. Ἦν δὲ συμφορᾶς ἐπεισόδιον τοῖς Ῥωμαίοις καὶ ἡ τοῦ Βατάτζου Ἀνδρονίκου κεφαλὴ περιπαρεῖσα δόρατι καὶ ὑπ' ὄψιν ἀγομένη αὐτοῖς· ἦν δὲ οὗτος ἀδελφιδοῦς μὲν τῷ βασιλεῖ Μανουὴλ, ἐστάλη δὲ μετὰ στρατοῦ, ὅσος ἐκ Παφλαγόνων καὶ τῆς κατὰ Πόντον Ἡρακλείας ἐστρατολόγητο, τοῖς κατ' Ἀμάσειαν Τούρκοις ἀντιταξόμενος.

Τοιαύταις ἀγγελίαις ὁ βασιλεὺς καὶ θεάμασι τὸν λογισμὸν συγχυθεὶς, ἀθυμίᾳ συνείχετο, κωφοῖς ὃ λέγεται δάκρυσι τὸ πένθος ἀφοσιούμενος· τὰ δέ γε προπορευθέντα τῶν Ῥωμαίων τάγματα ἀπαθῶς, χάρακά που βαλόντα ἐνηυλίσατο γηλόφου λαβόμενα εἰς ἀσφάλειαν.

Οἱ δὲ Πέρσαι τὸ πᾶν εἰσέφερον τῆς σπουδῆς τὰ περὶ τὸν βασιλέα καταβαλεῖν στρατεύματα, ὡς εἰ ταῦτα κατατροπωθείη, καὶ τὰ λοιπὰ καταλύσειν οἰόμενοι· καὶ βασιλεὺς μὲν πολλάκις ἀπεπειράσατο τοὺς βαρβάρους μεταστῆσαι τῶν ἐκεῖσε δυσχωριῶν, οὐχ ὁρῶν δὲ τὰ κατὰ σκοπὸν προβαίνοντα, καὶ ὡς ἀπολεῖται μένων κατὰ χώραν, τῶν Περσῶν ἐπικρατεστέρων γινομένων ἀεὶ, εἰσβάλλει πρὸς τοὺς ἐνώπιον αὐτῷ πολεμίους μετ' ὀλίγων τῶν μετ' αὐτοῦ, καὶ τοῖς λοιποῖς δὲ ὑποτίθησι σώζειν ἕκαστον ἑαυτὸν καθὼς δύναται· μηδὲν γὰρ χρηστὸν ἐκ τῶν ἐν ὄψει κατανοεῖν. Καὶ βασιλεὺς μὲν ὡς ἐκ παγῖδος τῶν τότε αὐτὸν κυκλωσάντων βαρβάρων ἐξέφυγε μετὰ τραύματα πολλὰ

καὶ μώλωπας συνεχεῖς οὓς ἀπὸ ξιφῶν ἐπλήγη καὶ κορυνῶν σιδηρέων, ἐπεὶ καὶ οὕτω δι' ὅλου τοῦ σώματος τετραυμάτιστο |, φ. ὡς τὸν θυρεὸν αὐτοῦ περίπου τοὺς τριάκοντα ἔχειν ἐμπεπηγότας ὀϊστούς, αὐτὸν δὲ μηδὲ ἀνορθῶσαι ὅλως δύνασθαι περιτραπεῖσαν τὴν κόρυθα. Πλὴν καὶ οὕτω παρὰ δόξαν τὰς τῶν βαρβάρων διέδρα λαβὰς ὑπὸ θεοῦ φυλαχθείς. Τὰ δ' ἄλλα Ρωμαϊκὰ τάγματα χείρονα ἔπασχον, δόρασι διαπειρόμενα ἐγγύθεν καὶ βέλεσι τιτρωσκόμενα, καὶ ὑπ' ἀλλήλων συμπατούμενα καὶ διαφθειρόμενα· ἦσαν δὲ οἳ ταύτην ἀπαθεῖς παρῆλθον τὴν φάραγγα, τῆς δὲ μετ' ἐκείνους ἀψάμενοι, ὑπὸ τῶν πολεμίων ἀπώλοντο· εἰς γὰρ κοιλάδας ἑπτὰ ἡ πάροδος ἐκείνη κατεμερίζετο, εὐρυνομένη βραχὺ καὶ πάλιν καταντῶσα πρὸς τὸ στενώτερον, καὶ ἦσαν πᾶσαι παρὰ τῶν Τούρκων προκαταλειφθεῖσαι καὶ τηρούμεναι, καὶ ὁ λοιπὸς δὲ ἅπας χῶρος τῶν πολεμίων πεπλήρωτο. Τότε καὶ ἀνέμου πνεύσαντος καὶ κονιορτὸν ἐκ τῆς ἐκεῖσε ψαμμώδους γῆς ἀνεγείραντος, ἀμφότερα συμπεσεῖν ἐγένετο τὰ στρατεύματα, καὶ ὡς ἐν νυκτομαχίᾳ προσφερόμενα ἀλλήλοις, τοῖς ἐχθροῖς τοὺς φίλους ἐπικατέσφαττον, οὐ γὰρ ἦν ἐξ ὁμοφύλου διακρίνειν ἀλλόφυλον, ὡς τὰς τάφρους ἕνα τάφον γενέσθαι, καὶ σκήνωμα κοινὸν Ρωμαίων τε καὶ βαρβάρων, καὶ ἵππων καὶ βοῶν καὶ ὄνων ἀχθοφορούντων. Ἔπεσαν οὖν ἀριθμῷ πλείους Ρωμαῖοι, καὶ πολλοὶ τῶν ἐκ τοῦ γένους τῷ βασιλεῖ· ὡς δὲ ἡ κόνις ἐλώφησεν, ὠπτάνοντό τινες, φεῦ τοῦ ἀπευκταίου πράγματος καὶ ὁράματος, ἕως ἰξύος καὶ τραχήλου κεκαλυμμένοι τοῖς πτώμασι, καὶ χεῖρας ἱκέτιδας ὤρεγον, καὶ σχήμασιν ἐλεεινοῖς καὶ γοεραῖς φωναῖς προσεκαλοῦντο τοὺς παριόντας εἰς ἀρωγήν, οὐδένα δὲ εἶχον τὸν ἀμύνειν δυνάμενον, ἢ τὸν σώζοντα. Ὁ δὲ Μανουὴλ σκιὰν ὑπελθὼν ἀχλάδος, ἀνελάμβανεν ἑαυτὸν καὶ κακεῖσε συνέλεγε τὴν ἰσχύν, μὴ ἔχων ὑπασπιστήν, μὴ δορυφόρον, μὴ σωματοφύλακα, θεὸς δὲ ἦν αὐτῷ βοηθός τε καὶ σύμμαχος· ἰδὼν δέ τις αὐτὸν ἐκ

τῶν ἀφανῶν ἐφίσταται προθύμως καὶ διακονεῖν αἱρεῖται τὰ δυνατά· ὅθεν καὶ τὴν κυνέην τῇ ἐκείνου ἐφήρμοσε κεφαλῇ. Τότε καὶ Πέρσης τις ἐπιδραμὼν ἐφεῖλκε τοῦτον τοῦ χαλινοῦ κατὰ πολλὴν τοῦ κωλύσοντος ἐρημίαν· ὁ δὲ πλήξας αὐτὸν κατὰ κεφαλῆς τοῦ δόρατος τμήματι ὃ εἶχεν ἔτι ἐν ταῖς χεροῖν εἰς γῆν ἔβαλε. Μετ' οὐ πολὺ δὲ καὶ ἕτεροι Πέρσαι ζωγρίαν ἑλεῖν ὑπονοοῦντες ἐπ' αὐτὸν ἔδραμον, ὁ δὲ καὶ τούτους ῥᾳδίως ἀπώσατο· τὸ γὰρ τοῦ συνεστῶτος ἱππότου δόρυ ἀγκοινησάμενος διαπείρει ἕνα τῶν ἐπιόντων εἰς θάνατον· αὐτὸς δὲ ὁ ἱππότης τὸ ξίφος σπασάμενος, ἀποκαρατομεῖ ἕτερον. Συναλισθέντων δὲ περὶ τὸν βασιλέα ἑτέρων ὁπλοφόρων δέκα Ῥωμαίων, ἐκεῖθεν μετέβαινε, συμμῖξαι θέλων τοῖς προηγησαμένοις τάγμασιν· ἀλλὰ μικρόν τι προβὰς, ὑπό τε τῶν Τούρκων τῆς πρόσω πορείας εἴργεται, καὶ τῶν πτωμάτων ἃ σωρηδὸν κατὰ τὰς ὁδοὺς ἔκειντο· μόλις οὖν τὰ ἐκεῖ δυσπόρευτα διελθὼν, ἐνιαχοῦ τῶν θνησιμαίων ἄνωθεν ἱππαζόμενος, ἀθροίζει καὶ ἄλλο στίφος Ῥωμαϊκὸν, κατὰ θέαν αὐτοῦ συνδραμὸν, ὅτε καὶ ἀναβλέψας τοῖς ὀφθαλμοῖς ὁρᾷ τὸν ἐπ' ἀνεψιᾷ γαμβρὸν Ἰωάννην τὸν Καντακουζηνὸν, ἕνα πρὸς πλείονας ἁμιλλώμενον, μετὰ βραχὺ δὲ πίπτοντά τε καὶ σκυλευόμενον· οἱ δὲ τοῦτον ἀπεκτονότες, ὡς εἶδον παριόντα τὸν αὐτοκράτορα, ὡς εἰς θήραμα μέγα ἦλθον ἐπ' αὐτὸν, οἰόμενοι ἢ αἱρήσειν, ἢ ἀναιρήσειν τοῦτον αὐτίκα· ἦσαν δὲ πάντες Ἀρραβίοις ἔποχοι ἵπποις, κατὰ θέαν τῶν πολλῶν ὑπερφέροντες, ὅπλοις λαμπροτάτοις κοσμούμενοι, καὶ τοὺς ἵππους ἐπαυχενίοις ἀγλαΐσμασιν ἐκ τριχῶν ἱππείων παρηρτημένοις, [ἠχητικοὺς ἐχουσῶν κώδωνας κεκτημένοι πρὸς ἔκπληξιν. Βασιλεὺς δὲ τῶν περὶ αὐτὸν ἀναστήσας τὰ φρονήματα, εὐπετῶς τὴν ἔφοδον αὐτῶν ἀποκρούεται. Ἀεὶ δὲ κατὰ βραχὺ προβαίνων τοῖς ἔμπροσθεν, καὶ νῦν μὲν νόμῳ πολέμου, νῦν δὲ ἀναιμωτὶ παρατρέχων τοὺς Πέρσας συλλαβεῖν αὐτὸν πειρωμένους, τρισάσμενος ἐφίσταται τοῖς προωδευκόσι τάγμασι· οὔπω

δὲ τούτοις συμμίξας, ἀλλ' ἐκεῖσε ἔτι τῶν ἔνθα καὶ παραῤῥέειν ὁ λόγος ποταμὸν εἴρηκε, δίψῃ συνέχεται καὶ αἰτεῖται ὕδωρ· σπάσας δὲ τούτου ὅσον ἂν τὴν αὐτοῦ ἐδίανεν ὑπερῴην ὅ λέγεται, τὸ λοιπὸν ἐξέχεε, πολυπραγμονήσας δὲ τὸ ποτὸν, καὶ αἵματι μεμιγμένον εὑρὼν, ᾤμωξε καὶ εἶπε, δυστυχῶς ἀπογεύσασθαι τούτου τοῦ αἵματος· παρεστὼς δέ τις ἀνὴρ, ἰταμὸς καὶ θρασὺς, ἀνερυθριάστως ἔφησε, φανεὶς καὶ τοῦ ποτὲ καιροῦ δυσκολώτερος, «Ἄπαγε, βασιλεῦ, οὐχὶ ταῦτα, οὐχί· οὐ γὰρ νῦν πρώτως, ἀλλὰ πολλάκις ὁ τῶν χριστιανικῶν αἱμάτων κρατὴρ ἐκεράσθη σοι εἰς κραιπάλην, καλαμωμένῳ φορολογίαις ταῖς ὑπὲρ δύναμιν τὸ ὑπήκοον.» Οὕτω δ' ἱλαρῶς τὸν κακήγορον ἐκεῖνον ὑπήνεγκεν ἄνθρωπον, ὡς εἰ μὴ ἦν ἀκούων, μηδ' ἔχων ἐλεγμοὺς ἐν τῷ στόματι. Ὁρῶν δὲ καὶ τὰς χρυσοῦ μυριάδας καὶ τὰ ἀργύρια ὑπὸ Περσῶν διαρπαζόμενα, παρώτρυνε τοὺς Ῥωμαίους ταῦτα λαβεῖν, ὅτι καὶ δικαιότερον Περσῶν ταῦτα κτήσασθαι· συστὰς δὲ αὖθις ὁ λῆρος ἐκεῖνος διελοιδορεῖτο ἀναιδῶς τῷ βασιλεῖ ταῦτα κελεύοντι, «ἐχρῆν ἑκουσίως καὶ πρότερον διδόναι ταῦτα Ῥωμαίοις, οὐχὶ νῦν μετὰ αἵματος· εἰ δὲ βρακίον φορεῖ, ἐπανασωσάτω ταῦτα οὗτος Ῥωμαίοις.» Ἐσιώπα δὲ κἀπὶ τούτοις, τὴν τοῦ ὑβριστοῦ φέρων προπέτειαν, ὡς Δαυῒδ πάλαι Σεμεεὶ τὴν αὐθάδειαν.

Ὀψὲ δὲ καὶ ὁ Κοντοστέφανος ἀβλαβὴς παρῆν, ὃς ὠπισθοφυλάκει, καὶ ἕτεροι τῶν δυναμένων μεγάλα παρὰ τῷ Μανουὴλ ἀπλῆγες συνήλθοσαν. Ἐπεὶ δὲ νὺξ ἐπῆλθε καὶ τὸν πόλεμον ἔπαυσεν, ἀδημονῶν ἦν ἅπας, καὶ οὐ τοῖς ζῶσι συνέταττεν ἑαυτὸν, ὅτε τὸν χάρακα περιτρέχοντες οἱ βάρβαροι φωναῖς ἀνεκάλουν τοὺς ὁμοεθνεῖς, οἳ πάλαι πρὸς Ῥωμαίους προσέφυγον καὶ τὴν ὀρθόδοξον πίστιν ἐδέξαντο, παραινοῦντες ἐξελθεῖν πρὸς αὐτοὺς, ὡς ἅμα φωτὶ ἀπολουμένων τῶν ἐν τῷ χάρακι. Διενυκτέρευον οὖν Ῥωμαῖοι συνιόντες, φόβον ἔχοντες μέγιστον καὶ τὸν περὶ ψυχῆς τρέχοντες· καὶ ὁ κρατῶν αὐτὸς ἀγενεστάτας

βουλὰς ὤδινεν· ὡς δ' ἐξέφερε, λαθραίαν φυγὴν εἰσηγούμενος καὶ τῶν τοσούτων ψυχῶν εἰς αἰχμαλωσίαν καὶ θάνατον ἔκδοσιν, ἐκπλήττει τοὺς ἀκροωμένους, καὶ πλέον τὸν Κοντοστέφανον, οἳ καὶ βαρέως ἤνεγκαν τὰ λεγόμενα· οὐ μόνον δὲ οἱ πρὸς βουλὴν συνελθόντες, ἀλλὰ καί τις ἔξωθεν ἑστὼς τῆς σκηνῆς στρατιώτης ὡς τὰ περὶ φυγῆς ἤκουσε, μέγα φωνήσας εἶπε: φεῦ, ὁποῖα ὁ βασιλεὺς Ρωμαίων βουλεύεται! Καὶ πρὸς αὐτὸν στρέψας τὸν λόγον: οὐχὶ σὺ, φησὶν, ἡμᾶς ὧδε ἤγαγες; καὶ νῦν ὅπως καταπροδίδως ὡς πρόβατα σφαγῆς τοῖς ἐχθροῖς! Τούτοις παθὼν τὴν ψυχὴν, ἑτέραν ἐτράπετο.

Ἀλλ' ὁ σπέρμα ἐγκαταλείπων πάλαι τῷ Ἰσραὴλ, ἵνα μὴ ὡς Σόδομα γεγονὼς καὶ ὡς Γόμορρα τέλεον ἀφανισθείη, ὁ παιδεύων καὶ πάλιν ἰώμενος, ὁ μὴ τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων, οὗτος καὶ τότε τὸ ἅγιον ἔθνος οἰκτείρας, κάμπτει τὴν τοῦ σουλτάνου ψυχὴν εἰς ἔλεον· παρασυρεὶς γὰρ οὗτος ταῖς τῶν μεγιστάνων αὐτοῦ εἰσηγήσεσιν, οἵπερ κατὰ τὸν τῆς εἰρήνης καιρὸν πολλὰ ἐκ βασιλέως ἐλάμβανον χρήματα |, πρεσβείαν πέμψας, εἰρηνικὰ διαλέγεται, καὶ τὰς συνθήκας ὡς πρώην ἐπιζητεῖ. Οἱ δὲ Πέρσαι μήπω τὰ κατὰ σκοπὸν τῷ σουλτάνῳ γνωρίσαντες, ἐκ πρωΐας κυκλωσόμενοι Ρωμαίους συνέτρεχον, καὶ τὸν χάρακα περιτρέχοντες τοὺς ἐντὸς κατετόξευον. Βασιλεὺς οὖν ἐγκελεύεται Ἰωάννῃ τῷ τοῦ Ἀγγέλου Κωνσταντίνου υἱῷ μετὰ τοῦ συνόντος αὐτῷ τάγματος τοῖς Πέρσαις προσβαλεῖν· ὁ δὲ πειρᾶται μὲν ἀναστεῖλαι, μηδὲν δέ τι δράσας γενναῖον, παλίνστροφος γίνεται. Καὶ ὁ Μακροδούκας δὲ Κωνσταντῖνος τὴν ὑπ' αὐτὸν ἀγαγὼν στρατιὰν ἐκ τῶν ἑῴων οὖσαν ταγμάτων, μικρόν τι φανεὶς ἀπεχώρησεν. Ὁ δὲ σουλτάνος πέμπει πρὸς τὸν βασιλέα Γαβρᾶν τὸν τὰ πρῶτα παρ' αὐτῷ τετιμημένον καὶ ᾠκειωμένον αὐτῷ· τὸ δ' ἀπὸ τοῦδε οἱ Τοῦρκοι ἐκ παραγγελίας τοῦ προσβάλλειν Ρωμαίοις ἀπέστησαν, καὶ Ρωμαῖοι τοῦ ἐπεξέρχεσθαι. Ὀφθεὶς δὲ τῷ βα-

σιλεῖ ὁ Γαβρᾶς, βαθεῖαν καὶ βαρβαρικὴν ἀπονέμει προσκύνησιν, καὶ ἅμα ἵππον προσάγει δῶρον ἐκ τοῦ σουλτάνου Νισαῖον ἀργυροχάλινον, καὶ περιμήκη ἀμφήκη μάχαιραν, καὶ λόγον κινεῖ περὶ σπονδῶν, πρότερον ἀπαλοῖς λόγοις καταστείλας τὴν ἐπὶ τοῖς συμβᾶσι λύπην, οἷς πρὸς τὸ οὖς ὑπεψιθύρισε ῥήμασι. Θεασάμενος δὲ ὁ Γαβρᾶς ἣν ἐφόρει ἐπὶ τοῦ θώρακος βασιλεὺς στολὴν χολοβάφινον, Οὐκ ἀγαθὸν τὸ χρῆμα τοῦτο, φησὶ, βασιλεῦ, καὶ μάλιστα κατὰ πόλεμον, ἀλλὰ καὶ ἀντιπράττον ταῖς τύχαις. Ὁ δὲ βασιλεὺς μειδιάσας, τὴν ἐπὶ τοῦ θώρακος στολὴν ἀποδὺς, ἐκείνῳ δίδωσι, πορφύρεον ἔνδυμα διηνθισμένον χρυσῷ, τὸν ἵππον καὶ τὸ ξίφος δεξάμενος. Ἐγγράφους τε τίθεται τὰς σπονδὰς, καὶ τὴν χεῖρα ταύταις βραβεύει· ἦσαν δὲ τῷ γραμματίῳ καὶ ἄλλα ὅσα ὁ καιρὸς ἐδίδου, (1) μηδὲν ἀκριβολογούνος, ἀλλὰ [δὴ] καὶ τὸ καταστραφῆναι τὰ φρούρια, τὸ Δαρύλεον καὶ τὸ Σούβλεον.

Οὕτως οὖν πράξας αἱρεῖται δι ἄλλης ὁδοῦ πορευθῆναι, μὴ ἰδεῖν τοὺς πεσόντας βουλόμενος· οἱ δὲ τῆς ὁδοῦ ἡγεμόνες ἐπὶ τὴν αὐτὴν προῆγον ἵν' ὀφθαλμοῖς ἰδίοις ἴδοι τὰ ἐλεεινὰ ἐκεῖνα θεάματα· αἵ τε γὰρ φάραγγες εἰς ἰσόπεδον ἀνέβαινον, καὶ αἱ κοιλάδες εἰς βουνοὺς ἀνηγείροντο, καὶ τὰ ἄλση τοῖς πτώμασιν ἐκαλύπτοντο, ἅπας δὲ κείμενος ἀποσυρεὶς τὸ δέρμα τῆς κεφαλῆς, πολλοὶ δὲ καὶ περιτετμημένοι ὡρῶντο· ἐλέγετο δὲ τοὺς Πέρσας τοῦτο τεχνάσασθαι, ὡς δοκεῖν ἐξ ἑκατέρων τῶν στρατοπέδων τοὺς τεθνηκότας πεσεῖν. Οὐδεὶς οὖν ἡσυχῇ παρῆλθε τὸν χῶρον, ἀλλὰ πάντες μέγα ἀνέκλαυσαν, ἀνακαλούμενοι τοὺς ἑταίρους καὶ φίλους καὶ συγγενεῖς.

Λέγεται τὸν βασιλέα ἡνίκα κατὰ Περσῶν ἐκστρατεύειν προέθετο, ἰδεῖν καθ' ὕπνους ὡς τὴν στρατηγίδα νῆα ἐμβὰς, αὐ-

(1) Δι' ἐρυθρᾶς βαφῆς ἐν περιθεωρίῳ: « Καὶ ὁ τῶν μαγαριζόντων Πρόσφυρος θεὸς ΩΜΑ. »

τός τε καὶ πολλοὶ τῶν ἐπιτηδείων, τὴν Προποντίδα ἀνελέγετο· αἴφνης δὲ συμπεσεῖν τὰ ἐξ Εὐρώπης καὶ Ἀσίας ὄρη, ὡς ἀφανισθῆναι μὲν τὴν νῆα καὶ τῶν συμπλεόντων τοὺς πλείονας, αὐτὸν δὲ μόλις ἐκδοθῆναι τῇ χέρσῳ νηχόμενον. Καθ' ἣν δὲ ἡμέραν τῶν ἐπισφαλῶν ἐκείνων δυσχωριῶν ἐπέβαινε, προσελθὼν αὐτῷ τις Ῥωμαῖος, τοὐπίκλην Μαυρόπουλος, ἔφη, κατ' ὄναρ δόξαι τὸν τοῦ Κύρου ναὸν εἰσελθεῖν, καὶ ἐν τῷ ἱλεοῦσθαι τὴν εἰκόνα τῆς Θεομήτορος, φωνὴν ἐκεῖθεν ἐξηχουμένην ἀκοῦσαι λέγουσαν, ὡς ἀρτίως ἐν μεγάλοις κινδύνοις ὁ βασιλεύς· καὶ τίς ἀπέλθῃ αὐτῷ βοηθός; εἰρηκότος δέ τινος ὁ Γεώργιος, βραδὺς οὗτος εἰπεῖν· ἐπενεγκόντος δὲ, καὶ ἀπελθέτω Θεόδωρος, μηδὲ τοῦτον προσδέξασθαι· καὶ τέλος εἰπεῖν μετὰ ἄλγους, ὡς οὐδεὶς προφθάσει τὸ μέλλον κακόν.

Καὶ ταῦτα μὲν οὕτως. Μετὰ δὲ τὴν τῶν δυσβάτων τόπων διάβασιν ἐνέκειντο πάλιν οἱ Πέρσαι ἐκ τῶν ὄπισθεν, (ἐλέγετο δὲ ὅτι μετάμελος ἔσχε τὸν σουλτάνον τὸ ἐν χερσὶν ἐάσαντα θήραμα, καὶ δι' αὐτοῦ ἐνδοῦναι τοῖς οἰκείοις ὅσα καὶ πρὸ τῶν σπονδῶν ἤμελλον διαπράττεσθαι), οὐχ ὁμοῦ δὲ ἐπηκολούθουν [, ἀλλὰ κατὰ διαλείμματα· οἱ γὰρ πλεῖστοι τούτων καὶ κράτιστοι, τῷ τῶν σκύλων πλουτισμῷ γενόμενοι ἔμφορτοι, τῆς οἴκαδε φερούσης ἐφήψαντο· πλὴν καὶ οἱ παρεπόμενοι ὀλίγοι πολλοὺς διέφθειρον, καὶ μάλιστα τοὺς τραυματίας, καὶ ταῦτα τοῦ βασιλέως τοὺς πολεμικοὺς τῶν ἡγεμόνων οὐραγεῖν ἐπιτρέψαντος. Ὡς δὲ κατὰ τὰς Χώνας ἐγένοντο, χαρᾶς ἐνεπλήσθησαν ὡς οὐκέτι τοὺς πολεμίους ὀψόμενοι. Ἐμέλησε τῷ βασιλεῖ καὶ ἑκάστῳ ἀσθενοῦντι, στατῆρα δοθῆναι ἀργύρεον, νοσοκομίας ἐφόδιον πρόσκαιρον. Καταβὰς δὲ εἰς Φιλαδέλφειαν, ἡμέρας τινὰς ἐκεῖσε διέτριψεν, ἑαυτὸν ἀνακτώμενος· προεκπέμψας δ' ἀγγελιαφόρους τὰ συμβάντα τοῖς ἐν Κωνσταντινουπόλει ἐδήλωσεν. Ἀλλὰ καὶ τὸ Σούβλεον παριὼν, αὐτὸς καθαιρεῖ, κατὰ τὸ τοῦ σουλτάνου δοκοῦν, τὸ δὲ Δορύλεον οὐδαμοῦ.

῞Οθεν στείλας ὁ σουλτάνος πρεσβείαν, τῶν συνθηκῶν αὐτὸν ἀνεμίμνησκε, καὶ θαυμάζειν ἔλεγεν, ὅπως μὴ εἰς δεῦρο καθῄρηται τὸ Δορύλεον. Ὁ δὲ κατεδαφίσαι τὸ Δορύλεον οὐδ' ἄκροις ὠσὶ παρεδέχετο, τοῖς κατ' ἀνάγκην γινομένοις ὀλίγα λέγων προσέχειν τὸν νοῦν. Ὁ δέ γε Πέρσης εἴκοσι χιλιάδας πρὸς ταῖς τέσσαρσιν ἀπολέκτους τῆς στρατιᾶς αὐτοῦ ἀποδιελὼν, καὶ στρατηγὸν αὐτῶν τὸν Ἀτάπακον ἐπιστήσας, πέμπει τὰς ἄχρι θαλάττης πόλεις καὶ χώρας τῶν Ῥωμαίων πορθήσοντα, ἀποκομίσαι τε αὐτῷ ὕδωρ θαλάττιον, καὶ κώπην, καὶ ἄμμον. Ὁ δὲ τὰς Μαιανδρικὰς ἐπιὼν πόλεις, κακὸν ἅπαν ἔπραττε· παρεστήσατο δὲ καὶ τὰς Τράλεις τὴν πόλιν, τὴν Ἀντιόχειάν τε, τὰ Λοῦμά τε καὶ τὸν Πεντάχειρα, καὶ ἕτερα φρούρια ἑλὼν ἐσκύλευσε, καὶ παραθαλαττίους ἐλυμήνατο χώρας.

Βασιλεὺς δὲ ταῦτα ἐνωτισάμενος, ἄλλαις τε πλείσταις μεθόδοις ἐχρήσατο, καὶ τὸ μὴ ἐπὶ βυκάνοις καὶ σάλπιγξι τῆς σκηνῆς προϊέναι, οὐ χρεία λέγων τοιούτων ἄρτι, ἀλλὰ τόξων καὶ δοράτων. Καὶ αὐτὸς μὲν κατὰ τῶν πολεμίων ἀπελθεῖν οὐδαμῶς ἐδικαίωσε, στέλλει δὲ τὸν ἀνεψιὸν Ἰωάννην τὸν Βατάτζην, ἄνδρα δραστήριον, τὸν Δούκαν Κωνσταντῖνον, νεανίαν ἄρτι ὑπηνήτην, ἔτι δὲ καὶ τὸν Ἀσπιέτην Μιχαὴλ, πολλὰ παραινέσας αὐτοῖς σὺν εὐβουλίᾳ πράττειν τὸ πραχθησόμενον, πρὸ δὲ τούτων μὴ συμμίξαι τοῖς βαρβάροις, εἰ μὴ πείρᾳ γνοῖεν ὁπόσοι τὸ πλῆθος, καὶ ὡς νίκην κατ' αὐτῶν ἕξουσι μαχεσάμενοι. Ἀλλὰ Πέρσαι μὲν πέρας τῆς ἐφόδου τὴν θάλατταν θέμενοι, μετὰ λείας πλείστης ὑπέστρεψαν· οἱ δ' ἀμφὶ τὸν Βατάτζην ἀναλαβόντες τὰς δυνάμεις ὅσαις αὐτοὺς ὁ βασιλεὺς ἐφωδίασε, καὶ ὅσαι κατὰ πάροδον συνελέγησαν, ἤλαυνον εὐθὺ τοῦ Ὑελίου καὶ τοῦ Λιμόχειρος τῶν πολιχνίων, καθ' ἃ περὶ τῷ ποταμῷ Μαιάνδρῳ ἦν ποτε γέφυρα. Ἐπεὶ δὲ οἱ σκοποὶ, οὓς ὁ Βατάτζης κατέστησε, τὴν τῶν βαρβάρων ἐδήλωσαν ἀποχώρησιν, εἰς δύο μερίδας τὴν στρατιὰν, τὸ μὲν πλέον εἰς λόχους

καθίστησι κατὰ τὰς ὁδοὺς ἃς διέρχεσθαι ἔμελλον οἱ πολέμιοι, τὸ δὲ λοιπὸν εἰς τὴν κατὰ τὴν δηλωθεῖσαν ποτὲ γέφυραν τοῦ ποταμοῦ διάβασιν ἔθετο, καὶ περιμένειν τὴν τῶν Τούρκων περαίωσιν καὶ τότε γενναίως τούτοις προσυπαντᾶν. Οἱ μὲν οὖν ἄλλοι τῶν Τούρκων ὡς τοῦ διαβαίνειν τὸν ποταμὸν εἴχοντο, πρὸς τῶν Ρωμαίων βαλλόμενοι, εἰς τὸν ποταμὸν συνωθούμενοι ἀπεπνίγοντο, ὁ δέ γε Ἀτάπακας μετὰ τῶν περὶ αὐτὸν Ρωμαίοις συμπλέκεται, κακῶσαι τούτους βουλόμενος καὶ τοῖς οἰκείοις ἀνέτως δοῦναι διαπερᾶν· ἐφ' ἱκανὸν μὲν οὖν οὗτος ἐμάχετο, χειρὸς γενναίας ἔργα δεικνύς, ὡς δὲ μάθοι καὶ κατὰ τὴν περαίαν Ρωμαίους τοὺς τῶν Περσῶν διαβαίνοντας ἀναιρεῖν, κατακλᾶται τὸ πρόθυμον, καὶ ἑαυτῷ τὴν σωτηρίαν ζητεῖ· ἔνθεν τοι καὶ ἀνωτέρω μεταχωρεῖ, πόρον ἀνερευνῶν· ὡς δὲ ἄπορος ἦν ὁ ποταμὸς πανταχόθεν, τὴν ἀσπίδα τῷ ὕδατι ὑποθείς, καὶ αὐτὸς ἐπικαθίσας αὐτῇ, τῇ μὲν λαιᾷ τὸν ἵππον κατέχων ἐμπλέοντα, τῇ δεξιᾷ δὲ τὴν σπάθην, καὶ διευθύνων τὴν ἀσπίδα ὡς νῆα, διέπλει τὸν ποταμόν· ἐς δὲ τὸ ἀντιπέραν ἤδη γενόμενος, εἴς τι γήλοφον ἄνεισιν ἑαυτὸν ἀνακηρύττων ὅστις ἐστί, τῶν Ἀλανῶν δέ τινος ἐπιδραμόντος, ἀναιρεῖται. Καὶ τότε ἀκόσμως ἕκαστος ἔφευγε τῶν Περσῶν, τοὺς δὲ πλείονας τούτων ὁ ποταμὸς ἐκάλυψεν, ὡς ἐκ τῶν τοσούτων χιλιάδων βραχεῖς λίαν διασωθῆναι.

Τοῦτο τὸ ἔργον εἴπερ ἄλλό τι ἀνέρρωσε μὲν τὰ Ρωμαίων, καθεῖλε δὲ τὰ Περσῶν. Πίπτει δὲ κατὰ τοῦτον τὸν πόλεμον ὁ Ἀσπιέτης· Πέρσης γὰρ ἀντικαστὰς αὐτῷ, καὶ οὐκ ἔχων κατὰ τοῦ σώματος πλήττειν, (τὰ γὰρ ὅπλα ἦν αὐτῷ ἰσχυρὰ), τῷ ἵππῳ ᾧ ἦν ἔποχος βάλλει κατὰ τῶν προσώπων, καὶ ὁ ἵππος καιρίαν πληγείς, ὀπίσω τε φέρεται, καὶ τοὺς πόδας μετεωρίσας ἐπικαταβάλλει τὸν ἀναβάτην εἰς τὸν ποταμόν.

Τότε ὁ βασιλεὺς τὸ ἔργον ἀνύσαι βουλόμενος, ἔξεισι κατὰ τῶν ἐν Λακερίῳ καὶ Πανεσίῳ Περσῶν· πρὸ δὲ τοῦ τῶν χω-

ρῶν τούτων ἐντὸς γενέσθαι, στέλλει τὸν Λαοδικέα Κατίδην τὰ τῶν Τούρκων κατασκεψόμενον, καὶ τάχος ἀπαγγελοῦντα τὸ ὁραθέν· ὁ δὲ διασοβεῖ τοὺς Πέρσας, εἰς οὓς ἐξώρμα ὁ βασιλεὺς ὡς εἰς λείαν ἑτοίμην καὶ θήραμα, καὶ τὴν αὐτοῦ παρουσίαν δήλην ἐκείνοις τίθησι, πτοῆσαι θέλων τοὺς Πέρσας τῷ τοῦ βασιλέως ὀνόματι. Ἀλλὰ τῷ μὲν Κατίδῃ δίκην ἐπέθηκε τὴν ἐκτομὴν τῆς ῥινὸς, αὐτὸς δὲ ὡς εἶχε τάχους τούτοις ἐπέθετο.

Καὶ ἄλλοτε δὲ δι' Ἀνδρονίκου τοῦ Δούκα ἐπῆλθεν αὐτοῖς, οὐχ ὡς ἄριστα δὲ τὰ κατὰ πόλεμον ἐτελέσθησαν· τῷ Δούκᾳ γὰρ τούτῳ Ἀνδρονίκῳ τῶν ἑῴων ταγμάτων ὅτι κράτιστον παραδοὺς, καὶ συνεκπέμψας αὐτῷ τὸν Καντακουζηνὸν Μανουὴλ, ἄνδρα περὶ τὰς πράξεις γενναῖον, μετὰ καὶ ἑτέρων ἐπιδόξων κατὰ τῶν ἐν Χάρακι Τούρκων ἀφίησι. Κεῖται δὲ ὁ Χάραξ οὗτος μεταξὺ Λάμπης καὶ τοῦ τῆς Γραὸς Γάλακτος. Τὰς δυνάμεις τοίνυν ἀναλαβὼν Ἀνδρόνικος, πρῶτα μὲν εἰς τὸ τῆς Γραὸς Γάλα κατασκηνοῖ, κἀκεῖ τὰ ὑποζύγια καὶ τὴν ἄλλην ἀποσκευὴν ἐάσας, ἄνεισι τῇ ἑξῆς πρὸς τὸν Χάρακα· οὐ γενναῖον δέ τι δράσας οὐδ' ἄξιον τοῦ τοσούτου στρατεύματος, ἀλλὰ βοσκημάτων ἁρπαγαῖς, καὶ τῶν ἐν τοῖς ποιμνίοις Τούρκων ὀλίγων σκυλεύσει τὸ ἔργον περιγραψάμενος, ἐκεῖθεν περιδεὴς ἀπονοστεῖ, βαρβάρων τινῶν βοησάντων νυκτὸς, καὶ τὰς Χώνας καταλαμβάνει, καὶ οὐδ' ἐκεῖ τὸν δρόμον ἵστησιν, ἀλλ' ἐς τὴν Λαοδίκειαν ἀποτρέχει. Τὸ δὲ στράτευμα τῇ ἀθρόᾳ τοῦ ἡγεμόνος φυγῇ σὺν οὐδενὶ κόσμῳ τὴν τάξιν διαλῦσαν, πρὸς ἀπόδρασιν τρέπεται, τῶν θρεμμάτων καὶ τῶν αἰχμαλώτων ἀφέμενον, τάχα δ' ἂν καὶ ἑαυτοῖς συμπεσόντες ἐμαχέσαντο νυκτὸς ἔτι οὔσης, εἰ μὴ ὁ Καντακουζηνὸς ὁ Μανουὴλ ἀνέσχε τούτους, Στῆτε, λέγων, ποῦ φέρεσθε μή τινος ἐπιδιώκοντος! καὶ οὕτως ἔληξαν τῆς φορᾶς.

Πρὸς ἣν τοῦ Ἀνδρονίκου φυγὴν βαρυθυμήσας ὁ βασιλεὺς ἐγγὺς ἦλθε τοῦ θριαμβεῦσαι τοῦτον, γυναικείαν ἐσθῆτα περι

δυσάμενος· φιλοσύγγενος δ' ὤν, καὶ ἄλλως μαθὼν ὡς βράχιστοι Ρωμαίων τῷ ἔργῳ τούτῳ πεπτώκασιν, ἀνῆκε τὸν χόλον. Τότε τις Πέρσης τόπου λαβόμενος, πολλοὺς ἀνήρει τῶν παριόντων Ρωμαίων· ἐπὶ τοῦτον πολλοὶ συστάντες Ρωμαῖοι, βέλεσιν ἔβαλλον· ὁ δὲ ἄτρωτος ταῖς συχναῖς καὶ εὐστρόφοις μεταβάσεσιν ἔμενεν. Ἀλλ' ὁ Ξηρὸς Μανουὴλ, τοῦ ἵππου καταπηδήσας, καὶ τὴν ἀσπίδα προβαλλόμενος, ξιφήρης τούτῳ ἐπῆλθε, καὶ κατὰ κεφαλῆς πλήξας καιρίαν ἀνήρηκε.

Τότε καί τις τῷ κλήρῳ κατειλεγμένος Χωνῶν, λευΐτης τὴν τάξιν, συνελθὼν τῷ στρατεύματι ἐς τὸν χάρακα, καὶ σκυλεύσας εἴ τί που ἐφεῦρεν ἡ χεὶρ, οὐκ ἀπεφορτίσατο κατ' αὐτὸ τὸ δεινὸν τὰ λάφυρα, ἃ καὶ ἦσαν στολαὶ Περσικαὶ, πήρας ἐντὸς, καὶ πρόβατα, ὑπὸ μέν τινων ὡς μὴ περιδεὴς ἐπαινούμενος [, ὑπ' ἄλλων δὲ λοιδορούμενος ὡς κέρδει προβάτου ἑαυτὸν εἰς θάνατον προδιδούς.

Οὐ πολλῷ δὲ ὕστερον χρόνῳ οἱ Πέρσαι τὴν ἐκ Κλαυδίου παρώνυμον πόλιν περικαθίσαντες, πρῶτα μὲν τοὺς ἐντὸς περιέκλεισαν ὡς μηδ' ἐξελθεῖν ὅλως δύνασθαι, ἔπειτα καὶ πολιορκεῖν ἐπεβάλοντο. Ὅθεν οἱ ἔσωθεν προδοῦναι καὶ ἑαυτοὺς καὶ τὴν πόλιν ἐβουλεύσαντο, ὡς μὴ τὸν χρόνιον λιμὸν στέγειν δυνάμενοι, ἀλλὰ μηδὲ τοὺς πολεμίους ἀποτρέψασθαι ἔχοντες. Ταῦτα ἀκηκοὼς ὁ Μανουὴλ, τὴν ὑστεραίαν ᾗ τάχους εἶχε διὰ τῆς Νικομήδους ἐπὶ τὴν Κλαυδιούπολιν ἤλαυνε, μὴ σκηνὴν βασιλικὴν, μὴ κλίνην, μὴ στρωμνὴν, μή τινα ἄλλην σκευὴν τρυφῆς ἐπαγόμενος, μόνα δὲ τὰ ἱππάσιμα φέρων καὶ ὅπλα πολεμικά. Ἐπέτεινεν οὖν τὴν πορείαν νύκτας ἀΰπνους διάγων, καὶ φωτὶ ποιητῷ πρὸς τὴν ὁδὸν χρώμενος, βαδίζων διὰ τῆς Βιθυνῶν· ἡ δὲ ἄπορός ἐστι πολλαχῇ τῷ πολλῷ τῆς ὕλης καὶ τῶν ὑδάτων ταῖς ἀναδύσεσιν· εἰ δέ που καὶ διαναπαύσασθαι ἔδει, γήϊνον εἶχε τὴν καθέδραν, καὶ φορυτὸς τὴν στρωμνὴν ἐσχεδίαζε· ποτὲ δὲ καὶ ὑετοῦ κατενεχθέντος, ἄνωθεν ταῖς στα-

γόσιν ἐβάλλετο· ἐπεὶ δὲ καὶ εἰς τεναγώδη τόπον ἔκειτο, τῷ ὑποτρέχοντι νάματι τὴν στοιβάδα διεσπᾶτο τὸν ὕπνον, καὶ γρηγορεῖν ἠναγκάζετο. Καὶ ἐπὶ τούτοις ἠγαπᾶτο μᾶλλον καὶ ἐθαυμάζετο ἢ ὅτε τὴν ἁλουργίδα περιέκειτο, καὶ τὸν χρυσοφάλαρον ἵππον ἀνέβαινεν. Ὡς δὲ τῇ Κλαυδίου ἤγγισε πόλει, καὶ ἐφάνη τοῖς πολιορκοῦσι βαρβάροις, αὐτίκα πάντες ὥρμησαν εἰς φυγὴν, αὐτὸς δ' ἐπέκειτο διώκων ἐς ὅσον ἦν ἐφικτὸν, τοῖς δ' ἐν τῇ πόλει Ρωμαίοις ἀσπάσιος ἐπέστη, ἀπειρηκόσιν ἤδη, καὶ τὰ φρονήματα τούτων ἀνέστησε.

Δοτέον τῷ λόγῳ κἀκεῖνα. Ὁ βασιλεὺς οὗτος μὴ ἔχων νόμῳ πολέμου μετελθεῖν ὅσα ἔθνη κόλπον νέμεται τὸν Ἰόνιον, ἢ μᾶλλον τὴν κατὰ Ρωμαίων ἔφοδον τούτων κρίνων δυσάντητον, τοὺς μὲν κατὰ τὴν Ἕω βαρβάρους ἔφασκεν ἐξὸν αὐτῷ εἶναι χρήμασι πρὸς φιλίαν ὑπάγεσθαι, καὶ διὰ μάχης πείθειν μὴ τῶν Ρωμαϊκῶν ὁρίων κατατολμᾶν, τὴν δέ γε τῶν Ἑσπερίων πολυπλήθειαν ὑφορᾶσθαι ἀεὶ, διά τε τὸ ἀταπείνωτον καὶ τὸ φιλαίματον, καὶ τὸ πλοῦτον περιβεβλῆσθαι πολὺν, ἔτι δὲ καὶ σιδηροφορεῖν, καὶ τὴν δυσμένειαν τρέφειν κατὰ Ρωμαίων ἀσύμβατον. Ἀμέλει καὶ τὰ κατὰ Βενετίαν καὶ Γένουαν, Πίσσαν τε καὶ Ἀγκῶνα, καὶ ὅσα παρὰ θάλατταν ἔθνη, φίλια Ρωμαίοις ἐτίθει, ὅρκοις καὶ φιλοφροσύναις καὶ καταγωγαῖς ἐν τῇ μεγαλοπόλει ὑποποιούμενος· ὑφορώμενος δὲ μήπως τῶν παρ' Ἰταλοῖς ῥηγῶν ἰσχύν τις κτησάμενος μείζονα κατὰ Ρωμαίων ἐπέλθῃ, χρημάτων ἀνελάμβανε δόσεσι, καὶ πρὸς ἀνθόπλισιν ἐνῆγε τὸν κινδυνεύοντα ὑποπίπτειν, ἀλλήλοις αὐτοὺς μάχεσθαι μηχανώμενος. Οὕτω γοῦν Ἰταλιώτας πλειστάκις κατὰ τοῦ ῥηγὸς Ἀλαμανίας ἀνθώπλισεν, ἀλλὰ καὶ τὴν πρεσβυτέραν Ρώμην εἰσελθεῖν καὶ στεφθῆναι τὸν αὐτὸν ῥῆγα πολλάκις προθέμενον ἀπεῖργε τοῦ ἐγχειρήματος, μὴ δώσεις ἑτέρῳ τὴν δόξαν σου, γράφων τῷ Πάπᾳ, μηδὲ πατέρων ὅρια μέταιρε, μήποτε τότε μεταμέλον ἕξεις ὁπότε τὸ κακὸν ἀθεράπευτον. Καὶ

ἦν ἐκ τούτου τῆς Ῥώμης ἀποκλειόμενος ὁ μυριάσι στρατευμάτων γαυρούμενος. Ἔστι δὲ ὅτε καὶ τὰ τείχη Μεδιολάνων ὑπ' Ἀλαμανῶν κατεστράφησαν, καὶ οἱ ταύτην οἰκοῦντες ὅρκον ἔθεντο μὴ ἀνοικοδομήσειν τὴν πόλιν ποτέ· διὸ καὶ πρῶτα κατασοφισάμενοι τοὺς τὸν ὅρκον ἐπενεγκόντας, ἐπὶ τάφρῳ ᾤκουν βαθείᾳ, μὴ ἐπιορκεῖν ἐκ τούτου φάσκοντες· ἔπειτα καὶ τὰ τείχη, τοῦ βασιλέως συλλαβομένου, ἀνήγειραν. Καὶ τὸν μαρκέσιον Μόντου Φεράντον, εὐγενείᾳ καὶ εὐτεκνίᾳ περίβλεπτον καὶ μέ-
3ν. γα δυνάμενον | εἰς φίλον Ῥωμαίοις ἐνέγραψε, τοῦτο μὲν δωρήμασι, τοῦτο δὲ τοῦ τὸν υἱὸν αὐτοῦ τὸν νεώτερον γαμβρὸν θέσθαι ἐπὶ τῇ θυγατρὶ αὐτοῦ Μαρίᾳ, καθὼς προειρήκαμεν. Καί ποτε ὁ τῶν Ἀλαμανῶν ῥὴξ τὸν οἰκεῖον καγκελλάριον, (ὡς ἡ Λατίνων λέγει φωνή, ὡς δ' Ἕλλην ἀνὴρ ἐρεῖ λογοθέτην), ἦν δὲ οὗτος ὁ Μαγέντζης ἐπίσκοπος, μετὰ πλείστης πέμψας δυνάμεως τὰς Ἰταλικὰς πόλεις ὑπεποιεῖτο, τοῦ Πάπα μὲν ἀποσπῶν, ἑαυτῷ δὲ ὑποτιθέμενος· βασιλεὺς δὲ τὸν μαρκέσιον χρήμασιν ἀδροῖς ἀναρρώσας, πείθει τῷ Μαγέντζης εἰς ἀντίπαλον καταστῆσαι, τὸν οἰκεῖον υἱὸν Κορράδον, καλὸν ὄντα τὴν ὥραν καὶ ἀνδρείας καὶ συνέσεως εἰς τὸ ἀκρότατον ἥκοντα· καὶ συμπλοκῆς γενομένης, Ἀλαμανοὺς ἀπεκρούσατο, καὶ ἐγκρατὴς πολλῶν γέγονεν, ἐν οἷς ἦν καὶ ὁ Μαγέντζης ἐπίσκοπος, τάχα δ' ἂν οὗτος καὶ ἐς Βυζάντιον ἀνεπέμπετο, εἰ μὴ ὁ βασιλεὺς ἐξ ἀνθρώπων ἐγένετο. Ἀλλ' οὐδέ τις ἦν τῶν ἐν Ἰταλίᾳ, ἢ τῶν ἔτι πορρωτέρω πόλεων καθ' ἣν ὁ βασιλεὺς οὗτος οὐκ εἶχεν ὁμότην καὶ φρονοῦντα τούτῳ πιστά· ἀμέλει καὶ ὅσα ἐν κρυπτῷ ἐτύρευον οἱ ἐκεῖσε Ῥωμαίοις ἀντίφρονες ἀκουστὰ ἦν ἐκείνῳ. Ἄλλοτέ ποτε κατὰ τὸν Ἀγκῶνα ἧκον ἐκ βασιλέως τινές· οἱ μὲν οὖν τὰ κατὰ σκοπὸν ἔπραττον, εἴ τε τὸ εἰς φιλίαν ἑλκύσαι τοῦ βασιλέως τινὰς ἦν, οὓς λιζίους φασὶν, εἴ τέ τι ἕτερον Ῥωμαίοις ὠφέλιμον· ὁ δὲ ῥὴξ τῶν Ἀλαμανῶν θυμοῦ ὑποπίμπλαται καὶ πέμπει τοὺς τὸν Ἀγκῶνα πορθήσοντας, ὡς σπενδομένων τῶν

ἐκεῖ τοῖς Ῥωμαίοις καὶ πρέσβεις δεχομένων τοὺς κατ' αὐτοῦ μετιόντας, καὶ τὰς ἐκεῖ πόλεις τῆς ἐς αὐτὸν μεθιστῶντας πίστεως· καὶ τὸ πεμφθὲν στράτευμα ὡς πολεμίους τοὺς Ἀγκωνίτας μετήρχετο. Οἱ δ' Ἀγκωνῖται τοὺς Ἀλαμανούς, οὔτε ταῖς ἀπειλαῖς, οὔτε τῷ πολεμικῷ ἐκείνῳ περιζώματι ἐδειλίασαν, ἀλλ' οὐδὲ τοὺς πρέσβεις προέδωκαν οὓς οἱ Ἀλαμανοὶ ἐπέκειντο ἐξαιτούμενοι, μακρὰ δὲ χαίρειν ἐάσαντες, οὕτω τοῖς δεινοῖς ἐνεκαρτέρησαν, ὡς τῆς πολιορκίας ἐπιτεινομένης, καὶ τῶν ἀήθων ἐφάψασθαι. Οἱ τοῦ βασιλέως τοίνυν τὸ πλῆθος ἐκκλησιάσαντες, εἰ ἔξεστιν ἐπικουρίαν εἰσενεγκεῖν ἐπυνθάνοντο· τῶν δὲ εἰπόντων, ἐξεῖναι μέν, χρημάτων δὲ μὴ εὐπορεῖν, αὐτοὶ ἔλεγον καὶ θεὸν τοῦ λόγου πεποίηνται μάρτυρα, ὡς ὁ βασιλεὺς ἅπαν καταθήσει τὸ τοῦ πολέμου δαπάνημα. Ἔνθεν τοι καὶ μεταπέμπονται κόμητά τινα Γιλίελμον ὄνομα, καὶ γυναῖκα τῶν εὐγενῶν χηρείαν ὑποστᾶσαν οὐ πρὸ πολλοῦ, καὶ τούτοις ἀδρὰ δόματα στήσαντες, σὺν οὐδενὶ πόνῳ τοὺς πολεμίους ἐτρέψαντο.

Βασιλεὺς δ' ἐπὶ τούτοις ὅσα εἰκὸς εὐφρανθείς, ἐπαίνοις τοὺς Ἀγκωνίτας ἀμείβεται καὶ τοῖς ἰσοπολίταις τῷ γένει Ῥωμαίοις ἐγκρίνει, καὶ παρέξειν ὑπισχνεῖται ὅσα αὐτῷ τε ἀμεμφῆ καὶ δυνατά, κἀκείνοις δέον αἰτεῖν, καὶ τὸ χρυσίον δίδωσι πολλαπλάσιον. Οὕτω τῷ βασιλεῖ ταῦτα διοικουμένῳ χλευασμοὶ παρὰ Ῥωμαίων ἐπετρίβοντο ὡς ὑπερορίους ἐπιθυμίας διὰ τὸ φίλαυτον τρέφοντι, καὶ πρὸς οὐδὲν χρήσιμον ἀπαντλοῦντι τὰ χρήματα, ἃ συλλέγει τὸ ὑπ' ἀρχὴν καλαμώμενος ἀπογραφαῖς τε καὶ συνήθεσι φόροις. Φιλοκαλίαν καταμηνύουσι τοῦδε τοῦ βασιλέως καὶ οἱ κατὰ τὰ ἀνάκτορα περίστυλοι οἶκοι οὓς αὐτὸς ἀνήγειρεν· ἀλλὰ καὶ τὰς κατὰ τὴν Προποντίδα οἰκοδομὰς αὐτὸς ἀναστήσας, ἐν αὐταῖς ἐν τῷ καιρῷ τοῦ θέρους ηὐλίζετο. Εἰ δέ τις περιεργότερον τοῦτον προσέβλεψεν, ὅπως ἔχαιρε καρυκείαις βρωμάτων, καὶ πρὸς λύραν καὶ κιθάραν καὶ συμφωνίαν ᾠδῶν, εἶπεν ἂν ὡς μόνοις ἐννεάσας τοῖς τοιούτοις ἐ-

χει, καὶ ἡδονὴν τὸ πέρας ἥγηται τῆς ζωῆς. Εἰ δὲ τοὐναντίον ἐπεῖδε τούτῳ πρὸς πᾶσαν γλυκυθυμίαν ἀταπεινώτῳ τυγχάνοντι, καὶ πᾶσαν ἡδυπάθειαν ἀποτρεπομένῳ, δυσκόλων ἐπιστάντων καιρῶν, ἐθαύμασεν ἂν ὅπως δόκιμος ἦν κατ' ἀμφότερα.

Βουληθεὶς δὲ τὸν πρὸς θάλασσαν ἀνοικοδομῆσαι τῆς ἁγίας Εἰρήνης νεὼν, ὃν Μαρκιανὸς μὲν ὁ μέγας ἤγειρε πάλαι, πῦρ δὲ κατέφλεξεν ὕστερον, μέρη τινὰ τούτου ἐκ βάθρων οἰκοδομήσας, ἐπαύσατο. Ἱδρύσατο δὲ φροντιστήριον ἱερὸν περί που τὸ στόμα τοῦ Πόντου εἰς τόπον Κατασκέπην λεγόμενον ἐπ' ὀνόματι τοῦ ἀρχαγγέλου Μιχαὴλ, καθ' ὃ τῶν τότε μοναστῶν ἠθροικὼς τοὺς ὀνομαστοὺς, ἀπράγμονα βίον μετιέναι προεμηθεύσατο, πᾶσαν τοῖς μονασταῖς δίαιταν ἐκ τῶν βασιλικῶν ταμείων ἐπιμετρήσας.

Νόμου δὲ παρὰ Ῥωμαίοις κειμένου, ὀψώνια τοῖς στρατευομένοις παρέχεσθαι, ὁ βασιλεὺς οὗτος τὰ τοῖς στρατιώταις διδόμενα σιτηρέσια περικόψας, δωρεαῖς παροίκων τοὺς στρατιώτας ἔχειν τὰ ἱκανὰ ᾠκονόμησεν (1), ἔργῳ καταχρησάμενος τῷ παρὰ τῶν πρῴην βασιλέων ἐπί τισι γινομένῳ, τοὺς πολεμίους συγκόψασιν· ἔλαθεν οὖν ἐντεῦθεν τὸ στρατιωτικὸν ἀτονώτερον ἐργασάμενος, καὶ χρημάτων σωρείας εἰς ἀργὰς γαστέρας ὀχετηγήσας, καὶ τὰς Ῥωμαϊκὰς ἐπαρχίας λυμηνάμενος· οἵ τε γὰρ ἀγαθοὶ στρατιῶται τὸ ἐν τοῖς δεινοῖς φιλότιμον καταλελύκασι, καὶ οἱ τὸν δημόσιον πρῴην λαχόντες δεσπότην τῶν ἐπαρχιῶν οἰκήτορες, ὑπὸ τῆς στρατιωτικῆς ἀπληστίας πεπόνθασι τὰ οἰκτρότατα, οὐ μέχρις ἀργυρίου καὶ ὀβολῶν ζημιούμενοι, ἀλλὰ καὶ χιτῶνος ψιλούμενοι, ἐνιαχοῦ δὲ καὶ τῶν φιλτάτων αὐτῶν ἀποσπώμενοι.

Ὁ βασιλεὺς οὗτος εὐγλωττίαν πλουτήσας καὶ λόγου χάριν ἐκ φύσεως, οὐ μόνον ἐπέστελλεν ἡδέως, ἀλλὰ καὶ κατη-

(1) Ἐν περιθεωρίῳ: « Περὶ Στρατιωτικῶν προνοιῶν. »

χητηρίους συνέταττε λόγους, οὓς φασι σελέντια, καὶ εἰς κοινὴν ἐτίθετο ἀκοήν· ὁδῷ δὲ προβαίνων καὶ δογμάτων ἥπτετο θείων καὶ περὶ θεοῦ διελέγετο καὶ σχηματιζόμενος τὸν ἀποροῦντα, Γραφικὰς εἰσῆγε ζητήσεις, καὶ περὶ τῶν λύσεων τούτων ἐπυνθάνετο, συναθροίζων ὅσους ἐγίνωσκε λογιότητι χαίροντας. Ζητήσεως οὖν γινομένης περὶ τοῦ Γραφικοῦ ῥητοῦ ὅ φησι τὸν σεσαρκωμένον θεὸν προσφέρειν τε καὶ προσφέρεσθαι, καὶ τῶν τε λογίων ἀλλήλοις ἐναντιουμένων, ἐφ' ἱκανὸν τὰ τῆς ἐξετάσεως παρετάθησαν, ῥήσεις τε καὶ ἀντιρρήσεις ἐξ ἑκατέρων συνέστησαν τῶν μερῶν· ὀρθοτομηθέντος δὲ τοῦ ζητήματος, καὶ τοῦ βασιλέως τῇ κρείττονι προστεθέντος μοίρᾳ, οἱ ἀντιδοξοῦντες καθαίρεσιν ὑπέστησαν, ὁ ὑποψήφιος Ἀντιοχείας τῆς μεγάλης ὁ Παντεύγενος Σωτήριχος, ὁ Δυρραχίου Εὐστάθιος, ὁ τοῦ Θεσσαλονίκης Μιχαὴλ τὸν ῥητορικὸν θρόνον κοσμῶν, καὶ ὁ Βασιλάκης Νικηφόρος διδάσκαλος τῶν τοῦ Ἀποστόλου ἐπιστολῶν καθιστάμενος. Λέγεται δὲ ὡς τοῦ δόγματος τούτου ὑποκινουμένου βροντὴν ἐξαισίαν ῥαγῆναι, καὶ εἰς ἀκοὰς πεσεῖν πάντων τῶν συνόντων τότε τῷ βασιλεῖ ἐν τῇ Πελαγονίᾳ διάγοντι, καί τινα τῶν τοῦ λόγου τροφίμων Ἠλίαν ὄνομα, τὴν τύχην ὑπὲρ τοὺς πολλούς, τοῦ στρατοῦ φύλακα, βίβλον περὶ βροντῶν διεξιοῦσαν ἀναπτύξαντα, καὶ τὰ περὶ τὸν καιρὸν καθ' ὃν ἐβρόντησεν ἐπελθόντα, εὑρεῖν φάσκοντα, Πτῶσις σοφῶν. Οὐ μόνον τοίνυν οἱ ῥηθέντες τῶν τηνικαῦτα σοφῶν κράτιστοι τῆς ἐκκλησίας ἐξώσθησαν, ἀλλὰ σὺν αὐτοῖς καὶ ἕτεροι ἀπηλάθησαν.

Μετὰ χρόνους δέ τινας ὁ αὐτὸς ἄναξ τήν, ὁ Πατήρ μου μείζων μου ἐστὶ φωνήν, εἰς ἐξέτασιν προτείνας, ὀλίγα ταῖς τῶν ἱερῶν πατέρων προσχὼν ἐξηγήσεσι, καὶ ταῦτα πολλαῖς οὔσαις καὶ ἱκαναῖς πρὸς τὴν τούτου σαφήνειαν, ἑφερμηνεύσεις οἰκείας εἰσήνεγκε φιλονείκως |· ἀμέλει καὶ σύνοδον συγκροτήσας ἐνῆ- φ. 7
γεν ἕκαστον τῶν ὅσοι τοῖς θείοις ἔχαιρον δόγμασιν ἐν τόμῳ δογματικῷ ὑπογράφειν· ἀμέλει καὶ γραφαῖς ἐρυθραῖς οἰκειο-

χείροις ὡς φλογίνη ρομφαία τὸ δόγμα τοῦτο τὸ στέργον ἔχειν ἐγκελευσάμενος καὶ πλαξὶ λιθίναις ἐγχαράξας ἐπὶ τῆς Μεγάλης ἐκκλησίας ἀνέθετο (1).

Οἷον δὲ καὶ τοῦτο ἐτόλμησε περὶ τὸ πέρας τῆς αὐτοῦ βιοτῆς· ἔγκειται τῷ κατηχητικῷ βιβλίῳ μεθ' ἑτέρων ἀφορισμῶν, λέγειν τοὺς ἀπὸ Ἀγαρηνῶν ἐπιστρέφοντας καὶ τὸ ἀνάθεμα τῷ θεῷ τοῦ Μωάμετ, περὶ οὗ λέγει, ὅτι οὔτε ἐγέννησεν, οὔτε ἐγεννήθη, καὶ ὅτι ὁλόσφυρός ἐστι. Τοῦτον τοίνυν τὸν ἀναθεματισμὸν ἀπαλεῖψαι τῶν κατηχητηρίων βιβλίων προέθετο, ἀπ' αὐτῆς τῆς ἐν τῇ Μεγάλῃ ἐκκλησίᾳ ἀρξάμενος· ἔλεγε γὰρ εἰς σκάνδαλον προκεῖσθαι τῶν μετατιθεμένων εἰς τὴν τῶν Χριστιανῶν ὀρθοδοξίαν Ἀγαρηνῶν τὸ βλασφημεῖσθαι ὅλως θεόν. Οὐκοῦν καὶ συγκαλέσας τὸν μέγιστον ἐν πατριάρχαις Θεοδόσιον, ὃς ἐκόσμει τότε τὴν ἐκκλησίαν, καὶ τῶν ἐνδημούντων τῇ μεγαλοπόλει ἀρχιερέων τοὺς λόγῳ καὶ ἀρετῇ διαπρέποντας, κοινοῦται τούτοις τὰ περὶ τούτου. Ἀνανεύοντας δὲ πάντας εὑρὼν, καὶ θεοφιλῶς ἐξηγουμένους τὸ εἰς σκάνδαλον δῆθεν κείμενον, αὐτοὺς μὲν ἀπέπεμψε, καθ' ἑαυτὸν δὲ τόμον ἐκτίθησιν, ὑπουργοῖς χρησάμενος οὓς ᾔδει τῶν ἐν τοῖς βασιλείοις τὸν καιρὸν κολακεύοντας, καὶ λόγου μετέχοντας, καὶ τοῦτον εἰς ἀκρόασιν τῶν ἱερῶν ἀρχείων προτίθησιν. Ἐπλούτει δὲ ὁ λόγος τὸ πιθανὸν οὐκ ἐν διδακτοῖς πνεύματος, ἀλλ' ἐν πειθοῖ σοφίας ἀνθρωπίνης, καὶ τάχ'

---

(1) Ἄνωθεν τοῦ περιθεωρίου ἀναγινώσκεται ἡ ἑξῆς περιεργοτάτη σημείωσις τοῦ Ἀργυροπούλου.

« Περὶ τούτου πολλοὶ ἔφασαν, ὡς ἀφ' οὗ ἀνεστηλώθη ἐπ' ἐκκλησίας, ἀκμάζουσι τὰ δεινά· οἷς κἀγὼ συντίθεμαι· ἔχει γάρ τινα ἐπιλήψιμα, καὶ εὔχομαι τὴν τούτου καθαίρεσιν» Ὑφ' ἣν δι' ἐρυθρῶν γραμμάτων σημειοῖ εἷς τῶν κατόχων, πιθανῶς ὁ Σχουταριώτης: « Ἀλλὰ τότε δὴ, βέλτιστε, εἰς Ἄρειον καὶ τὸν Πρόσφυρον ἐπανελευσόμεθα, ὅπερ, Κύριε, μὴ δῴης, προτιμότεροι γὰρ Ἑλλήνων οἱ Φράγκοι. »

ἂν εἶχε τὸ ἐνεργὸν, εἰ μὴ ὁ πατριάρχης ἀντέβη, καὶ τοὺς λοιποὺς δὲ ὡς δηλητηριώδη φεύγειν ταῦτα παρέπειθεν. Ὁ δὲ, ἀποτυχὼν τοῦ κατὰ σκοπὸν, ὀνείδεσιν ἔπλυνε τοὺς ἀρχιερεῖς· οὐκοῦν ὅσα τῷ προτέρῳ τόμῳ ἐμπλατυνάμενος εἴρηκε, ταῦτα ἐπιτεμὼν, καὶ τὸ τοῦ δόγματος αὖθις περιθεὶς δέλεαρ, ἕτερον τόμον ἐξέθετο. Καὶ ἐπεὶ ἔτυχε τότε τοῖς κατὰ Δάμαλιν ἀρχείοις ἐναυλιζόμενος, ἃ Σκουτάριον ὀνομάζονται, τὴν τοῦ ἀέρος εὐκρασίαν μεταδιώκων, φεύγων τε τὴν πολυοχλίαν καὶ ὅλος τῆς νοσοκομίας γενόμενος, μετακαλοῦνται ἐκεῖσε βασιλικῷ ἐπιτάγματι ὅ τε τῶν ἀρχιερέων σύλλογος καὶ ὅσοι τὸ ὑπερανῳκισμένον τῶν πολλῶν ἐκ τοῦ λόγου ηὐτύχησαν· ἀλλ' οὔπω |τῶν λεμβαδίων ἀπέβησαν, καί τις τῶν| παρὰ τῷ βασιλεῖ τὰ μέγιστα δυναμένων γραμματέων ἐφίσταται, ὁ Ματζούκης οὗτος ἦν οὗτος Θεόδωρος, καὶ πρός τε τὸν πατριάρχην καὶ τὴν τῶν ἀρχιερέων ὁμήγυριν τὸν λόγον ἀποτεινάμενος, μὴ εἶναι τὴν πρὸς τὸν βασιλέα πάροδον ἐφικτὴν τανῦν διά τι τῆς νόσου ἐμπόδιον, χάρτας δὲ δύο δείξας, τῇ τούτων ἀναγνώσει προσέχειν χρεὼν ἔφησεν, ὧν ὁ μὲν ἦν περὶ τοῦ προκειμένου δόγματος, καὶ ὑπογράψαι τοῦτο τοὺς συνελθόντας σπουδὴν ἐτίθετο· ὁ δ' ἕτερος τῷ ἀρχιποίμενι Θεοδοσίῳ καὶ τῇ συνόδῳ ἔχων τὸν βασιλέα διαλεγόμενον, οὐδὲν μέτριον οὐδὲ χάριεν διελάμβανε, καὶ τὴν μετὰ τοῦ Πάπα τῆς πρεσβυτέρας Ῥώμης διηπειλεῖτο διάσκεψιν. Τότε καὶ ὁ τῆς Θεσσαλονίκης πρόεδρος, ὁ πολὺς καὶ μέγας ἐν λόγοις Εὐστάθιος, ζήλου ἐπὶ τοῖς ἀνεγνωσμένοις πλησθεὶς, ἐσοίμην ἂν, εἰρήκει, ταῖς πτέρναις καταπεπατημένον φορῶν τὸν ἐγκέφαλον, καὶ τοῦ σχήματος τούτου παράπαν ἀνάξιος, (τὸν ἐπὶ τῶν ὤμων δείξας μανδύαν), εἰ θεὸν ἡγοίμην ἀληθινὸν τὸν παιδεραστὴν καὶ καμηλώδη καὶ πάσης μυσαρᾶς πράξεως ὑφηγητήν. Ἐπεπήγεσαν ἐπὶ τούτοις οἱ ἀκηκοότες· ἦν γὰρ διατόρως ταῦτα φθεγγόμενος· ὁ δὲ Ματζούκης ἐκπλαγεὶς, εἰς τὸν βασιλέα εἰσέρχεται. Ὁ δὲ τὰ λαληθέντα ἐνωτισάμενος, ἡτοίμαζε τὸν

ἀπόλογον, τὴν μακροθυμίαν ἐπαινέσας ὥσπερ οὐδέποτε, ἑαυτὸν γὰρ τοῖς λίαν ὀρθοδοξοῦσιν ἐνέταττε, καὶ πατέρων ὡμολόγει πανευσεβῶν υἱὸν, καὶ τὴν μετὰ τοῦ Θεσσαλονίκης κρίσιν ἐνίστατο ἐξαιτούμενος. Μετὰ βραχὺ δὲ τοῦ πατριάρχου εἰς θέαν ἐκείνου ἐλθόντος, καὶ τὰ εἰκότα ἐπᾴσαντος, τοῦ τε θυμοῦ ἔ·ληξε |, καὶ τῷ Θεσσαλονίκης συγγνώμην παρέσχεν. Ἐπὶ τούτοις εἰς κοινὴν δοθέντος τοῦ περὶ τοῦ δόγματος τόμου ἀκρόασιν, καὶ πάντων ἐπαινεσάντων τὰ γεγραμμένα, καὶ ἐν αὐτῷ ὑπογράψαι καταθεμένων, ὁ σύλλογος διελέλυτο. Κατὰ δὲ τὴν μετ' ἐκείνην ἡμέραν ἡ σύνοδος ἀθροισθεῖσα ὅπως ἂν ὑπογράψωσι τῷ τόμῳ· οἱ γὰρ ἐκ βασιλέως, παρῆσαν εἰς τοῦτο αὐτοὺς παροτρύνοντες· οἱ δὲ, οὐκ ἐπένευον, ὡς ἐπιληψίμων τινῶν καὶ ἔτι προσκειμένων τῷ τόμῳ ἅπερ ἐξαιρεθῆναι χρεὼν, καὶ ἕτερα προστεθεῖναι δέον τῷ ὀρθῷ, μηδ' ὁπωσοῦν προσιστάμενα ἔφασκον· ὀψὲ γοῦν καὶ μόλις συνῆλθον καὶ τῶν συνόδων ἐκείνων ἔληξαν.

Ἀλλὰ γὰρ οὐχ ὑπερβήσομαί τι καὶ ἕτερον τῶν ἀξίων ρηθῆναι· ἦν τις εὐνοῦχος τῆς τῶν Χωνῶν πόλεως ἀρχιερατικῶς προϊστάμενος, Νικήτας τὸ ὄνομα, πάσης ἀρετῆς καταγώγιον, καὶ προφητικός· ἀμέλει καὶ τοῦ βασιλέως τούτου ἐξ Ἀρμενίας, ὅτε πρώτως τὴν ἀρχὴν παρέλαβε, παριόντος, καὶ τὸν Ἀρχαγγελικὸν νεὼν εἰσελθόντος, καὶ χειρὶ τοῦ ἀρχιερέως τούτου εὐλογηθέντος, τότε ἐπειδή τινες θαυμάζοντες ἦσαν, εἰ νέος ὢν ὁ Μανουὴλ καὶ νῦν ἄρτι χλοάζων τὸν ἴουλον διακυβερνήσειν ὅλως τὴν βασιλείαν δυνήσεται, ἔτι δὲ καὶ τὸν κασίγνητον νικήσειεν Ἰσαάκιον δικαιούμενον πρὸς τὴν ἀρχὴν ὡς καὶ τῷ χρόνῳ πρωτεύοντα καὶ τῆς βασιλίδος τῶν πόλεων ἔνδον ἐπὶ τῶν ἀνακτόρων διάγοντα, ὁ μέγας ἐκεῖνος ἀρχιερεὺς καὶ ὄντως τοῦ θεοῦ ἄνθρωπος, λύων τὸ ἄπορον, Ναί, φησί, καὶ τὴν βασιλείαν διϊθυνεῖ, καὶ αὐτῷ ὑποπεσεῖται ὁ ἀδελφὸς (οὕτω γὰρ τῷ θεῷ ὥρισται), καὶ τὸν οἰκεῖον πάππον τὸν βασιλέα ἐκεῖνον Ἀλέ-

ξιον ὑπερβήσεται κατὰ τὸν τῆς ζωῆς χρόνον, τῆς δὲ τοῦ βίου τελευτῆς ἐγγιζούσης αὐτῷ, μανήσεται. Τίς δ' ἄρα ἦν ἡ μανία, οὐδεὶς ἠδύνατο συμβαλεῖν· οἱ μὲν γὰρ εἰς τὸ χρυσομανὲς τὴν πρόρρησιν ἐξελάμβανον, οἱ δ' ἐς ἄλλο τι σαρκικὸν ἐλάττωμα· τοῦ δὲ εἰρημένου δόγματος κινηθέντος, καὶ παραβόλως ἀντιποιουμένου τοῦ δοκοῦντος αὐτῷ, πέρας ἔφασκον οἱ πάντες εἰληφέναι τὴν προαγόρευσιν.

Κατήρξατο μὲν οὖν τῷ βασιλεῖ τὰ τῆς νόσου πρὸ τοῦ μαρτίου μηνὸς τῆς ἐνισταμένης τότε τρισκαιδεκάτης ἰνδικτιῶνος, τὰ δὲ τοῦ δόγματος ἐκινήθη περὶ μῆνα τὸν μάϊον· ἐπιστάντος δὲ τοῦ σεπτεμβρίου τὸ ζῆν ἐξεμέτρησεν. Οὐδὲν δέ τι περὶ τῆς βασιλείας διετάξατο, ἀλλ' ἦν νωθέστερον διακείμενος περὶ τὴν τῶν μετὰ τὴν μετάστασιν αὐτῷ γενησομένων ὑποτύπωσιν, οἷα μηδόλως παραδεχόμενος ὡς ἤγγικεν ἐκείνῳ ἡ τελευτή, καὶ τὸν πατριάρχην Θεοδόσιον ὑποτιθέμενον φροντίσαι τῶν τῆς βασιλείας πραγμάτων, ἕως καιρὸς κἀκείνῳ ἔρρωται τὸ φρονεῖν, οὐδαμῶς προσεδέξατο, ὡς ἕτερα δεκατέσσαρα ἔτη ζωῆς αὐτῷ ἐπιδαψιλεύονται. Ἐπεὶ δὲ τὰ τῆς νόσου τῷ βασιλεῖ ἐπετάθη, καὶ παραβόλως βαλανείῳ ἐχρήσατο, γνοὺς ἤδη ἐκλιμπάνειν, ὀλίγα περὶ τοῦ παιδὸς Ἀλεξίου διείλεκται, οἰμωγαῖς κεράσας τὰ ῥήματα, ἐκ τοῦ προορᾶν οἷον τὰ μετὰ τὴν ἐκείνου τελευτὴν συμβησόμενα.

Ἀλλὰ καὶ περὶ τῆς ἀστρονομίας ὑποθήκῃ τοῦ πατριάρχου βραχύν τινα χάρτην ὑπεσημήνατο πρὸς τὴν ἐναντίαν δόξαν μετατεθείς, καταγινώσκων ἑαυτοῦ οἷς ὅλως τοῖς ἀστρονόμοις προσέσχηκε, τοὺς χρόνους οὓς εἰρήκαμεν τῆς ζωῆς ἀποχαριζομένοις, καὶ ἄλλα τερατολογοῦσιν, ἃ σαφὴς φλυαρία καὶ χριστιανοῖς ὄντως κατάγελως. Τέλος δὲ καὶ τῇ ἀρτηρίᾳ προσάπτων τὴν χεῖρα καὶ τὰς τοῦ σφιγμοῦ διαγινώσκων κινήσεις, βύθιόν τι στενάξας καὶ τὸν μηρὸν πλήξας, τὸ μοναχικὸν σχῆμα ᾔτησε, καὶ οἱ περὶ αὐτὸν περιδύουσι μὲν αὐτὸν τὰ μαλακὰ

καὶ βασιλικά, ἐπενδύουσι δὲ τὸ τραχὺ καὶ μοναχικὸν ἄμφιον· τὸ δὲ ῥάκος μὴ ποδῆρες ὄν, ἄχρι τῶν κνημῶν τούτου κατέβαινεν· οὐ γὰρ ἑτοιμασθὲν ἦν, ἀλλ' ὅθεν ἔτυχε προσληφθέν, B ὡς μηδένα τῶν ὁρώντων εἶναι ἀδάκρυτον |, ἐν νῷ βαλλόμενον τὴν ἀνθρωπίνην ἀσθένειαν, καὶ τὴν ἐν τῷ τελευτᾷν τοῦ σώματος ἀχρειότητα· οὕτω τοῦ βίου μεθίσταται, τριάκοντα καὶ ὀκτὼ ἔτη βασιλεύσας, τριῶν λειπομένων μηνῶν· πρὸς ἥν οἶμαι παράτασιν καὶ τὸ λόγιον ἀφορᾷν ἐκεῖνο:

ἀλλ' ὑστάτη σε συλλαβὴ λάβῃ λόγος.

ἥτις ἐστὶ τὸ ΗΛ, ὃ δηλοῖ τὰ τριάκοντα ὀκτώ.

Τέθαπται γοῦν ἐν τῇ τοῦ Παντοκράτορος μονῇ παρὰ πλάγιον πλευρὰν τὸν ναὸν εἰσιόντι ἐν τῷ περὶ τούτου ἡρῴῳ. Συνέχει δὲ τοῦτον λίθος μελανίαν ὑποκρινόμενος καὶ διὰ τοῦτο στυγνάζειν δοκῶν· παράκειται δὲ καὶ προσκύνησιν δέχεται λίθος ἀνδρομήκης, ὅν εἶχε πρότερον μὲν ὁ κατ' Ἔφεσον θεῖος νεώς, ἐκεῖνος εἶναι θρυλλούμενος ἐν ᾧ Χριστὸς μετὰ τὴν ἀπὸ τοῦ σταυροῦ καθαίρεσιν τεθεὶς ἐσμυρνίσθη· ὁ δὲ βασιλεὺς οὗτος ἐκεῖθεν μετακομίσας καὶ τοῖς ὤμοις ἀναλαβὼν ἐκ τοῦ Βουκολέοντος εἰς τὸν ἐν τῷ Φάρῳ τοῦ παλατίου ναὸν ἀνήγαγε· μετ' οὐ πολλὴν μέντοι χρόνων περίοδον, τοῦ βασιλέως ἀπολιπόντος τὸν βίον, ἐκεῖθεν ἤρθη καὶ μετήνεκται ἔνθα δεδήλωται.

Βασιλεύει δὲ μετ' αὐτὸν ὁ υἱὸς ἐκείνου Ἀλέξιος, οὔπω καθαρῶς τῆς ἥβης ἁψάμενος, διὸ καὶ πλημμελῶς τὰ Ῥωμαίων ἐφέρετο πράγματα· αὐτὸς γὰρ διὰ τὸ τῆς ἡλικίας ἀτελές, οὐδενὸς τῶν καθηκόντων ἐπιστρεφόμενος, κυνηγεσίοις καὶ ἱππηλασίαις προσέθετο· οἱ δέ γε πρῶτοι τούτῳ ἑταῖροι καὶ οἱ καθ' αἷμα προσήκοντες, ἑτέροις προσεῖχον, καὶ τὰ κοινὰ παρεβλέπετο· οἱ μὲν γὰρ τῆς βασιλίδος ἤρων, οἱ δέ, δημοβόροι τυγχάνοντες, παρενοσφίζοντο τὰ δημόσια, οἱ δὲ βασιλειῶντες πρὸς τοῦτο τὸν σκοπὸν συνέτεινον.

Τοῦ δὲ πρωτοσεβάστου καὶ πρωτοβεστιαρίου Ἀλεξίου τοῦ Κομνηνοῦ, ὅς ἀνεψιὸς ἦν πρὸς πατρὸς τῷ βασιλεῖ Μανουὴλ, τὴν τοῦ παιδὸς ὑποποιησαμένου μητέρα καὶ ὑπὲρ πάντα ἰσχύοντος ἕτερον, οἱ τοῦ αὐτοῦ αἵματος καὶ ἰσοκρατεῖς εἶναι παρὰ τοῦ βασιλέως Μανουὴλ ἐαθέντες, ἔστιν οὗ ἀπεπνίγοτοῦντο τῇ ἀνδρὸς παραδυναστείᾳ, ἔστι δ' οὗ καὶ τυραννίδα ὁρῶντες ὑποφυομένην, τὸν πρωτοσέβαστον ὑπεβλέποντο, οὐ τοσοῦτον διὰ τὸν βασιλεύοντα μή τι ἀηθὲς πάθῃ, ὅσον μὴ αὐτοὶ συλληφθεῖεν ὑφορώμενοι· ἤδη γὰρ καὶ φήμη ἦν ὡς ὁ προτοσέβαστος μέτεισι τοὺς πολλοὺς φιλίᾳ καὶ χρήμασι καθελεῖν μὲν τὸν βασιλέα τῆς ἐξουσίας, ἑαυτὸν δ' ἐπιβατῆρα ταύτης γενέσθαι· καὶ τὸ τέρας πέρας ἐλάμβανεν ὅ τοῦ αὐτοκράτορος Μανουὴλ τὸν βίον ἀπολιπόντος ἐπεφάνη. Γυνὴ γάρ τις κατὰ τὴν Προποντίδα παιδίον ἔτεκεν ἄρρεν, τὸ μὲν λοιπὸν σῶμα ἐξηρθρωμένον καὶ λίαν βραχυμερέστατον, τὴν δὲ κεφαλὴν μέγα τι χρῆμα καὶ ἐξαίσιον· ὅ καὶ πολυαρχίας εἶναι σημαντικὸν ἐλέγετο, ἥτις μήτηρ ἐστὶν ἀναρχίας.

Ὁ δὲ Κομνηνὸς Ἀνδρόνικος, ὁ τοῦ βασιλέως ἐξάδελφος Μανουὴλ, διατρίβων τηνικαῦτα κατὰ τὸ Οἴναιον, ἐπεὶ πύθοιτο τὸν τοῦ βασιλέως θάνατον, καὶ διαστασιάζειν ἔγνωκε τὰ βασίλεια, τὸν πρὸ πολλοῦ τῆς τυραννίδος ἀναζωπυρεῖ ἔρωτα. Ἀλλ' ἐχέσθω τῆς ἀκολουθίας ὁ λόγος καὶ καθ' εἱρμὸν ἱστορείτω τὰ κατ' αὐτόν. Οὗτος τοίνυν ἐκφεύγων τὸν Μανουὴλ παρὰ τῷ Σαλτούχῳ, καθὼς προείρηται, καταλύει, καί τι φρούριον παρὰ τούτου λαβὼν περίπου τὰ τῆς Χαλδίας μέρη, καὶ τῇ τοῦ τόπου ὀχυρότητι καὶ τὴν ἐκ τῆς τέχνης προσθεὶς, ἐκεῖσε προσέμενεν, ἔχων μεθ' ἑαυτοῦ καὶ τὴν Κομνηνὴν Θεοδώραν, περὶ ἧς ἀνωτέρω τῆς ἱστορίας δεδήλωται. Ὁ τοίνυν Μανουὴλ οὐκ ἔχων συσχεῖν τὸν Ἀνδρόνικον, γράφει τῷ τῆς Τραπεζοῦντος τὴν ἀρχὴν τότε ἀνεζωσμένῳ Νικηφόρῳ τῷ Παλαιολόγῳ τὴν Θεοδώραν σπεῦσαι θηράσασθαι· τούτου δὲ γενομένου, καὶ τὸν Ἀν-

δρόνικον μετὰ βραχὺ συνήγρευσεν, ὅσα καὶ δελέατι τῇ Θεοδώρᾳ χρησάμενος· στείλας γὰρ πρέσβεις ἐς βασιλέα Ἀνδρόνικος, ἀμνηστίαν τε αἰτεῖται ὧν πεπαρώνηκε καὶ ἀσφάλειαν, ὡς οὐδέν τι πείσεται ἀπευκταῖον. | Τοῦ δὲ βασιλέως οὐκ ἀπατηλῶς πρὸς ἀμφότερα κατανεύσαντος, μετά τινα καιρὸν προσχωρεῖ, ὅτε καὶ ἁλύσει σιδηρέᾳ βαρείᾳ περιλαμβάνει τὸν ἑαυτοῦ τράχηλον, καὶ ταύτην ἐν τοῖς ἱματίοις ἔνδον συσχὼν ὡς ὀφθῆναι τῷ αὐτοκράτορι τὸ ἐνδόσιμον ἔλαβεν· ἐπεὶ ἐκείνῳ εἰς θέαν κατέστη, μέγας μεγαλωστὶ κατὰ τοῦ δαπέδου ἐκτείνεται προτείνας τὴν ἅλυσιν, καὶ μετὰ δακρύων ἱκέτευε συγγνώμην εὑρεῖν ἐφ' οἷς τὸν βασιλέα λελύπηκεν. Ὁ δὲ βασιλεὺς ἐπὶ τούτοις ἔκθαμβος γεγονὼς, αὐτός τε προήχθη εἰς δάκρυα, καὶ τοὺς ἐξεγεροῦντας ἀναστῆσαι ἐπέταξεν. Ὁ δὲ, οὐκ ἀναστῆναι διϊσχυρίζετο, εἰ μή τις λαβόμενος τῆς ἁλύσεως ἐπιρρίψει τοῦτον τῷ βασιλικῷ θρόνῳ. Καὶ γέγονεν ὡς ἐδεῖτο Ἀνδρόνικος. Ὑπουργὸς δ' ἦν τοῦ ἔργου ὁ μετὰ τὸν Ἀνδρόνικον βασιλεύσας Ἰσαάκιος ὁ Ἄγγελος καὶ καθελὼν τῆς τυραννίδος αὐτόν· διὸ καὶ θαυμάσειεν ἄν τις, καὶ οὐκ εἰς ἄλογον συγκυρίαν τὸ πραχθὲν θήσει, γενέσθαι φάμενος τοῦτο δὴ κατὰ τὸ αὐτόματον. Λαμπρῶς οὖν προσδεχθεὶς ὁ Ἀνδρόνικος, πρὸς τὸ Οἴναιον ἀποστέλλεται, ἐκεῖσε τὴν πολυετῆ καταπαύσων πλάνην, καὶ τὸν τῶν πολλῶν φθόνον ἀποσειόμενος. Ἦν οὖν τὸ λεγόμενον πόρρω Διός τε καὶ κεραυνοῦ, δωρεῶν βασιλικῶν ἐμφορούμενος.

Ἐκεῖσε τοίνυν διάγων, καὶ τὸν θάνατον τοῦ Μανουὴλ καὶ τὴν ἐν τοῖς βασιλείοις ἀταξίαν ἐνωτισάμενος, αἰτίαν ἐζήτει δι' ἧς ἂν εὐαφόρμως τῇ βασιλείᾳ ἐπίθοιτο. Πολλοὺς οὖν λογισμοὺς ἀνελίξας, τέλος τὸ τοῦ ὅρκου βιβλίον ἔπεισιν, ὃν τῷ Μανουὴλ καὶ τῷ ἐκείνου υἱῷ Ἀλεξίῳ εἶχεν ἐπομοσάμενος, καὶ ῥήμασιν ἐγκαθίσας τούτου ἃ ἔλεγε, «καὶ εἴ τι δὲ ἴδω, ἢ νοήσω, ἢ ἀκοῇ παραλήψομαι εἰς ἀτιμίαν ὑμῶν καὶ λύπην τοῦ ὑμετέρου φερόμενον στέμματος, καὶ ὑμῖν τὴν περὶ τούτου διδοὺς ἑτοί-

μὴν εἴδησιν, καὶ αὐτὸς δὲ ὡς ἐξόν μοι τοῦτο κωλύω », τούτοις ἐπικαθίσας τοῖς ῥήμασιν ὡς μυῖα τοῖς μώλωψιν, ἐπάλληλα τὰ γράμματα ἔστελλε πρός τε τὸν ἀνεψιὸν καὶ βασιλέα Ἀλέξιον, τὸν πατριάρχην Θεοδόσιον, καὶ τοὺς λοιποὺς οὕς εἴδει περὶ τὸν βασιλέα Μανουὴλ φιλίας ζώπυρον τρέφοντας, ἐν δεινῷ τιθέμενος τὰ τῆς ἀσχήμονος φήμης περιλαλήματα, καὶ τὸν ἀγανακτοῦντα ὑποκρινόμενος, εἰ μὴ ὁ πρωτοσέβαστος τῆς δυναστείας παραλυθείη. Ταῦτα λέγων καὶ γράφων, ἦν γὰρ εἰ καί τις ἄλλος γραμμάτων ἔμπειρος, καὶ ἀνὰ στόμα φέρων τὰς τοῦ πνευματορρήτορος Παύλου ἐπιστολάς, εἶχε πάντας τῇ αὐτοῦ γνώμῃ προστιθεμένους. Καὶ αὐτὸς δὲ τοῦ Οἰναίου ἀπάρας πρὸς τὴν τῶν πόλεων βασιλίδα μετέβαινε, τὸν οἰκεῖον καθ' οὓς ἐπισταίη ὅρκον ἀναπτύσσων, καὶ τοῖς πυνθανομένοις διεξιὼν τὸ τῆς κινήσεως αἴτιον. Καὶ περὶ ἐκεῖνον ἐγίνοντο οἱ πραγμάτων νεωτέρων τρέφοντες ἔρωτα, καὶ οἷς ἡ φήμη ἐσπούδαστο βασιλεύσειν Ἀνδρόνικον. Καὶ εἶχεν αὐτὸν ἡ τῶν Παφλαγόνων ὅσα τι θεῖον δῶρον ἥκοντα προσδεχόμενον.

Ὁ δὲ πρωτοσέβαστος τὴν τῶν ὅλων διοίκησιν εἰς ἑαυτὸν ἐπεσπᾶτο· οὐκ ἦν γάρ τι τῶν ἁπάντων ὅ μὴ δι᾽ ἑαυτοῦ ἐπεραίνετο, εἰ δέ τι καὶ διεπράξατό τις λαθών, ἢ τῆς βασιλίσσης δεηθείς, ἢ τοῦ νεάζοντος βασιλέως, οὐδὲ τοῦτο ἦν τοῦτον λαθεῖν. Σκεψάμενος γὰρ ὅπως μηδέν τι χωρὶς αὐτοῦ γίνοιτο, πρόσταγμα ἐκ βασιλέως ἐξήνεγκε, καὶ ἄλλως εὐπαράδεκτα κρίνεσθαι τὰ βασιλικὰ γράμματα, εἰ μὴ πρότερον εἰς χεῖρας αὐτοῦ ἔλθοι, καὶ οὗτος ἰδιοχείρως τὸ, ἐ τ η ρ ή θ η σ α ν, εἴη τούτοις ἐνσημηνάμενος. Ἦγεν οὖν ὡς ἤθελε πάντα, καὶ ἅπερ οἱ ἐκ Κομνηνῶν βασιλεῖς ἀπεθησαύρισαν χρήματα, ταῦτα τῷ πρωτοσεβάστῳ καὶ τῇ βασιλίσσῃ εἰς οἰκείας ὀρέξεις ἀποκενοῦσθαι προέκειντο. Ἐντεῦθεν ἡ πᾶσα πόλις πρὸς Ἀνδρόνικον ἔβλεπε· τῷ τοι καὶ ἐνῆγον αὐτὸν οἱ μέγα τότε δυνάμενοι καταταχῆσαι τὴν εἴσοδον, ὡς μή τινος ἀντιταξομένου· διαφερόντως δὲ αὐ-

τὸν παρώτρυνεν ἡ τοῦ Μανουὴλ θυγάτηρ Μαρία ἡ πορφυρογέννητος, ὡς ὕστερον ἐγνώσθη τὸν οἰκεῖον ὄλεθρον ἐπισπεύδουσα, διὰ τὴν πρὸς τὸν πρωτοσέβαστον ἀπέχθειαν, ὑποποιησαμένη δὲ καὶ τῶν πρὸς γένος αὐτῇ τινας, οἵπερ ἦσαν ὁ Κομνηνὸς Ἀλέξιος ὅν ἔτεκεν ἡ Κομνηνὴ Θεοδώρα |, ὁ Λαπαρδᾶς Ἀνδρόνικος, οἱ δύο τοῦ Ἀνδρονίκου υἱοί, ὅ τε Ἰωάννης καὶ ὁ Μανουὴλ, ὁ τῆς Πόλεως ἔπαρχος Ἰωάννης Δούκας ὁ Καματηρὸς, καὶ συχνοὶ ἕτεροι, καὶ διὰ συνωμοσίας τὴν ἐς τὸν ἀδελφὸν πίστιν κρατυνάμενοι, τὸν τοῦ πρωτοσεβάστου ἐκύρωσε θάνατον, καιρὸν τάξασα τὴν μετὰ τοῦ βασιλέως αὐτοῦ ἐξέλευσιν εἰς τὸν Βαθὺν Ρύακα, διὰ τὴν μνήμην Θεοδώρου τοῦ χριστομάρτυρος κατὰ τὴν ἑβδόμην ἡμέραν τῆς πρώτης ἑβδομάδος τῶν νηστειῶν· ἀλλ' ἔκ τινος περιπετείας τοῦ ἔργου τούτων ἀποκρουσθέντων καὶ γνωσθέντων, τοὺς μὲν λοιποὺς εἶχε τὸ βασιλικὸν βῆμα, καὶ ὡς ἄφωνοι ἰχθύες οἱ συσχεθέντες ἀπήγοντο· αὐτὴ δὲ ἡ πορφυρογέννητος σὺν τῷ ἀνδρὶ τῷ καίσαρι τῷ τῆς τοῦ θεοῦ Σοφίας ναῷ προσφεύγει, ἀποδιδράσκειν φάσκουσα μητρυιὰν κατ' αὐτῆς μαινομένην καὶ τὸν πρωτοσέβαστον· οἶκτον οὖν οὐ μόνον τῷ πατριάρχῃ ἐνεποίησε καὶ τοῖς ὅσοι τοῦ βήματος, ἀλλὰ καὶ πλείστους ἐκ τοῦ δήμου οὕτω κατέκαμψεν, ὡς καὶ δακρυρροεῖν ἐπ' αὐτῇ, ἐν τῷ μέρει δὲ καὶ αὐτὴ διαδόσει στατήρων χαλκέων τὸ πτωχὸν πλῆθος εἰς ἀποστασίαν ἠγρίαινε· καὶ προτεινομένης ἀμνηστίας ὧν ἑάλω δρῶσα κακῶς, οὐδόλως ἠνείχετο, ἀλλὰ κρίσιν ἐζήτει τῶν ταύτης συνωμοτῶν καὶ ἄνεσιν τῶν καθείρξεων, τόν τε πρωτοσέβαστον ἀποχωρῆσαι τῶν βασιλείων οἷα ζιζάνιον ἀναφυὲν καὶ συμπνῖγον ὡς σῖτον τὸν βασιλεύοντα· ἦν δὲ ταῦτα λέγουσα, ἅ μὴ πέρας λαβεῖν ἤμελλεν ἀπαιτοῦσα· καὶ δή ποτε τοῦ βασιλέως ἀπειλησαμένου τῇ καισαρίσσῃ τὴν ἐκ τοῦ ναοῦ ἀφαίρεσιν, τῆς μητρὸς δὲ τούτου καὶ τοῦ πρωτοσεβάστου ἦν τοῦτο ὅλον, εἰ καὶ βασιλεὺς ἠκούετο, αὐτὴ καὶ ἐξελθεῖν ἐκεῖθεν ἑκουσίως ἀντέφησεν· ἔνθεν τοι καὶ δεδοικυῖα, τάς τε πύλας

τοῦ ναοῦ καὶ πάσας εἰσόδους διαλαμβάνει φρουραῖς· ἀεὶ δ' ἐπεκτεινομένη τοῖς χείροσι, καὶ συμμαχικὸν τάγμα ξενολογεῖ (Ἰταλιώτας γὰρ συνήθροισεν ὁπλομάχους καὶ Ἴβηρας καὶ Ῥωμαίων ἐπεσπάσατο φάλαγγα), καὶ τῶν πρὸς εἰρήνην αὐτῇ λεγόντων οὐδενὸς ἐπεστρέφετο, μήτ' αὐτὸν τὸν πατριάρχην ὑποστελλομένη, πατρικῶς ὑποτιθέμενον τὸ πρακτέον καὶ πρὸς ὀργὴν ἐνίοτε ἐπιπλήττοντα.

Πάσης μὲν οὖν πόλεως πλῆθος ἀλογίᾳ χαίρει καὶ τὴν ἐπί τι ῥοπὴν ἐστὶ δυσμαχώτατον, τὸ δὲ τῆς Κωνσταντινουπόλεως φιλοταραχώτατον μάλιστα, διὰ τοῦτο οὔτε λόγῳ χωρεῖ, οὔτε μετὰ προμηθείας οἷς ἂν ἐφορμήσειεν, ἀλλὰ πῆ μὲν πρὸς στάσιν καὶ φήμῃ μόνῃ διεγειρόμενον, πυρός ἐστι δραστικώτερον, χορεῦον οἷον κατὰ ξιφῶν, πῆ δὲ ψοφοδεὲς καὶ τὸν αὐχένα παρέχον τῷ βουλομένῳ πατεῖν· εἰκότως οὖν ὡς ἀστασίαν ἤθους νοσοῦν διαβέβληται. Ἦν οὖν τηνικαῦτα ὁρᾶν κατὰ συλλόγους ἀθροιζομένους, τὴν μὲν πορφυρογέννητον Μαρίαν δῆθεν οἰκτείροντας, τοῦ δὲ πρωτοσεβάστου καταβοωμένους, καὶ ἀγανακτοῦντας κατὰ τῆς τοῦ βασιλέως μητρὸς, καὶ ἐλευθεροστομοῦντας τὰ ἀπρεπῆ· κατὰ μικρὸν δὲ καὶ εἰς στάσιν παρεκινήθησαν· οὕτω δὲ τὴν ἀρχὴν ἔσχε τὰ κατ' αὐτήν. Τῶν ἱερέων τις εἰκόνα τοῦ Σωτῆρος Χριστοῦ ἐπ' ἀγορᾶς στήσας, καὶ ἄλλος ἄρας σταυρὸν ἐπ' ὤμων, καὶ ἕτερος σημαίαν ἱερὰν ἀνεγείρας τοὺς στασιαστὰς ἐπεσπάσατο· οἱ δὲ τὸν μὲν βασιλέα εὐφήμουν, τὸν δὲ πρωτοσέβαστον καὶ τὴν δέσποιναν καθυπέβαλλον ἀναθέματι, καὶ τοῦτο ἔπραττον ἐς αὐτὸ τὸ λεγόμενον Μίλιον, καὶ εἰς τὸ Ἱπποδρόμιον, ἀφορῶντες εἰς τὰ ἀνάκτορα· ὡς δ' ἐφ' ἡμέρας πολλὰς ἐγίνετο, τὸν δῆμον ἐξέμηνε καὶ οἴκους λαμπροτάτους κατέσπασαν τῶν οἷς ὁ πρωτοσέβαστος καὶ ἡ δέσποινα φιλίως διέκειντο, καὶ τὰ ἔνδον τούτων διήρπασαν, σὺν ἄλλοις δὲ καὶ τὸν τοῦ Παντεχνῆ Θεοδώρου, ἐπάρχου καθεστηκότος τῆς Πόλεως καὶ τὸ τῶν οἰκειακῶν διέποντος σέκρετον |, τῷ δικαιοδο-φ·

τικῷ τε θρόνῳ ἐμπρέποντος· καὶ αὐτὸς μὲν ἐξέφυγε τὸν θάνατον, τὰ δ' ἐνόντα τούτῳ διαρπασάμενοι, οὐδὲ τῶν δημοσίων τόμων ἀπέσχοντο. Οἱ περὶ τὸν πρωτοσέβαστον τοίνυν ὁρῶντες ἀεὶ τὰ χείρω προβαίνοντα, σκέπτονται βουλὴν καθίσαντες ὅπως τὴν λύμην στήσωσι ταύτην· καὶ ἐπεὶ ἑώρων τὴν καισάρισσαν οὐδαμῶς μεθισταμένην τῶν οἰκείων βουλευμάτων, ἔγνωσαν διὰ πολέμου ἐπ' ἐκείνην χωρεῖν καὶ ἐξελάσαι τοῦ θείου νεώ· συλλεγέντος τοίνυν οὐκ ὀλίγον στρατεύματος, καὶ πάντων εἰς ἓν συναθροισθέντων στρατόπεδον, τὸ Μέγα παλάτιον, ὁ ἐπιτήδειος ἐζητεῖτο καιρὸς καθ' ὃν ἂν τοῖς ἐπὶ τοῦ ναοῦ ἐπίθωνται. Ἤδη δὲ καὶ ἡ καισάρισσα πολέμῳ διακριθῆναι τὰ κατ' αὐτὴν ἐθέλουσα ἡτοιμάσατο. Οὐκοῦν ὅσαι οἰκίαι κατὰ τὸν Αὐγουστεῶνα κατεσπάσθησαν, καὶ τῆς ἀψῖδος ἥτις κατὰ τὸ Μίλιον ἵσταται οἱ ἀπ' αὐτῆς ἀνήλθοσαν, τοῖς βασιλικοῖς ἀντιμαχησόμενοι, καὶ τὸν νεὼν δὲ, ὡς τοῦ Ἀλεξίου κατονομάζεται τῇ δὲ τοῦ Αὐγουστεῶνος αὐλῇ προσήνωται, στρατιῶται εἰσελθόντες ἐφύλαττον.

Αὐτοὶ μέντοι οἱ βασιλικοὶ καθ' ἡμέραν δευτέραν, ἑβδόμην δὲ τοῦ Μαΐου τῆς πεντεκαιδεκάτης ἰνδικτιῶνος, ἐκ τοῦ Μεγάλου παλατίου πρωΐας ἔτι οὔσης ἐξελθόντες εἰσῆλθον τὰ πρῶτα εἰς τὸν τοῦ Θεολόγου ἁγίου Ἰωάννου ναὸν, τὸ Διΐππιον, στρατιάρχην ἔχοντες Ἀρμένιόν τινα Σαββάτιον ὄνομα· ἔπειτα τοῦ τεμένους ἄνω γενόμενοι, ἠλάλαξαν ἄσημα· ὡς δὲ καιρὸς ἦν τοῦ μάχεσθαι, περὶ τρίτην τῆς ἡμέρας ὥραν, οὐ μικρῶς τοῖς ἀπὸ τῆς ἀψῖδος τοῦ Μιλίου καὶ τοῦ νεὼ τοῦ Κῦρ Ἀλεξίου, τῆς καισαρίσσης ὁπλίταις ἔβλαπτον, ὡς σκηπτοὺς ἀφέντες κάτω τὰ βέλη ἀφ' ὕψους μαχόμενοι· ἀλλὰ καὶ ἄλλων τοῦ παλατίου ἐξιόντων καὶ τοὺς στενωποὺς διαλαβόντων ὅσοι πρὸς τὸ μέγα τέμενος φέρουσιν, ὅ τε δῆμος τοῦ ἐπιβοηθεῖν τῇ καισαρίσσῃ ἐπαύσατο, καὶ οἱ ἀπὸ τοῦ Αὐγουστεῶνος τοῖς βασιλικοῖς συμπλεκόμενοι ὀλίγοι πρὸς πλείονας, κάμνοντες ἦσαν καὶ ἐκλυόμενοι· ἕως μὲν οὖν σταθερᾶς μεσημβρίας ἀμφιπαλὴς ἦν

ἡ μάχη· τῆς δ' ἡμέρας ὑποληγούσης, περιφανὴς ἡ νίκη τοῖς ἐκ βασιλέως ἐπένευσε, καὶ τοὺς ἐκ τοῦ ναοῦ ἔσω τοῦ Αὐγουστεῶνος κατέκλεισαν. Τότε καὶ οἱ ταῖς ἀψῖσι τοῦ Μιλίου ἐφεστῶτες καὶ ἐκ τοῦ νεὼ τοῦ Ἀλεξίου μαχόμενοι πρὸς τροπὴν ἔβλεψαν· καὶ ὡς ἐπεκράτησε τῶν χωρῶν τούτων ὁ τοῦ βασιλέως στρατὸς, τὰς μὲν σημαίας τῶν ἀψίδων ἄνωθεν ἔστησαν, τὰς δὲ πύλας τοῦ Αὐγουστεῶνος κατέβαλλον, καὶ τὸ τῆς καισαρίσσης ὁπλιτικὸν, οὐκ ἔτι ἀντιπίπτειν ἔχον, κατὰ μικρὸν ὑπέκλεπτε τὴν φυγὴν, βραχείας ἀρρωγῆς εὐμοιροῦν διά τε λίθων βολῆς καὶ βελῶν ἀφέσεως κατά τε τὸν ἐν τοῖς κατηχουμενείοις ἀνδρῶνα τὸν Μάκρωνα, ὃς εἰς τὸν Αὐγουστεῶνα νένευκε καὶ τὸν Θωμαΐτην αὐτόν· τέλος δὲ οἱ ἐκ τοῦ νεὼ πιεζόμενοι, τὴν τοῦ Αὐγουστεῶνος αὐλὴν ἀπολιπόντες, εἰσίασι τὸ πρόναον, καθ' ὃ δὴ ψηφίσι λεπταῖς ἀνεστήλωται ὁ τῶν ἀγγέλων ἀρχιστράτηγος φύλαξ τοῦ ἱεροῦ. Ἐκ δὲ τούτου ἔστη καὶ τὰ τῆς μάχης ἀμφοτέρων, ὡς τῶν μὲν ὑποπτευόντων τοὺς στενωποὺς τοῦ ναοῦ, τῶν δὲ τῆς καισαρίσσης μὴ ἰσχυόντων ὑπερπονεῖν.

Ὁ δὲ πατριάρχης δείσας μήπως ἔνδον τοῦ ἱεροῦ παρεισιῶσιν οἱ πολέμιοι καὶ ἀθέμιτά τινα διαπραξάμενοι ληστεύσωσι καὶ τὰ τοῦ ναοῦ ἀναθήματα, τὴν ἀρχιερατικὴν στολὴν ἐπενδὺς καὶ τὸ θεῖον μετὰ χεῖρας λαβὼν εὐαγγέλιον, κάτεισιν εἰς τὸ πρόναον, ὃ καὶ πρωτεκδικεῖόν φασιν, ἔνθα καὶ οἱ τῆς καισαρίσσης συνήχθησαν φεύγοντες. Ἀλλὰ καὶ ὁ καῖσαρ περὶ ἑαυτοῦ τε καὶ τῆς γαμετῆς πτοηθεὶς μὴ συλληφθεῖεν, τοὺς τὰς εἰσόδους τῆς ἐκκλησίας τηροῦντας ὁπλομάχους συγκαλέσας, καὶ ὅσον περὶ αὐτὸν Λατινικὸν δορυφορικὸν | καὶ ὅσον περὶ τὴν ὁμόζυγα φ. 8(οἰκίδιον, τοὺς πάντας περὶ τοὺς ἑκατὸν καὶ πεντήκοντα, ἐπί τινος ἀναβάθρας στὰς περὶ τὸν Μάκρωνα ἔφησε τοιάδε· « Ἐχρῆν μὲν μὴ καθ' ὁμοφύλων καὶ ὁμοπίστων, ἀλλὰ κατὰ τῶν ἐχθρῶν τοῦ σταυροῦ τὰς πολεμικὰς ταύτας στολὰς περιβάλλεσθαι· ἐπεὶ δὲ οἱ ὡς οὐκ ἔδει τὰ τῆς βασιλείας σκῆπτρα

διέποντες, τοῦτο μὲν ἀφείλοντο, καὶ ἀναγκαστῶς τὰς ἡμετέρας λόγχας καθ' ἑαυτῶν ἀκονήσαντες ἔχουσι, μὴ ἀγεννῶς ἐπιστῶμεν ἐπερχομένοις, μηδ' ὅτι ὁμόπιστοι καὶ ὁμογενεῖς λογισώμεθα, ἀλλ' ὡς πολεμίους θεοῦ πρότερον, οὗ τὸ ἱερὸν ἀναιδῶς εἰσέρχονται, ἔπειτα δὲ καὶ ἡμῶν ἐχθροὺς ἀμυνώμεθα· πάντως δὲ τὰ τῆς ἀμύνης ἀνεύθυνα· οἷς γὰρ οὐδέν τι κακὸν πεποιήκαμεν, καὶ καθ' ὧν οὐδόλως ὅπλα ἠράμεθα, οὗτοι ἀναισχύντως ὥρμησαν καθ' ἡμῶν, διψῶντες τὸν ἡμέτερον θάνατον, καὶ προσφυγόντας τῷ θεῷ, ἐκ τοῦ νεὼ τούτου ἀποσπᾶν θέλουσι, χρεὼν μὴ οὕτω ποιεῖν, ὅτι τε οὐδὲν ἐπεγκαλεῖν ἡμῖν ἔχουσι, καὶ ὅτι τῆς ἐσχάτης ἀπονοίας ἐπιτιμᾶν ὅλως τοῖς εἰς θεὸν καταφεύγουσι καὶ μεσίτην τοῦτον προβαλλομένοις· οὔτε οὖν ὑφορᾶσθαι δέον, ὡς ἀνόσιον τὸ ὑπὲρ ἑαυτοῦ τινα μάχεσθαι, οὔτε τὸν μετὰ ξίφους ἐπιόντα καὶ ἀναιρεῖν ὁμογενῆ θέλοντα, ἀπλῆγα δεῖ παριέναι, ἀλλ' ἅπας κακῶς μοι διατιθέμενος, κρινέσθω πολέμιος, καὶ ὁ ἐπελθὼν ἀναιρεῖν, ἀναιρείσθω· ἡμῶν δὲ καὶ τὸ θεῖον εἴσεται χάριν, εἰ τοῦ ἱεροῦ τοῦδε τοὺς μιαιφόνους ἀποσοβήσομεν, ἢ καὶ κεχηνόσιν ὡς ὁρᾶτε κατὰ τῶν ἁγίων καὶ διαρπάσαι ταῦτα προθυμουμένοις, αὐτοῖς ἀντιστῶμεν· εἰ γὰρ διέστελλον ἀνὰ μέσον βεβήλου καὶ ἱεροῦ, οὐκ ἂν τοῖς ἐνδοτέροις ἐπεπήδων τοῦ ἱεροῦ, τὸ νικᾶν ἔχοντες, οἱ δὲ οὕτως εἰσὶν ἀναιδέστατοι, ὡς οὐ μόνον σκυλεῦσαι φαντάζεσθαι τὰ ἡμέτερα, ἀλλὰ καὶ τὰ τοῦ ναοῦ προσλαβεῖν. Ἀλλ' οὐ μὰ τὸν παγέντα σταυρῷ, καὶ τὴν λόγχην ταύτην, οὔκουν ἕξει τούτοις τὸ ἐγχείρημα πέρας, ἀλλὰ καὶ θεῷ τὰ οἰκεῖα διαφυλαχθήσεται, καὶ ἡμεῖς ἐσόμεθα ἀπρονόμευτοι.»

Τοσαῦτα καὶ τοιαῦτα εἰπὼν ὁ καῖσαρ, κάτεισιν εἰς τὸ πρόναον, ἔνθα ὁ φύλαξ ὁ Ἀρχιστράτηγος, καὶ οἱ περὶ αὐτὸν τούτῳ παρείποντο ὡπλισμένοι ὡς ἄριστα, κἀκεῖσε εἰς τάξιν καταστήσας αὐτοὺς καὶ τῷ σταυρικῷ σημείῳ ἑαυτὸν ἐφοπλίσας, τῶν ἄλλων προεκπηδᾷ. Οἱ δ' ἐν τῇ τοῦ Αὐγουστεῶνος αὐλῇ

πρὸς τὴν ὁρμὴν αὐτοῦ διαταραχθέντες, ἐξέτρεχον ἐκεῖθεν, ὅτε καὶ πολλοὶ τούτων τραυματίαι γεγόνασιν, εἷς δέ τις καὶ θνήσκει τῷ ξίφει τρωθείς. Τὸ δ' ἀπὸ τοῦδε ὁ καῖσαρ μὲν ἐπανεισιν ὅθεν ἐξώρμησεν, οἱ δ' ἐκ τῶν τοῦ βασιλέως στρατιωτῶν οὐκέτι παρελθεῖν τὴν αὐλὴν ἐτόλμησαν.

Ἤδη δὲ τῆς ἡμέρας κλινούσης, τοῦ πατριάρχου εἰς τὴν δέσποιναν τὸν ἑαυτοῦ παλατῖνον στείλαντος, καὶ τὴν θείαν διαπειλησαμένου ταύτῃ ὀργὴν, ἔπειτα δὲ καὶ τὰς περὶ τῶν σπονδῶν τῆς καισαρίσσης διαμεμηνυκότος φωνὰς, ἀφικνεῖται πρὸς λύσιν τῶν ἀμφιβόλων ὁ μέγας δοὺξ Ἀνδρόνικος ὁ Κοντοστέφανος, ὁ μέγας ἑταιρειάρχης Ἰωάννης ὁ Δούκας, καὶ συχνοὶ ἕτεροι τό τε γένος ἐπίσημοι καὶ τοῖς ἀξιώμασι. Καὶ τότε μὲν νυκτὶ πεισθέντες τὸν ἀγῶνα διέλυσαν· τῇ δ' ὑστεραίᾳ καὶ αὖθις πρὸς πόλεμον ἡτοιμάζοντο. Τῶν δ' αὐτῶν παραγενομένων ἀνδρῶν καὶ πίστεις δόντων τῇ καισαρίσσῃ καὶ τῷ ταύτης ἀνδρὶ, καὶ ὅρκοις βεβαιωσάντων αὐτὰς ὡς οὐκ ἄν τι πάθοιεν ἀηδὲς οὔτε πρὸς τοῦ ἀδελφοῦ καὶ βασιλέως, ἢ τῆς δεσποίνης, ἢ τοῦ πρωτοσεβάστου, ἀλλὰ καὶ ἀμνηστίας δωρηθείσης κἀκείνοις οἵπερ εἰς συμμάχους αὐτῇ κατέστησαν, οὕτω τῆς δευτέρας ἀπέσχοντο συμπλοκῆς· καὶ οἱ μὲν ὑπεχώρησαν μετὰ τὸ τῶν ὅρκων πέρας καὶ τῶν σπονδῶν· | νυκτὸς δ' ἐπιστάσης, φ. 8 ὁ καῖσαρ καὶ ἡ γαμετὴ τούτου ἐξίασι τοῦ ναοῦ καὶ ἀφικνοῦνται πρὸς τὸ Μέγα παλάτιον καθ' ὃ τότε οἱ κρατοῦντες ηὐλίζοντο.

Κατὰ δὲ τοῦ πατριάρχου Θεοδοσίου μηνιῶν ὁ πρωτοσεβαστὸς ὡς τοῖς αὐτοῦ θελήμασιν ἀνθισταμένου, καὶ πρότερον μὲν κατ' αὐτοῦ πολλοὺς τῶν ἀρχιερέων ἐπισυνίστησι χρυσίου δόσει καὶ συμποσίοις διαφθείρας, καθαιρέσει τοῦτον καὶ ἀπόντα ὑπέβαλεν, ὡς τὴν καισάρισσαν κατὰ τοῦ βασιλέως ἐπαναστᾶσαν ἀντιλαμβανόμενον, καὶ τάχ' ἂν καὶ τοῦ πατριαρχικοῦ θρόνου τότε κατήγαγεν, εἰ μὴ ἡ καισάρισσα ἀμφοτέραις ὃ δὴ λέγεται χερσὶ τούτου προΐστατο, καὶ τὸν μὲν πρωτοσεβαστὸν ἀ-

πεῖργε τοῦ ἐγχειρήματος, τὸν δὲ πατριάρχην ἐφρούρει ἐπιμελῶς, μή πως ὑποχωρήσας ἑαυτὸν μὲν ἀπαλλάξῃ πραγμάτων ἐν τῷ καθ' ἡσυχίαν ζῆν εἰς ἣν ἐδομήσατο μονὴν κατὰ τὴν Τερέβινθον, ἑαυτῇ δὲ ἀπωλείας γένηται πρόξενος, εὐθὺς ἁρπαγησομένῃ ἐκ τοῦ ναοῦ. Τότε δὲ καιρὸν εὑρὼν τῶν ἱερῶν ἀρχείων καταβιβάζει καὶ τῇ τοῦ Παντεπόπτου περιορίζει μονῇ· πλείστας δὲ ὁδοὺς τεμὼν μετά τινων τῶν ἐκ τῆς συγκλήτου, ἀλλὰ δὴ καὶ τῶν τῆς ἐκκλησίας ὅπως [εὐ]προσωπότερον ἀποβληθείη ὁ ἱερὸς οὗτος ἀνήρ, οὐκ ἔσχεν ἐπιτελῆ τὰ κατὰ σκοπόν, διὰ τὸ μηδ' ὁτιοῦν καθαιρέσει τοῦτον ὑπάγον ἐν τούτῳ εὑρίσκεσθαι, ἀλλὰ καὶ διὰ τὸ τὴν δέσποιναν καὶ τοὺς πλείονας ἢ καὶ πάντας σχεδὸν τοὺς ἐκ τοῦ βασιλικοῦ βήματος ὑπερβαλόντως τὸν ἄνδρα τιμᾷν. Οὐκοῦν ἐπευδοκεῖ καὶ αὐτὸς τῇ ἐς τὸ πατριαρχεῖον αὖθις ἐπανελεύσει αὐτοῦ. Προεπέμπετο τοίνυν ὁ πατριάρχης εἰς τὸ πατριαρχεῖον μεγαλοπρεπῶς ἀναγόμενος· οὕτω δὲ ἡ προπομπὴ μυρίανδρος ἦν, ὡς μόλις περὶ βαθεῖαν ἑσπέραν ἀπὸ τοῦ Παντεπόπτου ἐπαναζεῦξαι περὶ τὸν μέγαν νεών, ὑποφαινομένης ἡμέρας τῆς πορείας ἀρξάμενον· αἰσχύνη δ' ἐκάλυψε τοὺς ἀντιθέτους τούτῳ ἀρχιερεῖς, ὡς μὴ μόνον τὰς δημοσίας παρόδους ἐκτρέπεσθαι, ἀλλὰ καὶ τὸ θανεῖν ὑποβλέπεσθαι. Καὶ ταῦτα μὲν εἶχεν οὕτως.

Ὁ δ' Ἀνδρόνικος παρὰ πολλῶν ὡς ἐρρέθη δι' ἐπιστολῶν προσκαλούμενος, τέλος καὶ αὐτὴν τὴν θυγατέρα Μαρίαν πρὸς αὐτὸν ἀποδρᾶσαν ἔσχε τῶν κατὰ τὰ βασίλεια πραττομένων διδάσκαλον, καὶ παραθερμανθεὶς οἷς παρ' αὐτῆς ἤκουσε, τὴν μὲν τῶν Παφλαγόνων ἐᾷ, εἰς δὲ τὴν κατὰ Πόντον Ἡράκλειαν παραγίνεται, κἀκεῖθεν προσωτέρω μεταχωρεῖ, ταῖς πολυτρόποις μεθοδίαις καὶ τῷ σεσοφιστευμένῳ φρονήματι καὶ ταῖς αἱμυλίαις ἐφέλκων πάντας οἷς ἂν ἐντύχοι καὶ οἰκειούμενος. Ἀλλ' οὐδ' ὁ πρωτοσεβαστὸς ἐπὶ τούτοις ἠμέλει παντάπασιν, ἀλλὰ τοὺς πλείους τῶν εὐγενῶν αὐτοῦ ἐξηρτήσατο, χρώμενος μὲν

προτειχίσματι τῇ τοῦ βασιλέως μητρί· αὕτη γὰρ ὡς ἀπὸ μηρίνθου πάντας ἐφείλκετο· τὰ πλεῖστα μέντοι καὶ δωρεαῖς κατεκοίμιζε τοὺς ἀπαρεσκομένους ἐκείνου φέρειν τὰ δεύτερα· ὅθεν οὐδεὶς τῶν ἐπιταχθέντων ἀντιτάξασθαι Ἀνδρονίκῳ, πρὸς Ἀνδρόνικον μετετάξατο, τὸν ἤδη λαμπρῶς τῆς τυραννίδος ἁπτόμενον, ἀποβαλλόμενος τὸν πρωτοσεβαστόν. Ἥ τε οὖν λαμπρὰ τῶν Νικαέων πόλις οὐδόλως τῷ Ἀνδρονίκῳ προσέθετο, καὶ ὁ τὴν ταύτης ἐμπιστευθεὶς φυλακὴν Ἰωάννης ὁ Δούκας, τοῖς γράμμασιν Ἀνδρονίκου ἀπαρακίνητος πάμπαν μεμένηκεν· ἀλλὰ καὶ ὁ μέγας δομέστικος Ἰωάννης ὁ Κομνηνὸς τὴν τῶν Θρᾳκησίων διέπων ἐπαρχίαν, οὐ μόνον ἔδυε τὰ ὦτα πρὸς τὰ τοῦ Ἀνδρονίκου ἐπᾴσματα, ἀλλὰ καὶ ὡς τύραννον αὐτὸν διετώθαζεν.

Ἐπεὶ δὲ τῇ Ταρσίᾳ ἤγγιζε, καὶ τῶν περὶ τὴν Νικομήδους οἱ πλείονες αὐτῷ προσεχώρουν, στέλλεται κατ' αὐτοῦ μετὰ δυνάμεως ἱκανῆς ὁ Ἄγγελος Ἀνδρόνικος, οὗπερ οἱ υἱοὶ Ἰσαάκιος καὶ Ἀλέξιος μετ' Ἀνδρόνικον ἐβασίλευσαν· ὁ δὲ περὶ τὸν Χάρακα τὸ χωρίον πόλεμον συγκροτήσας ἡττᾶται λαμπρῶς, ἐκτομίᾳ τινὶ συμμίξας ἀχρείους στρατολογήσαντι γεωργούς, |φ. 8 καὶ μοῖραν συνεπαγόμενον Παφλαγόνων στρατιωτῶν. Εἰς τὴν Πόλιν τοίνυν μετὰ τὴν ἧτταν εἰσιὼν ἀπῃτεῖτο καταθέσθαι ὅσα πρὸς τὰς κατὰ πόλεμον δαπάνας τούτῳ ἐδόθησαν· ὁ δὲ βασανιζομένην ὁρῶν τὴν αὐτοῦ διάθεσιν, ὅτι φίλια φρονῶν Ἀνδρονίκῳ, χειρόνως τὰ πράγματα διέθετο, ἅπερ εὐμαρήσειν ἐστάλη, παρορμώμενος παρὰ τῶν υἱῶν ἓξ ὄντων, ἐπεβάλετο μὲν τὸν οἰκεῖον οἶκον διακρατῦναι καὶ κατασκευάζειν ἐπιτειχίσματα, κατὰ τὸ Ἐξωκιόνιον διακείμενον, καὶ τῶν ἐκ τοῦ δήμου τινὰς ἐπεσπᾶτο πρὸς σύναρσιν, λογισάμενος δὲ ὡς οὐκ ἂν σχοίη περιγενέσθαι, πρὸς φυγὴν ἀφορᾷ, καὶ τοὺς ἓξ παραλαβὼν υἱοὺς καὶ τὴν γυναῖκα τοῦ οἴκου ἀπαγαγὼν, νηὸς ἐπιβὰς, τῆς ἐς Ἀνδρόνικον ἅπτεται. Ὁ δὲ προσιόντα τοῦτον ἰ-

δῶν, λέγεται εἰπεῖν « ἀποστελῶ τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. » Θάρσος οὖν ἐπὶ τῇ τοῦ ἐξαδέλφου παρουσίᾳ λαβὼν Ἀνδρόνικος, χαίρειν ἐάσας τὰς πόλεις Νίκαιάν τε καὶ Νικομήδειαν, πρὸς τὴν Κωνσταντίνου τὸν δρόμον συνέτεινε.

Καὶ δὴ τοῖς Πευκίοις ἐναυλισάμενος (τόπος δὲ ἐστι ταῦτα ἐν τοῖς ἄνω τῆς Χαλκηδόνος μέρεσι), καὶ πυρὰ πολλὰ καύσας κατὰ τὴν νύκτα ἐκείνην ἐς δόκησιν στρατεύματος πλείονος, ἐκκρεμεῖς αὐτοῦ τοὺς Βυζαντίους ἔθετο. Ὧδε μὲν οὖν ἐχώρει τὰ κατὰ τὸν Ἀνδρόνικον.

Ὁ δὲ πρωτοσεβαστὸς, μὴ ἔχων διὰ πεζῆς φάλαγγος ἀντιτάξασθαι (ἤδη γὰρ οἱ μὲν μετέβαινον ταῖς γνώμαις κρυφιωδῶς πρὸς Ἀνδρόνικον, τοῖς δὲ ἀρκετὸν ἐλογίζετο πρὸς τὴν εἰς τὸν κρατοῦντα πίστιν τὸ ἐπ' οἴκου καθῆσθαι καὶ μηδενὶ προστίθεσθαι τῶν μερῶν), διὰ ναυμαχίας ἐπειρᾶτο τὸν κίνδυνον ἀποκρούσασθαι· τριήρεις τοίνυν τὴν Προποντίδα ἐκάλυπτον, αἱ μὲν Ῥωμαίους ἔχουσαι, αἱ δὲ τῶν κατὰ πόλιν Λατίνων τοὺς μαχιμωτάτους οἷς καὶ τὰ χρήματα κατὰ ποταμοὺς ἐπεχέοντο· ἐπεὶ καὶ τούτοις θαρρῶν ἦν, ὥρμησε μὲν οὖν τοὺς πιστοτάτους αὐτῷ καὶ κατὰ γένος προσήκοντας ἐπιστῆσαι τῷ στόλῳ, τοῦ δὲ μεγάλου δουκὸς ἀντιπνεύσαντος, ἀναγκαστικῶς τὴν βούλησιν μετατίθησι. Καὶ δὴ ὁ μέγας δοὺξ κύριος καθειστήκει τοῦ στόλου παντὸς· συνῆσαν δὲ τούτῳ τῶν τοῦ πρωτοσεβαστοῦ προσγενεῖς. Μετὰ βραχὺ δὲ καὶ πρέσβυς ἀπὸ τοῦ βασιλέως ἐς Ἀνδρόνικον στέλλεται τῆς Μεγάλης ἐκκλησίας διάκονος ὁ Ξιφιλῖνος Γεώργιος, ὃς καὶ εἰς ὄψιν τῷ τυράννῳ ἐλθὼν, τά τε γράμματα ἐνεχείρισε καὶ τὰ διαμηνυθέντα ἀπήγγειλεν· ἦσαν δὲ ταῦτα, δωρεῶν ἐπαγγελίαι μειζόνων, καὶ ἀξιωμάτων ὕψος, καὶ χάρις ἀπὸ τοῦ εἰρηνάρχου θεοῦ, ἀποστάντι τοῦ σκέμματος ἐξ οὗπερ ἐμφύλιοι γενήσονται πόλεμοι, καὶ πρὸς τὰ πρότερον ἐπανήκοντι. Ὁ δὲ, τοῦ πρεσβευ-

τοῦ, ὥς φασι, τὴν πρεσβείαν ὑπονοθεύσαντος, τήν τε αἴτησιν ἀποπέμπεται, καὶ τὴν προσλαλιὰν ποιεῖται ὑπέρογκον, φήσας πρὸς ὀργὴν, ὡς εἰ τὸν Ἀνδρόνικον θέλουσιν ὑποστρέψαι, ὁ πρωτοσεβαστὸς ἀποπεμφθήτω τῶν βασιλείων, καὶ δότω λόγους ὧν κακῶς διῴκησεν, ἡ δὲ τοῦ βασιλέως μήτηρ καθ' ἑαυτὴν διαγέτω τὴν τρίχα κειραμένη μοναχικῶς, ὁ δὲ βασιλεὺς κατὰ τὴν πατρῴαν διαθήκην ἀρχέτω.

Ἀλλ' οὔπω ἡμέραι πολλαὶ καὶ ὁ μέγας δοὺξ μεταχωρεῖ πρὸς Ἀνδρόνικον τὰς Ῥωμαϊκὰς τριήρεις συνεπαγόμενος, καὶ τοῦτο τὸ ἔργον τὸν μὲν τύραννον Ἀνδρόνικον ὑπὲρ ἄλλο τι ἐπῆρε, τὸν δὲ πρωτοσεβαστὸν καταβέβληκε τέλεον. Οἱ γὰρ ταῖς τῶν πραγμάτων μεταβολαῖς ἐπιχαίροντες, ἀνέδην τότε τὸν πρωτοσεβαστὸν ἐξουθένουν, καὶ τὸν Ἀνδρόνικον ἀπεθαύμαζον, κατὰ φατρίαν πρὸς αὐτὸν ἀπιόντες, καὶ μετὰ χαρμονῆς ἐπανέστρεφον, ὡς εἰς τὰς χρυσᾶς ᾀδομένας Ἔννας τοῦ τῆς ζωῆς αὐτῶν χρόνου φθάσαντος. | Ἦσαν δὲ καὶ οἱ ἐκ πρώτης ὄψεως φ. τὸν ἐν δέρματι προβάτου κεκρυμμένον λύκον γνωρίσαντες.

Ἐπὶ τούτοις λύονται τῆς εἱρκτῆς οἱ τοῦ Ἀνδρονίκου παῖδες, ὁ Ἰωάννης καὶ ὁ Μανουὴλ, οὓς καθεῖρξεν ὁ πρωτοσεβαστός. Ἐγκλείονται δὲ οἱ τῆς τοῦ πρωτοσεβαστοῦ μερίδος καὶ συγγενείας, καὶ αὐτὸς δὲ συλληφθεὶς κατὰ τὰ ἀνάκτορα ἐφρουρεῖτο· αὖθις δὲ τῶν βασιλείων περὶ μέσας νύκτας ἐξάγεται καὶ τοῖς κατὰ τὸ πατριαρχεῖον οἰκήμασιν, ὧν δομήτωρ ὁ πατριάρχης γέγονεν Μιχαὴλ, δίδοται μετὰ πλείονος καὶ ἀσφαλεστέρας φρουρᾶς. Ὁ δὲ ἐδυσχέραινε μὲν ἐπὶ τούτοις, ἐπαθαίνετο δὲ πλέον ὅτι μὴ ἐῶτο ὑπνώττειν. Ὁ δὲ πατριάρχης οἰκτείρων αὐτὸν, θεραπείας τε ἱκανῆς μετεδίδου καὶ τὸ ἄχθος ἐκούφιζε, καὶ τοῖς φύλαξι παρῄνει καταλλήλως τῷ ἐκείνου γένει προσφέρεσθαι. Ἡμερῶν δέ τινων διαγενομένων, ἕως ἀπάγεται τοῦ νεὼ, ἵππῳ βραχυτάτῳ ἐπικαθήμενος, καὶ προοδεύουσαν ἔχων σημαίαν ἐπὶ καλάμῳ ἠνεμωμένην, καὶ παροινούμε-

νος οὕτω κάτεισι πρὸς τὴν θάλασσαν, καὶ ἁλιάδι ἐμβληθεὶς ἀπάγεται πρὸς Ἀνδρόνικον, κἀκεῖ τοὺς ὀφθαλμοὺς ἐξορύττεται, τῶν ἐν ὑπεροχαῖς συνελθόντων ὅσοι μετ' Ἀνδρονίκου καὶ κυρωσάντων αὐτῷ τὴν ποινήν.

Ὁ μέντοι Ἀνδρόνικος ἔτι κατὰ τὴν Περαίαν διατρίβων, στείλας τριήρεις ὅσαι τοῦ μεγάλου δουκὸς ὀπίσω ἠκολούθησαν, κἀκ τῶν συνακολουθησάντων αὐτῷ στρατιώτας, πόλεμον συγκροτεῖ κατὰ τῶν ἐν τῇ Πόλει Λατίνων. Καὶ δὴ καὶ τοῦ δήμου ἀναθαρρήσαντος κατ' αὐτῶν, ἐπίγειος καὶ θαλάττιος ἔρις φύεται· οἱ δὲ Λατῖνοι μὴ ἔχοντες ἀντιβαίνειν, ὡς εἶχον ἕκαστος σώζειν ἑαυτοὺς ἔργον εἶχε, τὰς οἰκίας πλήρεις παντοδαποῦ πλούτου καὶ πολλῶν ἀγαθῶν ἐάσαντες τοῖς βουλομένοις εἰς προνομήν· οὐδὲ γὰρ μένειν κατὰ χώραν ἐτόλμησαν, ἢ κατὰ Ῥωμαίων ἐπελθεῖν, ἢ τοὺς ἐπιόντας δέξασθαι. Ἐντεῦθεν οἱ μὲν κατὰ Πόλιν διασπαρέντες ὡς ἔτυχεν, ἄλλοι προσιόντες οἴκοις μεγάλων, οἱ δὲ καὶ τριήρεων ἐπιβάντες ἃς ἐπλήρουν ὁμόφυλοι, ἐξέφευγον τὸ θανεῖν· ὅσοι δὲ συνελήφθησαν ἀπεσφάγησαν. Πάντες μέντοι τῶν προσόντων ἔπαθον στέρησιν· αἱ δὲ τῶν δραπετευσάντων Λατίνων νῆες τῶν τῆς Πόλεως ἀναχθεῖσαι λιμένων, τὸ λεῖπον μὲν τῆς ἡμέρας ἐκείνης ταῖς νήσοις διεβίβασαν, τῇ Πριγκίπῳ καὶ τῇ Πρώτῃ καὶ ταῖς περὶ αὐτάς, τὴν δ' ἐπιοῦσαν τινὰ τῶν ἐν αὐταῖς ἱερῶν φροντιστηρίων πυρπολήσασαι, ἐξῆραν ἐκεῖθεν, καὶ ὅπου κατήγοντο πολλὰ τοῖς ἐκεῖ Ῥωμαίοις ἐποίουν ἀπαίσια.

Κατ' ἐκείνας τὰς ἡμέρας καὶ κομήτης ἐφάνη κατ' οὐρανόν, ἀτεχνῶς ὑποδηλῶν τὸν Ἀνδρόνικον· ὄφεως γὰρ ὑπετύπου σχῆμα· ἡμέραν δ' ἐκείνην διαρκέσας καθ' ἣν ἐθεάθη καὶ νύκτα τὴν ἐπιοῦσαν, ἀθέατος γέγονε τοῦ λοιποῦ. Καὶ ἱέραξ δὲ πολυετὴς ἀπὸ τῆς Ἕω πρὸς τὴν Μεγάλην ὥρμησεν ἐκκλησίαν, καὶ τὸν Θωμαΐτην εἰσιών, πολλοὺς θεατὰς κατὰ φήμην εἶχεν, ἦσαν δὲ καὶ οἱ τοῦτον συλλαβεῖν τεχναζόμενοι· λώροις δὲ τοὺς πόδας

ἐδέδετο· ὁ δὲ ἐκεῖθεν ἀρθεὶς, κατέπτη εἰς τὸ Μέγα παλάτιον, καὶ ἄνω τοῦ οἰκήματος καθεσθεὶς ἐν ᾧ τοὺς τὴν βασιλείαν ἄρτι παραλαβόντας ἔθος ἐστὶν εὐφημεῖσθαι, μετὰ βραχὺ ἐπάνεισι πάλιν πρὸς τὸν νεών. Καὶ τρίτον τὰ αὐτὰ ποιήσας, ὕστερον παρά του θηρεύεται καὶ εἰσάγεται τῷ βασιλεῖ. Οἱ μὲν οὖν τῶν ταῦτα περισκοπούντων, συλληφθῆναι ἔφασκον τὸν Ἀνδρόνικον, καὶ δίκας δοῦναι ὧν ἔπραξεν· οἱ δὲ τριετῆ τὴν ἀρχὴν αὐτοῦ ἐτεκμαίροντο, καὶ τελευταῖον φρουρὰν καὶ ποδοκάκας καθυποδέχεσθαι.

Πολλῶν δὲ ἤδη, ἢ μᾶλλον πάντων ἐς τὸν Ἀνδρόνικον διαπεραιουμένων, λοίσθιος ἔρχεται πρὸς αὐτὸν καὶ ὁ πατριάρχης Θεοδόσιος μετὰ τῶν ἐλλογίμων τοῦ βήματος· ὁ μὲν οὖν εἰς τὴν ἑαυτοῦ ἐγγίζει σκηνὴν, ὁ δὲ τὸν μέγαν ἀρχιερέα ἐνωτισάμενος, ἔξεισι πρὸς ὑπάντησιν, στολὴν ἠμφιεσμένος σχιστὴν ἰοβάφινον ἐς γόνατα καὶ γλουτοὺς καταβαίνουσαν, καὶ καλύπτραν μέλαιναν ἐπὶ τὴν κεφαλὴν περικείμενος, καὶ πρὸ τῶν τοῦ ἵππου τούτου ποδῶν βαλὼν ἑαυτὸν ἔκειτο τεταμένος· μετὰ μικρὸν δ' ἀνίσταται, καὶ τῶν ἐκείνου ποδῶν ἐφάπτεται, σωτῆρα τοῦ βασιλέως ἀποκαλῶν, καὶ ζηλωτὴν τοῦ καλοῦ, καὶ τῆς ἀληθείας ὑπέρμαχον, | καὶ τῷ χρυσῷ τὴν γλῶσσαν Ἰωάννῃ ἀν-φ. θάμιλλον. Ὁ δὲ τότε πρῶτον Ἀνδρόνικον θεασάμενος, ἐπεὶ ἐνέβλεψε τούτῳ περιεργότερον, καὶ τὸ βλέμμα καὶ τὸ φρόνημα καὶ τὸ ἦθος αὐτοῦ κατενόησε, καὶ τὴν τῆς ἡλικίας ἀναδρομὴν ἐθεάσατο, ταλανίσας τοὺς τοιοῦτον ἄνδρα εἰσοικισαμένους ἐπὶ κακῷ ἑαυτῶν, ἀκοῇ μέν φησιν, ἤκουόν σου τὸ πρότερον, νῦν δὲ καὶ ἑώρακα καὶ σαφῶς ἔγνωκα· καὶ αὖ πάλιν τὸ τοῦ Δαυῒδ εἴρηκε: καθάπερ ἠκούσαμεν, οὕτω καὶ εἴδομεν. Ἀλλ' οὐκ ἔλαθεν ἡ τῶν ῥημάτων διπλόη τὸν πολύμητιν ὄντως Ἀνδρόνικον, διὸ καὶ, ἴδε, φησὶ, βαθὺς Ἀρμένιος, (ἐπεὶ καὶ τὸ πατρῷον γένος ἐξ Ἀρμενίων ἕλκειν ἐλέγετο)· τοῦτο δὲ καὶ ἄλλοτε ἐπέσκωψεν ἐς αὐτὸν Ἀνδρόνικος, ὅτε ὁ μὲν, εἰς αὐτὸν ἀφι-

κομένῳ τῷ πατριάρχῃ, ἄχθεσθαι, ἔλεγεν, ὡς μόνος ἀπὸ πάντων κηδεμὼν ἀπολειφθεὶς τοῦ βασιλέως μηδενὸς αὐτῷ ἄλλου συγκάμνοντος, μηδὲ τῆς αὐτοῦ ἁγιότητος, καὶ ταῦτα τοῦ βασιλέως καὶ πατρὸς Μανουὴλ ἐς αὐτὸν ἀναθεμένου τὸν υἱὸν καὶ βασιλέα Ἀλέξιον· ὁ δ' ἔφησε πρὸς Ἀνδρόνικον, ἀποφροντίσαι πάλαι τὸν βασιλέα, ἐξ ὅτου περ αὐτὸς Ἀνδρόνικος τὴν βασιλίδα πόλιν εἰσῆλθε καὶ τὰ κοινὰ διαχειρίζει πράγματα· πρὸς ἅπερ ἐρυθριάσας Ἀνδρόνικος ἤρετο τὸν πατριάρχην τί ἐστὶ τὸ ἀποφροντίσαι, (τὸν μὴ συνιέντα πλαττόμενος)· ὁ δὲ μὴ θέλων ἐκμαίνειν τὸν θῆρα, οὐ πρὸς ὅν ἐρρήθη νοῦν τὸ ῥηθὲν ἐπέφερε τὴν ἐξήγησιν, ἀλλὰ μηκέτι, ἔφησε, φροντίζειν τοῦ βασιλέως, διὰ τὸ τοὺς κανόνας μὲν καὶ τὸ γῆρας μὴ ἐγχωρεῖν αὐτῷ τοῖς κατὰ κόσμον συμπλέκεσθαι πράγμασι, τὸ δὲ πλέον, αὐτὸν τὸν Ἀνδρόνικον αὐτάρκη εἶναι πρὸς τὸ τὸν βασιλέα παιδοκομεῖν.

Τῶν μέντοι κατὰ τὰ βασίλεια οὕτω διῳκημένων, ὡς Ἀνδρόνικος ὑπέθετο τοῖς υἱοῖς αὐτοῦ καὶ τοῖς φίλοις, καὶ οἵ τῶν καθ' αἷμα ᾠκειωμένων τῷ βασιλεῖ, ἀνέγκλητον εἶχον ἐκ βασιλέως τὸ προσιέναι Ἀνδρονίκῳ, καὶ τοῖς ἐκείνου ὑπείκειν βουλήμασιν. Ὀψὲ δὴ καὶ αὐτὸς Ἀνδρόνικος ἐκ τῆς Δαμάλεως εἰσιὼν τριήρη, καὶ τὸ τοῦ Δαυΐδ ἐπειπὼν, Ἐπίστρεψον, ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου, ὅτι Κύριος εὐηργέτησέ σε, τῷ βασιλεῖ Ἀλεξίῳ καὶ τῇ τούτου μητρὶ Ξένῃ συμμίγνυσιν, ἐξιοῦσι τῶν ἐν τῇ Πόλει βασιλείων κατὰ βούλησιν Ἀνδρονίκου, καὶ μετασκηνωσαμένοις εἰς τοὺς ἐν τῷ Φιλοπάτῳ βασιλικοὺς οἴκους, οἵ τοῦ Μαγγάνη κατονομάζονται· καὶ τῷ μὲν βασιλεῖ βαθεῖαν ἀπονέμει προσκύνησιν, καὶ τῶν ἐκείνου προκυλινδεῖται ποδῶν, ὡς εἰώθει κοψάμενος, καὶ δάκρυα τῶν βλεφάρων καταχεάμενος, τῇ δὲ μητρὶ Ξένῃ βραχεῖαν ἀπονείμας προσαγορείαν, καὶ ταύτην ὑπεροψίας καὶ μίσους ἐνδεικτικὴν, μετὰ βραχὺ ἐκεῖθεν μεθίσταται καὶ πρὸς τὴν ἠυτρεπισμένην αὐτῷ σκηνὴν ἀφικνεῖται,

ἔχων περὶ αὐτὸν ἐνσκηνώτους πάντα εὐγενῆ καὶ περίδοξον. Ὅτε καί τις ἀνὴρ προσαίτης, τὰς τῶν πλουσίων θύρας ἐκτρίβων καὶ οὕτω ποριζόμενος τὴν τροφὴν, περὶ τὴν τοῦ Ἀνδρονίκου σκηνὴν ἀωρὶ τῶν νυκτῶν ἑάλω ἀναστρεφόμενος· καὶ τὰ μὲν πρῶτα ὡς γοητείαις κεχρημένος ὑπὸ τῶν θεραπόντων Ἀνδρονίκου εὐθύνεται, εἶτα καὶ τῷ δήμῳ τῆς Πόλεως ἐκδίδοται· οἱ δὲ ἀνεξελέγκτως φρυγάνοις τὸν ἄθλιον κατακαίουσι.

Μετὰ δ' ἡμέρας ἔσχεν ἔρον Ἀνδρόνικος τὴν Κωνσταντινούπολιν εἰσελθεῖν· ὅθεν καὶ κατὰ τὴν μονὴν τοῦ Παντοκράτορος ἀφικόμενος, καὶ ποῦ τέθαπται ὁ τοῦ Μανουὴλ νεκρὸς ἐρωτήσας, καὶ ἐπιστὰς τῷ μνήματι, πικρῶς ἐπεδάκρυσε, καὶ λίαν περιπαθῶς ὠλοφύρετο, ὡς καὶ πολλοὺς τῶν παρεστώτων, μὴ τὸ κρυφίνουν εἰδότας αὐτοῦ, φάναι, ὢ τοῦ θαύματος, πῶς ἐφίλει τὸν προσγενῆ ἄνακτα! τινῶν δὲ τῶν ἐκ τοῦ γένους ἀποσπώντων αὐτὸν τῆς σοροῦ, καὶ ἀρκούντως λεγόντων τεθρηνηκέναι, οὐ καθυπεῖξεν, ἀλλ' αἰτήσας καὶ ἔτι μικρὸν ἐνδοθῆναι αὐτῷ, τὰς χεῖρας ὡς πρὸς ἱκεσίαν σχηματίσας, καὶ διάρας πρὸς τὸν τάφον τοὺς ὀφθαλμοὺς, καὶ τὰ χείλη κινῶν [, φωνὴν δ' οὐδαμῶς ἀφιεὶς ἐς ὦτα ἐξικνουμένην, διάλεξίν τινα λαθραίαν πεποίητο· τοῖς μὲν οὖν πλείστοις ἐπῳδή τις βαρβαρικὴ λελόγιστο τὰ λεχθέντα· ἦσαν δὲ οἳ ἐπικερτομεῖν Ἀνδρόνικον ἔφασκον τῷ βασιλεῖ Μανουήλ: ἔχω σε τὸν διώκτην καὶ πολλὰς ἐμοὶ πλάνας προξενήσαντα· καὶ σὲ μὲν ὁ τάφος οὗτος συνέξει, ἐγὼ δὲ τὸ σὸν μετελεύσομαι γένος.

Ἐκ δὲ τούτου, πάντα οἶκον περιφανῆ περιϊὼν, ὡς οἱ παροδεύσαντες, ἐχρῆτο τοῖς κοινοῖς πράγμασιν ὡς αὐτῷ ἀρεστόν. Τῷ μὲν βασιλεῖ Ἀλεξίῳ κυνηγεσίοις ἐνδιδοὺς προσανέχειν μετὰ τῶν φυλάκων οὓς αὐτῷ ἐπέστησεν, οὐ μόνον τὴν εἴσοδον αὐτοῦ καὶ τὴν ἔξοδον ἐφορῶντας, ἀλλὰ μηδένα τῶν ἁπάντων ἐῶντας μόνῳ ἐντυγχάνειν αὐτῷ. Ἑαυτὸν δὲ ὅλως ἐπιδιδοὺς μερίμναις, οὐχ ὅπως ἂν εὐτυχῶς πράττοι τὰ Ῥωμαίων, ἀλλὰ

πῶς αὐτῷ κατὰ νοῦν χωρήσει τὰ πάντα, ἀφελεῖ δὲ τῶν βασιλείων πάντα σύμβουλον ἀγαθὸν καὶ κατὰ χεῖρα γενναῖον ὕποπτον ἐκείνῳ, καὶ πρὸς ἀρχὴν ἐπιτήδειον. Ἀμειβόμενος δὲ τῆς πρὸς αὐτὸν εὐνοίας τοὺς Παφλαγόνας καὶ πάντας τοὺς συνεφαψαμένους αὐτῷ τῆς ἀποστασίας, ἀξιώμασι τούτους ἐτίμησε καὶ δωρεαῖς φιλοτίμοις ἐδεξιώσατο· καὶ τὰ λαμπρὰ τῶν ἀξιωμάτων καὶ τὰ τῶν ὀφφικίων μεγαλοπρεπῆ ὡς ἐδόκει τούτῳ μετατιθείς, ἐπί τισι μὲν ἑαυτοῦ παῖδας ἐπέστησεν, ἄλλοις δ' ὑπεξῆρεν ἑτέρους, οἵ ὄπισθεν αὐτοῦ ἐπορεύθησαν.

Οἱ μὲν τοίνυν τῶν ἐπισήμων ἀνδρῶν ἀπηλαύνοντο οἴκου καὶ πατρίδος καὶ τῶν φιλτάτων αὐτῶν, οἱ δὲ εἱρκταῖς καὶ δεσμοῖς σιδηροῖς παρεδίδοντο· ἄλλοι τοῦ τῶν ὀφθαλμῶν φωτὸς ἀπεστέρηντο, αἰτίαν ἄλλην οὐκ ἐγκαλούμενοι, ἀλλὰ τὸ εἶναι τῶν εὐπατριδῶν καὶ γενναίων καὶ εὐδοκιμῆσαι κατὰ πολεμίων, καὶ ἀγαθὴν ἔχειν φήμην παρὰ πολλοῖς, ἤ τι ἕτερον φέρειν ἐπαινετὸν, εἴτε μὴν παλαιᾶς μικρᾶς λύπης διασῶζον ἐμπύρευμα. Ἦν οὖν τότε πολλὰ τὰ ἀνιαρά· ἡ δὲ πρὸς ἀλλήλους καὶ τῶν πάνυ γνησιωτάτων ἀπιστία, τὸ ἔτι δεινὸν ἀφόρητον ἦν· οὐ μόνον γὰρ ἀδελφὸς παρεώρα ὁμαίμονα, καὶ πατὴρ υἱὸν, ἂν οὕτως ἤρεσκεν Ἀνδρονίκῳ, ἀλλὰ καὶ τοῦ γένους συνεκρότουν ἀπώλειαν, εἰσὶ δ' οἵ καὶ κατεμήνυον τοὺς οἰκείους ὡς τὰ παρὰ τοῦ Ἀνδρονίκου χλευάζοντας, ἢ ὡς προσκειμένους τῷ κληρονόμῳ βασιλεῖ καὶ τὸν Ἀνδρόνικον ἀποστρεφομένους. Πολλοὶ δὲ καὶ κατηγοροῦντο ἐν τῷ κατηγορεῖν, καὶ ἐλέγχοντες ἀπηλέγχοντο, καὶ εἶχεν τούτους κἀκείνους μία φρουρά· καὶ πιστοῦταί μοι τὸν λόγον ὁ Καντακουζηνὸς Ἰωάννης, παίων πυγμαῖς ἐκτομίαν τινὰ Τζίταν καλούμενον, καὶ τοὺς ὀδόντας ἐκριζῶν ὅτι πεφώραται περὶ τῶν κοινῶν συμφορῶν διαλεχθεὶς Ἀλεξίῳ τῷ βασιλεῖ, παραχρῆμα δὲ καὶ αὐτὸς συλλαμβανόμενος καὶ ἐξομματούμενος, ὅτι προσαγορείαν ἔπεμψε διά τινος δεσμοφύλακος τῷ γυναικαδέλφῳ, δεσμώτῃ ὄντι, Κωνσταντίνῳ τῷ Ἀγγέλῳ.

Οὐ μόνον δ' οἱ τῆς ἐναντίας μερίδος Ἀνδρονίκῳ ἔπασχον τὰ οἰκτρότατα, ἀλλὰ καὶ περὶ τοὺς οἰκείους θεράποντας πικρότατος ἦν· ἐφ' ᾧ καὶ οὓς χθὲς ἐτίμα, καὶ καλοῖς ἐφιλοφρονεῖτο, τούτοις ἐπῆγε τὰ χείριστα σήμερον. Ἦν δὲ καὶ ἐπὶ τῆς αὐτῆς ἡμέρας ὁρᾶν τὸν αὐτὸν στεφανούμενόν τε καὶ καρατομούμενον, εὐλογούμενόν τε καὶ ὑβριζόμενον.

Ὁ δ' αὐτὸς Ἀνδρόνικος ἥδετο, καὶ θανασίμους κεραννύειν ἐπίστασθαι κύλικας, καὶ πρώτην πειραθῆναι τούτων τὴν καισάρισσαν Μαρίαν, τὴν πρώτως καὶ παρὰ πάντας τὴν τοῦ Ἀνδρονίκου κάθοδον ἐπισπεύσασαν· ὑποφθαρῆναι γὰρ χρησταῖς ὑποσχέσεσιν ἐκτομίαν τινα Περυγιονίτην (sic) λεγόμενον, καὶ διὰ τούτου ἐγχεθῆναι ταύτῃ τὸ φάρμακον. Οὐ πολὺς ὁ ἐν μέσῳ καιρὸς καὶ τῇ γυναικὶ καὶ ὁ ταύτης σύζυγος καῖσαρ ἐπηκολούθησεν· ἀλλ' οὐδ' οὗτος ἐλέγετο φυσικῶς τελευτᾶν.

Βουληθεὶς δὲ τὸ ἐκ τῆς ἀνεψιᾶς Θεοδώρας θυγάτριον, τὴν Εἰρήνην, εἰς γάμον προσαρμόσαι Ἀλεξίῳ, ὃν ἡ Κομνηνὴ Θεοδώρα τῷ βασιλεῖ ἐγέννησε Μανουὴλ, βιβλίον ἐξέθετο λακωνίζον, τοῦτο ὑποσημηνάμενος διὰ μέλανος κάτωθεν τῷ οἰκείῳ ὀνόματι, πρὸς τὴν ἱερὰν σύνοδον ἐπὶ κοινῆς ἀκροάσεως καὶ σκέψεως δίδωσιν· [ἦν δὲ τῶν γραφομένων ὁ νοῦς, εἰ συγχωρήσεται προβῆναι συνάλλαγμα γαμικὸν, βραχὺ ὑποφαῖνον τὸ ἄσεμνον, γενησόμενον δ' ὅμως εἰς ἕνωσιν τῆς ἑῴας καὶ ἑσπερίου λήξεως, καὶ ἀνάρρυσιν αἰχμαλώτων, καὶ χορηγὸν πλείστων ἑτέρων συμφερόντων κοινῇ. Τοῦτο τὸ γράμμα τήν τε σύνοδον διετάραξε, καὶ τοὺς τῆς συγκλήτου ὅσοι περὶ τὸ κρίνειν εἰς μέρη διέστησε· χρήμασι γὰρ οἱ πλεῖστοι διαφθαρέντες καὶ τιμῶν ἀναβάσεσιν, ἐπευδόκουν, ὡς οὐκ ὤφελον, οἷα μὴ κεκωλυμένῳ τῷ γάμῳ· οἱ δὲ θρασύτεροι τῶν δικαστῶν, καὶ οἱ φιλόχρυσοι τῶν τῆς συνόδου καὶ θεοκάπηλοι, οὐδὲ συγγένειαν ἐπισύρεσθαι διετείνοντο τὰ συναφθησόμενα πρόσωπα, διὰ τὸ ἐξ ἀθεμίτων ἑνώσεων ἀμφότερα γεγενῆσθαι· ἕτεροι δὲ μηδ' ἄκροις

ὡσὶ παραδεχόμενοι τὰ παρὰ τούτων λεγόμενα, μὴ συγχωροῦντες τὴν πρᾶξιν ὡς ἀθεμιτογαμίαν, ἀντέπιπτον γενναιότερον· ἦσαν δὲ οἱ τὴν καλλίστην ταύτην γνώμην ἐκφέροντες βραχεῖς ἐκ τῶν ἀρχιερέων καὶ τῶν ἐντρόφων τοῦ βήματος, καί τινες εὐσύνοπτοι τῶν τῆς συγκλήτου βουλῆς· καὶ αὐτοὺς δὲ ὁ τοῦ πατριάρχου ζῆλος ἐπισυνίστη, μὴ ἐῶν ἑτεροζυγεῖν, καὶ οὐδὲν οὐδόλως, τῆς γνώμης ταύτης αὐτὸν παρεσάλευσεν. Ἀμέλει καὶ ὁ ἁγιώτατος πατριάρχης ἰδὼν ὡς οὐδὲν ὠφελεῖ, νικᾷ δὲ μᾶλλον τὰ χείρονα, τοῦ πατριαρχείου ἀπανίσταται, καὶ πρὸς τὴν νῆσον ἀφικνεῖται Τερέβινθον. Ὁ δὲ Ἀνδρόνικος εὐτυχίαν τὴν αὐτοῦ δεξάμενος ὑποχώρησιν, τό τε συνάλλαγμα ἐξεπέρανε, τῶν γάμων ἀναδείξας εὐλογητὴν τὸν ἀρχιποίμενα τῶν Βουλγάρων, ἐπιδημοῦντα τότε τῇ Κωνσταντινουπόλει, καὶ περὶ τοῦ διαδεξομένου τὸν πατριαρχικὸν θρόνον σκέπτεται· καὶ ἐπικρίνεται Ἀνδρονίκῳ εἰς προεδρίαν ὁ Καματηρὸς Βασίλειος, ἤ, ὡς ἐλέγετο, αὐτὸς Ἀνδρόνικον ἐφειλκύσατο οἷς μόνος ἐξ ἁπάντων Ἀνδρονίκῳ ἐγγράφως συνέθετο ἐκεῖνα διαπράττεσθαι ἀρχιερατεύων ὅσα φιλητὰ Ἀνδρονίκῳ, κἂν εἴησαν πάντη ἀθέμιτα, κἀκεῖνα πάλιν ἀποσείεσθαι ὅσα οὐχ ἡδύνει Ἀνδρόνικον.

Οὐ μόνον δὲ τὰ κατὰ Πόλιν οὕτως ἐνόσουν, ἀλλὰ καὶ τὰ ἔξω χειρόνως ἔπασχον. Ὁ γὰρ τοῦ Ἰκονίου σουλτάνος, ὃν ἐδειλία ἄνακτα Μανουὴλ μαθὼν ἐξ ἀνθρώπων γενέσθαι, τήν τε Σωζόπολιν πολέμου νόμῳ κατέσχε, καὶ τὰς κύκλῳ κωμοπόλεις ληϊσάμενος ὑφ' ἑαυτὸν ἐποιήσατο· καὶ τὴν Ἀττάλειαν πόλιν χρονίᾳ πολιορκίᾳ ἐκάκωσε, καὶ τὸ Κοτυάειον ἐξεπόρθησε, καὶ ἑτέρας πολλὰς χώρας παρεστήσατο.

Καὶ ὁ μέγας δὲ δομέστικος Ἰωάννης Κομνηνὸς ὁ Βατάτζης, ἀνὴρ πολλὰς πολλάκις νίκας καὶ τρόπαια κατὰ Περσῶν ἐνστησάμενος, τῇ Φιλαδελφείᾳ ἐνδιατρίβων, ἀντεφέρετο τῷ Ἀνδρονίκῳ, καὶ ἀπειλοῦντι δεινά, ἀντηπείλει δεινότερα, καὶ ὑβριζόμενος ὡς τυραννίδος ἐπιχειρῶν, τῷ ἤδη τετυραννηκότι ἀντε-

πετίμα τε καὶ ἐπέπληττεν. Ὅθεν καὶ ἐμφυλίων στάσεων αἱ κατὰ τὴν Ἀσίαν ἔγεμον πόλεις. Καὶ Ἀνδρόνικος ὁπλίζει κατὰ τοῦ Βατάτζη, τὸν Λαπαρδᾶν Ἀνδρόνικον, ἄνδρα βραχὺν μὲν τὸ δέμας, δραστήριον δὲ τὰ πολέμια, οὐκ ὀλίγον αὐτῷ στρατὸν παραδούς. Ὁ δὲ Κομνηνὸς Ἰωάννης νόσῳ τότε συνεχόμενος, περί που τὴν Φιλαδελφέων πόλιν τὴν αὐτοῦ σκηνὴν ἔχων, ἀντιτάττει τῷ Λαπαρδᾷ τοὺς υἱοὺς, τόν τε Μανουὴλ καὶ τὸν Ἀ'λέξιον· τοῦ δὲ πολέμου συχνὰς μεταλαβόντος τροπὰς, ὡς ἔθος, καὶ πολλῶν ἀναιρουμένων ἐξ ἑκατέρων, περίλυπος ἦν ὁ Βατάτζης τῇ νόσῳ στυγνάζων ὡς ἐπὶ κλίνης καταβαλούσῃ, ὅτε δεικνύειν ἔδει ἣν τρέφει περὶ τὰ πολεμικὰ γενναιότητα, ἔτι δὲ καὶ πιστοῦσθαι τοῖς ἔργοις πρὸς οἷον ἀνταγωνιστὴν ἀντιφέρεται ὁ βαθυγέρων Ἀνδρόνικος, πράγμασι δὲ δεικνὺς ὡς προθυμία καὶ νεκροὺς ἀνίστησιν, αἴρειν αὐτὸν ἐπὶ κλίνης προτρέπεται καὶ στῆσαι φέροντας ἐν λόφῳ, ὅθεν ὁρατὰ τούτῳ τὰ κατὰ πόλεμον. Οὗ δὴ γεγονότος, καὶ τὴν στρατιὰν κατὰ τὸ δοκοῦν αὐτῷ τάξαι κελεύσαντος [, ἡ νίκη περιφανῶς πρὸς τὸ ἐκείνου με- φ. τέπιπτε στράτευμα, τὸ δὲ τοῦ Λαπαρδᾶ τὰ νῶτα μεταβαλὸν, ἐπὶ πλεῖστον ἦν διωκόμενον καὶ κτεινόμενον. Μετὰ δ' ἡμέρας τοῦ Βατάτζη τὸ ζῆν καταστρέψαντος, οἱ Φιλαδελφεῖς ἐπ' αὐτῷ ὀλολύξαντες πάντες, προσχωρεῖν ἐγνώκεισαν Ἀνδρονίκῳ, καὶ ἐς τὴν βασιλεύουσαν ἀπελθόντες πόλιν, καὶ τὸν Ἀνδρόνικον θεραπεύοντες κατὰ τοῦ Βατάτζη καὶ τῶν ἐκείνου υἱῶν λόγους ἐκίνουν δεινοὺς περιβομβοῦντες καὶ ἀγυιὰς καὶ ἀνάκτορα· ἐφ' ᾧ καὶ οἱ υἱοὶ ἐκείνου δείσαντες μὴ προδοθεῖεν Ἀνδρονίκῳ, μεταβαίνουσιν ἐκεῖθεν καὶ τῷ τοῦ Ἰκονίου σουλτάνῳ προσέρχονται, οἳ καὶ ἐξ ὧν ὕστερον ἔπαθον, ἔδειξαν μὴ ἐξεῖναι τὰς πάγας ὑπερβῆναί τινα ἃς ἡ ἄνωθεν ἐξέτεινε πρόνοια. Δυσχεράναντες γὰρ ἐπὶ τῇ τοῦ σουλτάνου διατριβῇ ὡς οὐκ ἀμύνειν τοὺς ἐχθροὺς ἐκείνοις ἐθέλοντος, εἰς Σικελίαν ἀπαίρειν κεκρίκασι καὶ δὴ νηὸς ἐπιβάντες καὶ οὐρίῳ χρησάμενοι πνεύματι τὸ

Κρητικὸν διαπλωΐζονται πέλαγος· κατὰ τοῦτο δὲ τοῦ πνεύματος ἀντιστάντος, καὶ μὴ βουλόμενοι τῇ Κρήτῃ καταίρουσι, καὶ γνωσθέντες συλλαμβάνονται καὶ τῷ τῆς Κρήτης φορολόγῳ καταμηνύονται· ὁ δὲ ἤθελε μὲν τοὺς ἄνδρας ἐκσῶσαι καὶ ἀβλαβεῖς ἐκπέμψαι, οὐκ ἔχων δ' ὅπως περανεῖ τὰ κατὰ σκοπὸν (καταφανεῖς γὰρ ἤδη τοῖς πᾶσιν ἐγένοντο), δῆλα τίθησιν Ἀνδρονίκῳ τὰ κατ' αὐτούς· ὁ δὲ ταῖς τῶν ἀνθρώπων κόραις ἀκορέστως ἐπικαθήμενος, τοῦ φωτὸς τούτους ἀποστερεῖ.

Τότε δ' οὖν Ἀνδρόνικος θείαν ἐπισκοπὴν τὸν τοῦ Βατάτζη ἡγησάμενος θάνατον, στεφθῆναι αὐτοκράτορα εἰσηγεῖται τὸν βασιλέα Ἀλέξιον. Καὶ δὴ ἐπὶ τῶν ὤμων ἄρας αὐτὸν, καὶ μετὰ δακρύων ἀνακομίσας εἰς τὸν τῆς Μεγάλης ἐκκλησίας ἄμβωνα, καὶ πάλιν ἐκεῖθεν κατενεγκὼν ἐπὶ πολλοῖς μάρτυσιν, ἔδοξε φιλοστοργότερος εἶναι πατρός.

Πάντας δ' ἐκποδὼν θέσθαι προθυμηθεὶς διεξῆγεν ὡς ἤθελε τὰ τῆς βασιλείας πράγματα, τῶν ὅλων κύριος καταστάς. Καὶ πρῶτα τὴν τοῦ βασιλέως μητέρα, τοῦ παιδὸς καὶ βασιλέως ἀποστῆσαι βουλόμενος, τὸν ὑπονοστοῦντα ἐπλάττετο, φάσκων ἀντικαθίστασθαι ταύτην αὐτῷ πρὸς πᾶσαν πρᾶξιν συμφέρουσαν τῷ κοινῷ, καὶ τὸν δῆμον εἰς τὰς κατ' αὐτοῦ ὕβρεις παρέθηγεν, ὡς πολλάκις εἰς τὸ πατριαρχεῖον ἐλθόντα ἀφαρπᾶσαι τὸν πατριάρχην Θεοδόσιον δι ὑπομνήματος εὐδοκῆσαι τὴν ἐκ μέσου ταύτης καὶ τῶν βασιλείων ὑποχώρησιν, τάχα δ' ἂν καὶ τῶν γενείων αὐτοῦ ἐπελάβετο, εἰ μὴ κατένευσε πρὸς τὰ παρ' Ἀνδρονίκου αἰτούμενα, ἐπὶ τὸ ῥᾷον διατιθεὶς τὴν τοῦ κινδύνου σφοδρότητα. Κινδυνεῦσαι δὲ μικροῦ καὶ περὶ τὸ ζῆν ἐδέησε κἀκ τῶν τοῦ βήλου κριτῶν τὸν Τορνίκην Δημήτριον, τὸν Μοναστηριώτην Λέοντα, καὶ Κωνσταντῖνον τὸν Πατρηνὸν, οὔπω προσθεμένους τῷ Ἀνδρονίκῳ καὶ δουλογραφηθέντας αὐτῷ· ἀπαιτούμενοι γὰρ εἰπεῖν περὶ τὰ κατὰ τῆς δεσποίνης εἰσαγόμενα τὸ δοκοῦν αὐτοῖς, ἔφασαν πρώτως ἐθέλειν μαθεῖν εἰ κα-

τὰ τὸν ὁρισμὸν τοῦ βασιλέως γίνονται τὰ πραττόμενα· καὶ ὁ Α'νδρόνικος ὡς βέλει τῷ λόγῳ βληθεὶς, Οὗτοι εἰσὶν, ἔφησεν, οἱ τὸν πρωτοσεβαστὸν ἐνάγοντες τὰ ἄτοπα δρᾷν· συλλάβετε αὐτούς. Ὁ δὲ δῆμος τῶν χλαμύδων τούτων λαβόμενοι, τῇδε κἀκεῖσε μετὰ ὕβρεως περιέφερον· ἀλλὰ καὶ οἱ πελεκυφόροι τὰ ξίφη κατήνεγκον τῶν ἀνδρῶν ὡς πλήξοντες, καὶ μόλις ἐκφυγεῖν τὸ θανεῖν αὐτοὺς ἐξεγένετο.

Τοῦτο δ' ἀνύσας Ἀνδρόνικος, τοῖς μεγιστᾶσιν ἔπειτα ἐπεφύη· οἱ δὲ ὡς οὐκ ἀνεκτὰ ταῦτα ὑφορώμενοι, πίστεις δόντες ἀλλήλοις καὶ λαβόντες, καὶ ὅρκοις τὴν ὁμόνοιαν κρατυνάμενοι, θάνατον τῷ Ἀνδρονίκῳ ἐσκεύαζον· ἦσαν δ' οὗτοι Ἀνδρόνικος ὁ υἱὸς τοῦ Ἀγγέλου Κωνσταντίνου, ὁ μέγας δοὺξ ὁ Κοντοστέφανος Ἀνδρόνικος, καὶ οἱ τούτων υἱοὶ ἑκκαίδεκα ὄντες πάντες ἀκμαῖοι, ὁ τοῦ δρόμου λογοθέτης Βασίλειος ὁ Καματηρὸς, καὶ πολλοὶ ἕτεροι κατὰ γένος αὐτοῖς συναπτόμενοι | . Ἀλλ' φ.8 οὐκ ἔλαθε τὸν Ἀνδρόνικον· διὸ καὶ ὁ κατὰ τοῦ υἱοῦ τοῦ Ἀγγέλου ὁρμήσας, ἐκεῖνον μὲν φυγάδα μετὰ τῶν υἱῶν τίθησιν, ἀκατίῳ περιτυχόντα καὶ τούτῳ ἐμβάντας καὶ οὕτω διαφυγόντας τὸν κίνδυνον. Τὸν δέ γε Κοντοστέφανον συλλαβὼν καὶ τέσσαρας τῶν παίδων, καὶ τὸν Καματηρὸν Βασίλειον πάντας ἐξομματοῖ, ἀλλὰ καὶ ὅσους ἄλλους κατὰ φήμην ψιλὴν ἤκουσε κοινωνῆσαι τούτοις τοῦ σκέμματος.

Οὕτω τοίνυν θύσας καὶ ἀπολέσας οὓς πρὸ πολλοῦ κρατῆσαι ἤθελε μὲν, ἀνεβάλλετο δὲ, τινὰς δὲ καὶ δεσμωτηρίοις παραδοὺς, καὶ ὑπερορίᾳ καταδικάσας ἑτέρους, τὸν τῆς δεσποίνης ἐπέσπευδε θάνατον, διὸ καὶ προδοσίας κρίνει τὴν δέσποιναν, ὡς τὸν ἐπ' ἀδελφῇ γαμβρὸν, τὸν ῥῆγα Οὐγγρίας τὸν Βελᾶν, πορθεῖν τὰ κατὰ Βρανίτζοβαν καὶ Βελέγραδα γραφαῖς ἐνάγουσαν. Δέχεται τοίνυν αὐτὴν εἱρκτὴ στενωτάτη περὶ τὴν τοῦ ἁγίου Διομήδους μονὴν, ἔνθα καὶ παρὰ τῶν φυλάκων ὑβριζομένη, καὶ λιμῷ καὶ δίψει τετρυχωμένη, τὴν σφαγὴν διη-

νεκῶς ἐφαντάζετο. Καιρὸς οὔπω πολὺς, καὶ ὅτι τοῖς ζῶσι σύνεστιν αὕτη δυσχεραίνων Ἀνδρόνικος, ἀθροίζει κατ' αὐτῆς πάλιν τοὺς ἀνοσίους δικαστὰς, ὧν ἡ δεξιὰ, δεξιὰ ἀδικίας, καὶ προτείνας ἐρώτησιν ποία τις ποινὴ ἐπίκειται πρὸς τῶν νόμων τοῖς προδόταις τῶν πόλεων καὶ χωρῶν, καὶ ἀκούσας, ὡς θάνατος, ἦν τὸ ἐκ τούτου κατὰ τῆς ἀνάσσης ἄσχετος τὴν ὁρμήν. Χάρτης οὖν ἐπισημαίνεται παρὰ τοῦ παιδὸς καὶ βασιλέως, θανάτου ταύτην ἀποφαινόμενος ἔνοχον· ἐκλέγονται τοίνυν ὑπουργοὶ πρὸς τὸ ἔργον, ὁ τοῦ Ἀνδρονίκου πρωτότοκος υἱὸς Μανουὴλ, καὶ ὁ σεβαστὸς Γεώργιος ὁ τοῦ Ἀνδρονίκου γυναικάδελφος· ἄμφω δὲ ἀπεπήδησαν, καὶ πρὸς μόνην τὴν ἐπιλογὴν δυσχεράναντες, καὶ τὸ τοῦ βασιλέως ἐξεφαύλισαν πρόσταγμα, εἰπόντες, μήτε πρότερον τῇ ἀναιρέσει τῆς βασιλίδος συνευδοκῆσαι, καὶ νῦν πολλῷ πλέον μὴ ἀνέξεσθαι τοῦ μιάσματος. Ὁ δὲ Ἀνδρόνικος ὡς σκηπτῷ τοῖς λόγοις βληθεὶς, τάς τε τοῦ γενείου τρίχας πυκνὰ περιείλησε τοῖς δακτύλοις, καὶ πῦρ τῶν ὀμμάτων βλέπων, ἑαυτὸν ἐταλάνισεν ὅτι μὴ εἶχε τούτους αἱμοχαρεῖς κατ' αὐτόν. Τότε μὲν οὖν τῆς ὁρμῆς ἀνακοπεὶς, ὑπερέθετο τὴν ἀναίρεσιν· μετὰ δὲ βραχείας ἡμέρας διὰ πνιγμονῆς τὴν τάλαιναν ὑπεξάγει τοῦ ζῆν, τοῦ Τριψύχου Κωνσταντίνου ὑπουργήσαντος, ὃς μέγας ἑταιρειάρχης τετίμητο, καὶ τοῦ Πτερυγικονίτου ἐκτομίου. Καὶ τὴν μὲν εἶχεν ἡ ἐκεῖ που ἀκτὴ καταχωσθεῖσαν· ὁ δ' Ἀνδρόνικος ἐπεσκίρτα τούτοις, ὡς ἐκτριβομένου τοῦ γένους τοῦ Μανουήλ.

Ἐνστάντος δὲ τοῦ σεπτεμβρίου μηνὸς, τῆς δευτέρας ἰνδικτιῶνος, τοῦ ἑξακισχιλιοστοῦ ἑξακοσιοστοῦ ἐννενηκοστοῦ ἔτους, ἐπιβάλλει τῇ ἀναρρήσει. Οὐκοῦν οἱ τῆς συμμορίας τοῦ Ἀνδρονίκου, κατὰ γνώμην αὐτοῦ, λόγον τῷ συνεδρίῳ προέτειναν περὶ τῆς τῶν Βιθυνῶν ἐπαναστάσεως καὶ τῆς ἐντὸς τῆς Νικαίας παραδοχῆς τοῦ Ἰσαακίου τοῦ ἐξ Ἀγγέλων καὶ Θεοδώρου τοῦ Καντακουζηνοῦ, ἀλλὰ καὶ ὅσα κακουργοῦσιν οἱ Πρου-

σασεῖς εἰσοικισάμενοι Θεόδωρον τὸν Ἄγγελον, καὶ τὰ ὅμοια τοῖς Νικαεῦσι φρονήσαντες, τούτοις πᾶσιν ἐπήνεγκαν, οὐδεμία τις ἔσται θεραπεία, εἰ μὴ βασιλεύσει Ἀνδρόνικος, καὶ ὁ πολύπειρος γέρων συναυτοκράτωρ κατασταθῇ τῷ νεάζοντι βασιλεῖ. Ταῦτα οἱ τοῦ Ἀνδρονίκου εἰρηκότες θεράποντες, τοὺς περιεστῶτας εἶχον πάντας ὁμοφώνως ἀναβοῶντας, πάλαι καὶ αὐτοῖς εἶναι τοῦτο δι᾽ ἐφέσεως, καὶ μηκέτι καιρὸν εἶναι ἀναβολῆς. Ἀμέλει καὶ τῆς εὐφημίας κατάρχονται: Ἀλεξίου καὶ Ἀνδρονίκου μεγάλων βασιλέων καὶ αὐτοκρατόρων Ῥωμαίων τῶν Κομνηνῶν πολλὰ τὰ ἔτη! Διαδοθέντος δὲ τοῦ καλοῦ τοῦδε πράγματος τοῖς ἐν τῇ Πόλει, τὰ πλήθη συνείλεκτο ἐκ παντὸς γένους καὶ τέχνης πάσης καὶ ἡλικίας τῆς συνδρομῆς γενομένης, ὅτε καί τις τῶν τοῦ βήλου κριτῶν εἰς τὸ τοῦ ἐπὶ τῶν δεήσεων ὀφφίκιον ἀναβὰς, ὡς θεράπων τοῦ Ἀνδρονίκου, καὶ ἄλλος δέ τις πρωτονοτάριος, τῆς κατὰ τὴν ἀνάρρησιν Ἀνδρονίκου φήμης διαδοθείσης, ὥσπερ ἑνὶ πνεύματι καταλαβόντες | ὅπου τάδε ἐπράττετο, (ὁ τοῦ Μιχαλίτζη δὲ λεγόμενος 8 οἶκος ἦν), τὰ τῶν κεφαλῶν ἐξενεγκόντες καλύμματα, καὶ τῶν κατὰ νώτου κεχυμένων λευκῶν ἐκ λίνου λαβόμενοι, (περιπτάρια δὲ λέγονται τὰ τοιάδε τῶν κεφαλῶν καλύμματα), ἔστρεφον ὡς σφαίρας ταῦτα, χοροστατοῦντες καὶ τῆς τότε τελετῆς προεξάρχοντες, πρὸς μέλος ῥυθμίζοντες τὴν φωνὴν, χεῖράς τε κροτοῦντες, καὶ τὼ πόδε σαλεύοντες ὡς ὀρχούμενοι.

Τοῦ δ᾽ Ἀνδρονίκου καταβάντος ἀπὸ τοῦ τυραννείου εἰς τὸ ἐν Βλαχέρναις βασίλειον, ὃς Πολύτιμος λέγεται, ἐφίσταται καὶ ὁ βασιλεὺς Ἀλέξιος, καὶ τὸν Ἀνδρόνικον καταλαβὼν ὡς βασιλέα παρὰ παντὸς εὐφημούμενον, καὶ τοῖς τελουμένοις ἐπευδοκήσας, κἂν μὴ ἠβούλετο, ἐκολάκευε καὶ αὐτὸς τὸ γερόντιον, ἐπεγείρων εἰς τὸ συναυτοκρατορεῖν. Τὸ δὲ τῆς Ἀνδρονίκου φατρίας ἀμφοτέραις λαβόντες εἰς τὴν κλίνην ἐκάθισαν, ἐφ᾽ ἧς ὁ βασιλεὺς καθήμενος ἦν· ἄλλοι δὲ τὸ ἐπὶ τῆς κεφαλῆς ἀνε-

λόμενοι μέλαν, πυρσὴν αὐτῷ καλύπτραν περιέθεντο, καὶ στολὴν βασιλικὴν ἐνέδυσαν ἕτεροι. Τῇ δ' ὑστεραίᾳ, ἐπὶ τῆς Μεγάλης ἐκκλησίας τῆς τῶν βασιλέων ἀναρρήσεως ἀρξαμένης γίνεσθαι, πρότερος ἀνηγορεύετο ὁ Ἀνδρόνικος, ὁ δ' Ἀλέξιος δεύτερος· καὶ ἡ πρόφασις εὐπρεπής, ὡς οὐ δέον τὸν ἀφήλικα τοῦ γεραροῦ προαναγορεύεσθαι. Ἐπεὶ δὲ καὶ εἰς τὸ θεῖον ἀνάκτορον ἀφίκετο στεφθησόμενος, τότε πρῶτον ὤφθη διαχυθεὶς καὶ τὴν ἐπὶ τὸ κρεῖττον τῶν πραγμάτων ἀλλοίωσιν ὑποσχόμενος. Ἦν δὲ ταῦτα, ἀπάτη πρόδηλος, καὶ τὸ τοῦ προσώπου ἱλαρὸν συσκιάζον τὴν ἔνδοθεν ἀγριότητα. Εἰσελθὼν δὲ τὸ ἱερὸν, καὶ τελεσθεὶς ὁπόσα τοῖς στεφομένοις ἄναξιν εἴθισται, πρόσεισι καὶ τῶν ἀχράντων ἁγιασμῶν μετασχεῖν, καὶ ἐν τῷ προσεγγίζειν πιεῖν τοῦ ζωοποιοῦ αἵματος, τὰς χεῖρας διάρας ὡς πρὸς τὸ ποτήριον, ἐπόμνυσι, πάντων ἐφεστώτων καὶ ἀκροωμένων ὁπόσους τὸ ἱερὸν συνεῖχεν ἄδυτον, μὴ δι' ἕτερόν τι τὴν βασιλείαν δέξασθαι, ἀλλ' ἢ ὡς βουλόμενος βοηθῆσαι τούτῳ καὶ τῷ κράτει αὐτοῦ, (τὸν συνεστῶτα βασιλέα καὶ ἀνεψιὸν δείξας Ἀλέξιον). Ἐξιὼν δὲ τοῦ ἱεροῦ μετὰ δορυφορίας μάλιστα λαμπροτέρας, διελθὼν τὸν ἐν τῇ Χαλκῇ νεὼν τοῦ σωτῆρος Χριστοῦ, τὴν πορείαν ἐπέτεινεν, οὐκ ἐμβραδύνων ὡς ἔθος τοῖς θριαμβεύουσιν αὐτοκράτορσι.

Γενόμενος δὲ κατὰ τὸ Μέγα παλάτιον, καὶ ἐφ' ἱκαναῖς ἡμέραις θύσας τὰ ἀναγορευτήρια, τὴν φίλιον ἀθροίζει βουλὴν τὴν ἐκείνῳ συμπράττουσαν τὰ ἀνόσια· οἱ δὲ τὸ Ὁμηρικὸν προσφωνήσαντες,

οὐκ ἀγαθὸν πολυκοιρανίη, εἷς κοίρανος ἔστω,
εἷς βασιλεύς,

ψηφίζονται ἰδιωτεῦσαι τὸν βασιλέα Ἀλέξιον. Ἀλλ' οὔπω τοῦτο τῇ πολιτείᾳ ἐγνώριστο, καὶ κρίμα θανάτου κατὰ τοῦ βασιλέως παρὰ τῆς φατρίας ἐξάγεται ταύτης τῆς πονηρᾶς· καὶ νυκτὸς ἐπεισπεσόντων αὐτοῦ τοῦ Ἁγιοχριστοφορίτου Στεφά-

νου καὶ τοῦ Τριψύχου Κωνσταντίνου, καί τινος Δαδιβρηνοῦ Θεοδώρου, τὴν διὰ τόξου νευρᾶς δέχεται πνιγμονήν. Ἀρθεὶς δὲ ὁ νεκρὸς καὶ ἀχθεὶς πρὸς Ἀνδρόνικον, κατὰ τοῦ κενεῶνος τύπτεται τῷ ἐκείνου ποδὶ, καὶ τοῦ πατρὸς καὶ τῆς μητρὸς αὐτοῦ λοιδορηθέντων, τοῦ μὲν ὡς ἐπηρεαστοῦ καὶ ἐπιόρκου, τῆς δὲ ὡς γυναίου ἑταιρικοῦ. Εἶτα τιτρᾶται τὸ οὖς, καὶ ῥαφίδος διελαθείσης, κηροῦ τε ταύτῃ περιπλασθείσης, τῷ Ἀνδρονίκου ἐνσημαίνεται δακτυλίῳ· καὶ τὸ μὲν λοιπὸν σῶμα καταδικάζεται ῥιφῆναι βυθῷ, ἡ δὲ κεφαλὴ ἀποτμηθεῖσα πάλιν εἰσαχθῆναι τῷ Ἀνδρονίκῳ· καὶ τέλος εἰληφότος τοῦ ἐπιτάγματος, ἡ μὲν ἐν παραβύστῳ κατὰ τὴν λεγομένην Καταβατὴν ἀπορρίπτεται, τὸ δὲ σκῆνος μολιβδίνῳ κεράμῳ συσταλὲν, τῇ θαλάττῃ ἐκδίδοται, τῆς ἁλιάδος ἣ τὸν φόρτον τοῦτον ἀνεῖχε δυσὶν ἀναγομένης ἐνδόξοις ἀνδράσι μετὰ κυμβάλων τε καὶ ᾠδῶν.

Καὶ οὕτω μὲν ἐξ ἀνθρώπων ὁ βασιλεὺς Ἀλέξιος ἐγεγόνει, ζήσας μὲν ἔτη περὶ τὰ πεντεκαίδεκα, τρία δ' ἐκ τούτων ἄρξας, τὰ μὲν πρῶτα ὑπὸ μητρὶ τὴν | ἀρχὴν διεξαγούσῃ, εἶτα φ. ὑπὸ τυράννων τῶν πραγμάτων ἐπειλημμένων, τοῦ πρωτοσεβαστοῦ, καὶ τοῦ Ἀνδρονίκου.

Τούτου δὲ οὕτως ἐκποδὼν οἰκτρῶς γενομένου, ἁρμόζεται ἡ τούτου μνηστὴ Ἄννα πρὸς συμβίωσιν Ἀνδρονίκῳ, θυγάτηρ οὖσα τοῦ τὴν ἀρχὴν τῶν Φράγγων διέποντος.

Ἐπὶ δὲ τούτοις αἰτεῖται χάριν Ἀνδρόνικος τὸν πατριάρχην Βασίλειον καὶ τὴν τότε σύνοδον· ἡ δὲ ἦν, τὸ λυθῆναι τοῦ ὅρκου Ἀνδρόνικον ὃν εἶχεν ἐπομοσάμενος τῷ βασιλεῖ Μανουὴλ καὶ τῷ ἐκείνου παιδὶ, καὶ τοὺς ἄλλους ὅσοι ὅρκων παραβάται ἐγένοντο. Καὶ οἱ μὲν τόμους ἐξέθεντο, δι' ὧν καὶ τὴν λύσιν τῆς ἐπιορκίας ἐδίδοσαν· ὁ δ' Ἀνδρόνικος ἀμοιβὴν παρέσχε τούτοις τὴν τῶν τότε αἰτηθέντων, ἃ καὶ ῥάδια ἦσαν καὶ εὔλυτα, ἀποπεράτωσιν, ἀλλὰ καὶ τὸ συνεδρεύειν τούτους ἐκείνῳ σκιμ-

πόδων παρατιθεμένων τῷ βασιλείῳ βήματι, ὅπερ οὐκ ἐπὶ συχναῖς ἡμέραις κρατῆσαν, πρὸς τὴν προτέραν ἐπανῆλθε συνήθειαν. Ἵνα δὲ μὴ ἔσται τὴν γνώμην ἄστατος ὁ Ἀνδρόνικος, οὐδὲ τὸ εἰς ὄψιν ἐκείνῳ ἐλθεῖν οὗτοι εὕρισκον εὐχερές, καὶ οἱ πρὸ μικροῦ τῇ βασιλικῇ συνεδρίᾳ σεμνυνόμενοι, τότε ὑπενόστουν ἐγκαλυπτόμενοι.

Ὡς δὲ τὰ κατὰ τὴν ἀνάρρησιν Ἀνδρονίκου καὶ τὴν ἀναίρεσιν Ἀλεξίου δῆλα ἦσαν Ἀλεξίῳ τε τῷ Βρανᾷ καὶ Ἀνδρονίκῳ τῷ Λαπαρδᾷ, τοῖς τῶν ταγμάτων στρατηγοῖς, ἅπερ κατὰ τὴν Νίσαν καὶ τὴν Βρανίτζοβαν τῷ ῥηγὶ ἀντεφέροντο τῆς Οὐγγρίας, ὁ μὲν Λαπαρδᾶς ἀπείρηκε τὴν ζωὴν καὶ διὰ παντὸς ὑπεβλέπετο τὸν Ἀνδρόνικον, ὁ δὲ Βρανᾶς ἔχαιρεν, ἐγγραφεὶς τῷ χορῷ οἷς ἥμερον προσέβλεπεν ὁ Ἀνδρόνικος. Πολλὰς οὖν ὁδοὺς ἐνθυμήσεων τραπόμενος ὁ Λαπαρδᾶς Ἀνδρόνικος, μίαν εὕρισκε σώζουσαν, τὴν ἀποφυγὴν εἰσηγουμένην καὶ τῆς ἐξουσίας καὶ τῆς ὄψεως Ἀνδρονίκου, καὶ εἶχεν ἂν ἀπαθῆ αὐτὸν διατηρήσας, εἰ τῇ βουλῇ ταύτῃ ἐνέμεινε· δράσειν δὲ κακῶς Ἀνδρόνικον βουληθείς, καὶ τῆς εἰς τὸν κύριον καὶ βασιλέα παρανομίας ἀμύνασθαι, θαρρεῖ τὴν ἀπόστασιν, καὶ τὸ ἐν τοῖς Δυτικοῖς μέρεσι πρᾶξαί τι ἀποδοκιμάσας διὰ τὸν συστρατηγοῦντα Βρανᾶν, πρὸς τὴν Ἕω τείνει τοὺς ὀφθαλμούς, ὡς συνηθεστέραν ἑαυτοῦ καὶ ἄρξαντος ἐκεῖσε μεγίστας ἀρχάς, καὶ πρὸς ἀπόστασιν θερμὰ τρέφουσαν σώματα. Ἀμέλει καὶ τῷ Βρανᾷ κοινολογησάμενος, καὶ πείσας κατὰ χώραν μένειν ἕως αὐτὸς πρὸς τὸν Ἀνδρόνικον παραγένοιτο, ὡς εἶχεν εὐθὺς ἐξώρμησε, τὴν φήμην προφθάνων· καὶ γεγονὼς κατὰ τὴν Ἀδριανούπολιν ἀφ' ἧς ὥρμητο, καὶ βραχύ τι ἐγκαρτερήσας ὅσον ταῖς ἀδελφαῖς ὁραθῆναι καὶ συντάξασθαι τὰ τῆς ἀποδημίας, ἔγνω μὴ περαιτέρω βραδύνειν· ἡ γὰρ φήμη ἔλεγε τὴν ἀπόδρασιν τοῦ ἀνδρός. Μιᾷ τοίνυν νυκτὶ πρὸς θάλασσαν κάτεισι, καὶ ναυσὶν ἐμβὰς αὐτός τε καὶ οἱ σὺν αὐτῷ, κατὰ τὸ Ὑελοκαστέλλιον ἐς τὴν Περαίαν γίνεται, ἀναπνεύσας

βραχὺ τῷ ἐκφυγεῖν ὡς ᾤετο τὸν Ἀνδρόνικον. Τότε δὲ χερσὶν ἐκείνων κρατεῖται, καὶ ἀναπέμπεται πρὸς Ἀνδρόνικον, ὑφ' ὧν ἐλπίσιν ἐθάλπετο συντηρηθῆναι ἀλώβητος, καὶ παντοίαν σύναρσιν ἐφευρεῖν πρὸς τὸ καταπαλαῖσαι Ἀνδρόνικον. Γενόμενος γὰρ κατὰ τὸ Ἀτραμύτιον, συλλαμβάνεται παρά τινος Κεφαλᾶ τῇ χώρᾳ πρωτεύοντος, καὶ τῷ τυράννῳ πιστοῦ, καὶ παραπέμπεται χερσὶν Ἀνδρονίκου, καὶ τὰς κόρας ἐκκόπτεται, καὶ τῇ μονῇ παραρριπτεῖται τοῦ Παντεπόπτου, ἐκεῖ δὲ μετ' οὐ πολύν τινα χρόνον τοῦ βίου θανάτῳ ἀπάγεται. Ὁ δ' Ἀνδρόνικος οὕτω τῇ ἀποστασίᾳ τούτου ἐπτόητο, ὡς παρ' ὅλην τὴν ἐκείνου φυγὴν τὴν οἰκείαν φαντάζεσθαι καταστροφήν· ἐδεδίει γὰρ τὸ ἀνδρεῖον καὶ περὶ τὰς μάχας ὀξύρροπον τοῦ ἀνδρός. Ἀμέλει καὶ ἄλλως μὴ δυνάμενος τούτου περιγενέσθαι, πρὸς τὴν διὰ γραμμάτων πανουργίαν ἀπέβλεψε· καὶ βασιλικὰ συνθέμενος γράμματα ἐκπέμπει ταῦτα πρὸς τοὺς πρωτεύοντας τῶν Ἑῴων ἐπαρχιῶν, ἐλάλουν δὲ πονηρίαν ἀληθῶς τὰ γραφόμενα· διετείνετο γὰρ παρ' αὐτοῦ σταλῆναι κατὰ τὴν Ἀσίαν τὸν Λαπαρδᾶν |, καὶ πᾶν ὅπερ ἂν οὗτος διαπράξηται κατ' οἰκονομίας τρόπον ἄγνωστον τοῖς πολλοῖς, ὑπὲρ τῆς ἑαυτοῦ βασιλείας μέλλειν τοῦτο πραχθήσεσθαι, καὶ ἐνῆγε τούτους εἰς τὴν τούτου παραδοχήν. Ἦν δὲ ὁ σκοπὸς Ἀνδρονίκῳ ἐντεῦθεν ἐκκόψαι τὴν ὁρμὴν τῶν πολλῶν, ὑφορωμένων πῶς ὁ μὲν Λαπαρδᾶς κατ' Ἀνδρονίκου φρονεῖ, ὁ δ' Ἀνδρόνικος τῷ ἀποστάτῃ τὴν ἑαυτοῦ πίστιν ἐπιμαρτύρεται. φ.

Τότε δὲ καὶ τὴν δειλίαν ταύτην ἀποκρουσάμενος, τῆς Πόλεως ἔξεισι, καὶ καταλαμβάνει τὰ Κύψελλα, καὶ κυνηγεσίοις ἐνευφρανθείς, ἀφῖκται καὶ πρὸς τὴν ἐν τῇ Βήρᾳ πατρῴαν μονήν, κατ' ἐκείνας τὰς ἡμέρας τὸ κολάζειν ἐάσας ἐπὶ βραχύ. Μετὰ μικρὸν δὲ ἐπάνεισιν εἰς τὰ βασίλεια, τῶν Γενεθλίων ἐπιστάντων Χριστοῦ.

Καὶ τοῦ ἔαρος ὑποφαίνοντος, συνηθροικὼς ἅπαντα στρα-

τιώτην ὅσοι τε κατὰ τὴν Δύσιν καὶ ὅσοι κατὰ Ἀνατολὰς, ἀπέρχεται εἰς τὴν Νίκαιαν, τὸν Βρανᾶν Ἀλέξιον ἐκ τῶν κατὰ Βρανίτζοβαν ἐκστάντα μερῶν εἰς τὸ Λοπάδιον προπέμψας τοῖς ἐκεῖσε ἀντιταξόμενον· ὅς καὶ τὰ κατὰ σκοπὸν ἐκεῖσε περάνας, παραγίνεται πρὸς τὴν Νίκαιαν καὶ τῷ Ἀνδρονίκῳ συμμίγνυσι. Καὶ τῶν στρατευμάτων εἰς ἓν συνηγμένων, ἔγνω προσβαλεῖν τῇ πόλει Ἀνδρόνικος· οἱ γὰρ ἔνδον καὶ τὸν Ἀνδρόνικον ἐξουθένουν, καὶ τοῖς ὅπλοις ἐμάχοντο, καὶ βολίδας ὕβρεων ἠκόντιζον ἐς αὐτόν. Ὁ δὲ πῦρ ἀπέπνει θυμοῦ, οἷα μηδὲ στέργειν ἔχων τὸν τάραχον· ἐπεὶ καὶ πόλις ἡ Νίκαια αὐχεῖ μὲν τὸ ἐκ τειχῶν κραταιῶν ἀνάλωτον ἢ δυσάλωτον, τότε δὲ καὶ στρατιωτῶν εἰς αὐτὴν εἰσελθόντων ὁπόσοι ἐστύγουν Ἀνδρόνικον, καὶ τοῦ Ἀγγέλου Ἰσαακίου (ὅς μετ' Ἀνδρόνικον Ῥωμαίων ἐκράτησε), καὶ τοῦ Καντακουζηνοῦ Θεοδώρου, καὶ Περσῶν ἐκ προσκλήσεως εἰσδεδεγμένων ἔνδοθεν, οὐκ ἀγαθὰ τὰ τοῦ πολιορκεῖν συνεώρων. Πλείστας οὖν ἡμέρας διατρίψας Ἀνδρόνικος οὐδὲν ἤνυεν· οἱ γὰρ ἔνδον ἐκθύμως ἐμάχοντο, καὶ ὅπλοις μὲν τὰς δι' ὅπλων ἀπεκρούοντο προσβολὰς, μηχανῶν δὲ κατασκευαῖς ἀπράκτους ἐδείκνυον τὰς τῶν πετροβόλων αὐτοῦ μηχανὰς, ἃ αὐτὸς ἐτεκτήνατο. Ὁ μὲν ἐπήγνυεν ἑλεπόλεις, καὶ ὀρυκτῆρας ἐφίστη, οἱ δὲ ἀπὸ τῶν τειχῶν ἐξερχόμενοι διὰ πυλῶν ἀδήλων πυρὶ παρεδίδοσαν καὶ χειρὶ κατέσπων τὰ μηχανήματα· ποτὲ δὲ καὶ τοῖς τείχεσι προσαγόμενα δι' ἑτέρων ὁμοίων ὀργάνων κατέλυον, καὶ τοῖς ὀρύσσουσι τάφον ἐποίουν τὸ ὄρυγμα. Εἰς κενὸν οὖν ὁρῶν ὁ Ἀνδρόνικος τὰ αὐτοῦ διαβούλια τελευτῶντα, ἐννοεῖ τι ἀπάνθρωπον· τὴν γὰρ Ἰσαακίου τοῦ Ἀγγέλου μητέρα ἐκ Βυζαντίου μεταγαγὼν, νῦν μὲν ὡς πρόβλημα προετίθει τῶν πετροβόλων καὶ ἑλεπόλεων, νῦν δὲ τῷ κριῷ ἐπικαθίσας, προσῆγεν οὕτω τὰ μηχανήματα· καὶ ἦν δακρύειν ἐν ταὐτῷ καὶ θαυμάζειν, δακρύειν μὲν διὰ τὸ καινὸν τοῦ θεάματος, θαυμάζειν δὲ ὅπως διεκαρτέρει γυναίου φύσις τοιαῦτα πάσχουσα· τοῖς δ' ἐκ

τῶν τειχῶν οὕτως τὰ βέλη ἠφίετο, ὡς πλήττειν μὲν τοὺς ἐπιόντας καὶ καταπλήττειν, αὐτὴν δὲ τὴν εὐγενῆ γυναῖκα διατηρεῖν κακῶν ἀπαθῆ· οὐ μόνον οὖν εἰς οὐδὲν ἔληξεν ἡ τοιαύτη τοῦ Ἀνδρονίκου ἐπίνοια, ἀλλὰ καὶ νυκτὸς ἐξελθόντες οἱ Νικαεῖς καὶ τὰς μηχανὰς παρέδοσαν τῷ πυρί, καὶ τὴν γυναῖκα εἰς τὴν πόλιν λαβόντες εἰσήγαγον. Ἐντεῦθεν καὶ κλέος ἐπ' ἀνδρείᾳ κτησάμενοι, ἔτι μᾶλλον ἠρρενώθησαν, καὶ τῆς μάχης εὐθαρσῶς ἥπτοντο, καὶ τὸν Ἀνδρόνικον ὕβρεσιν ἔπλυνον, μακελλάριον ἀποκαλοῦντες καὶ κύνα φιλαίματον, καὶ σαπρόγηρον, καὶ κακὸν ἀθάνατον, καὶ ἀνθρώπων Ἐριννὺν, καὶ φιλογύνην, καὶ Τιθωνοῦ καὶ Κρόνου πολυετέστερον, καὶ ἄλλο εἴ τι κακὸν καὶ πρᾶγμα καὶ ὄνομα. Ἀνδρόνικος δὲ θυμομαχῶν, δόλους ἔπλεκε κατὰ τούτων, καὶ τὴν πόλιν περικυκλῶν, κατεστέναζε τῶν ταγμάτων καὶ τοῖς ταξιάρχαις ἐπέπληττε. | Τολμητίας δὲ ὢν ὁ Καντακουζηνὸς f. 8(Θεόδωρος καὶ τῇ ἀκμῇ ζέων ὅσα καὶ νέος οἶνος, πλησθεὶς ὁρμήματος, καὶ διὰ τῶν ἑῴων πυλῶν ἐξελθὼν κατ' Ἀνδρονίκου τείνει τὸ δόρυ σφοδροτέραν ποιούμενος τὴν φοράν· ἀλλὰ τοῦ ἵππου ἐπὶ γόνυ κλιθέντος, πεσὼν καὶ σκοτοδίνης ὑποπλησθεὶς, ἔκειτο, καὶ τούτῳ ἐπιδραμόντες οἱ τοῦ Ἀνδρονίκου καρατομοῦσι καὶ τοῖς ξίφεσι κατατέμνουσιν, ἀρεστὰ τῷ Ἀνδρονίκῳ διαπραττόμενοι. Μετὰ μικρὸν δὲ καὶ τοῖς οἰκήτορσι τῆς Κωνσταντίνου ἡ τοῦ Καντακουζηνοῦ προσάγεται κεφαλὴ, κοντῷ μετέωρος ταῖς ἀγυιαῖς τῆς Πόλεως ἐκπομπεύουσα.

Οἱ Νικαεῖς τοίνυν οὕτω τὸν γενναῖον ζημιωθέντες ἀγωνιστὴν, καὶ ὡς εἰκὸς τοῦτον θρηνήσαντες, ἤθελον ὑπείκειν τῷ Ἰσαακίῳ ὡς ἀρχηγῷ, οὗτος δὲ ὑπόνωθρος ὢν, οὐ περὶ πολλοῦ τὴν ἡγεμονίαν ἐτίθετο. Ἀμέλει καὶ τὸ στρατιωτικὸν τῆς προθυμίας ἐκλυόμενον, ἤθελε πρὸς συμβάσεις χωρεῖν, τὰς βασάνους καὶ κακώσεις ὑπονοοῦντες ἃς πείσονται νόμῳ πολέμου ἁλούσης τῆς πόλεως· ἃ πάντα κατανοήσας, ὁ τότε τῆς Νικαίας ἀρχιερεὺς Νικόλαος, καὶ τὸν λαὸν ἐκκλησιάσας, ὑποτίθησιν ἐνδοῦναι τῷ καιρῷ καὶ τοῖς

πράγμασι· καὶ ὡς εὗρε πάντας ἀγαθὴν τὴν εἰσήγησιν οἰομένους, τὴν ἱερὰν ἐρέαν ἐνδύς, καὶ ἀνὰ χεῖρας τὰ θεῖα δεξάμενος λόγια, ἕπεσθαι αὐτῷ κελεύει τοὺς κληρικοὺς καὶ τὸ τῆς πόλεως πλήρωμα, ὡς μηδὲ γυναῖκας ἢ παῖδας ἀπολειφθῆναι τῆς ἐξελεύσεως, γυμνοὺς πάντας ὅπλου παντός, κλάδους νικητηρίους φέροντας, ἀσκεπεῖς τὴν κάραν, ἀνυποδέτους καὶ τὰς χεῖρας λελυμένους τῶν ἱματίων, κατὰ μηδὲν τὸν Ἱκέσιον ψευδομένους, ἀλλὰ καὶ σχήμασι καὶ φθέγμασιν ἐλεεινοῖς ἐπισπωμένους τὸν ἔλεον.

Ὁ δ' Ἀνδρόνικος τῷ τῆς θέας ἀνελπίστῳ καταπλαγείς, ὄναρ ἐδόκει βλέπειν τὰ τότε τελούμενα· ἐπεὶ δὲ ἀληθῆ τὴν ὄψιν εἶχε καταμαθών, ὑπονοθεύει τὸν ἔλεον. Καὶ τοίνυν οὐ μόνον τὸν ἀσμένως προσδεχόμενον πλάττεται, ἀλλὰ καὶ μικροῦ κατήχθη πρὸς δάκρυα· πλὴν οὐκ ἐπὶ πολὺ τὸ δρᾶμα ὑποκρινάμενος, μετὰ μικρὸν ἔδειξεν ἐμφανῶς τοῖς Νικαεῦσι, καὶ μάλιστα τοῖς κατ' ἀξίαν καὶ γένους σεμνότητα ὑπερέχουσιν οἵαν τὴν ἀλωπεκῆν ὑπεδύετο· πολλοὺς τοίνυν τῆς πατρίδος μετανάστας εἰργάσατο, τινὲς δ' ἀπὸ τῶν τειχῶν καταρριφθέντες οἰκτρὸν ὑπέμειναν θάνατον, τοὺς δὲ Πέρσας κύκλῳ τῆς πόλεως πάντας ἀνεσκολόπισε· τὸν δὲ Ἄγγελον Ἰσαάκιον ἐπαινέσας οἷς ἔδρασε καὶ οἷς εἴρηκε, μὴ μόνον ἐξυβρίζων ὡς ὁ Καντακουζηνός, ἀλλὰ κἀκείνῳ ἐπιπλήξας πολλάκις ὡς κατὰ Χριστοῦ Κυρίου γλῶσσαν κινοῦντι θρασεῖαν, ἀποπέμπει εἰς τὸ Βυζάντιον.

Ἐκεῖνος δὲ μετὰ τοῦ στρατοῦ παντὸς μεταβαίνει πρὸς τὴν πόλιν τῶν Προυσαέων, καὶ κατὰ τὸ πρὸς μεσημβρίαν μέρος, ὅθεν καὶ ἡ πόλις ἐπίμαχος διὰ τὸ τοῦ τόπου ἰσόπεδον, βαλὼν χάρακα, τῇ ἑξῆς ἔχεται τοῦ πολιορκεῖν· καὶ αἱ μηχαναὶ καὶ οἱ ἄνδρες ἔδρων τὸ πρόσφορον. Αὐτὸς δὲ Ἀνδρόνικος διὰ βελῶν γράμματα ἠφίει τοῖς ἐν τῇ πόλει· ἦσαν δὲ ἃ ἐδήλου ταῦτα τὰ γράμματα, μεταβολῆς παραίνεσις, καὶ ἀμνηστία κακῶν, εἴπερ εἴσω πυλῶν τοῦτον προσδέξονται, Θεόδωρον δὲ τὸν Ἄγγελον, καὶ τὸν ἀγοραῖον Λαχανᾶν, καὶ τὸν ἀσύνε-

τον Συνέσιον, ὡς ἐκεῖνος ἔλεγε, καὶ τοὺς τούτων ὁμόφρονας συσχόντες τούτῳ καταπροδώσουσι. Καὶ τοῦτο ἐποίει ἡμέραις ἐφ' ἱκαναῖς· οὐδὲ γὰρ ὁ κατὰ Προῦσαν συγκροτούμενος πόλεμος τοῦ κατὰ Νίκαιαν εἶχε τὸ ἔλαττον· καὶ αὐτὴ δὲ ἡ πόλις, ὀχυρὸν περιβεβλημένη τεῖχος καὶ ἐπὶ τούτῳ περίτειχον. Επεὶ δὲ ἔδει καὶ τὴν πόλιν ταύτην ὑποκύψαι τῷ Ἀνδρονίκῳ, καὶ τῶν ἐν αὐτῇ τοὺς πλείστους παθεῖν τὰ ἀνήκεστα χειρωθέντας, θραύεταί τι μέρος τὸ τῇ ἑλεπόλει τυπτόμενον· φαντασίαν δὲ τοῖς ἔνδον παρέσχε τοῦ τὸ τεῖχος ἅπαν ὅσον ἐτύπτετο ἐπὶ γόνυ κλιθῆναι· θροῦς οὖν ἐπὶ τῷ γενομένῳ ἄσημος αἴρεται, καὶ δέος τὰς πάντων ἐκταράττει ψυχάς. Ὅθεν μὴ περιεργασάμενοι τὸ γεγονός, ἀλλὰ τῷ δέει μικροῦ ἀποψύξαντες, ἔρημα τὰ τείχη φυλάκων εἴασαν, καὶ τὸ ἐντεῦθεν ἄνετος τοῖς πολεμίοις | ἡ διὰ πυλῶν καὶ κλιμάκων εἰς τὴν πόλιν εἴσοδος. φ. Ἔπασχον οὖν οἱ Προυσαεῖς· ἀνῃροῦντο, καὶ διηρπάζοντο τὰ προσόντα, καὶ τὰ βοσκήματα κατεκόπτετο, ἃ πολλὰ εἰσήγαγον ὡς ἂν ἔχοιεν ᾧ τραφήσονται οἱ ἐντός, ἐπιτεινομένης τῆς πολιορκίας. Ἐπεὶ δὲ καὶ Ἀνδρόνικος εἰσῆλθε τὸ πόλισμα, οὔθ' ὡς ὑπηκόοις πράως τοῖς Προυσαεῦσιν ἐχρήσατο, οὔθ' ὡς ἀνθρώπους τούτους ἠλέησεν, ἀλλ' ὡς θὴρ ἐμπεσὼν θρέμμασι, πλείστους ὅτι μάλιστα διέφθειρε καὶ ἠφάνισε· τὸν μὲν γὰρ Θεόδωρον τὸν Ἄγγελον ἐκτυφλοῖ καὶ ἄνῳ καθεσθέντα κελεύει τῶν Ρωμαϊκῶν ἐξελαθῆναι ὁρίων, καὶ τάχ' ἂν θηρίοις ἐγεγόνει κατάβρωμα, (ὃ καὶ Ἀνδρόνικος ἐτεχνάσατο), εἰ μὴ Τοῦρκοι ἐντυχόντες ᾤκτειράν τε καὶ κατὰ σκηνὴν αὐτῶν ἀγαγόντες θεραπείας ἠξίωσαν. Τὸν δὲ Συνέσιον Λέοντα καὶ τὸν Λαχανᾶν Μανουὴλ καὶ συχνοὺς ἄλλους, τεσσαράκοντα τοὺς πάντας, δένδρων ξύλοις ἐκρέμασε. Πολλῶν δὲ ἄλλων χεῖρας ἀπέτεμε, τινῶν πόδας ἀφῄρηκε καὶ ἄλλων δακτύλους, πολλοὶ χειρῶν καὶ ὀφθαλμῶν ὑπέστησαν στέρησιν, εἰσὶ δ' οἳ καὶ ὀφθαλμὸν δεξιὸν καὶ πόδα εὐώνυμον ἐζημίωντο.

Οὕτως ἀπανθρώπως πράξας Ἀνδρόνικος μεταίρει πρὸς τὸ Λοπάδιον, κἀκεῖ τὰ ὅμοια δράσας, καὶ τὸν Ἀνδρανοῦς ἐπίσκοπον στερήσας τῶν ὀφθαλμῶν, ὡς μὴ ἀγανακτοῦντα κατὰ τῶν στασιωτῶν, ἐπάνεισιν εἰς τὰ βασίλεια, τὰ τῶν Προυσαέων σώματα ἃ τῶν δένδρων ἀπηώρησεν ἄταφα καταλιπὼν ἡλίῳ ξηρανθέντα καὶ ἀνέμοις περιφερόμενα ὥς τινα φάσματα.

Εἰς δὲ τὴν Πόλιν ἐπανιών, καὶ παρὰ τοῦ δήμου φωναῖς εὐφήμοις δεξιωθείς, καὶ ταῖς τῶν κολάκων προσλαλιαῖς τὴν μεγαλοφροσύνην κτησάμενος, πλείονα εἰς θεωρεῖα καὶ ἵππων ἁμίλλας ἐτράπετο· ὅτε καί τινων ξύλων καταβληθέντων τοῦ οἴκου ἐν ᾧπερ ἐκάθητο, περὶ τοὺς ἓξ ἀνηρέθησαν ἄνδρες, καὶ αὐτὸς δὲ τῷ δέει συσχεθείς, ὥρμησε τοῦ θρόνου ἐξαναστῆναι καὶ χωρῆσαι πρὸς τὰ βασίλεια· τὸ δὲ εἰς αὐτὸν εὔνουν καθῆσθαι παρέπεισαν, ὡς εἰ ἐξανασταίη, αὐτίκα δὴ ἀπολούμενον, τοῦ δήμου κατ' ἐκείνου καὶ τῶν περὶ αὐτὸν ἐφορμήσαντος. Μικρόν τι γοῦν ἐπιμείνας, τὸν ἱππικόν τε καὶ γυμνικὸν ἐτέλεσεν ἄεθλον, τῶν δ' ἄλλων θεαμάτων ἀπέσχετο τέλεον.

Καὶ ταῦτα μὲν οὕτως ἐφέρετο. Ἦν δέ τις ἀνὴρ τοὔνομα Ἰσαάκιος, θυγατρὸς παῖς Ἰσαακίου τοῦ σεβαστοκράτορος, ὃς ὁμαίμων τοῦ βασιλέως ἦν Μανουὴλ· οὗτος ὁ Ἰσαάκιος παρὰ τοῦ θείου καὶ βασιλέως Μανουὴλ τὰ κατ' Ἀρμενίαν διέπειν λαχών, καὶ ἄρχειν Ταρσοῦ καὶ τῶν περὶ αὐτήν, συρρήγνυσι μετὰ τῶν ἐναντιουμένων Ἀρμενίων πόλεμον, καὶ ἁλοὺς φρουρᾷ ἐγκλείεται· ὀψὲ δὲ θέμενος πρὸς τῶν Ἱεροσολυμιτῶν φρερίων εὔθετον τὴν πρὸς πατρίδα ἐπάνοδον, τοῦ Ἀνδρονίκου συναραμένου πρὸς τὰ λύτρα συμβουλῇ Θεοδώρας τῆς Κομνηνῆς, ᾗ ὁ Ἀνδρόνικος μὲν ἐπλησίαζεν, οὗτος δὲ ἀνεψιὸς ἦν· ἐνῆγον δὲ Ἀνδρόνικον πρὸς τὸ δέξασθαι Ἰσαάκιον ὁ Μακροδούκας Κωνσταντῖνος, ὁμευνέτης ὢν τῆς πρὸς πατρὸς αὐτῷ θείας, καὶ Ἀνδρόνικος ὁ Δούκας συνήθης ἐκ παίδων τυγχάνων καὶ κατὰ γένος ἔγγιστα. Οὗτος τοίνυν ὁ Ἰσαάκιος Ἀνδρονίκῳ οὐχ ὑπείκειν ἐθέλων,

τυραννίδος δ' ἐρῶν καὶ ἀρχῆς, ἐφοδίοις χρῆται τοῖς ἐκ Βυζαντίου πεμφθεῖσιν αὐτῷ χρήμασιν, εἰς τὸ ἀρχὴν κτήσασθαι. Τοίνυν μετὰ χειρὸς συχνῆς καταπλεύσας εἰς Κύπρον, τὰ μὲν πρῶτα βασιλικῷ προστάγματι ἄρχειν τῶν Κυπρίων ἐπλάττετο, γράμματα ὑποδεικνὺς βασιλικά, ἅπερ αὐτὸς συνέθετο, καὶ διαταγὰς αὐτοκρατορικάς, τὸ ποιητέον δῆθεν ὑποδηλούσας ἐκείνῳ. Μετ' οὐ πολὺ δὲ τὸν τυραννοῦντα παραγυμνώσας, ἀπανθρώπως τοῖς ἐκεῖ προσεφέρετο, καὶ τοσοῦτον εἰς τὸ ἀμείλικτον Ἀνδρόνικον ὑπερέβαλεν, ὅσον αὐτὸς τοὺς πώποτε διαβοήτους ἀνεπιεικεῖς ὑπερήλασε· φόνοις γὰρ ἀναιτίοις καθ' ὥραν ἐχραίνετο, καὶ ποινὰς καὶ τιμωρίας ἐπῆγεν ὁπόσαι κατῆγον εἰς θάνατον, καὶ κοίταις ἀθεμίτοις καὶ φθοραῖς παρθένων ὁ ἀσελγὴς ἐμιαίνετο |, οὐσίας τε πάσης τοὺς εὐδαίμονας οἴκους ἐστέρησε.

Ταῦτα ὡς εἰς ἀκοὴν ἐλήλυθεν Ἀνδρονίκῳ, οὐκ ἦν καθεκτός· ὑφορώμενος γὰρ ἀεὶ τὸ Ἰῶτα στοιχεῖον ὡς καταλῦσον αὐτὸν τῆς ἀρχῆς, ἐζήτει τρόπον δι' οὗ συλληφθῇ Ἰσαάκιος, καὶ ἐξ ἀνθρώπων γένηται ὁ ἐκείνῳ προσδοκώμενος ὄλεθρος· μὴ ἔχων δὲ πῶς χειρώσεται τὸν ἀπόντα ἐχθρὸν, ἐπὶ τοὺς ἔγγιστα ἐκείνῳ τὸν θυμὸν τρέπει· ἀμέλει καὶ ὑπὸ κρίσιν ἤγαγε τόν τε θεῖον ἐκείνου τὸν Μακροδούκαν Κωνσταντῖνον καὶ τὸν Δούκαν Ἀνδρόνικον, μεθ' ἡμέρας δὲ καὶ καθοσιώσεσι κατεδίκασε, καίπερ τῆς μερίδος ὄντας αὐτοῦ· ὁ γὰρ Μακροδούκας γαμβρὸς ἦν ἐπ' ἀδελφῇ τῆς Κομνηνῆς Θεοδώρας, περὶ ἧς πολλάκις εἰρήκαμεν· ὁ δὲ Δούκας καὶ αὐτοῦ Ἀνδρονίκου ἐν τοῖς ὑπὲρ Ἀνδρονίκου πράγμασιν ἐφαίνετο προμηθέστερος, καὶ τοῦ Ἀνδρονίκου στέρησιν ὀφθαλμῶν καταψηφιζομένου τινὸς, αὐτὸς καὶ χειρῶν ἐκκοπὴν προσῆγεν, ἢ ἀνασκολόπισιν ἐγνωμάτευε, βλασφημῶν κατὰ Ἀνδρονίκου ὡς μὴ καταλλήλους τοῖς πταίσμασι τὰς κολάσεις ἐπάγοντος. Ἐπιστάσης τοίνυν τῆς λαμπροτάτης καὶ εὐσήμου ἡμέρας καθ' ἣν τὴν ἑορτὴν τελοῦμεν

τῆς Ἀναλήψεως τοῦ δεσπότου Χριστοῦ καὶ σωτῆρος ἡμῶν, ἀθροισμὸς γίνεται ἐκ προσκλήσεως περὶ τὴν βασίλειον ἁπάντων αὐλὴν, καὶ συνδρομὴ παντὸς ἔθνους καὶ γένους, ἔνθα ηὐλίζετο ὁ Ἀνδρόνικος κατὰ τὸ Ἔξω λεγόμενον Φιλοπάτιον, κἀκεῖθεν μεταρρυέντες πάντες εἰς τὰ τοῦ Μαγγάνη λεγόμενα παλάτια, ἃ δὴ κατὰ τὸ Ἐντὸς Φιλοπάτιον ᾠκοδόμηντο, ὁ δὲ Ἀνδρόνικος κατηδάφισε· τότε ἐξάγεται παρὰ δόξαν τῶν συνειλεγμένων ὁ Μαυροδούκας τε καὶ ὁ Δούκας· καὶ οἱ μὲν, ὡς ὑπὸ δίκην ἀχθησόμενοι, ἢ τὸν Ἀνδρόνικον ὀψόμενοι τῶν ὑπερῴων προκύψαντα διεσκευάζοντο πρὸς τὸ εὔσημον, ἄνω τε ὄμματα αἴροντες, ὁ δὲ Ἁγιοχριστοφορίτης Στέφανος, (ὃν καὶ Ἀντιχριστοφορίτην οἱ τότε ὠνόμαζον, ἦν γὰρ τῷ ὄντι ὁ ἀναιδέστατος τῶν Ἀνδρονίκου ὑπηρετῶν, καὶ πάσης ἀνοσιουργίας ἀνάμεστος), ἄρας λίθον χειροπληθῆ, βάλλει τὸν Μακροδούκαν, καὶ παρῄνει πᾶσι ὡς εἰς παράδειγμα αὐτὸν ἀφορᾷν καὶ τὰ ὅμοια δρᾷν, καὶ τὸν μὴ βάλλοντα λίθοις, ἐρεσχελῶν, καὶ ὡς ἄπιστον τὴν αὐτὴν καταδίκην ὑποστῆναι μέλλοντα. Ἦραν οὖν διὰ τὴν ἀπειλὴν πάντες λίθους, καὶ τῶν ἀνθρώπων κατέβαλον, ὡς ἀρθῆναι τοὺς λίθους ἐς ὕψος βουνοῦ· ἔτι δ᾽ ἐμπνέοντας τοὺς ἄνδρας ἄραντές τινες οἷς τὰ τῆς ὑπηρεσίας ταύτης ἐπετέτραπτο, καὶ κιλικίοις ἐνειλήσαντες, τὸν μὲν εἰς τὴν Περαίαν ἢ τοῖς Ἰουδαίοις εἰς ταφὴν ἀποκεκλήρωται ἄγουσι, τὸν δὲ Μακροδούκαν κατὰ τὴν ἀντίπορθμον τῇ μονῇ τῶν Μαγγάνων ἀποκομίζουσι λοφώδη ἀκτὴν, καὶ ἀμφότεροι ἀνασκολοπίζονται. Καὶ τότε πρῶτον οἱ Κωνσταντινουπολῖται τεθέανται τὰ καὶ ἀκοαῖς αὐταῖς δυσπαράδεκτα. Ἀλλὰ γὰρ μηδὲ τοῦτο παραδραμέτω ὁ λόγος. Αἰτοῦνταί τινες τὸν Ἀνδρόνικον, οἷς μετῆν παρρησίας, τὰ τῶν κρεμασθέντων καθαιρεθῆναι σώματα· ὁ δὲ ἠρώτησεν, εἰ πάλαι ἀπέθανον, καὶ γνοὺς κακῶς καταστρέψαι τὸν βίον, συμπαθείας, εἶπε, τοὺς ἄνδρας καταξιοῦν· καὶ ἐπεδάκρυσε τῷ ῥήματι τούτῳ, φάμενος, ἰσχυροτέραν εἶναι τὴν τῶν νόμων αὐ-

στηρίαν καὶ τὴν τῶν δικαστῶν ἀπόφασιν τῆς αὐτοῦ προαιρέσεως.

Ὧδε μὲν οὖν ἐξ ἀνθρώπων ἔθετο τὸν Μακροδούκαν καὶ τὸν Δούκαν, κἀπὶ τούτοις εἶδον οὗτοι ἀντιμετροῦντα Ἀνδρόνικον τῆς εὐνοίας τὰ ὀφειλήματα. Μετ' οὐ πολὺ δὲ καὶ τοὺς Σεβαστειανοὺς, ὁμαίμονας δύο, ἀναρτᾷ εἰς ἀμφότερα τὰ τοῦ Πορθμοῦ μέρη, τό τε ἑῷον καὶ τὸ δυτικὸν, διὰ τὸ δῆθεν ἐπιβουλεύειν αὐτοῦ τῇ ζωῇ· ὁμαίμονες δ' οὗτοι τοῦ πρὸς μητρὸς ἐμοὶ πάππου, ὃς καὶ τὴν | βρεφικὴν ἡλικίαν ἀνύων, τὰ φ. αὐτὰ παθεῖν ἐξέφυγε, τῷ κλήρῳ δὲ τῆς ἐκκλησίας ἐγκατελέγη ἀποκαρεὶς κληρικός.

Ὁ δ' ἐκ Κομνηνῶν Ἀλέξιος, ὃς ἐπὶ τῷ κεράσματι ἐτέτακτο τῷ βασιλεῖ Μανουὴλ, ἐκ δὲ τῆς αὐτοῦ ἀδελφόπαιδος προελήλυθεν, ὑπερορίαν ἐς Σκύθας Ἀνδρονίκῳ κατακριθεὶς, κἀκεῖθεν φυγὰς γενόμενος εἰς Σικελίαν κατέλυσε καὶ τῷ ρηγὶ Σικελίας Γιλιέλμῳ εἰς ὄψιν ἐλθὼν, καὶ ὅστις εἴη γνώριμον θέμενος ἑαυτὸν, σὺν αὐτῷ δὲ καὶ ὁ ἐκ Φιλίππων Μαλεῖνος, ἀνὴρ οὔτε τὴν τύχην, οὔτε τὸ γένος ἐπίσημος, ὃν συνέλαβον χόλον κατ' Ἀνδρονίκου καὶ ὤδινον, ὁ μὲν καὶ δικαίως ἴσως ἐπεγκαλῶν, ὁ δὲ τῷ Κομνηνῷ χαριζόμενος, τοῦτον κατὰ τῆς πατρίδος ἀπέτεκον, οὐ πρὸς τὸ οὖς τοῦ ρηγὸς, ἀλλ' ἐπὶ πολλῶν ἐκεῖνα λαλήσαντες, οὐχ ὅσοις κακῶς παθεῖν Ἀνδρόνικον ἤμελλεν, ἀλλ' οἷς ὡς ἐπὶ θήραμα πρόχειρον τὴν ἅλωσιν τῶν Ρωμαϊκῶν χώρων διερεθίσειν εἶχον τὸν ρῆγα. Ὁ δὲ τοῖς τούτων ἐπαρθεὶς λόγοις, καὶ ἄλλως τὰ λεγόμενα συμβιβάζων οἷς παρὰ τῶν ὁμογενῶν Λατίνων ἤκουσε, πάλαι μὲν συνόντων Ρωμαίοις ἐπὶ μισθῷ, τότε δὲ διασπαρέντων διὰ τὸ τοῦ Ἀνδρονίκου δέος, τάς τε οὔσας δυνάμεις ἐπὶ τὸ κραταιότερον εὐτρεπίζει, καὶ ξενολογικὸν συναθροίσας καὶ ἁδροῖς ἐπάρας μισθώμασι καὶ ἐπαγγελίαις μειζόνων, ἐς χιλιάδας τοὺς ἱππέας καταριθμεῖ, καὶ τὴν στρατιὰν εἰς Ἐπίδαμνον διαβιβάσας, αὐτοβοεὶ ταύτην αἱρεῖ·

τὴν δὲ ναυτικὴν δύναμιν ἐς τὰ τῆς Θεσσαλονίκης ἐπίνεια εὐθυπλοήσασαν σχών, τὰ ἐκεῖ λεηλατεῖ, καὶ τὴν Θεσσαλονίκην κατά τε γῆν καὶ θάλατταν περιλαβόντων αὐτῶν, ἑάλω καὶ ἡ πόλις αὐτή, καὶ εἴσω δέχεται τὸ πολέμιον, οὔκουν διὰ τὸ τῶν ἔνδον ἀνίσχυρον καὶ ἄπειρον τοῦ πολέμου, ἀλλὰ τὸ ἀστρατήγητον μᾶλλον τοῦ ἐκ Κομνηνῶν Δαυΐδ· οὗτος γὰρ ἐς οὐδὲν χρήσιμος τοῖς Θεσσαλονικεῦσιν ὀφθείς, δεξιώτατος δὲ μόνον γενόμενος δεδιέναι Ἀνδρόνικον, καὶ τρόπον ἐπιζητῶν δι' οὗ τὰς χεῖρας ἐκείνου ἐκφεύξεται, ἔλαθε τοὺς συλληψομένους αὐτόν τε καὶ τὴν πόλιν, καὶ πόρρωθεν ὄντας μετακαλούμενος ἄντικρυς. Οὐκοῦν καὶ τοῦ τῆς μάχης ἐνστάντος καιροῦ, καὶ παντοίων ὅπλων καὶ μηχανῶν κινουμένων κατὰ τῆς πόλεως, θεατὴς τῶν πολεμίων ἦν, οὐκ ἀντίπαλος· οὔτε γὰρ ὤφθη ἐπεκδραμών, καὶ ταῦτα διανιστώντων πολλῶν, οὔτε δράσειν οὕτως αὐτοῖς ἐνέδωκε· τοίνυν οὐδενὶ τῶν πάντων ὤφθη πανοπλίαν ἀμφιασάμενος, ἀλλ' ἀπεῖχε παντὸς ὅπλου κατὰ τὰς ἐσκιατραφημένας τῶν γυναικῶν· τῶν δὲ μηχανημάτων βαλλόντων τὰ τείχη, αὐτὸς εἰς γέλωτα εἶχε τοὺς τῶν ἀφιεμένων λίθους κτύπους, ὡς καὶ λέγειν, Ἄκουε τὰ τῆς γραίας βοήματα (τὴν μεγίστην τῶν ἐλεπόλεων οὕτω καλῶν). Ἐπ' ὀλίγον γοῦν ἀντισχοῦσα ἡ πόλις, ὑπέκυψε τοῖς ἐχθροῖς· τὰ δ' ἐπὶ τούτοις ἄλλη τις ἐστιν Ἰλιὰς κακῶν· ἅπας γὰρ οἶκος τῶν ἐνόντων ἐστέρητο, οὐκ ἦν οἰκία σώζουσα, οὐ στενωπὸς τῶν ἀναιρούντων λυτρούμενος, ἀλλὰ διὰ πάντων ἐχώρει τὸ ξίφος· κενὴ καὶ ἡ κατὰ τοὺς ἱεροὺς νεὼς συνδρομή, οἱ γὰρ βάρβαροι καὶ θεῖα καὶ ἀνθρώπινα συγχέοντες πράγματα, τιμῆς οὐδεμιᾶς ἠξίουν τὰ τοῦ θεοῦ· τὰς παναγεῖς Χριστοῦ εἰκόνας καὶ τῶν αὐτοῦ θεραπόντων ἠδάφιζον, καὶ εἴ τις ἦν αὐταῖς κόσμος, τοῦτον ἀφῄρουν, αὐτὰς δὲ ὡς ἔτυχεν εἰς τὰς τριόδους ἐξέφερον τοῖς παροδεύουσιν ἐσομένας εἰς καταπάτημα, ἢ τῷ πυρὶ παρεδίδοσαν· ἀνοσιώτατον δὲ μάλιστα καὶ ὡσὶ πιστῶν ἀπαράδεκτον, ὅτι

καί τινες ἄνωθεν ἀνιόντες τῆς ἱερᾶς τραπέζης, ἐπ' αὐτῆς ὠρχοῦντο, καί τινα ᾄσματα πάτρια ἔψαλλον· εἶτα καὶ τὴν αἰδῶ ἀνακαλύψαντες ἐνούρουν κύκλῳ κατὰ τὸ ἅγιον ἔδαφος | .φ. 88 Ἐπεὶ δέ ποτε τὰ δεινὰ δόξαν τοῦ λῆξαι εἴληφε, μέσον ὀφθέντες οἱ τούτων ἀρχηγοὶ τὴν τοῦ πολέμου ἐπέσχον ὁρμὴν εἰς ἀναίρεσιν.

Οὕτω μὲν οὖν, ἵνα καθ' εἱρμὸν αὖθις τὸ λέγειν προΐῃ, ὁ Σικελικὸς στρατὸς τῆς Θεσσαλονίκης ἔνδον γενόμενος ὅσα καὶ οἷα μὴ θεῷ φίλα ἐτέλεσε κατὰ τὴν ἕκτην ἡμέραν τοῦ αὐγούστου μηνὸς τῆς τρίτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ἑξακοσιοστοῦ ἐννενηκοστοῦ [καὶ τρίτου] ἔτους, τῆς τειχομαχίας ἀρξάμενος καὶ συμπεράνας ὡς ἐβούλετο ταύτην κατὰ τὴν πεντεκαιδεκάτην τοῦ αὐτοῦ μηνός· πᾶν δ' ὅπερ ἂν ἐπινοήσειέ τις τῶν κακῶν ἢ καταπράξαιτο, τοῦτο τοῖς ἀθλίοις τότε Θεσσαλονικεῦσιν οἱ Σικελοὶ διεπράξαντο. Πῶς γὰρ ἔμελλον ἀνθρώπων φείσασθαι, οἱ θεοῦ καὶ τῶν θείων ἀνοσίως οὕτω καταφρυαξάμενοι; οὕτω δὲ τιμᾶν ᾔδεσαν τοὺς τοῦ Χριστοῦ μάρτυρας καὶ τοῖς δι' αὐτῶν τελουμένοις προσεῖχον θαύμασιν, ὥστε καὶ τὸ ἐκ τῆς σοροῦ τοῦ μεγαλομάρτυρος Δημητρίου ἀναδιδόμενον μῦρον καδδίοις καὶ λέβησιν ἀρυόμενοι, ὡς ἁπλῶς ἔλαιον ταῖς ἐπὶ τῶν βρωμάτων λοπάσιν ἐκένουν καὶ τὰ τῶν ποδῶν ὑποδήματα τούτῳ ἤλειφον, καὶ ἄλλην χρείαν πᾶσαν ὡς δι' ἐλαίου διὰ τούτου ἐπλήρουν· τὸ δὲ ὡς ἀπὸ πηγῆς ἐπέρρεεν ἀκενώτου πλέον καὶ πλέον, καὶ ὑπερεξεχεῖτο, ὡς καὶ τοὺς βαρβάρους αὐτοὺς ἐκπλήττεσθαι τὴν χάριν ἣν θεόθεν ὁ μάρτυς εἴληφεν. Ἐπεὶ δὲ ὁ ἐν οὐρανοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν ἔγνωκεν αὐτοὺς ἐκτρίψαι καὶ ταράξαι θυμῷ, τὴν δὲ τοῦ οἰκείου λαοῦ κάκωσιν οἰκτειρῆσαι, μαρτυρικαῖς ἐπικκαμφθεὶς λιταῖς καὶ δεήσεσι, καὶ τῆς εὐχῆς ἐπακούσας τοῦ τότε τῶν Θεσσαλονικέων ἀρχιερέως, (Εὐστάθιος οὗτος ἦν ὁ πολὺς μὲν τῷ λόγῳ, τῇ δ' ἀρετῇ περιβόητος) ἔλαβόν τινα τῶν αἰχμα-

λώτων Θεσσαλονικέων φειδῶ οἱ αἰχμαλωτεύσαντες Σικελοί· τοῦτο γὰρ μόνον εἰρήσθω τανῦν· ὁ δὲ τῆς ἐλευθερίας τρόπος ἀναμεινάτω τὸν οἰκεῖον καιρόν. Τότε γοῦν ὁ ἀρχιερεὺς οὗτος τοῖς στρατηγοῖς τῶν Σικελῶν προσιὼν (οὓς κόντους ἐκάλουν), καὶ δι' αἰδοῦς τούτους ἀγόμενος ὡς καὶ θώκων ὑπεξίστασθαι καὶ ἡδέως ἀκούειν, οὐκ ἐπαύετο δεόμενος ὑπὲρ τοῦ ποιμνίου καὶ μετριάζων τὰ λυπηρά, ἀνέσεως χορηγὰ κομιζόμενος ἐπιτάγματα. Καὶ τοσαῦτα μὲν περὶ τούτου.

Ἐπανίτω δ' ὁ λόγος ἐπὶ τὰ τοῦ Ἀνδρονίκου λειπόμενα. Εἶχε μὲν ὡς εἴρηται ἀναρτήσας τοὺς κασιγνήτους Σεβαστιανοὺς (μητρόθειοι οὗτοί μοι, ὡς τοῦ πάππου αὐτάδελφοι), ὡς εἰς αὐτοῦ καθαίρεσιν τὸν ἐπὶ θυγατρὶ τῇ Εἰρήνῃ γαμβρὸν αὐτοῦ, τὸν Κομνηνὸν Ἀλέξιον, παροτρύνοντας τὸν παῖδα τοῦ Μανουήλ· βραχέος δὲ καιροῦ διελθόντος, καὶ αὐτὸν Ἀλέξιον στερίσκει τῶν ὀφθαλμῶν, καὶ εἰς τὴν κατὰ τὸ τοῦ Πόντου στόμα Χηλὴν ὑπερόριον τίθησιν· ἐκπέμπει δὲ καὶ τὴν θυγατέρα Εἰρήνην, ὅτι ὁ μὲν προσέταξε μηδόλως ἐπὶ τῷ ἀνδρὶ κόψασθαι, εἰ φιλεῖ τὸν πατέρα, ἡ δὲ ἐθρήνησε τὸν ὁμόκοιτον ὡς εἰκός. Οὕτω διέστη τὸ συνοικέσιον ὃ σύνδεσμος γενέσθαι τῶν μερῶν ἐλέγετο ὅσα τε Ἀνατολικὰ καὶ ὅσα τῆς Δύσεως. Οὐ μόνον δὲ τὸν Ἀλέξιον οὕτως ἐκόλασεν ὁ Ἀνδρόνικος, ἀλλὰ καὶ τῶν εἰς ὑπηρεσίαν ἐκείνῳ, ὅσοι ἐλλόγιμοι, τῶν ὄψεων ἀπεστέρησε· τὸν δ' ὑπογραφέα Ἀλέξιον τὸν Μάμαλον πυρὶ παρέδωκε κατὰ τὸ Ἱπποδρόμιον, ποιῶν δὲ τὴν τιμωρίαν οὐκ ἀναιτίατον, ἀλλ' ἔγκλημα ἔχουσαν, καὶ βίβλον αὐτῷ συγκατέκαυσε περὶ τῶν εἰς τὸ ἐπιὸν βασιλεῦσαι μελλόντων διεξιοῦσαν, ἣν
89. τῷ Ἀλεξίῳ ὑπαναγινώσκων ὁ Μάμαλος, ἐνάγειν τοῦτον | βασιλειᾷν ἐλέγετο. Τὸν δὲ Δισύπατον Γεώργιον (ἦν δ' οὗτος τοῦ τῶν ἀναγνωστῶν τάγματος τῆς Μεγάλης ἐκκλησίας), παθυνάμενον μόνον καὶ κακῶς εἰπόντα Ἀνδρόνικον ἐφ' οἷς ἐποίει, συνειληφὼς ἄνθραξιν ἐξοπτηθέντα, τοῖς κατ' οἶκον διηπείλει ἐκ-

πέμψαι, καὶ τάχ' ἂν ἐπλήρου τὸ ἀπειλούμενον, εἰ μὴ τὰ τῶν Σικελῶν πρὸς ἄλλα ῥέπειν παρέπεισαν.

Ὅπως μὲν οὖν ἠπίστατο δεξιοῦσθαι Ἀνδρόνικος τοὺς διαπύρους αὐτοῦ θεράποντας, ἐδήλωσε μὲν ἐξ ὧν εἰς τὸν Μακροδούκαν, ὃν καὶ πανυπερσέβαστον ἐτίμησε, καὶ τὸν Δούκαν, ὃν υἱὸν καὶ πάνυ φιλούμενον ἔγραφεν, ἔπραξε, δηλώσει δὲ καὶ τὸ κατὰ τὸν Τρίψυχον· κατειπόντος γὰρ αὐτοῦ τινος τῶν γνησίων, ὅτι γογγύζει κατ' Ἀνδρονίκου τόσαις εὐποιΐαις ἐνευθηνόμενος κἀν ταῖς ἐπιστολαῖς ἀκούων, ἠγαπημένος υἱὸς καὶ κνιπὸς ἄνθρωπος καὶ δυσεύρετος, καὶ ὅτι οὐ μόνον τοῦτον ἀχαριστεῖ, ἀλλὰ καὶ τὸν διάδοχον υἱὸν αὐτοῦ διασύρει καὶ Ζιντζιφίτζην ἀποκαλεῖ (ἦν δὲ τότε ὁ Ζιντζιφίτζης ἀνδράριον εἰδεχθέστατον βωμολοχίαις σχολάζον καὶ σκώμασι γελώτων ποιητικοῖς), οὐκ ἐνεγκὼν τὰ λεχθέντα, τῶν ὑπαρχόντων ἀλλοτριοῖ καὶ εἱρκτῇ παραδίδωσιν, εἶτα καὶ τοῦ τῶν ὀφθαλμῶν φάους ἐπάγει τούτῳ τὴν στέρησιν. Τοιοῦτον πέρας καὶ τὰ τοῦ Τριψύχου ἐσχήκασιν.

Ἀνδρονίκῳ δὲ τὰ μὲν πρῶτα ἐμέλησεν, ὅτε τὴν τῶν Σικελῶν κατ' ἀρχὰς ἐπέλευσιν ἔμαθε (καλὸν γὰρ ἀναποδίσαντα, ὅσα τὸ λέγειν παρέλειψε διελθεῖν καὶ ὡς ἐν συντόμῳ παραδηλῶσαι), φυλάξαι Ἐπίδαμνον, καὶ τὸν Βρανᾶν Ἰωάννην ἐκεῖσε ἀπέστειλεν. Οὐ πολλαὶ δὲ παρῆλθον ἡμέραι, καὶ οἱ Σικελοὶ τῇ Ἐπιδάμνῳ ἐπιστάντες ῥᾳδίως αὐτῆς ἐκράτησαν, καὶ τὸν Βρανᾶν αἰχμάλωτον εἰς Σικελίαν ἀπήγαγον. Τῷ δὲ εἰς τὴν Θεσσαλονίκην Δαυῒδ τῆς φυλακῆς ἔγραφεν ἐπιμελεῖσθαι τῆς πόλεως.

Καὶ ἐπὶ τούτοις συναγαγὼν τὰς δυνάμεις Ἀνδρόνικος, ὅσαι τε Ἑῷαι καὶ ὅσαι τῶν Δυτικῶν, καὶ ταύτας εἰς μέρη διελὼν, τὰς μὲν τῷ υἱῷ καὶ διαδόχῳ, ὡς ἔλεγεν, Ἰωάννῃ φέρειν ἐκέλευσε, περὶ τὴν Φιλίππου διάγοντι, τὰς δὲ τῷ χαρτουλαρίῳ παρέδωκε Χούμνῳ, ἄλλο δὲ μέρος τῷ Παλαιολόγῳ Ἀνδρονίκῳ ὑπέταξε, καὶ ἕτερον τῷ ἐκτομίᾳ Νικηφόρῳ, ὃν εἶχε παρακοι-

μώμενον· ἀλλὰ καὶ Ἀλέξιον ἐξέπεμψε τὸν Βρανᾶν μεθ' ἑτέρου στρατεύματος. Καὶ ὁ μὲν υἱὸς αὐτοῦ Ἰωάννης κυνηγεσίοις ἐσχόλαζε κατὰ Φιλιππούπολιν, τὴν τῆς Θεσσαλονίκης προνόμευσιν φανταζόμενος· οἱ δὲ λοιποὶ, ταύτης πολιορκουμένης, ἐγγίσαι καὶ βοηθῆσαι οὐδόλως ἐθάρρουν, σκηνούμενοι δὲ πόρρω διὰ κατασκόπων ἦσαν τὰ κατὰ Θεσσαλονίκην ἐνωτιζόμενοι. Μόνος δ' ὁ Χοῦμνος ἐγγίσαι τεθάρρηκεν, ὡς ἢ βοηθήσων ἐν τῷ συμπλακῆναι τοῖς πολιορκοῦσιν, ἢ, ἀλλ' εἰ δυνηθῇ, τὴν πόλιν εἰσελευσόμενος· ἀλλὰ καὶ ἀμφοτέρων ἀποτυχὼν, μετ' αἰσχύνης ὑπέστρεψε, τῶν περὶ αὐτὸν μηδ' ἀντιβλέψαι τοῖς ἐναντίοις καρτερησάντων.

Ἐπεὶ δὲ ἡ τῶν Θεσσαλῶν μεγίστη πόλις ἑάλω παρὰ τῶν Σικελῶν, ὥσπερ καὶ εἴρηται, εἰς τρία ὁ στρατὸς τούτων ἐμερίσθη, καὶ ἕκαστον μέρος τῶν κατ' αὐτὸ βαδίζειν προέθετο· καὶ τὸ μὲν κράτιστον εὐθὺ τῆς βασιλίδος ἔτρεχε πόλεως, καὶ φθάσαν ἄχρι Μοσυνοπόλεως, ἐκεῖ κατεσκήνωσεν, ἕτερον δὲ τὰ κατ' Ἀμφίπολιν καὶ Σέρρας ἐδῄου, τὸ δὲ λοιπὸν, ὅσον δηλονότι ναυτικὸν, ἐτήρει τὴν πόλιν τῶν Θετταλῶν. Οἱ Ῥωμαῖοι δὲ οὐδὲ οὕτως εἰς ἓν συνελθόντες, ἑνὶ τούτων μέρει συμπλακῆναι ἐθάρρησαν. Ἀλλ' οἱ μὲν τὴν Μοσυνόπολιν κατειληφότες πολέμιοι, περὶ τῆς πρόσω πορείας ἐσκέπτοντο, μηδένα Ῥωμαῖον ὁπλίτην ἐν ὀφθαλμοῖς θεασάμενοι, Ῥωμαῖοι δὲ τὰς τῶν ἐκεῖσε ὀρέων καταλαβόντες λαγόνας, οὐδόλως εἰς τὸ πεδίον κατέβαινον ὥστε
89*. δέξασθαι τοὺς ἐρχομένους ἐχθρούς |. Ὅθεν ἔγνωσαν δέον οἱ Ἰταλοὶ ὁμοῦ συνελθόντες, πρὸς ἓν κατάντημα τὴν Κωνσταντινούπολιν ἐπαχθῆναι, καὶ ταύτης χειρώσασθαι· οὕτω γὰρ αὐτοῖς ὁ ἐκ Κομνηνῶν Ἀλέξιος συνεβούλευεν, ὃς ἦν τούτοις προσπεφευγὼς, καθὼς εἴρηται.

Οὕτω δὲ, καθάπερ ἱστόρηται, ὀργιλότητος ἔχων Ἀνδρόνικος, ὅμως καὶ ἀγαθῶν οὐκ ὀλίγων μετεῖχε πράξεων, ἐπεὶ καὶ δωρεαῖς ἔθαλπε τῶν ὑπηκόων τοὺς ἐνδεεῖς, εἰ μόνον ἐλπίδος τι διεφαίνετο ὡς οὐκ ἀποστυγεῖ τοῦτον ὁ αἰτῶν, καὶ τὴν

τῶν μέγα δυναμένων πλεονεξίαν οὕτως ἐκόλασε, καὶ συνέστειλεν, ὡς ἄρχοντος ἐκείνου, αἱ πλείους ἐπαρχίαι πρὸς πληθυσμὸν ἐπέδωκαν τῶν ἐνοικούντων αὐταῖς· ἕκαστος γὰρ ἐπὶ τὴν σκιὰν τῶν δένδρων αὐτοῦ ἀνεκλίνετο, καὶ τὸν τῆς ἀμπέλου καρπὸν εἰσοικιζόμενος καὶ τῆς γῆς, ἡδέως ἤσθιε καὶ ἐκάθευδε, μὴ φορολόγου ἀπειλὴν δεδιττόμενος, μὴ πλεονέκτην εἰσπράκτορα, μὴ τὸν ἐκφυλλίζοντα, μηδὲ τὸν καλαμώμενον φανταζόμενος, ἀλλὰ τὰ Καίσαρος Καίσαρι ἀποδιδοὺς, οὐδένα εἶχε τὸν τὸ τάλαντον πολυπλασιάζοντα καὶ τὸ χιτώνιον προσαπαιτοῦντα· ἦν γὰρ ἡ Ἀνδρονίκου ἐπίκλησις ὀλέθριον τῶν φορολόγων ἔπασμα καὶ φόβος μέγας τοῖς ὅσοι παρὰ τὰ διατεταγμένα ἀπαιτεῖν ἤθελον· τὸ δὲ δὴ μεῖζον, καὶ ὀψωνίοις ἐφοδιάζων τοὺς ἀναδεχομένους ἀρχὰς, καὶ ὅσα πείσονται δεινὰ τὰς αὐτοῦ παραβλεψάμενοι ἐντολὰς παραγγέλλων, οὕτως ἀπέστελλεν, οὐκ ὠνίους τὰς ἀρχὰς προβαλλόμενος καὶ τοῖς ἐκ τριόδων καταπιστεύων, ἀλλὰ δωρεὰν καὶ κατ᾽ ἐπιλογὴν παρεχόμενος. Ἔθους δὲ ἀλογωτάτου ἰσχύοντος, τοῦ τὰς χειμαζομένας νῆας καθ᾽ οὓς ἂν λιμένας ἢ τόπους ἐκβράσσωνται, ὁρᾷν τοὺς ἐκεῖ λαχόντας τὴν οἴκησιν διασπῶντας καὶ ἀφαρπάζοντας ὅσα μὴ παρέσυρε θάλασσα, οὕτω πρὸς τὴν τοιαύτην ἀτοπίαν ἀντέπνευσε, καὶ τὴν διόρθωσιν τοῦ κακοῦ τούτου κατώρθωσεν, ὡς ἀντὶ πολλῶν εἰς εὐφημίαν ἐκείνῳ τοῦτο μόνον τὸ ἔργον ἀρκεῖν.

Οὗτος ἀνεκαίνισε μεγίσταις δαπάναις καὶ τὸν παλαιὸν ὑπόγαιον ἀγωγὸν, ὃς περὶ μέσην ἔξεισιν ἀγορὰν, ὕδωρ ἕλκοντα οὐχ ἑστὼς καὶ νοσῶδες, ἀλλ᾽ ἥδιον καὶ κινούμενον, ἐποχετεύσας τούτῳ καὶ τὸν ποταμὸν Ὑδράλιν ὀνομαζόμενον, οὗ περὶ τὰς πηγὰς πύργον τε ἀνῳκοδόμησε καὶ οἰκήματα ἤγειρε πρὸς θερινὴν ἐνδιαίτησιν ἐπιτήδεια, καὶ νῦν ἐκ τούτου ὑδρεύονται ὅσοι περὶ τὰς Βλαχέρνας τὴν οἴκησιν ἔλαχον· οὐδὲ γὰρ ἅπαν τὸ ὑδροδοχεῖον κατήρτισται, τὸ χρεὼν αὐτοῦ πρὸ τῆς τοῦ ἔργου τελειώσεως ἀποτίσαντος, καὶ οὐδεὶς τῷ ἔργῳ τέλος

ἐπέθηκεν· ὁ δὲ μεταστήσας τοῦτον τῆς ἀρχῆς ἅμα καὶ τῆς ζωῆς τόν τε πύργον κατέβαλε, καὶ τὰς οἰκήσεις κατέστρεψε, φθονῶν ὥσπερ Ἀνδρόνικον τῆς πράξεως.

Ἀναποιῶν δὲ καὶ τὰς πραιτωρίας ἀρχὰς, ἄνδρας λογίμους τῶν μετ' αὐτὸν καὶ τῶν ἀπὸ τῆς βουλῆς ἀρίστους ἦν αὐταῖς ἐφιστῶν, φιλοδωρήμασι θεραπεύων, προμηθούμενος ἐντεῦθεν τοῦ ἀνεπαχθῶς κεχρῆσθαι ταῖς πόλεσιν· ὅθεν καὶ διὰ βραχέος εἰς πληθυσμὸν αἱ πόλεις ἐπέδωκαν. Ἦν δὲ καὶ τοῖς κατειπεῖν ἔχουσι τῶν χειροδικῶν εὐέντευκτος, καὶ πρόσωπα μὴ λαμβάνων, οὐκ ἦρεν ἀπὸ τοῦ δικαίου τὸ δίκαιον· ποτὲ οὖν περιέστησαν αὐτὸν ἀγροῖκοί τινες καταβοῶντες τοῦ Δαδιβρηνοῦ, ὃν ἐν τοῖς μάλιστα καὶ πιστοῖς αὐτοῦ εἶχεν, ὡς καταλύσαντος παρ' αὐτοῖς ἐν τῷ παριέναι, καὶ πορισαμένου μὲν ὅσον ἦν ἐν χρείᾳ αὐτὸς καὶ ἡ ὑπηρεσία αὐτοῦ, καὶ τὰ ὀχήματα, μηδὲν δὲ καταθεμένου ἀπόδομα ἐν τῷ ἐκεῖθεν μεθίστασθαι· δικάσας οὖν ἐκεῖνον καὶ ἀληθῆ εὑρὼν τὰ λεγόμενα, αὐτὸν μὲν [δι' ἀλλακτῶν ἐπαίδευσε δώδεκα, τὰ δὲ τῶν ἀναλωμάτων πολλαπλάσιον δοθῆναι ἐκέλευσεν ἀπὸ τῶν βασιλικῶν ταμιείων.

Τοσοῦτον δ' ἀπεῖχε τοῦ θέλειν τι περὶ θεοῦ λέγειν ἢ ἀκούειν καινότερον, ὅτι καὶ τῷ Νέων Πατρῶν Εὐθυμίῳ (μέγας δ' ἐν λόγοις ὁ ἀνὴρ οὗτος), καὶ τῷ Κιννάμῳ Ἰωάννῃ, οὐ μόνον ἐπέπληξε περὶ τὸ Λοπάδιον ἐντὸς τῆς βασιλείου σκηνῆς διαλεγομένοις περὶ τῆς τοῦ, Ὁ πατήρ μου μείζων ἐστὶ τοῦ θεανθρώπου Σωτῆρος φωνῆς, ἀλλὰ καὶ κατὰ τοῦ Ρυνδακοῦ ποταμοῦ ἀκοντίσειν ἠπείλησεν, εἰ μὴ παύσαιντο ποιούμενοι περὶ θεοῦ τὴν διάλεξιν.

Τοῦ δὲ λόγου λόγον τιθέμενος, τοὺς λογίους ἄνδρας ἐγγὺς ἦγε τοῦ θρόνου, καὶ δωρεαῖς ἐδεξιοῦτο συχναῖς, καὶ τιμῆς μετεδίδου μεγίστης, καὶ τοὺς νομοτριβεῖς ἄνδρας περὶ πλείστου ἐτίθετο, καὶ φιλοσοφίαν ἐθείαζε τὴν οὐρανοβάμονα, καὶ σοφιστὴν ἐγκωμιάζοντα καλλιρρήμονα περιεῖπε καὶ ἀπεθείαζε.

Τὴν δὲ τοῦ οἰκείου σκήνους κατάθεσιν ἐς τὸν ναὸν τῶν ἁγίων Τεσσαράκοντα μαρτύρων ποιήσασθαι βουληθεὶς, τὰ πεπονηκότα τούτου μέρη πάντα φιλοτίμως ἀνενεώσατο, τήν τε Σωτῆρος ἡμῶν εἰκόνα Χριστοῦ, δι ἧς ὁμιλῆσαί ποτε λόγος ἔχει τῷ βασιλεῖ Μαυρικίῳ, πολυτελῶς ἐκόσμησε καὶ τὴν πορφυρᾶν μεγίστην λεκάνην ἧς τοῖς χείλεσι δύο ἑλισσόμενοι ἐντετύπωνται δράκοντες, ἀπὸ τοῦ Μεγάλου παλατίου εἰς τὴν τοῦ ναοῦ αὐλὴν μετήνεγκε. Μετεκόμισεν αὐτοῦ καὶ τὰ τῆς πρώτης γυναικὸς λείψανα ἀπὸ τῆς τοῦ Ἀγγουρίου μονῆς ἔνθα ἐτέθαπτο. Ἔξωθεν δὲ περὶ τὰς ἀρκτῴας τοῦ νεῶ πύλας εἰκόνα ἔστησεν ἑαυτοῦ· ἦν δὲ ἡ εἰκὼν ἐργατικὸν αὐτὸν καὶ πολυπαθῆ δεικνῦσα, ἠεράνεον ἐνδεδυμένον φάρος ἐθνικὸν, ὅ καλοῦμεν καβάδιον, καὶ λευκαῖς κρηπῖσι τοὺς πόδας περιστελλόμενον ἀναβαινούσαις εἰς γόνατον, καὶ δρέπανον κατέχοντα τῇ χειρὶ, τῷ κλινομένῳ σχήματι συνέχον ἐντὸς ὡραῖον μείρακα, ἕως τραχήλου καὶ ὤμων φαινόμενον· ἐκεῖνα διὰ τούτων τοὺς θεωμένους διδάσκων ἅπερ δι ἔργων ἠνόμησε, τὸν κληρονόμον φονεύσας, καὶ τὴν ἀρχὴν ἐκείνου καὶ σύννευνον ἑαυτῷ μνηστευσάμενος. Ἀνεγείρας δ' ἐν τῷ λεχθέντι ναῷ τῶν ἁγίων Τεσσαράκοντα καὶ πολυτελῆ οἰκήματα ἑαυτῷ, ἐπεὶ μὴ εἶχεν ἐκ βασιλικῶν πράξεων τὰς ἐπὶ τοῦ δόμου ἱστορίας, ὡς ἔθος τοῖς ἄναξι, καταγράψασθαι, ἱππηλάσια καὶ κυνηγέσια ζωγραφῶν ἦν, οἷς καὶ ἐνωρᾶτο πτηνῶν ἀγέλαι καὶ ἐλάφων καὶ λαγωῶν θηρεύσεις, καὶ σῦς ἄγριος, καὶ ζοῦμπρος (ζῶον δὲ τοῦτο ὑπὲρ ἄρκτον, κατὰ τοὺς Ταυροσκύθας τρεφόμενον) διακοντιζόμενα, καὶ βίος τὸ ὅλον ἀγροικικὸς, καὶ ἑστίασις ἐκ τῶν θηρευομένων, καὶ αὐτὸς Ἀνδρόνικος ἐλάφειον μηρὸν, ἢ κάπρου κατακόπτων κρέα καὶ ὀπτῶν τῷ πυρὶ, καὶ ἄλλα ὅσα δείκνυσι βίον ἀνδρὸς ἐπὶ τόξῳ καὶ ῥομφαίᾳ καὶ ἵπποις πεποιθότος, φεύγοντός τε τὴν ἐνεγκαμένην οὐκ εὐτυχῶς.

Ὁρῶν δὲ τὰ μὲν τῆς ὑπ' ἐκεῖνον ἀρχῆς σμικρυνόμενα, τοὺς

δὲ πολεμίους ἐξηρεμοῦντας τὰ ἐν ποσὶ, κατὰ βραχύ τε τὴν πολιτείαν ἐλευθεροστομοῦσαν καὶ πρὸς ἀποστασίαν ὑποκινουμένην, ὠδίνησε πόνον καὶ ἀνομίαν ἀπέτεκε. Ταῦτα δὲ ἦν, τὸ μὴ μόνον ὅσους φυλακαῖς συνέσχε θανάτῳ καταδικάσαι, ἀλλὰ καὶ κατὰ προσγενῶν τούτων ἀκονῆσαι τὸ ξίφος. Ἔνθεν τοι καὶ ἐκκλησιάσας τὸ φίλιον σύστημα καὶ τῶν δικαστῶν ὅσοι χρημάτων ὤνιοι, ἐκτραγῳδεῖ ὁπόσα ἐπονηρεύσαντο οἱ Σικελοὶ, καὶ οἷα κακὰ καταπράττονται, πόλεις πορθοῦντες καὶ τὰς χώρας ἐξαφανίζοντες, καὶ τούτων προσεπῆγεν οὐκ ἄλλο τὸ αἴτιον, ἀλλ' οἱ ἀντιφέροντες τούτῳ καὶ ὅσον τούτοις συγγενικὸν, καὶ οἰκεῖον κατ' εὔνοιαν· τούτους γὰρ τὴν Ἀνδρονίκου διψᾶν ἀπώλειαν |, καὶ μὴ ἔχοντας δι' ὁμογενῶν δοῦναι τὴν ἔφεσιν πέρατι, ἀλλοτρίαν ἐπενεγκεῖν στρατιάν· ἀλλ' οὔ, μὰ τὸ γῆρας τοῦτο, φησὶ, χαιρήσουσιν, ἀλλ' ὃ παθεῖν Ἀνδρόνικον γλίχονται, τοῦτο πείσονται οὗτοι παρ' Ἀνδρονίκου. Τοιαῦτα εἰπὼν, τὴν θεραπείαν ἐζήτησε τοῦ κακοῦ. Ἀράντων δὲ τὴν φωνὴν καὶ μέγα κραξάντων, αἴρειν αὐτοὺς ἐκ τῆς γῆς, καὶ φείσασθαι μηδενὸς, κυροῦται ὁ τῶν ὅλων ἀφανισμὸς, ὅσους τε εἶχεν ἐν φρουραῖς κατασχὼν, καὶ ὅσοι τὴν ὑπερορίαν κατεκρίθησαν, καὶ τὸ θεραπευτικὸν τούτων καὶ συγγενές. Καὶ δὴ τόμος ἐδέχετο τὰ ὑποτυπούμενα, ὑπαγορεύοντος τοῦ πρωτασηκρῆτις, καὶ ἀμφιπονουμένου τοῦ ἐπὶ τῶν δεήσεων, τοῦ δὲ πρωτονοταρίου ταῖς φωναῖς ἀλαλάζοντος, καὶ τῶν καθεξῆς συμπραττόντων, ὧν πρωτοστάτης ἦν ὁ Ἁγιοχριστοφορίτης Στέφανος, τῷ φθέγματι περιηχῶν τὰ βασίλεια. Προέβη μὲν οὖν τὸ ὑπόμνημα, θείαν κίνησιν τὴν αὐτῶν μιαιφονίαν ἐπικαλούντων τῶν ἐκθεμένων αὐτὸ, καὶ τὸν κατάλογον ἐδήλου τῶν συλληφθησομένων καὶ τεθνηξομένων, καὶ ὁποίῳ ἕκαστος τρόπος τῶν ζώντων ὑπεξελθεῖν ἄξιος. Καὶ ἐπὶ τούτοις τὸν σύλλογον ἐκεῖνον διέλυσε.

Ὁ δὲ Ἀνδρόνικος ἐγγράφους τὰς ψήφους δεξάμενος ἐφύλαττεν, οὐκ οἶδ' ὅτι διανοούμενος, οἶμαι δὲ τὸ ἐσόμενον προ-

σκεπτόμενος, καὶ δεδιὼς φόβον ὅς ἐπῆλθεν αὐτῷ· συσχεθεὶς γὰρ καὶ λόγους ὧν διεπράξατο ἀπαιτούμενος, τοὺς δικαστὰς ἔφασκε καὶ τὴν γερουσίαν ἀποφαίνεσθαι τὰς τιμωρίας, ἑαυτὸν δὲ ὑπηρετεῖν ταῖς γνώμαις ἐκείνων· μηδὲ γὰρ εἰκῆ φορεῖν τὴν μάχαιραν. Πρὸς δὲ τὴν τοιαύτην ψῆφον καὶ ὁ υἱὸς αὐτοῦ, ὁ σεβαστοκράτωρ Μανουὴλ, ἀπεπήδησε, μὴ δέξασθαι πρᾶξιν φάμενος, ἥτις μὴ καθ' ὁρισμὸν τελεῖται βασιλικὸν, ὡς οἱ ψηφιζόμενοι γράφουσι, μηδ' ἀνασχέσθαι ἀπόφασιν οἰκειώσασθαι, ἥτις πάντων Ῥωμαίων ἀποφαίνεται ὄλεθρον. Συνέβη δέ τι καὶ ἕτερον· ἐνάγεται παρὰ τῶν οἰκείων εἰς τὴν τῶν ἐσομένων πρόγνωσιν δι' ἐργασίας ἀποτροπαίου, ἐφίησι νοῦν ἑαυτὸν ὅλον τοῖς ἀμυδρῶς τοῖς ὕδασι τεκμαιρομένοις τὰ ἐσόμενα καὶ προλέγουσι· καὶ αὐτὸς μὲν παρεῖναι τοῖς τελουμένοις δέον οὐκ ᾤετο, ἀνατίθησι δὲ τὴν ἐργασίαν τῷ Ἁγιοχριστοφορίτῃ. Ὁ δὲ τὸν Σὴθ παραλαβὼν, ὡς ἐκ νεαρᾶς ἡλικίας τὰ τοιάδε πεπαιδευμένον, ὃν καὶ διὰ ταῦτα τὰς κόρας ἀποβαλεῖν παρὰ τοῦ βασιλέως Μανουὴλ ὁ λόγος ἐδήλωσεν, ἠρώτησε μαθεῖν θέλων ὅστις ἐστὶν ὁ μετ' Ἀνδρόνικον τὴν βασιλείαν παραλειψόμενος. Καὶ τὸ πονηρὸν πνεῦμα διαχαράττει τινὰ τῶν γραμμάτων, Ἰσκάκιον νοεῖν ὑποβάλλοντα, Σῖγμα προϋποθέμενον καὶ τούτου Γῶτα ὄπισθεν, ὃ μὴ ἀκριβῶς ἠπίστατο, τῇ ἀσαφείᾳ συγκαλύπτον, ὡς μὴ ψευδόμενον ἔχοι τὸν ἔλεγχον. Ἀνδρόνικος οὖν Ἴσαυρον ὑπετόπασεν, ἐξ ὧν ἤκουσε, καὶ τοῦτον εἶναι τὸν Ἰσκάκιον, ὃς τῆς νήσου Κύπρου τότε ἦν τύραννος. Ἐρωτᾷ γοῦν καὶ τὸν καιρὸν πότε, καὶ μανθάνει ἐντὸς τῶν ἡμερῶν τῆς ὑψώσεως τοῦ Σταυροῦ· ἦν δὲ τότε ἀρχόμενος ὁ σεπτέμβριος. Ὡς δ' ἤκουσε τὰ περὶ τοῦ καιροῦ ὁ Ἀνδρόνικος, λῆρος, ἔφησεν, ὁ χρησμός· ποῦ γὰρ δυνήσεται Ἰσκάκιος ἐκ Κύπρου καταπλεῦσαι διὰ τῶν μετρίων ἡμερῶν τούτων, καὶ καθελεῖν αὐτὸν τῆς ἀρχῆς; Φήσαντος δέ τινος, κριτοῦ τοῦ βήλου παρ' Ἀνδρονίκου προβεβλημένου, ὡς δεῖ συλληφθέντα ἐξ ἀνθρώπων γε-

νέσθαι τὸν Ἄγγελον Ἰσαάκιον, οὐδ' οὕτως προσέθετο, μωρίαν τούτου καταχεάμενος, εἰ τοιαῦτα ὅλως περὶ τοῦ Ἀγγέλου Ἰσαακίου φαντάζεται, ἐξουθενῶν ἐς μαλακότητα ἤθους τὸν ἄνδρα καὶ πρὸς οὐδὲν κατόρθωμα δεξιὸν εἶναι διατεινόμενος.

Ἀλλ' ὁ Ἁγιοχριστοφορίτης τοῦ κυρίου κηδόμενος, προσέθετο τὸν Ἰσαάκιον συλλαβεῖν καὶ φρουρᾷ δοῦναι, εἶτα καὶ θανάτῳ ὑπαγαγεῖν ᾧ ἂν Ἀνδρόνικος δοκιμάσειεν. Οὐκοῦν εἰς τὴν οἰκίαν Ἰσαακίου παραγενόμενος, ἐγγὺς οὖσαν τῆς Περιβλέπτου
1. μονῆς |, περὶ δείλην τῆς ἑνδεκάτης σεπτεμβρίου μηνὸς τοῦ ἑξακισχιλιοστοῦ ἑξακοσιοστοῦ ἐννενηκοστοῦ τετάρτου ἔτους, εἰσελθὼν τὴν αὐλὴν κατελθεῖν τῷ Ἰσαακίῳ ἐπέταττε καὶ αὐτῷ ἕπεσθαι. Τοῦ δέ, ἀπαρεσκομένου, ὅτι καὶ μόνον ὀφθεὶς ἐκεῖνος κακὸν ἔσχατον ἐλογίσθη, ὁ δὲ πρὸς βίαν ἔλεγε τοῖς συνοῦσι τῶν τριχῶν ἁπτομένοις τοῦ γενείου, τοῦ δωματίου ἀτίμως καταγαγεῖν, καὶ ὠθούμενον ἀπαγαγεῖν εἰς ἣν ἂν αὐτὸς φρουρὰν ὑποδείξειε· καὶ οἱ μὲν πρὸς τὸ πληροῦν τὸ ἐπιταττόμενον ἦσαν. Ὁ δ' Ἰσαάκιος τὴν θήραν ἰδὼν ἤδη συνέχουσαν, οὐ δειλίᾳ συσχεθεὶς ἄπρακτος ἔμεινεν, ἀλλ' ὡς εἶχε, τὸ ξίφος σπασάμενος (εἶχε δὲ ἀπερικαλύπτως τῆς κεφαλῆς, καὶ τὸ σῶμα ἐνδύματι διχρόῳ περὶ τὴν ἰξὺν καταβαίνοντι καλυπτόμενον), τὸν ἵππον ἀναβάς, τὴν χεῖρα τείνει ξιφήρη κατὰ τῆς Ἁγιοχριστοφορίτου κεφαλῆς· ὁ δὲ πτοηθεὶς τὴν τοῦ Ἰσαακίου ὁρμήν, μεταστρέψας τὴν ἡμίονον, ᾗ ἔποχος ἦν, φεύγειν ἤθελεν· ἀλλ' οὔπω τὴν πύλην ἐξῆλθε, καὶ ὁ Ἰσαάκιος καιρίαν αὐτὸν πλήττει, κατὰ τὸ μέσον τῆς κορυφῆς, καὶ διελὼν διχῆ, ἐκεῖνον μὲν εἴασεν, αὐτὸς δὲ τῶν ἑπομένων ἐκείνῳ, τὸν μὲν φοβήσας τῷ γυμνῷ ξίφει μόνῳ, ἑτέρου δὲ τὸ ὠτίον ἀφελόμενος, καὶ ἄλλον ἄλλοθι διαστήσας ὡς ὁρμῆσαι καὶ πρὸς φυγήν, ὅλῳ ρυτῆρι πρὸς τὴν Μεγάλην ἐκκλησίαν προσφεύγει, διὰ τῆς λεωφόρου μέσης διϊὼν καὶ φθεγγόμενος, ὡς τῇ σπάθῃ ταύτῃ (ἔτι γὰρ γυμνὴν ἔφερε τῇ χειρί), ἐφόνευσε τον Ἁγιοχριστο-

φορίτην Στέφανον. Καὶ τὸν θεῖον ναὸν εἰσιών, παρὰ τὸν τόπον ἵσταται, ὃν οἱ φονεῖς ἀνερχόμενοι, τὸ οἰκεῖον διατρανοῦσι πλημμέλημα, τὴν τῶν εἰσιόντων καὶ ἐξιόντων τὸ ἱερώτατον τέμενος ἐξαιτοῦντες συγχώρησιν.

Τὸ δὲ πλῆθος τῆς Πόλεως, οἵ τε ἰδόντες αὐτὸν εἰς τὸν Μέγαν ναὸν ἀπερχόμενον, καὶ οἱ μόνον ἀκούσαντες, συνέρρεον αὐτίκα κατὰ χιλιάδας, ἰδεῖν τε τὸν Ἰσαάκιον, καὶ μαθεῖν τὸ ἐπ' αὐτῷ γενησόμενον· ᾤοντο γὰρ μὴ ἐπιδῦναι τὸν ἥλιον, καὶ συλληφθέντα παρὰ τοῦ Ἀνδρονίκου παθεῖν τὰ ἀνήκεστα. Συμπαραγίγνεται δὲ τῷ Ἰσαακίῳ καὶ ὁ πρὸς πατρὸς αὐτῷ θεῖος, Ἰωάννης ὁ Δούκας, καὶ ὁ υἱὸς αὐτοῦ Ἰσαάκιος, οὐχ ὅτι ἦσαν συμμέτοχοι τῆς σφαγῆς, ἀλλ' ὅτι ἐγγράφους ἐγγύας ὑπὲρ ἀλλήλων ἔδοσαν Ἀνδρονίκῳ, τὴν πρὸς αὐτὸν οὕτω κρατυνάμενοι πίστιν πρὸς βίαν. Ἀμέλει καὶ οἱ μὲν ὡς ὅσον οὔπω συλληφθησόμενοι καὶ τὸν θάνατον ἐνορῶντες, περιδεεῖς ἦσαν καὶ ἔτρεμον, καὶ τοὺς συνεισδραμόντας καθικέτευον συμπαραμεῖναι καὶ βοηθῆσαι ὡς ἔχουσι, τὰ ἔσχατα παθεῖν κινδυνεύουσι. Καὶ ἦσαν οἳ κατένευον πρὸς τὴν αἴτησιν, καὶ τοὺς ἄνδρας τῆς ἐνεστώσης τύχης κατῴκτειρον. Ἐπεὶ δὲ τῶν ἐκ τοῦ Ἀνδρονίκου παρῆν οὐδεὶς ἀγανακτῶν ἐπὶ τοῖς γεγενημένοις, ἔτι μᾶλλον οἱ συλλεγέντες ἦσαν θρασεῖς, καὶ πᾶσαν βοήθειαν συνεισενεγκεῖν ἐπηγγέλλοντο. Ὅλην μὲν οὖν τὴν τότε νύκτα οὕτω διεβίβασεν Ἰσαάκιος, περὶ τοῦ μὴ τεθνάναι δεόμενος· ἐκ δὲ τῆς πολλῆς παρακλήσεως ἠδυνήθη τινὰς πεῖσαι τὰς πύλας ἀσφαλίσασθαι τοῦ ναοῦ, καὶ φῶτα εἰσενεγκεῖν, καὶ τῷ καθ' ἑαυτοὺς ὑποδείγματι πολλοὺς συμπείθοντας μὴ μεθίστασθαι. Πρωΐας δὲ γενομένης, οὐκ ἦν ὅστις οὐ παρῆν οἰκήτωρ τῆς Πόλεως, καὶ πάντες ἐπηύχοντο, βασιλεύσειν μὲν Ἰσαάκιον, καθαιρεθῆναι δὲ τὸν Ἀνδρόνικον, καὶ συλληφθέντα παθεῖν ὅσα ἔδρασεν.

Ἔτυχε μὲν οὖν τότε μὴ παρεῖναι τῇ Κωνσταντινουπόλει Ἀνδρόνικον, ἀλλὰ περὶ τὰ τοῦ Μηλουδίου διατρίβειν βασίλεια·

Ὅθεν καὶ περὶ τὴν πρώτην φυλακὴν τῆς νυκτὸς τὸν τοῦ Ἁγιοχριστοφορίτου ἐνωτισάμενος θάνατον, ἔμεινε κατὰ τόπον, γραμματίῳ βραχεῖ τοὺς μεγαλοπολίτας δεξιωσάμενος, παύσασθαι παραινῶν τοῦ νεωτέροις ἐγχειρεῖν πράγμασιν, οὕτω πως ἀρχομένῳ: «Ὁ λαβὼν ἔλαβεν, ἡ δὲ δίκη ἐκόπη.» Ὅσοι δὲ τὸν Ἀνδρόνικον ἐθεράπευον, καταστέλλειν ἐπειρῶντο τὸν ὄχλον· καὶ αὐτὸς δὲ Ἀνδρόνικος κατὰ τὸ Μέγα παλάτιον [παραγίνεται τριήρει βασιλικῇ.

Ἀλλ' οὐδεμία ἦν ἀναστολὴ τῆς τοῦ λαοῦ συνδρομῆς. Πολλοὶ μὲν οὖν καὶ τοῦ θανεῖν ἐγγὺς ἦλθον, εἰπόντες, μὴ καλὸν ἔργον γίνεσθαι. Πάντες μὲν οὖν ἔθεον εἰς τὸ τῆς Σοφίας τοῦ Θεοῦ λόγου μέγιστον τέμενος, ἀλλήλους παραθήγοντες, καὶ λοιδοροῦντες ἐκείνους ὅσοι μὴ τὰς χεῖρας ὥπλιζον ὡς ἠδύναντο. Ἐπὶ τούτοις κατακλῶσι τὰς κλεῖς τῶν δημοσίων φρουρῶν, καὶ τοῖς ἐν φυλακαῖς τὴν ἔξοδον ἐπιτρέπουσιν, οὐ πᾶσιν οὖσι κακούργοις, ἀλλὰ καὶ γένους λαμπροῦ. Τοῦτο δὲ μάλιστα τὸ πλῆθος ἠρέθισε κατ' Ἀνδρονίκου, καὶ κακῶς αὐτὸν ἔλεγον.

Καὶ συναγωγῆς λαοῦ πλείστης μεθ' ὁρμῆς τοιαύτης γεγενημένης, βασιλεὺς αὐτοκράτωρ Ῥωμαίων ἀναγορεύεται Ἰσαάκιος, τινὸς τῶν νεωκόρων τὸ τοῦ μεγάλου Κωνσταντίνου στέφος τῇ τοῦ Ἰσαακίου κεφαλῇ ἐπιθέντος, ὅπερ ἄνωθεν τῆς μυστικῆς τραπέζης ᾐώρητο. Συνέβη δὲ καί τι τοιοῦτον. Ὁ Ἰσαάκιος ἐδυσκόλαινε πρὸς τὴν στεφηφορίαν ὑποβλεπόμενος τὴν Ἀνδρονίκου ὀργήν· συνεστὼς δὲ ὁ δηλωθεὶς Δούκας καὶ θεῖος αὐτοῦ, καὶ τὴν τῆς κεφαλῆς ἀφελόμενος καλύπτραν, ἑαυτῷ περιθέσθαι τὸ στέφος ἱκέτευε, φαλακρὸν ὑποδεικνὺς τὸ κρανίον· ὁ δ' ὄχλος ἀπηγόρευον, μηκέτι γέροντα ἄρχειν βούλεσθαι, φάσκοντες, ἢ βασιλεύειν ἐπ' αὐτούς. Ἐγένετό τι τότε καὶ ἕτερον, ὃ τεράστιον ἔδοξεν. Ἵππος γὰρ ἐκ τῶν βασιλικῶν χρυσοφάλαρος, ἐκ τοῦ πόρου τῶν Κιόνων ἀποφυγὼν ὡς ἐπεραιοῦντο, διὰ τῆς λεωφόρου ἔθεε, καὶ συλληφθεὶς προσάγεται Ἰσαακίῳ εἰς ὄχησιν.

Καὶ ὁ Ἰσαάκιος ἐκ τοῦ μεγίστου νεὼ ἀπαίρει, συνεπόμενον ἔχων καὶ τὸν πατριάρχην Βασίλειον τὸν Καματηρὸν, (ἐπεὶ καὶ τοῦτον συμπράττειν τοῖς τελουμένοις τὸ πλῆθος καὶ ἄκοντα ἐπεσπάσατο).

Ὁ δ' Ἀνδρόνικος κατὰ τὸ Μέγα γεγονὼς παλάτιον, ἐπεὶ τὸν τοῦ λαοῦ θόρυβον ἤκουσε, καὶ τὴν ὄψιν εἶχε τῶν γινομένων διδάσκαλον, ὥρμησε μὲν τῷ πλήθει ἀντιμαχέσασθαι, ὡς δὲ πρὸς τοῦτο ὀλίγους εἶχε τοὺς πειθομένους, αὐτὸς τόξον λαβὼν, ἐκ τοῦ μεγίστου πύργου ὃς κικλήσκεται Κεντηνάριον, τοὺς ἐπιόντας ἔβαλλε. Γνοὺς δὲ ὡς μάτην ἀνηνύτοις ἐπιχειρεῖ, διά τινος ὁμιλεῖ τοῖς λαοῖς λέγων, ἀποτίθεσθαι τὴν βασιλείαν καὶ παραπέμπειν πρὸς τὸν παῖδα τὸν Μανουὴλ, ὑπονοῶν ἐντεῦθεν καταστεῖλαι τὸν θόρυβον. Οἱ δὲ πλειόνως τῷ ῥήματι αὐτοῦ τραχυνθέντες, ὕβρεσιν αὐτὸν ἔπλυνον, καὶ ὃν ἔφησε διάδοχον Μανουήλ.

Ὡς δὲ τὸ πλῆθος ἀνατρέψαν τὴν πύλην, ἥτις Καρέα λέγεται, εἴσω τῶν ἀνακτόρων εἰσῆλθε, τρέπεται Ἀνδρόνικος πρὸς φυγὴν, καὶ τῇ κεφαλῇ βαρβαρικὸν περιθέμενος πῖλον, ἐκεῖ που ὃν εἶχεν ἐπὶ τοῦ τραχήλου τίμιον σταυρὸν ἐάσας, καὶ τὰ τῶν ποδῶν σκεπάσματα τὰ κοκκοβαφῆ, εἴσεισι τὴν βασιλικὴν αὖθις τριήρη δι' ἧς ἐκ τοῦ Μηλουδίου ἀφίκετο· καὶ γενόμενος ἐκεῖσε δύο τῶν γυναικῶν προσλαβόμενος Ἄνναν τὴν ἁρμοσθεῖσαν τῷ Ἀλεξίῳ, ὡς εἴρηται τῷ ἀνεψιῷ, καὶ τὴν Μαραπτικὴν ἐρωμένην αὐτῷ, ἤλαυνεν ὡς ἐπὶ Ταυροσκύθας τοὺς πάλαι συνήθεις αὐτῷ.

Καὶ τοῦτον μὲν τὸν τρόπον ὁ Ἀνδρόνικος τῆς ἀρχῆς ἀπεβουκολήθη καὶ ἐξωστράκισται. Ὁ δ' Ἰσαάκιος τῶν βασιλείων εἴσω γενόμενος, καὶ βασιλεὺς αὐτοκράτωρ Ῥωμαίων ὑπὸ τῶν συνεληλυθότων ἀναγορευθεὶς, στέλλει τοὺς ἐπιδιώξοντας τὸν Ἀνδρόνικον.

Οἱ δὲ τοῦ δήμου τῶν ἀρχείων εἴσω γενόμενοι, ἐπεὶ οὐδεὶς

ἦν ὁ κωλύσων αὐτοὺς τοῦ δρᾶν ὅσα καὶ οἷα ἠβούλοντο, διαρπάζουσιν οὐ μόνον χρυσίου κεντηνάρια δώδεκα, ἀλλὰ καὶ πᾶν ὅπερ ἕκαστος μεταφέρειν ἠδύνατο, ἢ καὶ πολλοὶ συνιόντες ὁμοῦ, καὶ ὅπλων μυριάδας πολλάς. Προέβη δὲ τὰ τῆς ἁρπαγῆς καὶ εἰς τοὺς ἐν τῷ παλατίῳ νεώς, ὥστε καὶ κόσμον ἀφαιρεθῆναι εἰκόνων ἁγίων, καὶ αὐτὸ τὸ σκεῦος κλαπῆναι, ὃ λόγος ἐντὸς φέρειν τὸ πρὸς Αὔγαρον οἰκειόχειρον ἐπιστόλιον τοῦ Σωτῆρος ἡμῶν.

2. | Ἡμέρας οὖν συχνὰς ἐνδιατρίψας τῷ Μεγάλῳ παλατίῳ ὁ βασιλεὺς Ἰσαάκιος, μεθίσταται πρὸς τὰ ἐν Βλαχέρναις ἀνάκτορα· ἔνθα καὶ ἀγγελία ἦλθεν ἁλωθῆναι Ἀνδρόνικον. Ἦν δὲ ὁ τρόπος οὗτος τῆς αὐτοῦ συλλήψεως. Ἀποδιδράσκων ἀφικνεῖται εἰς τὴν Χηλὴν, ὀλίγους τῶν ἀρχῆθεν ὑπηρετῶν ἐπαγόμενος, καὶ τὰς δύο γυναῖκας. Ἰδόντες οὖν αὐτὸν οἱ ἐκεῖσε μηδὲν τεκμήριον βασιλικὸν περικείμενον, ἀλλ' ὡς φυγάδα τὴν ἐπὶ τοὺς Ταυροσκύθας ἐπισπεύδοντα, συλλαβεῖν μὲν οὐκ ἐθάρρησαν, νῆα δὲ ἡτοιμάσαντο, καὶ Ἀνδρόνικος μετὰ τῶν ὑπ' αὐτὸν εἰσῆλθεν ἐν αὐτῇ. Τῆς δὲ θαλάσσης ὥσπερ ἀγανακτούσης δι' ἃς μιαιφονίας Ἀνδρόνικος κατεπράξατο, πολλοὺς ἐναπορρίψας αὐτῇ, τὸ κῦμα ὀρθὸν ἵστατο καὶ καταπιεῖν αὐτὸν διανίστατο· τοῦτο πολλάκις γινόμενον, ἐκεῖ μένειν ἠνάγκασε τὸν Ἀνδρόνικον, ἕως οἱ κρατήσαντες τοῦτον ἐπέστησαν. Οὕτω τοίνυν ὁ τάλας Ἀνδρόνικος συσχεθεὶς, ἀκατίῳ ἐντίθεται μετὰ τῶν γυναικῶν δέσμιος. Τότε δὴ τρίχορδον λαβὼν, περιπαθῶς θρηνῶν ᾖδει τὰ κατ' αὐτὸν, τὸ γένος, τὴν τύχην, τὴν πλάνην ἣν πολλάκις ἀποδιδράσκων πεπλάνηται, καὶ τὴν τότε κατασχοῦσαν αὐτὸν συμφορὰν, ἔχων καὶ τὰς γυναῖκας γοερὸν κωκυούσας καὶ συνθρηνούσας αὐτῷ· ἀλλ' οὐδεὶς οὐδένα οἶκτον τούτου ἐλάμβανεν.

Ἔσχεν οὖν τοῦτον ἡ τοῦ Ἀνεμᾶ φυλακὴ, ἁλύσεσι τὸν τράχηλον δυσὶ καὶ πέδαις σιδηραῖς τοὺς πόδας βαρούμενον. Καὶ παραστὰς οὕτως ἔχων τῷ βασιλεῖ Ἰσαακίῳ, ὕβρεσι βάλλεται,

κατὰ κόρρης ῥαπίζεται, τοὺς γλουτοὺς ἐπικρούεται, τὴν γένυν τίλλεται, τοὺς ὀδόντας ἐκριζοῦται, τὴν κεφαλὴν τῶν ἐν αὐτῇ ψιλοῦται τριχῶν, εἰς κοινὸν ἐκδίδοται παίγνιον πᾶσιν, ἐμπαροινεῖται καὶ ὑπὸ γυναικῶν καὶ τύπτεται κατὰ στόματος, καὶ τούτων μάλιστα αἳ ὑπ' αὐτοῦ ἐδυστύχησαν, τιμωρησαμένου τοὺς συννεύνους αὐταῖς· ἔπειτα τὴν δεξιὰν χεῖρα ἀποκοπεὶς πελέκει, τῇ φυλακῇ ἀπορρίπτεται, ὑπ' οὐδενὸς ἀξιούμενος ἐλέους, ἄσιτος, ἄποτος. Μεθ' ἡμέρας δέ τινας τὸν ἕτερον τῶν ὀφθαλμῶν ἐξορύττεται, καὶ καθεσθεὶς ἐπὶ καμήλου ψωριώσης διὰ τῆς ἀγορᾶς θριαμβεύεται, τὴν κεφαλὴν ἀσκεπής, βραχεῖ ῥακίῳ τὸ σῶμα σκεπόμενος, θέαμα ἐλεεινὸν καὶ δακρύων πολλῶν ἄξιον ὀφθαλμοῖς οἰκτιρμόνων· ἀλλ' οἱ τῆς Κωνσταντίνου οἰκήτορες, καὶ τούτων οἱ χυδαιότεροι, οὐδέν τι τῶν κακῶν ἐνέλιπον ὃ μὴ εἰς αὐτὸν κατειργάσαντο. Οἱ μὲν γὰρ κατὰ κορυφῆς ξύλοις αὐτὸν ἔτυπτον, οἱ δὲ κόπρῳ τὰς ῥίνας ἐκείνου ἐμόλυνον, ἄλλοι δὲ σπόγγων βοείων καὶ ἀνθρωπείων γαστέρων φόρτον τῶν ὄψεων ἐκείνου κατέχεον· ἕτεροι τὸν πατέρα καὶ τὴν μητέρα ἐκακολόγουν· ἦσαν δὲ οἳ καὶ ὀβελίσκους ἐμπείροντες ταῖς τούτου πλευραῖς· οἱ δ' ἀναιδέστεροι λίθοις βάλλοντες, κύνα ὠνόμαζον λυσσητῆρα. Μία δέ τις τῶν ἑταιρίδων κεράμιον θερμοῦ ὕδατος πλῆρες τῶν ἐκείνου κατεκένωσε παρειῶν. Ἁπλῶς εἰπεῖν οὐδεὶς ἦν ὃς οὐκ ἦν ἐπ' Ἀνδρονίκῳ κακοποιός. Οὕτω δὲ ἀτίμως ἐπὶ τὸ θέατρον ἀπαχθείς, ἐκ ποδῶν ἀναρτᾶται κατὰ τοὺς στύλους τοὺς ἱσταμένους περὶ τὰς ἐκ χαλκοῦ πεποιημένας λύκαινάν τε καὶ ὕαιναν. Τοσαῦτα δὲ πάσχων καὶ μυρία ἕτερα, γενναίως ἔφερε, καὶ ἐρρωμένος ὢν τὸ φρονεῖν, οὐδὲν ἄλλο ἔλεγεν ἢ τὸ, Κύριε ἐλέησον! καὶ πρὸς τοὺς βάλλοντας ἐπιστρεφόμενος ἔφασκεν; ἵνα τί κάλαμον συντετριμμένον προσεπικλᾶτε! Ἀλλ' οὐδὲ μετὰ τὴν ἐκ ποδῶν ἀπαιώρησιν τούτου ἀπέσχοντο, ἀλλὰ τὸ χιτώνιον ἀνασύροντες ἔτυπτον τὰ παιδογόνα μόρια· ἀνόσιος δέ τις καὶ διὰ τοῦ φάρυγκος εἰς τὰ

ἔγκατα ξίφος εἰσήλασε. Τινὲς δὲ τῶν Λατίνων κατὰ τῆς ἕδρας βέλος ἐπήρεισαν, καὶ περιστάντες τὰ ξίφη τούτου κατέφερον ἕτεροι, τὸ τμητικώτερον δοκιμάζοντες, καὶ τὴν τῆς χειρὸς δεξιότητα. Καὶ μετὰ τοσαῦτα παθήματα μόλις ἀπέρρηξε τὴν ζωὴν, τὴν χεῖρα τῷ στόματι περιαγαγὼν, ὥστε καὶ δόξαι τοῦ ἑαυτοῦ αἵματος γεύεσθαι. Ἦρξε δ' ἐνιαυτοὺς δύο, καὶ ἔτος ἓν ἦν κύριος τῶν πραγμάτων ὡς εἴρηται.

92'. | Ἦν δὲ τὴν τοῦ σώματος πλάσιν ὅλην ἐπαινετὸς, κἀν τῷ βαθεῖ γήρᾳ νεαρὸν ὑποδεικνύων τὸ εἶδος· ὑγιεινότατος ἀνθρώπων, ὅτι μηδ' ἀκρατῶς εἶχε κοιλίας ὡς πότης καὶ λαίμαργος, τοῖς ὀπτοῖς δὲ μάλιστα ἔχαιρε τῷ πυρί· ὅθεν οὐδ' ἐρυγαῖς ἠνωχλεῖτο, ἀλλὰ κἄν ποτε πλημμελῶς εἶχε τὸν στόμαχον, νηστείᾳ ὁλοημέρῳ καὶ γυμνασίᾳ τὸ πάθος ἀπεκρούετο, ἄρτου κόμματι καὶ οἴνου κεράσματι τὴν τοῦ σώματος θεραπείαν κλινούσης ἡμέρας ἐπιμετρῶν· ὥστε καὶ πρὸς τοὺς φάσκοντας ἐπ' αὐτῷ εἰρῆσθαι τὸ,

δρεπανηφόρε, τετράμηνόν σε μένει,

ἐπιμειδιῶν ἔλεγε διεψεῦσθαι προδήλως, αὐτὸν γὰρ καὶ ἐνιαυτὸν ὅλον διαρκέσειν προσπαλαίοντα νόσῳ παντοίᾳ, φανταζόμενος ὡς εἰρηνικῶς τεθνήξεται. Λόγος δὲ ἔχει ὡς ποτὲ δείξας ὁ Ἀνδρόνικος οὗτος τῷ βασιλεῖ Μανουὴλ τοὺς κίονας ὧν μέσον αὐτὸς ἀνηρτήθη, εἰπεῖν, ὡς ἐκεῖ μέλλει ποτὲ βασιλεὺς ἀπαιωρηθῆναι Ῥωμαίων πρὸς τῶν Πολιτῶν· τὸν δὲ Μανουὴλ ἀποκρίνασθαι, ἀλλ' αὐτὸς τέως οὐκ ἔσται ὁ τοῦτο μέλλων παθεῖν.

Μεθ' ἡμέρας δέ τινας τὸν ἐκείνου νεκρὸν ἀνελόμενοι περί τινι κατωτάτῳ τόπῳ κατέθεντο περὶ τὴν Ἐφόρου μονὴν ἣ κατὰ τὸ Ζεύξιππον ἵδρυται, ὃ καὶ εἰσέτι μὴ πάντῃ διαλυθὲν τῆς ἁρμονίας ὀπτάνεται· ὁ γὰρ Ἰσαάκιος οὐ κατένευσε ταφῇ τοῦτον δοθῆναι εἰς τὸν τῶν εἰρημένων Τεσσαράκοντα νεὼν, ἐν ᾧ ταφῆναι προεβουλεύσατο. Ἐκλείπων δὲ ἦν Ἀνδρόνικος τὴν

ψυχὴν εἰς τὰς τοῦ ἀποστόλου ἁγίου Παύλου ἐπιστολὰς, καὶ διὰ στόματος αὐτὰς ἔφερεν· ἀμέλει καὶ ἀρχαίας χειρὸς εἰκόνα τοῦ ἁγίου εὑρὼν, καὶ κόσμῳ λαμπρύνας τῷ ἐκ χρυσοῦ τῷ ρηθέντι ναῷ ἀνέθετο. Ἡ δὲ, τῆς καταστροφῆς ἐγγιζούσης τοῦ Ἀνδρονίκου, τῶν ὀφθαλμῶν ἀπέσταζε δάκρυον· τοῦτο ἀκηκοὼς ὁ Ἀνδρόνικος στέλλει μετὰ καὶ ἄλλων τὸν Ἁγιοχριστοφορίτην Στέφανον, ὃς καὶ διὰ κλίμακος ἔνθα ἦν μετέωρος ἡ εἰκὼν ἀνελθὼν, ἀπέψησεν ὑφάσματι τὰς κόρας τοῦ Ἀποστόλου· αἱ δὲ, πλέον καὶ πλέον τὸ δάκρυον ἐξεκένουν· καὶ θαυμάσας ὃ ἑώρακεν, ἀπελθὼν διηγήσατο Ἀνδρονίκῳ· ὁ δὲ στενάξας, καὶ τὴν κάραν τῇδε κἀκεῖσε μεταγαγὼν, ἐπ᾽ αὐτῷ εἴρηκε δακρύειν ἐοικέναι τὸν μέγαν Ἀπόστολον, καὶ κακὸν χείριστον προσημαίνειν. Ἵνα δὲ συνελὼν εἴπω τὸ πᾶν, εἰ τῆς πολλῆς ἀπηνείας καὶ τοῦ ἀμέτρως κολάζειν, ἅπερ ἐκ τῶν ἐθνῶν οἷς συνδιῆξε κατέμαθεν, ἀπεῖχε, καὶ πρᾳότητι τὸν θυμὸν συνεκίρνα ὁ Ἀνδρόνικος, ἦν ἂν τοῖς ἐκ Κομνηνῶν ἄρξασιν οὐκ ἐλάχιστος· ἐπειδή περ ἦν κἀκ τούτου συλλέγειν καὶ μέγιστα ἀγαθά.

Περὶ τούτου τοῦ Ἀνδρονίκου καὶ ἕτεροι ἴαμβοι ταῖς βίβλοις ἐμφέρονται τὸ μέλλον ὑποσημαίνοντες· εἰσὶ δὲ οὗτοι:

Αἴφνης δ' ἀναστὰς ἐκ τόπου πλήρους πότου,
ἀνὴρ πελιδνὸς, ἀγέρωχος τὸν τρόπον,
στικτὸς, πολιὸς, ποικίλος χαμαιλέων,
ἐπεισπεσεῖται καὶ θερίσει καλάμην,
πλὴν ἀλλὰ καὐτὸς συνθερισθεὶς τῷ χρόνῳ
ἐς ὕστερον τίσειεν ἀθλίας δίκας
ὧνπερ κακῶν ἔπραξεν ἐν βίῳ τάλας·
ὁ γὰρ φέρων μάχαιραν, οὐ φύγῃ ξίφος·

πλήρη δὲ πότου τόπον τὸ Οἴναιον λέγουσιν, ἐξ οὗπερ Ἀνδρόνικος ἀπάρας ὡς ἐρρέθη, τὴν Κωνσταντίνου κατέλαβεν. Εὕρηται τούτου καὶ ἐπιστόλιον, βραχὺ μὲν ταῖς λέξεσιν, ἀλλὰ με-

γάλως αὐτοῦ μαρτυροῦν τὴν περὶ τὴν εὐθυδικίαν ῥοπὴν, καὶ ὅπως ἦν ἐραστὴς μὲν καὶ φίλος δικαιοσύνης, τοῖς δὲ ἀδικοῦσιν ἐχθρὸς καὶ κατήγορος· ἔχει δὲ οὕτως «Ἤκουσται τῷ βασιλεῖ ἀδικεῖν σε τὰ πολλά· ἢ γοῦν τὸ ἀδικεῖν ἔασον, ἢ τὸ ζῆν· τὸ γὰρ ἀδικεῖν σε καὶ ζῆν οὔτε τῷ θεῷ ἀρεστὸν, οὔτ' ἐμοὶ τῷ δούλῳ αὐτοῦ ἀνεκτόν.»

Ὡς δὲ τὴν σορὸν αὐτοῦ ἐν τῷ νεῷ τῶν Τεσσαράκοντα Χριστοῦ μαρτύρων ηὐτρέπισε, προσεκαλέσατο καί τινα μοναχὸν εἰς θέαν αὐτῆς, καὶ ὑποδείξας εἴρηκε «τί σοι δοκεῖ, ἀββᾶ, ἔχει ὁ ἐμὸς τάφος καλῶς;» Ὁ δὲ «εἰ καὶ τὸ ἱπποδρόμιον ἦν» ἀπεκρίνατο. Καὶ τότε μὲν ἔδοξεν ὁ τοῦ μοναχοῦ λόγος κενὸς, ὅτε δὲ τὸ τέλος τῷ Ἀνδρονίκῳ ἐπῆλθε, σαφὴς προαγόρευσις (1).

Οὕτω τὴν βασιλείαν παραλαβὼν Ἰσαάκιος, τῷ τοῦ Ἁγιοχριστοφορίτου φόνῳ αὐτὴν ὠνησάμενος, ἀπὸ τοῦ Μεγάλου πα-
93. λατίου εἰς τὰ ἐν Βλαχέρναις ἀφικνεῖται ἀνάκτορα |· οἰκειούμενος δὲ καὶ εἰς ἑαυτὸν ἀναφέρων τὰ λεγόμενα περὶ τοῦ βοοσχήμονος βασιλέως, ἅπερ ἔχουσιν οὑτωσί:

Τὸ σχῆμα φαίνει τὸν τόπον καὶ τὸν τρόπον
ὅθεν μολήσας οἷος ὀφθείς μοι φίλος·

(1) Κάτῳ τοῦ περιθεωρίου προσετέθησαν δι' ἄλλης χειρός:
Εἰς τὸν σωτῆρα Χριστὸν τὸν τοῦ Μαυρικίου, τινὸς ὑπὲρ Ἀνδρονίκου.

Σὺ καθυπέσχου καὶ τριῶν μόνον χάριν,
οἶκτον λαβέσθαι καὶ πόλιν σώσειν ὅλην·
πιστῶν τὸ λοιπὸν συνάθλων καὶ μαρτύρων
Τεσσαράκοντα χάριν, οὐ σώσεις ἕνα;
καὶ ταῦτα τὸν σὸν Ἀνδρόνικον δεσπότην·
ναὶ καὶ δι' ἡμᾶς καὶ δι' αὐτὸν δὲ πλέον,
ὡς καὶ διὰ σὲ καρτερῶς πεπονθότα,
σώσεις, ἀγαθὲ μαρτύρων, οὗτος ἴδες;

πρώτας γὰρ ἔχεις ἀρετὰς ἄλλων πλέον,
καὶ σωφρονίζεις σωφρονῶν τοὺς φιλτάτους·
ὅθεν τέτευχας χρηστοτάτου τοῦ τέλους,
καὶ τῷ νεκρῷ, κράτιστε, λιπὼν τὸ κράτος,
ὡς ἐν βραχεῖ γὰρ εὐτυχήσεις τὸ κράτος.

διὰ τοῦτο τὸν δίκαιον ὑπεκρίνετο, καὶ ἐλεήμων ἐφαίνετο, καὶ κρυπτῶς ὡμίλει θεῷ τῷ τὰ κρυπτὰ βλέποντι. Ἀθροίσας δὲ καὶ τοὺς ἐν ἐξορίαις καὶ ὅσους τῶν ὑπαρχόντων Ἀνδρόνικος ἐστέρησεν ἢ ἔβλαψεν ἐς τὰ σώματα, καὶ τοὺς κακουχουμένους πάντας, εὖ τούτοις ἐποίει, οὐκ ἀποδιδοὺς μόνον εἴ τι τῶν προσόντων ἢ τῷ βεστιαρίῳ ὑπῆν, ἢ τισὶν ἐδόθη παρ' Ἀνδρονίκου, ἀλλὰ καὶ ἐκ τῶν βασιλικῶν θησαυρῶν φιλοτίμῳ χειρὶ δεξιούμενος. Ὃ καὶ τὸν κατὰ Σικελιωτῶν κατεύθυνε πόλεμον, οἳ Θεσσαλίαν τε εἶχον καὶ ἐνέμοντο τὴν Ἀμφίπολιν. Οἱ γὰρ ἄνθρωποι τὴν Ἰσαακίου ἀρχὴν ὡς ἐκ χειμῶνος νομίσαντες ἔαρ, ἐκ τῶν ἁπανταχῇ συνέρρεον χώρων, οὐ μόνον τὸ στρατιωτικὸν, ἀλλὰ καὶ οἱ τῆς στρατιᾶς ἄμοιροι, καὶ τούτων ὅσοι νεάζοντες καὶ ἀκμαῖοι τὰ σώματα, οἱ μὲν ὀψόμενοι τὸν ἐλευθερωτὴν (οὕτω γὰρ αὐτοῖς ἐλογίζετο Ἰσαάκιος), οἱ δὲ ληψόμενοι τὰ συνήθη ὀψώνια, τινὲς δὲ καὶ στρατευθησόμενοι, καὶ κατὰ τῶν Σικελῶν ἀνδρισόμενοι.

Ὡς δὲ γέγονεν ἡ Ἀνδρονίκου καταστροφὴ, παραχρῆμα καὶ ὁ τούτου υἱὸς Ἰωάννης συνελήφθη τοῖς κατὰ τὴν Φιλίππου ἐπαρχίαν αὐτῷ συνοῦσι στρατιώταις, καὶ τὰς κόρας ἐκκόπτεται, καὶ οὕτω τοῦ ζῆν ἐπωδύνως ἐξέρχεται. Καὶ ὁ τούτου δὲ ἀδελφὸς Μανουὴλ ἐκτυφλοῦται, μηδέν τι ὠφεληθεὶς ἐκ τοῦ μὴ συντίθεσθαι τοῖς τοῦ πατρὸς ἀνομήμασιν, ὃ καὶ πολλοὶ ἄλλοι ἐγίνωσκον, ἀλλὰ καὶ αὐτὸς Ἰσαάκιος.

Ἰδὼν δὲ ὁ Ἰσαάκιος τὴν τοῦ λεὼ συνδρομὴν, καὶ ἱκανὴν κρίνας εἰς ἀντίπαλον κατὰ τῶν ἐκ Σικελίας ἐχθρῶν, δωρεαῖς

ἐφιλοτιμεῖτο καὶ οἰκειώσεσιν εὔφραινεν, ἀλλὰ καὶ ὅπλα δοὺς εἰς τὸ μετὰ τοῦ Βρανᾶ στράτευμα ἐξαπέστειλε, συνεκπέμψας καὶ τὰ τῶν ἐκεῖ στρατιωτῶν βασιλικὰ σιτηρέσια, ποσωθέντα εἰς χρυσοῦ κεντηνάρια τεσσαράκοντα.

Οἱ μέντοι ἐκ Σικελίας ἀντίμαχοι μηδέν τι τῶν κατ' Ἀνδρονίκου ἐνωτισάμενοι, εὐθαρσῶς ὡς πρὸς τὴν Κωνσταντινούπολιν ἔτρεχον· καὶ ὁ στόλος δὲ τῶν Σικελῶν ἀναπλεύσας, ταῖς νήσοις κατῆρεν, αἳ τῆς Πόλεως ἔγγιστα. Εἰς τρεῖς δὲ μοίρας διαιρεθὲν τὸ Σικελικὸν, ὡς δεδήλωται, τὸ μὲν εἰάθη μετὰ νηῶν φρουρεῖν τὴν μεγαλούπολιν Θεσσαλονίκην, τὸ δὲ Σέρρας καὶ τὰ περὶ αὐτὰς ἐληΐζετο, τὸ δὲ τρίτον ὅ καὶ πρὸς τὴν Κωνσταντίνου ἠπείγετο, οὐδ' αὐτὸ ἦν ἀδιαίρετον, ἀλλὰ καὶ τούτου μέρος τὰ κατὰ Στρυμόνα καὶ Ἀμφίπολιν ἔφθειρε, τὸ δ' ἄλλο κατὰ Μοσυνόπολιν ἐστρατοπεδεύετο, καὶ μηδὲν ἀντίπαλον ὑφορώμενον, κατὰ ἴλας ἀποδιϊστάμενον, ἄλλο ἄλλοθι ἐξήρχετο ληϊζόμενον καὶ τὰ ἐς τροφὴν ποριζόμενον.

Τοῦτο γνοὺς ὁ στρατηγὸς ὁ Βρανᾶς, ἐπάγει κατὰ τούτων τὴν στρατιὰν, μόλις πείσας ὑποκαταβῆναι τῶν ὀρέων καὶ βαδίσαι καὶ πεδίον ἱππήλατον· καὶ ὡς ἐντυχόντες μοῖραν ἐτρέψαντο, αἴφνης εἰς ἀγαθοὺς ἄνδρας μεταστραφέντες, ἐδίωκον ἀεὶ τὸν ὄπισθεν ἐπικαταλαμβανόμενον κτείνοντες· συνέβη δ' ἐπιταθῆναι τὴν δίωξιν ἕως Μοσυνοπόλεως. Εὐτυχῶς δὲ τοῖς ἔξωθεν προσπλακέντες, καὶ τούτους νικήσαντες, ἐπιτίθενται καὶ τοῖς ἔνδοθι τοῦ πολίσματος· ἀμέλει καὶ τὰς πύλας παρὰ τῶν πολεμίων φρουρουμένας (ἤδη γὰρ ἔσχε φόβος αὐτοὺς), πυρὶ παραδόντες εἰσεπήδησαν ἔσωθεν σφάττοντες τοὺς ἐχθροὺς, καὶ τὸν τῶν ἐχθρῶν πλοῦτον τιθέμενοι ἴδιον. Ὡς δ' ἔφαγον καὶ τὸν πλοῦτον ἐκεῖνον καὶ ἐλιπάνθησαν, καὶ κατὰ τῶν περὶ τὴν Ἀμφίπολιν θάρσος ἔλαβον. Ἀπῆραν οὖν ἐκ Μοσυνοπόλεως ὡς παρεμβολὴ θεοῦ, τοῖς τῶν πολεμίων ἵπποις καὶ ὅπλοις φρα-
3'. ξάμενοι, καὶ τοῖς περὶ τὸν Στρυμόνα ἐπέστησαν | · ὅτε καὶ τῶν

πραγμάτων θεόθεν ἄλλοθεν μετατεθέντων, καὶ ὡς σκηπτῷ πληγέντων τοῖς κατὰ Μοσυνόπολιν ἀκούσμασι, καὶ τὴν μάχην ἀποτρεπομένων, οἱ Ρωμαῖοι τὸ ταπεινὸν ἀποθέμενοι τοῦ φρονήματος, ταῖς ὁρμαῖς ἦσαν ἀκράτητοι συμπλακῆναι τοῖς οὓ τούτους ὀρνίθια ἀπεκάλουν τὸ πρότερον.

Ἐπεὶ δὲ εἰς ἕνα χῶρον συνῆλθον ἀμφότερα τὰ στρατεύματα, (ἦν δὲ οὗτος ὁ τοῦ Δημητρίτζη λεγόμενος), τότε δὴ οἱ Σικελοὶ δειλανδρήσαντες, συμβάσεων ἐμέμνηντο, καὶ ἐμήνυον πρὸς Βρανᾶν. Καὶ τὰ μὲν πρῶτα Ρωμαῖοι πρὸς τὰ αἰτούμενα κατένευον, μετὰ βραχὺ δὲ δόλον εἶναι ὑποτοπάσαντες, ἤ, εἰ μὴ τοῦτο, δειλίαν, μὴ ἀναμείναντες σύνθημα, ἤ τι ἕτερον ὅπερ ἐν ταῖς συμπλοκαῖς εἴθισται γίνεσθαι, γυμνώσαντες τὰ ξίφη, τοῖς πολεμίοις προσβάλλουσι. Καὶ οἱ μὲν μέχρι τινὸς ἀνδρείως ἀντείχοντο, τέλος δὲ πρὸς τὴν τῶν Ρωμαίων ἔνστασιν ὑπενδόντες, ἔκλιναν εἰς τροπὴν καὶ ἀκόσμως ἔφευγον· ὅθεν καὶ καταλαμβανόμενοι ἀνῃροῦντο, ἐζωγροῦντο, ὠθοῦντο κατὰ τοῦ ποταμοῦ, καὶ ἐσκυλεύοντο. Ἤγετο δὲ τότε ἑβδόμη τοῦ νοεμβρίου μηνὸς, καὶ περὶ δείλην ἦν τῆς ἡμέρας ὁπότε ταῦτα ἐγίνετο. Συλλαμβάνονται δὲ καὶ οἱ δύο στρατηγοὶ τοῦ στρατεύματος, ὅ τε Ριτζάρδος, ὁ τῆς γυναικὸς τοῦ Ταγκρὲ κασίγνητος ὅς ἐναυάρχει τοῦ ναυτικοῦ, καὶ ὁ Ἀλδουΐνος κόντος, οὐ γένους μὲν εὐγενοῦς, διὰ δὲ τὴν κατὰ πόλεμον πολυπειρίαν αἰδέσιμος ὢν τῷ ῥηγὶ καὶ τὸ τῆς στρατηγίας ἔχων ἀξίωμα, ὅς καὶ ταῖς προτέραις κατὰ Ρωμαίων νίκαις γαυρούμενος τῷ Μακεδόνι Ἀλεξάνδρῳ ἐξομοιοῦσθαι ἔλεγεν. Ὅσοι δὲ τοῦ πολέμου ἔφυγον ἐξ αὐτῶν, καὶ οἳ τὰ ἐν Σέρραις κατέτρεχον, εὐθὺ τῆς Θεσσαλονίκης ἐβάδισαν, καὶ τῶν ἐκεῖ μακρῶν νηῶν ἐπιβάντες, οὐκ εὐθῆ τὸν πλοῦν εὕρισκον· λαίλαπες γὰρ διεγερθέντες, ὃν ἐκ τῆς χέρσου ἔφευγον θάνατον, τοῦτον ἐν τῇ θαλάσσῃ λαβεῖν ἑαυτοὺς παρεσκεύασαν. Πολλοὶ δὲ καὶ κατὰ Θεσσαλονίκην ἐπικαταλαμβανόμενοι διεφθείροντο, καὶ μάλιστα ὑπὸ

τῶν Ἀλανῶν· οὗτοι γὰρ τῶν Σικελῶν φειδῶ τινα οὐδεμίαν ἐλάμβανον· συναντῶντες γὰρ τούτους κατὰ τὰς ἀγυιὰς ἠρώτων, ποῦ ὁ ἀδελφὸς (διὰ τοὺς Ἀλανοὺς τοῦτο λέγοντες οὓς οὗτοι ἀπανθρώπως κατὰ τὴν ἅλωσιν ἀπέκτειναν), καὶ εὐθύς, ὃς ἂν καὶ ἦν, ξίφει τοῦτον διεχειρίζοντο. Ἀλλὰ καὶ τοὺς προσφεύγοντας τοῖς θείοις ναοῖς ἀπέσφαττον, κατὰ τὴν αὐτῶν ὠμότητα ἀνταποδιδόντες αὐτοῖς, ἣν ἐνεδείξαντο ὅτε καὶ τῆς πόλεως γεγόνασιν ἐγκρατεῖς. Ὅτε καὶ τοιοῦτον συμβῆναί φασι· τοὺς γὰρ κύνας μηδενὸς ἅψασθαι σώματος τῶν ἀναιρεθέντων Ρωμαίων, τοῖς δὲ τῶν πεσόντων Λατίνων πτώμασιν οὕτως ἐχρήσαντο, ὡς καὶ τυμβωρυχεῖν καὶ ἀνακαλύπτειν τὰ σώματα τὰ παραδοθέντα τῇ γῇ, καὶ κατάβρωμα τίθεσθαι.

Ζωγρεῖται δὲ σὺν τοῖς δηλωθεῖσι δυσὶ στρατηγοῖς καὶ ὁ ἐκ Κομνηνῶν Ἀλέξιος, ὁ τῶν κακῶν τούτων αἴτιος, καὶ στερίσκεται τοῦ φωτός.

Τινὲς δὲ τῶν ἀποδράντων Σικελῶν πρὸς τὴν Ἐπίδαμνον ἀπεσώθησαν, ὡς σπέρματα τῶν διαφθαρέντων πολλῶν χιλιάδων ἀναφανέντες τοῖς ἐκεῖσε φυλάσσουσι. Τὴν γὰρ Ἐπίδαμνον κρατυνάμενος ὅπλοις παντοίοις, οὐδὲ μετὰ τὴν τῶν ἐκείνου στρατευμάτων κατάλυσιν ἐβούλετο Ρωμαίοις ἀποδοῦναι ὁ ῥήξ, δόξαν θηρώμενος ἑαυτῷ. Μετὰ βραχὺ δὲ πρὸς τὰς δαπάνας ἀπειρηκώς, ἑκουσίως ταύτην ἀπέδωκεν.

Ἀλλ' ὁ μὲν κατὰ γῆν τῶν Σικελῶν πόλεμος τοιοῦτον ἔσχε τὸ πέρας· αἱ δὲ νῆες αὐτῶν, ὑπὲρ τὰς δὶς ἑκατὸν οὖσαι, οὐδ' αὗται κακῶν ἔμειναν ἀπαθεῖς· ἀποβᾶσαι γὰρ κατὰ τὸν Ἀστακηνὸν κόλπον, πολλοὺς ἀπεβάλλοντο τῶν πλωτήρων παρὰ τῶν ἐκεῖ Ρωμαίων στρατιωτῶν, οἳ τὰς αὐτῶν εἰς γῆν ἐξελεύσεις ἐκώλυον, τὰς ἀκτὰς περιοδεύοντες, καὶ ἄβατον αὐτοῖς ποιοῦντες τὴν ἤπειρον· ταῖς δὲ ναυσὶ τοσαύταις οὔσαις τὸν ἀ-
4. ριθμόν, αἱ Ρωμαϊκαί, μηδὲ ἑκατὸν οὖσαι, ἤθελον μάχεσθαι |· ἀλλ' ὁ βασιλεὺς οὐ συνεχώρει, τὸ πλῆθος ἐκείνων ὑφορώμενος.

Ἦσαν τοιγαροῦν περὶ τὸν τῶν Κιόνων αἰγιαλὸν ὁρμιζόμεναι ὁ δὲ τῶν ἐναντίων στόλος, δεκαεπτὰ μόνας ἡμέρας ταῖς νήσοις διαγαγὼν, ὡς οὐδένα ἑώρα τῶν ὁμοφύλων κατὰ χέρσον συγχωρούμενον ἐξελθεῖν, οὐκ ἀγαθὴν λογισάμενος τὴν ἀναβολὴν, ἑτοιμάζεται πρὸς ἀπόπλοιαν· καὶ τὴν Καλώνυμον πυρπολήσας νῆσον, καὶ ὅσα εὐχερῶς ἔσχε τῶν κατὰ τὸν Ἑλλήσποντον ληϊσάμενος, τῶν οἴκαδε ἐμέμνητο, καὶ τοῦ πρὸς Σικελίαν πλοῦ εἴχετο· φασὶ δὲ ὡς καὶ τούτων πολλαὶ αὔτανδροι κατέδυσαν τῷ βυθῷ, ἀντιπνοίαις περιπεσοῦσαι· καὶ λιμὸς δὲ καὶ νόσος πολλὰς αὐτῶν ἐξεκένωσε, καὶ οὐκ ἔλαττον τῶν δέκα χιλιάδων μαχίμων ἀνδρῶν ἐν τούτοις τοῖς πολέμοις ἀπώλοντο· οἱ δὲ ζωγρηθέντες κατ' ἀμφοτέρους τοὺς πολέμους ὑπὲρ τὰς τέσσαρας ἀριθμούμενοι χιλιάδας ταῖς φρουραῖς παρεδόθησαν, οἳ καὶ ἄρτῳ μόνῳ διαζῶντες πρὸς τῶν θεοφιλῶς ἐπισκεπτομένων τοὺς ἐν εἱρκταῖς, κακῶς ἐφθείροντο. Ὥστε καὶ ὁ τὴν κατὰ Ῥωμαίων τότε κίνησιν θέμενος ῥὴξ Σικελίας, τοῦτο πυθόμενος, διὰ γραμμάτων τὸν βασιλέα ὠνείδισεν, ὡς ἀπανθρώπως ἐῶντα λιμῷ καὶ γυμνότητι ἀπόλλυσθαι τοιούτων [καὶ] τοσούτων πλῆθος ἀνδρῶν, ἀραμένων μὲν ὅπλα κατὰ Ῥωμαίων, χριστιανῶν δ' ὅμω ὄντων καὶ θεόθεν παραδεδομένων εἰς χεῖρας αὐτοῦ.

Καθίσας δ' ὁ βασιλεὺς ἐπὶ δίφρου χρυσοκολλήτου, καὶ περιθέμενος τὴν λιθόστρωτον τήβεννον, καὶ βῆμα πολυανθρωπότατον ἠθροικὼς, ὡς ἂν φοβερὸς εἴη, εἰσάγεσθαι κελεύει τοὺς τοῦ Σικελικοῦ στρατεύματος ἀρχηγοὺς, τὸν Ἀλδουΐνον καὶ τὸν Ῥιτζάρδον· οἱ δὲ τὸ τῆς κεφαλῆς ἀποθέμενοι κάλυμμα, δουλικωτέραν ἀπένειμον τὴν προσκύνησιν. Καὶ αὐτοὶ μὲν οὕτως αὐτὸν, χριστὸν ὄντα Κυρίου, ἐκακολόγουν ἐν τοῖς πρὸς αὐτὸν γράμμασιν, οὐδὲν μὲν ἔχοντες ἐγκαλεῖν δίκαιον, τῇ δ' ἐνεστώσῃ τύχῃ παρὰ τὸ δέον χρώμενοι. Ὁ γὰρ Ἰσαάκιος τὴν βασιλείαν ἄρτι παραλαβὼν, πρέσβεις ἐπὶ τὴν αὐτῶν στρατιὰν ἐξαπέστειλεν, ἔτι τῇ νίκῃ γαυρουμένην καὶ μηδέν τι τῶν δεινῶν

ὑποπτεύουσαν· ἔγραφε δὲ αὐτοῖς ἀρχικώτερον, καὶ τὸ οἰκεῖον μεγαλύνων ξίφος διηπειλεῖτο ἐξολόθρευσιν, εἰ μὴ μεταβουλευσάμενοι, πρὸς τὴν αὐτῶν ἀναστρέψωσι χώραν, ἀποφυγόντες τῆς Ρωμαίων· ὁ δὲ Ἀλδουῖνος, θρασὺς ὢν καὶ ταῖς νίκαις ὀγκούμενος, οὐκ ἐνεγκὼν τὰ γεγραμμένα, ἀμείβεται σοβαρῶς, κωμῳδῶν τὸ ξίφος αὐτοῦ, ὡς ἀπολέμοις ὀξυνόμενον σώμασιν· ὑπηνίττετο δὲ τὸν Ἁγιοχριστοφορίτου θάνατον· καὶ αὐτὸν δὲ τὸν Ἰσαάκιον, οὐ στρατιώτην, ἀλλὰ γραμματικὸν ἀπεκάλει, οὐχ ὅπλοις ἐσχολακότα καὶ Ἄρεϊ, ἀλλὰ καλάμῳ καὶ μέλανι, καὶ βίβλοις κυπτάζοντα· εἰσῆγε δὲ καὶ παραίνεσιν ἐχθρὸς ὤν, ἀποθέμενον τὸν βασίλειον στέφανον, καὶ τὰ λοιπὰ τῆς ἀρχῆς σύμβολα, τηρεῖν ἀσφαλῶς ταῦτα τῷ νικῶντι καὶ κρείττονι (τὸν ἑαυτοῦ λέγων κύριον).

Ὡς δὲ πρὸς τοὺς στρατηγοὺς ὁ βασιλεὺς τὰ εἰρημένα ἔφησεν, αὐτοὶ περὶ τοῦ μόνον ζῆν ὑποπεσόντες ἐδέοντο, μηδὲν πρὸς ταῦτα ἔχοντες ἀντειπεῖν. Ὁ δὲ Βαλδουῖνος (sic) κολακευτικώτερον αὐτὸν μετελθὼν, ἐξέκρουσε τῆς ὀργῆς καὶ καθήδυνε. Καὶ οἱ μὲν ἐκεῖθεν ἐξελθόντες εἰς φυλακὴν παρεπέμφθησαν.

Βασιλεὺς δ᾽ ἑτέραις προσχὼν ὑποθέσεσι, προσέθετο τοῖς παροῦσι διατρανώσασθαι, καὶ τοῖς λοιποῖς δὲ πᾶσιν οὐκ ἀνήκοον εἶναι ἤθελεν, ὡς ἀπὸ τῆς ἡμέρας ἐκείνης οὐδένα ἐς σῶμα λωβήσεται, κἂν τῇ αὐτοῦ ζωῇ καὶ βασιλείᾳ ἐπιβουλεύων φανῇ. Καὶ οἱ τὸ βασιλικὸν βῆμα πληροῦντες τότε ἐπευφήμησαν τοῖς λελαλημένοις, καὶ πᾶς ἐνηχηθεὶς τὸ ῥηθὲν, δώρημα θεοῦ τὸν βασιλέα τέλεον ἀπεφαίνετο. Οὐ πολὺς δὲ χρόνος παρῆλθε, καὶ ὡς τούτων λήθην λαβὼν, τόσα κατεπράξατο, τὸν προσκεκρουκότα κατά τι ποινηλατῶν, ὅσα καὶ ἄλλον Ἀνδρόνικον αὐτὸν ἀπεδείκνυον.

Ὁ δὲ τοῦ Ἰκονίου σουλτάνος (ἦν δὲ ὁ Κλιτζιασθλὰν γεγονὼς ὑπὲρ ἔτη τὰ ἑβδομήκοντα), ἀκούσας τὸν τοῦ Ἀνδρονίκου θάνατον καὶ τὴν Ἰσαακίου ἀναγόρευσιν, καὶ στοχασάμενος

ὅσα ἐπὶ ταῖς βασιλέων μεταθέσεσι γίνεται, εἰσβάλλει διὰ στρατιᾶς, τοῦ Σαμῆ ἀμηρᾶ στρατηγοῦντος, τῇ χώρᾳ τῶν Θρᾳκησίων |, καὶ τὸ τοῦ Κελβιανοῦ μέρος κενὸν εὑρὼν τῶν στρατιω- φ. τῶν, (οἱ γὰρ πάντες εἰς τὸν νέον βασιλέα ἀνέδραμον), ἀνθρώπους τε πολλοὺς ἐχειρώσατο, καὶ ζώων ἀγέλας καὶ σκύλων πολλῶν τὸ οἰκεῖον ἐνέπλησε στράτευμα. Ἠρεμησάντων δὲ τῶν Ἑῴων ἐθνῶν ἄλλοις τε προσκαίροις φιλοτιμήμασι καὶ φόρων ἐτησίων ἀπολήψει, (οὕτω γὰρ οἱ τῶν Ῥωμαίων ἄρχοντες, ὡς θαλαμηπόλοι νεάνιδες, τὴν οἰκουρίαν διώκοντες, μετιέναι τοὺς ἀλλοφύλους ἴσασιν), ἠθέλησεν ἐξ ἐθνῶν ἑαυτῷ μνηστεύσασθαι γαμετήν· ἣν γὰρ εἶχε πρότερον ἀπεβάλλετο, θανάτῳ μεταστᾶσαν τοῦ ζῆν· καὶ κοινολογησάμενος περὶ τούτου τῷ τῆς Οὐγγρίας ῥηγὶ, τῷ Βελᾷ, μνηστεύεται τὴν ἐκείνου θυγατέρα, οὔπω τοῦ δεκάτου ἔτους ἁψαμένην, ὡς ἔλεγον· καὶ τὰ τοῦ γάμου ἀπὸ δημοσίων χρημάτων τελέσαι σμικρολογούμενος, ἐκ τῶν οἰκείων χώρων συνέλεγεν ἀδοτί· καὶ ἔλαθε διὰ τούτου καὶ ἄλλας μὲν πόλεις ἐκπολεμώσας καὶ ἑαυτῷ καὶ Ῥωμαίοις, μάλιστα δὲ τοὺς κατὰ τὸν Αἷμον βαρβάρους, οἳ Μυσοὶ μὲν ὠνομάζοντο πρότερον, Βλάχοι δὲ νῦν καὶ Βούλγαροι. Οὗτοι ταῖς δυσχωρίαις πεποιθότες, καὶ ἄλλοτε μὲν κατὰ Ῥωμαίων παρετάξαντο, τότε δὲ πρόφασιν εὑρηκότες τὴν τῶν οἰκείων θρεμμάτων ἀπαγωγὴν, ἐς ἀποστασίαν ἀπέβλεψαν.

Ἦσαν δὲ οἱ τοῦ κακοῦ πρωτουργοὶ, Πέτρος τις καὶ Ἀσὰν ὁμογενεῖς καὶ ταὐτόσποροι, οἳ καὶ προσίασι βασιλεῖ σκηνουμένῳ εἰς τὰ Κύψελλα, αἰτοῦντες συστρατολογηθῆναι Ῥωμαίοις, καὶ δι᾽ ὁρισμοῦ δοθῆναι αὐτοῖς χωρίον τι κατὰ τὸν Αἷμον ὀλιγοπρόσοδον. Ἀλλ᾽ ἀπέτυχον τοῦ αἰτήματος, ἐφ᾽ οἷς καὶ ῥῆμά τι τοῦ στόματος προήνεγκαν τὴν ἀποστασίαν ἐμφαῖνον, καὶ μάλιστα ὁ Ἀσὰν ὡς θρασύτερος, ὃς καὶ τύπτεται κατὰ τοῦ προσώπου ἐπιταγῇ τοῦ σεβαστοκράτορος Ἰωάννου. Καὶ οἱ μὲν ἄπρακτοι ἐπανῆλθον οἴκαδε· ὅσα δὲ κατὰ Ῥωμαίων οὗτοι δις-

πράξαντο, ποία διήγησις, κακῶν τοσαύτας Ἰλιάδας συμπεριλήψεται; ἀλλὰ μήπω περὶ τούτων.

Τοῦ ἐκ Κομνηνῶν Ἰσαακίου τυραννοῦντος ἐν Κύπρῳ, ἔγνω κατ' αὐτοῦ στόλον ἑτοιμάσαι ὁ βασιλεύς. Καὶ δὴ μακρῶν νηῶν ἑβδομήκοντα εὐτρεπισθεισῶν, στολάρχαι ἐκλέγονται ὁ Κοντοστέφανος Ἰωάννης, ἀνὴρ γηραιὸς, καὶ ὁ Κομνηνὸς Ἀλέξιος, νεάζων μὲν καὶ τοῦ βασιλεύοντος ἐξανεψιὸς, ἀλλ' ὡς τυφλὸς πρὸς τοῦ Ἀνδρονίκου γεγονὼς, ἀχρεῖος λογιζόμενος πρὸς τὸ ἔργον τοῦτο, πολλοῖς οὐδ' αἴσιος κρινόμενος οἰωνός. Ὁ μὲν οὖν ἐς Κύπρον πλοῦς τούτοις ἀκίνδυνος, τὰ δ' ἐφεξῆς καὶ μετὰ τὸ εἰς Κύπρον καταραι, καὶ λίαν δεινά· αὐτούς τε γὰρ ὁ Ἰσαάκιος συμβαλὼν ἐτροπώσατο· καὶ ὁ τότε κατὰ θάλατταν πειρατὴς, ὁ Μεγαρείτης καλούμενος, ἐπέθετο ταῖς ναυσὶ, κεκενωμένας εὑρὼν τῶν ἀνδρῶν ἐξιόντων εἰς τὸν χερσαῖον πόλεμον, καὶ ταύτας μὲν ὑφ' ἑαυτὸν ἀπονητὶ ἐποίησεν, οἱ δὲ τριηράρχαι χερσὶ τῶν ἐναντίων ἑάλωσαν συμβαλόντες Κυπρίοις, καὶ αὐτοὺς τῷ Μεγαρείτῃ ἐκδίδωσιν Ἰσαάκιος χρήσασθαι ὡς ἂν βούλοιτο· καὶ εἶχε τούτους ἡ Σικελία μετὰ μικρὸν, καὶ ὁ ἐν αὐτῇ τύραννος, εἰς ὃν ὡς δεσπότην ὁ Μεγαρείτης ἀνέφερε τὰ ἑαυτοῦ. Ὁ δ' Ἰσαάκιος πολλοὺς μὲν τῶν Ῥωμαίων μετὰ τὴν ἧτταν τοῖς οἰκείοις κατέλεξε, πολλοὺς δὲ καὶ ποιναῖς καθυπέβαλεν, ἀπαραίτητος ὢν κολαστὴς, ἐν οἷς καὶ τὸν Ῥυνδακηνὸν Βασίλειον ἐκ τοῦ γόνατος θάτερον τῶν ποδῶν ἐκτεμών· ἦν δὲ οὗτος ἄριστος τὰ πολέμια, καὶ τῷ Ἰσαακίῳ τούτῳ διδάσκαλός ποτε τῶν πολεμικῶν· τὸ δὲ ναυτικὸν πλῆθος ἀφῆκε ἕκαστον ἔνθα ἠβούλετο ἀπιέναι, οἳ καὶ ὡς ἐκ ναυαγίου μόλις τὰ οἴκοι
5. κατέλαβον, ὅσοι μὴ θαλάσσῃ, εἴτε λιμῷ, ἢ καὶ | τελευτῇ τὸ τρίτον τοῦ ζῆν ἀπηλλάγησαν.

Τῶν δὲ Μυσῶν ἀποστάντων, ὡς εἴρηται, καὶ κακὰ διαπραξαμένων Ῥωμαίοις μέγιστα, ἔξεισιν ὁ βασιλεὺς κατ' αὐτῶν. Λέγεται δὲ ὡς οἱ Βλάχοι ἀνεβάλλοντο τὴν ἀπόστασιν πρότε-

ρον, εἰς ἣν ἠρέθιζον αὐτοὺς ὁ Πέτρος καὶ ὁ Ἀσὰν, δειλαινόμενοι τῷ μεγέθει τῆς πράξεως· οἱ δὲ τῆς δειλίας ταύτης τούτους ἀπάγοντες, εὐκτήριον ἀνεγείρουσιν οἶκον ἐπ' ὀνόματι Δημητρίου τοῦ μεγαλομάρτυρος, εἰς ὃν πολλοὺς συναθροίσαντες δαιμονολήπτους, οὓς Ἀσθενάρια τινὲς ὀνομάζουσιν, ἔπεισαν τούτους λέγειν ἐνθουσιῶντας, ὅτι ὁ θεὸς τοῦ τῶν Βουλγάρων καὶ τῶν Βλάχων γένους τὴν ἐλευθερίαν εὐδόκησε, καὶ διὰ τοῦτο τὸν Μυροβλύτην μέγαν μάρτυρα Δημήτριον τὴν Θεσσαλονίκην καταλιπόντα ἐλθεῖν εἰς τὴν τούτων βοήθειαν, τὰς μετὰ Ρωμαίων ἐνδιατριβὰς καταλείψαντα· οὐ χρὴ δὲ ἀνθίστασθαι τῇ βουλῇ τοῦ θεοῦ, ἀλλ' ὅπλα λαβεῖν καὶ τοῖς Ρωμαίοις ὅση δύναμις ἀνταγωνίζεσθαι τοιοῦτον βοηθὸν ἔχοντας τὸν μέγαν Δημήτριον, τοὺς δὲ Ρωμαίους ὅσους ἂν εἰς χεῖρας λαβεῖν ἰσχύσωσι, ξίφει διαχειρίζεσθαι, μηδεμίαν φειδὼ τούτων λαμβάνοντας. Ὑπὸ τῶν τοιούτων οὖν ψευδοπροφητῶν τὸ ὅλον ἔθνος κατὰ Ρωμαίων ἐκπολεμωθέντες εἰς ἐχθροὺς ἀσπόνδους ἅπαντες τούτοις ἐγένοντο. Καὶ ὡς εὐημερήθησαν τούτοις τὰ τῆς ἀποστασίας, μικρὸν ἡγησάμενοι τὴν ἑαυτῶν ἐλευθερίαν, καὶ κατὰ τῶν ἔξω τοῦ Αἵμου χωρῶν ἐπέρχονται, δῃοῦντες ταύτας καὶ ἀφανίζοντες· ὁ δὲ τῶν ἀδελφῶν πρῶτος Πέτρος καὶ στέφανον τῇ κεφαλῇ περιτίθησι, καὶ τοῖς ποσὶ κόκκινα ὑποδήματα, βασιλέα Βουλγάρων κατονομάσας ἑαυτὸν, καὶ τῇ Πρεσθλάβᾳ (πόλις δὲ αὕτη ἀρχαία, μεγίστη καὶ ὀχυρά), προσβαλόντες, ὡς οὐκ εὐκόλως αὐτῆς ἐπελάβοντο, ἐάσαντες ταύτην, κατὰ τῶν ἔξω τοῦ Αἵμου Ρωμαϊκῶν κτημάτων ἐπιστρατεύουσι, καὶ πολλὰ σώματα Ρωμαίων καὶ βόας καὶ ὑποζύγια, καὶ τῶν ἄλλων βοσκημάτων πλῆθος οὐκ ἐλάχιστον διαρπάζουσιν.

Ἔξεισι τοίνυν κατ' αὐτῶν Ἰσαάκιος· οἱ δὲ τῶν δυσχωριῶν ἐπιλαβόμενοι, ἀντέσχον ἐπὶ πολύ· γνόφου δὲ παρὰ δόξαν ἐπιγενομένου καὶ τὰ ὄρη καλύψαντος, ἔλαθον Ρωμαῖοι ἐπιστάντες αὐτοῖς καὶ πολλοὺς τραυματίσαντες. Οἱ μὲν οὖν ἀρχηγοὶ τοῦ

κακοῦ, ὅ τε Πέτρος καὶ ὁ Ἀσὰν, καὶ ὅσον περὶ αὐτοὺς ἀποστατικὸν, ὥρμησαν εἰς τὸν Ἴστρον, καὶ τοῦτον διαπεράσαντες τοῖς ἐκεῖ Σκύθαις ἡνώθησαν. Ὁ δὲ βασιλεὺς κατὰ πολλὴν τοῦ κωλύσοντος ἐρημίαν ἔχων ταῖς ἐκεῖ πόλεσιν, αἵ πολλαὶ εἰσιν, αἱ πλείους ἐπὶ πετρῶν ἀποτόμων καὶ ὑπερνεφῶν μάλιστα, ἐπιστῆσαι φρουρὰν, οὐδὲν τοιοῦτον ἐποίησε, πυρὶ δὲ τὰς τῶν καρπῶν παραδοὺς θημωνίας, αὐτίκα ἐκεῖθεν ἀπῆρεν, ἔτι ταρασσόμενα τὰ ἐκεῖσε καταλιπών· ὅθεν καὶ πλέον τούτους κατὰ Ῥωμαίων ἠρέθισεν. Ὁ μὲν γὰρ τὴν Κωνσταντίνου κατέλαβε τῷ κατορθώματι ἐγκαυχώμενος, καί τινα τῶν τότε κριτῶν (ὁ Μοναστηριώτης ἦν οὗτος Λέων) εἰπόντα παθήνασθαι τὴν τοῦ Βουλγαροκτόνου Βασιλείου τοῦ βασιλέως ψυχὴν, ὅτι τὸ τυπικὸν αὐτοῦ ὅπερ τῇ τοῦ Σωσθενίου μονῇ ἐξέθετο ὁ βασιλεὺς παρεβλέψατο, καὶ διὰ τοῦτο νεωτερίσαι τοὺς Βλάχους, ἐρεσχελῶν καὶ διασύρων ὁ Ἰσαάκιος, τοῦτον μὲν, ἔφησε, μὴ εἰδέναι τί λέγει, αὐτὸς γὰρ εἰς τὴν προτέραν ὑποταγὴν καὶ δουλείαν τούτους κατέστησεν ἐν ὀλίγῳ καιρῷ, ὡς οὐδὲ διὰ πολλῶν χρόνων ἐκεῖνος.

Οἱ δὲ περὶ τὸν Ἀσὰν βάρβαροι τὸν Ἴστρον, ὡς δεδήλωται, διαβάντες, καὶ τοῖς Σκύθαις συμμίξαντες, πλείστους ἐκεῖθεν συμμάχους παραλαβόντες εἰς τὴν πατρίδα ἦλθον Μυσίαν μετὰ μείζονος τῆς ἐπάρσεως· ὅθεν οὐδὲ ἠθέλησαν τοῖς ἰδίοις μόνοις ἐμμένειν, ἀλλ' εἰ μὴ καὶ τὰ Ῥωμαίων βλάψουσι, καὶ εἰς ἓν ὡς πάλαι ποτὲ τὴν τῶν Μυσῶν καὶ Βουλγάρων δυναστείαν συνάψουσιν, οὐδόλως ἡγοῦντο ἀνασχετόν.

Εἰ μὲν οὖν ὁ βασιλεὺς αὐτὸς ἐξήρχετο κατ' αὐτῶν, ἦν ἂν ἔργον μέγα τετελεκώς· ἀλλὰ τὴν οἰκείαν ὁρμὴν εἰς ἕτερον καιρὸν ὑπερθέμενος, τῷ θείῳ αὐτοῦ τῷ σεβαστοκράτορι Ἰωάννῃ τὰ κατ' αὐτῶν ἐνεχείρισεν. Ὁ δὲ διακυβερνήσας τὴν στρατιὰν, καὶ λυπήσας οὐ βραχέα τοὺς πολεμίους |, βασιλειᾶν ὑποπτευόμενος, τὴν στρατηγίαν ἀποτίθεται· καὶ διαδέχεται ταύ-

την ὁ καῖσαρ Ἰωάννης ὁ Καντακουζηνὸς, ὁ ἐπ' ἀδελφῇ τοῦ βασιλέως γαμβρὸς, ἀνὴρ τὸ εἶδος ἀξιοθέατος, καὶ τῶν τακτικῶν ἐμπειρίαν πλουτῶν, τότε δὲ οὐ καλῶς τὸν κατὰ Βλάχων διαπεπραχὼς πόλεμον. Ὅθεν διαδέχεται τὴν ἡγεμονίαν ὁ Βρανᾶς Ἀλέξιος· ὁ δὲ καὶ πάλιν βασιλειῶν ἦν, ὡς καὶ νύκτωρ ποτὲ τὸ τῆς Μεγάλης ἐκκλησίας εἰσιὼν ἄδυτον, τοὺς ὄχλους εἰς ἀπόστασιν παρακαλεῖν. Ὡς δὲ μὴ κατὰ τὸν σκοπὸν αὐτοῦ προεχώρει τὸ ἔργον, σπονδὰς ἐκ βασιλέως δεξάμενος, τοῦ ἔργου μὲν ἀπέστη, τὴν δὲ ἔφεσιν ἔτρεφε καθ' ἑαυτὸν πάλιν ἀνένδοτον.

Τότε δὲ τῆς τῶν στρατευμάτων δραξάμενος συνδρομῆς, καὶ τοῖς κατὰ γένος οἰκείοις συμβούλοις χρησάμενος, τὴν περιβολὴν ἀμειψάμενος, βασιλέα ἀπέδειξεν αὐτὸς ἑαυτόν· καὶ εἰς τὴν πατρίδα Ἀδριανούπολιν μεταβὰς, καὶ ὑπὸ τοῦ στρατεύματος ἀναγορευθεὶς, τὴν βασιλίδα πόλιν καταλαμβάνει, καὶ περὶ τὸ Ἔξω στρατοπεδευσάμενος Φιλοπάτιον, περὶ δείλην μετὰ δυνάμεων προσπελάσας τῷ τείχει τῆς Πόλεως ἵππῳ ἔποχος, μέλανι μὲν τὸ ὅλον τοῦ σώματος, περὶ δὲ τὸ μέτωπον λευκαῖς θριξὶν ἐς κύκλον καλλυνομένῳ, τοῖς ἐπὶ τῶν τειχῶν βασιλικοῖς καὶ τοῖς θεαταῖς τῶν πραττομένων Πολίταις ἠπείλει τε καὶ παρῄνει κατὰ ταὐτόν, φάσκων ὡς, εἰ μὲν τὰς πύλας ἀνοίξαντες ἔσω δέξονται τοῦτον, εὐεργέτην εὑρήσουσιν, ὡς φρονοῦντες τὰ αὐτοῦ καὶ μὴ ἀντιπράττοντες· εἰ δὲ πρὸς ἀντίστασιν καὶ μάχην χωρήσουσιν, ἄκοντας χειρωσάμενος ἐκεῖνα ἐργάσεται τούτοις, ὅσα καὶ αὐτῷ μὲν οὐ κατὰ σκοπὸν, ἐκείνοις δὲ προξενήσει τὸν ὄλεθρον. Τοιαῦτα μεγαλαυχήσας πρὸς τὸ στρατόπεδον ὑπεχώρησε.

Τῇ δ' ἐπιούσῃ τοῦ ἡλίου ἄρτι φάναντος τὸ περίγειον, ἐφίσταται ταῖς πύλαις τῆς Πόλεως, αἳ τοῦ Χαρσίου λέγονται, καὶ τὴν στρατιὰν ἀντιτάξας, εἰς δεξιὸν καὶ εὐώνυμον κέρας αὐτὴν διαιρεῖ, καὶ τὸ μέσον αὐτὸς ὑπέχων, προτρέπει τοῖς ἐκ

τῆς Πόλεως ἐξερχομένοις στρατιώταις συμπλέκεσθαι. Οὐδὲ γὰρ ἐντὸς τῶν πυλῶν μόνον ἐπέστησε φρουροὺς ὁ βασιλεὺς, καὶ τοῖς τῶν τειχῶν ἄνωθεν οὖσιν ἐπέταξε προμαχεῖν, ἀλλὰ καὶ μέρος τοῦ στρατεύματος ἀποδιελὼν, ἔξωθεν τῆς τάφρου διέρχεσθαι ἐπέτρεψε, καὶ τοῖς πολεμίοις ὡς δυνατὸν ἀντιμάχεσθαι· εἰ δὲ, τῶν ἐναντίων ἐπιτεθέντων αὐτοῖς, κάμωσι, τοῖς τείχεσι πλησιάζειν, ὅπως οἱ ἄνωθεν αὐτοῖς ἐπαμύνωσιν. Ἕως μὲν οὖν μεσημβρίας ἀκροβολισμοὶ παρ' ἀμφοτέρων ἐγίνοντο τῶν μερῶν, καὶ ἄχρι τινὸς οἱ τοῦ Βρανᾶ τῶν τοῦ βασιλέως βραχύ τι ἐκράτουν· καὶ τούτων μάλιστα οἱ ἐκ τοῦ Λατινικοῦ πεζικοῦ (ἐπεὶ καὶ ὅσοι ἦσαν ἀπὸ τοῦ Σικελικοῦ στρατεύματος καὶ τούτους ὁ βασιλεὺς τῆς φρουρᾶς λυτρωσάμενος καὶ ὁπλίσας πρὸς Βρανᾶν ἐξαπέστειλε τὴν ἐς τὸν Αἷμον στελλόμενον· καὶ ἦσαν οὗτοι κράτιστοι τῶν περὶ αὐτὸν)· ἐπιπεσόντες οὖν κατὰ κράτος τοὺς ἐξ ἄστεος τρέπονται, ὡς διαβῆναι τὴν τάφρον καὶ προσεγγίσαι τοῖς τείχεσιν· εὗρον δὲ βοήθειαν ἐκ τῶν ἐπὶ τῶν τειχῶν.

Τὰ μὲν οὖν τῆς ἡμέρας ἐκείνης ἐν τούτοις ἔληξεν· ἐφ' ἡμέραις δὲ πέντε διαναπαύσας τοὺς οἰκείους ὁ τύραννος, πάλιν τοῖς τῆς Πόλεως περιβόλοις ἐφίσταται· ποιῶν δὲ φοβερὸν ἑαυτὸν, στέλλει μοῖράν τινα τοῦ κατ' αὐτὸν στρατοῦ εἰς τὴν τοῦ Βοσπόρου ἀντιπέραν ἀκτὴν, ἥτις πρὸς τὰ μέρη τῶν Βλαχερνῶν ἀφορᾷ, καὶ οὗτοι τὸ ἐπιτεταγμένον ποιοῦντες, τοὺς ἐκεῖ γηλόφους ἀνιόντες τὰς σημαίας ἠνέμωσαν· ὁ δὲ ἥλιος τοῖς ὅπλοις αὐτῶν προσβάλλων, ἐποίει ἀποπάλλεσθαι σελαγημάτων ἐκπυρηνίσματα, ὡς τοὺς Πολίτας εἰς τοὺς ἀνεστηκότας τῆς Πόλεως ἀνερχομένους γηλόφους, τὰ πραττόμενα θεᾶσθαι καὶ τίθεσθαι διὰ θαύματος. Μετὰ δὲ τοῦτο καὶ τοὺς ἐκεῖ οἰκήτορας ἐπεσπάσαντο, ἄνδρας ἀμάχους, κώπην δὲ μόνην ἐλαύνειν εἰδότας καὶ ἀγρεύειν ἰχθῦς· τότε δὲ καὶ οὗτοι τὰ ἑαυτῶν ἀκάτια σανίσι παχείαις ἑκατέρωθεν διαλαβόντες, οἱ μὲν σφενδόνας,

οἱ δὲ τόξα λαβόντες |, καὶ ὡς στρατιῶται οἱ δικτυοπλόκοι πρὸς φ. μάχην ἑτοιμασθέντες, τοῖς ἐπὶ τῶν βασιλικῶν τριήρεων, αἵ τὴν εἰς τὴν Πόλιν πάροδον τοῦ Βρανᾶ, εἴπερ ἀπογνοὺς τὴν ἐκ τῆς χέρσου διὰ τῶν παρακτίων μηχανήσαιτο, παρετήρουν, συμπλακῆναι ἤθελον. Οἱ δ' ἐπὶ τῶν μακρῶν νηῶν τὰ πρῶτα μαίνεσθαι αὐτοὺς ᾤοντο, ὡς δὲ καιρὸς ἦν τοῦ βάλλειν ἀλλήλους, αἱ μὲν τριήρεις μετὰ βυκάνων καὶ σαλπίγγων ἐκίνησαν, οἱ δὲ ἁλιεῖς ἡσυχῇ ὥρμησαν κατ' αὐτῶν κώπαις συχνῶς τὴν θάλασσαν τύπτοντες, καὶ ὑπερτεροῦσι τῶν ἀντιπάλων, καὶ ταῖς ᾐόσι τῆς Πόλεως συγκλείουσι· τὰ μὲν γὰρ διὰ τὸ μέγεθος καὶ δυσκίνητα, τὰ δὲ πολλὰ ἐπιόντα καὶ κατὰ πᾶν μέρος μαχόμενα, τὴν νίκην εἶχον ἐπιμειδιῶσαν αὐτοῖς· ἀλλ' οὐκ ἐς πολὺ τὸ τῆς ἥττης ὑπενεγκόντες οἱ ἐκ τοῦ στόλου τοῦ βασιλέως, κραταιῶς τούτους ἐδίωξαν· τάχα δ' ἂν καὶ πυρὶ τὰ πλοιάρια τούτων ἠφάνισαν, εἰ μὴ ἐπεβοήθησαν οἱ τοῦ Βρανᾶ ὁπλομάχοι, ἐκ τῶν λόφων κατελθόντες ἐπὶ τὸν αἰγιαλόν.

Ἰδὼν δὲ ὁ ἀποστάτης ὡς οὔτε κλέπτειν ἔχει τὴν πάροδον, οὔτε πολέμῳ καὶ λόγοις δρᾶσαι τι ἰσχύει, λιμῷ διενοήθη τὴν μεγαλόπολιν παραστήσασθαι· ἤδη γὰρ ἡ Ἑῴα τε καὶ Ἑσπέριος ὑπὸ Ρωμαίους λῆξις αὐτῷ προσεχώρησε· καὶ προστάττει μηδεμίαν σιταγωγὸν νῆα καταίρειν εἰς τὸ Βυζάντιον. Ἀλλ' οὕτω μὲν ὁ Βρανᾶς διὰ λιμοῦ κρατῆσαι τὴν Κωνσταντινούπολιν ἤλπισεν, ἢ ἀλλά? στόλον κινήσας τοῦ βασιλικοῦ ἀκμαιότερόν τε καὶ πλείονα.

Ὁ δὲ βασιλεὺς ὁρῶν αὐτῷ προσκείμενον τὸ τῆς Πόλεως πλήρωμα, τὸν δὲ Βρανᾶν μὴ μόνον οὐκ ἀνεχόμενον αὐτῶν ἄρχειν, ἀλλὰ καὶ ἀναθέματι καθυποβάλλον ἐκεῖνον ὡς ἀποστάτην καὶ τύραννον, καὶ τὴν ἁγίαν εἰκόνα τῆς Θεομήτορος, ἥτις, ἐκ τῆς τῶν Ὀδηγῶν μονῆς καθ' ἥν προσκεκλήρωται, ἐπικέκληται, Ὁδηγήτρια, ἄνω τῶν τειχῶν ἀναγαγὼν οἷά τι χαράκωμα ἀπόρθητον καὶ ὀχύρωμα, ὥρμησε μὲν καὶ οἴκοθεν πρὸς ἀντι-

μάχησιν κατὰ πρόσωπον, ἀσυντελῆ κρίνας τὴν ἐντὸς τοῦ ἄστεος κάθειρξιν, πλειόνως δὲ ταῖς ἐπιπλήξεσι τοῦ καίσαρος Κορράδου παρακεκίνηται. Ἦν δὲ ὁ ἀνὴρ οὗτος τὸ γένος Λαμπάρδος, υἱὸς τοῦ τὴν χώραν τοῦ Μόντου Φεράντου κατέχοντος, τοσοῦτον δ' ἐπ' ἀνδρείᾳ καὶ συνέσει διέφερεν, ὥστε οὐ παρὰ Ρωμαίοις μόνον ἦν περιώνυμος, καὶ μάλιστα τῷ βασιλεῖ Μανουὴλ ἐπιπόθητος, ἀλλὰ καὶ παρὰ τοῖς ὁμογενέσιν αὐτῷ. Οὗτός ἐστιν ὁ μεγίστοις φιλοδωρήμασι τοῦ Μανουὴλ ἐπαρθεὶς, καὶ ἀντάρας χεῖρα τῷ τῆς Ἀλαμανίας ρηγὶ, καὶ τὸν Μαγέντζης ἐπίσκοπον νενικηκὼς καὶ κατασχὼν ἐν πολέμῳ, καγκελάριον τοῦ ρηγὸς ὄντα, ὡς προδεδήλωται. Τότε τοίνυν τοῦ βασιλέως Ἰσαακίου τὸν τοῦ Κορράδου αὐτάδελφον Βονιφάτιον διὰ πρέσβεων μεταστελλομένου ὡς συναφθείη Θεοδώρᾳ τῇ κασιγνήτῳ αὐτοῦ, ἐπεὶ ἐκεῖνος νύμφην ἡρμόσατο, οὗτος δὲ τὴν σύνοικον θανάτῳ ἀπέβαλε, τοῦ ἔργου τὸ πάρεργον μεῖζον κατὰ πολὺ τοῖς πρέσβεσι κρίνεται, καὶ ὑποσχέσεσιν οἱ πρέσβεις μεγίσταις τὸν Κορράδον μετεωρίσαντες, σὺν αὐτῷ ἐπανέζευξαν. Καὶ ὡς τὰ τοῦ γάμου ἐτέλεσεν ὁ βασιλεὺς, καὶ καίσαρα τοῦτον προεχειρίσατο. Μετὰ μικρὸν δὲ καὶ ἡ τοῦ Βρανᾶ ἐπηκολούθησεν ἐπανάστασις· οὐ διέλιπε τὸν βασιλέα παραθαρρύνων ταῖς χρηστοτέραις ἐλπίσι μικροῦ ἀπελπίζοντα, καὶ ὥσπερ ἀκόνη πρὸς ξυρὸν τὸν πόλεμον τούτῳ γινόμενος. Ἀμέλει καὶ βασιλεὺς πάντα μοναστὴν ἀρετῇ περίφημον ἠθροικὼς ἐδεῖτο δι' αὐτῶν τοῦ θεοῦ διασκεδασθῆναι τὸν ἐφεστῶτα ἐμφύλιον πόλεμον καὶ μὴ μεταβῆναι τὸ κράτος πρὸς ἕτερον· τῶν δὲ κατὰ πόλεμον ἠμέλει παντάπασιν. Ὁ δὲ καὶ πρὸς πόλεμον διανίστα, πείθων μὴ πάντα τούτοις θαρρεῖν, ἀλλὰ καὶ στρατιωτῶν ἐπιμέλεσθαι, ὅπως εἴη μὴ μόνον διὰ τῶν δεξιῶν ὅπλων, τῶν συνάρσεων δηλαδὴ τῶν ἁγίων ἀνδρῶν, ἀλλὰ καὶ διὰ τῶν ἀριστερῶν, τῶν ὁπλιζομένων ξίφει καὶ θώρακι, τὸν πόλεμον μετερχόμενος, καὶ μὴ φείδεσθαι χρημάτων, ἀλλὰ διασπείρειν ταῦτα εἰς στρατιᾶς συλλογὴν, ἐ-

πεὶ καὶ ἄνευ τῶν καθ' αἷμα προσῳκειωμένων τῷ βασιλεῖ καὶ ὅσοι τὰς οἰκήσεις μὴ ἐντὸς εἶχον τῆς Πόλεως | ὑπέκυψαν τῷ Βρανᾷ. 9 Οἷς δὴ τοῦ καίσαρος λόγοις παραθηγόμενος, ἤρξατο συλλέγειν συμμαχικόν· μὴ εὐπορεῖν δὲ λέγων χρυσίνων, ἐκ τῶν βασιλικῶν ταμείων σκεύη λαβὼν ἀργύρεα, παρακατέθετο ταῖς χρυσίου εὐπορούσαις μοναῖς, καὶ τὰ ἐκεῖθεν χρήματα εἰς συλλογὴν διένειμε στρατιᾶς. Ἀμέλει καὶ ἐν βραχεῖ καιρῷ ὁ μὲν Κορράδος ἀπὸ τῶν ἐν τῇ Πόλει Λατίνων ἱππότας συνέλεξε περὶ τοὺς δὶς ἑκατὸν καὶ πεντήκοντα, πεζοὺς δὲ πεντακοσίους, οὐκ ὀλίγοι δὲ ἐστρατολογήθησαν καὶ ἀπὸ τῶν Ἰσμαηλιτῶν καὶ Γεβήρων, κατ' ἐμπορίαν εὑρισκομένων εἰς τὴν βασιλίδα τῶν πόλεων· τὸ δὲ περὶ τὸν βασιλέα τῷ γένει ἐπίσημον καὶ οἱ τῆς αὐλῆς περὶ τοὺς χιλίους ἠρίθμηντο. Τοσαύτην δ' ὁ Κορράδος ὑπὲρ τοῦ βασιλέως σπουδὴν εἰσήνεγκεν, ὥστε θεόπεμπτον ἀγαθὸν λογισθῆναι τοῖς ἅπασι κατὰ τὸν καιρὸν ἐπιστάν. Καί ποτε τῷ βασιλεῖ ἐπιστὰς ἐσθίοντι, ὑποστενάξας εἴρηκεν, « Εἴθε οὕτως τῶν κατὰ τὸν ἐφεστῶτα πόλεμον ἐπεμέλου, ὥσπερ τρέχεις ἐπὶ τὰ προκείμενα βρώματα. » Ὁ δὲ ἐρυθριάσας ἐπὶ τῷ λόγῳ, καὶ πυρωπότερος φανεὶς ἑαυτοῦ, μειδιάσας ἐπελάβετο τῆς χλανίδος τοῦ καίσαρος εἰπὼν « ὡς κατὰ καιρὸν ἑστιασόμεθά τε καὶ μαχεσόμεθα. » Ἐγένοντο δὲ καὶ σημεῖα τότε· ἡμέρας γὰρ ἀστέρες ἐφάνησαν, καὶ ὁ ἀὴρ ταραχώδης ὤφθη, καὶ πάθη περὶ τὸν ἥλιον γέγονεν, ἅ φασιν ἅλωνας, ὡς μηδὲ τοῦτον καθαρὸν, ἀλλ' ὠχρότερον ἀποδιδόναι τὸ φῶς.

Τοσαύτην δὲ συναγηοχὼς ὁ βασιλεὺς στρατιὰν, ἔγνω μὴ ἀναδύεσθαι· στὰς τοίνυν ὡπλισμένος εἴσω τοῦ περιβόλου ὃν ἀνήγειρεν ὁ βασιλεὺς Μανουὴλ εἰς ὀχύρωμα τῶν ἐν Βλαχέρναις ἀνακτόρων, παρεθάρρυνε λόγοις τούς τε συγγενεῖς ἀλλὰ καὶ τὸ ὁπλιτικὸν, τοιάδε παρακελευόμενος: « κρεῖσσόν ἐστι καὶ παρὰ θεῷ ἀνέγκλητον τοῦ ἐννόμως κρατοῦντος προκινδυνεύειν τοὺς ἀρχομένους, ἢ προσρέπειν ἀνδρὶ νεωτεριστῇ καὶ ἀποστά-

τῃ, κατ' ἀλλήλων παρακινήσαντι τοὺς ὁμοφύλους καὶ πρὸς σφαγὰς παραθήξαντι. Εἰ δέ τινες εἰσελευσομένην τὴν γνώμην ἔχοντες, καὶ τούτου ἐξέχονται, ἐμὲ δὲ, ὅν χθὲς ὡς δεσπότην καὶ κύριον ἐθεράπευον, ἀθετοῦσι σήμερον, αἴτησιν ταύτην αἰτοῦμαι, οἴκοι καθῆσθαι, μηδενὶ βοηθοῦντες, ἕως ἂν πολέμῳ διακριθείη τὰ πράγματα, καὶ τότε τῷ νικῶντι ὑποπεσοῦνται, ἢ μεταχωρεῖν ἤδη πρὸς ἐκεῖνον πρὸ τῆς συμπλοκῆς, καὶ προκινδυνεύειν ἐκείνου, ὅπως καὶ χάριν τούτῳ εἴσεται πλείονα· ὡς τό γε ἐμοὶ προσκολλᾶσθαι καὶ τιμᾶν χείλεσιν, ἐκείνῳ δὲ τῇ καρδίᾳ συμπλέκεσθαι καὶ ἀπονέμειν τὸ πρόθυμον, οὐκ οἶδα τίς ἐπαινέσεται, ἢ ὅπως κριθείη παρὰ θεῷ· τὸ γὰρ ἔτι τούτου χεῖρον, τουτέστι κατὰ τὸν τοῦ πολέμου καιρὸν αὐτομολῆσαι πρὸς τὸν τύραννον, οὐδὲ βαλεῖν βούλομαι κατὰ νοῦν.» Ταῦτα δ' ἐφθέγγετο, δι' ὑποψίας ἔχων τὸν θεῖον τὸν σεβαστοκράτορα Ἰωάννην, ὡς πάλαι τῷ Βρανᾷ συνήθη, καὶ ὡς πρὸ τῆς ἀποστασίας γάμον υἱοῦ τελέσαντα μετὰ θυγατρὸς τοῦ Βρανᾶ. Ἐφ' οἷς καὶ οἱ τοῦ συλλόγου μὲν ἅπαντες ἐπαθήναντο· ὁ δὲ σεβαστοκράτωρ ἅπαν μεθιστῶν ἑαυτοῦ ὕποπτον, ἀραῖς παλαμναιοτάταις ἅπαντας τοὺς ἑαυτοῦ καὶ ἑαυτὸν καθυπέβαλλεν, εἰ κατὰ νοῦν αὐτῷ ἦλθε τῷ Βρανᾷ προστεθήσεσθαι· μηδὲ γὰρ εἶναι τὰ δέοντα ἀγνοῶν, ἢ τὸν νοῦν ὑπὸ γήρως ἀπολωλεκὼς, ὡς ἀδελφόπαιδος βασιλέως καὶ ἀπὸ δόξης εἰς δόξαν ἀναβιβάσαντος, τὸν ἀλλότριον ἀνταλλάξασθαι, δι' ἀγχιστείαν παιδὸς, καὶ ὃν | οὐ γινώσκειν ὅπως διατεθήσεται πρὸς αὐτόν.

Ἐπεὶ δ' ἐκάλει καιρὸς πρὸς παράταξιν, καὶ ὁ ἀποστάτης τὰς οἰκείας τάσσειν δυνάμεις ἠγγέλλετο, αἱ τῆς Πόλεως πύλαι ἀνοίγονται, καὶ ἐξέρχονται τὰ στρατεύματα· καὶ τὸ μὲν εὐώνυμον κέρας ἐπεῖχε Μανουὴλ ὁ Καμμύτζης ὁ πρωτοστράτωρ, ὃς καὶ δι' ἣν εἶχε πρὸς τὸν Βρανᾶν ἀπέχθειαν, οὐκ ὀλίγα τῷ βασιλεῖ ἐπιδέδωκε χρήματα, ἀλλὰ σχεδὸν ὅλον τὸν βίον αὐτοῦ, τὸ δὲ δεξιὸν αὐτὸς διεῖπεν ὁ βασιλεὺς Ἰσαάκιος,

ἐν ᾧ ἦν εἴ τι κράτιστον τοῦ στρατεύματος, τὸ δὲ μέσον ὁ Κορράδος καῖσαρ μετὰ τῶν Λατίνων ἱππέων τε καὶ πεζῶν. Τοῦ δ' ἀντιτεταγμένου στρατοῦ τὸ μέσον ὁ Βρανᾶς, ἔνθα ἐτάττοντο ὅσοι τῶν συγγενῶν καὶ φίλων αὐτῷ, τὰ δ' ἑκατέρωθεν ἄλλοι τε στρατηγίας εἰδήμονες, καὶ ὁ Σκύθης Ἐλπουμῆς.

Μήπω μὲν οὖν μεσούσης ἡμέρας, ἀκροβολισμοὶ καὶ ἐκπηδήσεις κατ' ἀλλήλων παρ' ἀμφοτέρων τῶν στρατευμάτων ἐγίνετο, καὶ πεζικαὶ δυνάμεις μάχης ἥπτοντο. Ἐπεὶ δὲ ὁ ἥλιος κατὰ κορυφὴν ἔφλεγε, τότε δὴ τὰ σημεῖα τῆς μάχης αἴρεται, καὶ πρῶτος ὁ Κορράδος διακινεῖται· ἄνευ δὲ θυρεοῦ τηνικαῦτα διηγωνίζετο, ὕφασμα λινοῦν, οἴνῳ αὐστηρῷ καὶ ἅλατι διάβροχον πολλάκις, ἐς ὀκτὼ καὶ δέκα πτύχας συντεθειμένον ἠμφιεσμένος· ἦν δὲ τοῦτο ἐς τοσοῦτον ἀντιτυπὲς, ὡς καὶ βέλους εἶναι παντὸς στεγανώτερον. Ποιήσας δὲ μεταίχμιον βραχὺ, [αὖθις ἵσταται]. Οὕτως οἱ μὲν πεζοὶ τὰς λόγχας ὡς πρὸς συμπλοκὴν ἀνέστησαν ἅμα παραταξάμενοι, οἱ δὲ ἱππεῖς τὰ δόρατα ὡς ἔθος ἐκράτησαν καὶ τοὺς ἵππους ἐπτέρνισαν. Ἐπεὶ δὲ καὶ τὸ περὶ τὸν βασιλέα τάγμα ἐπηκολούθει, οὐδὲ τὴν πρώτην συμβολὴν οἱ περὶ τὸν Βρανᾶν ὑπενεγκόντες, νῶτα δεδώκασιν· ἐπὶ δὲ τούτοις καὶ τὰ λοιπὰ τάγματα τρέπεται πρὸς φυγήν. Ὁ δὲ Βρανᾶς κράζων διάτορον « Στῆτε, Ῥωμαῖοι! πολλοὶ πρὸς ἐλάττονας μαχεσόμεθα, καὶ πρῶτος ἐγὼ ἐμβαλῶ », καὶ δρῶν ὃ ὑπετίθετο, οὐδένα ἴσχυσε τῶν φευγόντων ἐπαναγαγεῖν· κατὰ δὲ τοῦ Κορράδου τὸ δόρυ ἴθυνε μαχόμενος ἄνευ κόρυθος· οὐ καιρίως δὲ ἔβαλλε, τὸν τοῦ καίσαρος παραξέσας ὦμον. Ὁ δὲ καῖσαρ τὸ οἰκεῖον ἐμπήγνυσι δόρυ τῇ παρειᾷ τοῦ Βρανᾶ, καὶ κατακρημνίζει τοῦ ἵππου· καὶ εὐθὺς οἱ τοῦ καίσαρος δορυφόροι καταδορατίζουσι τοῦτον. Φασὶ δὲ ὡς ἐν τῷ ὑπὸ τοῦ καίσαρος τρωθῆναι ἱκέτευσε μὴ ἀποθανεῖν, τὸν δὲ καίσαρα ἀποκρίνεσθαι, μὴ δεδιέναι, οὐ γάρ τι ἕτερον δεινὸν πείσεται, ἢ τὴν κεφαλὴν μόνον ἀποκοπήσεται, ὃ καὶ πέπονθεν.

Λ'κόσμοι δὲ τῆς φυγῆς γενομένης, ἕκαστος τὸν ὃν κατελάμβανεν ἀνῄρει· τοῦτο γὰρ οὐκ ἐπὶ πολὺ προέβη· οἱ γὰρ Ῥωμαῖοι τῶν ὁμοφύλων ἐφείδοντο, καὶ οἱ διωκόμενοι μεθ' ἁπάσης ὁρμῆς ἀπεδίδρασκον. Ἐσκύλευται οὖν ὑπὸ τῶν νικώντων ὁ χάραξ, εἰς διαρπαγὴν προκείμενος οὐ τοῖς στρατεύμασι μόνοις, ἀλλὰ καὶ τοῖς ἐξερχομένοις Πολίταις αὐτοῖς.

Ἀναιρεῖται κατὰ τοῦτον τὸν πόλεμον καὶ ὁ Στηθάτος Κωνσταντῖνος, λόγχῃ τρωθεὶς, ἀνὴρ ἀγαθὸς, ὃς τὴν ἐπαρχίαν Ἀγχιάλου διέπων, οὐχ ἑκὼν ἠκολούθησε τῷ Βρανᾷ, ἀλλ' οὔτε τὸν προσλαβόμενον Βρανᾶν ὤνησε, τῶν τότε ἀστρολόγων ὁ δοκιμώτατος ὢν, καὶ ἑαυτὸν οὐκ ἐξέσωσεν. Ἐλέγετο δὲ εἰπεῖν τῷ Βρανᾷ, ὡς κατὰ τὴν ἡμέραν ἐκείνην τῆς Πόλεως ἐντὸς εἰσελεύσεται καὶ θριαμβεύσει περιφανῶς· τοῦτο δὲ εἰ μὲν εἴρηκεν ὁ Στηθάτος, οὐκ οἶδα, ὅτι δὲ ψευδὴς ἡ πρόρρησις αὐτὰ τὰ πράγματα ἔδειξαν, εἰ μή τις (1) [οὐκ ἀνέχοιτο διεψεῦσθαι τὴν τέχνην, καὶ εἰς τὴν τοῦ Βρανᾶ κεφαλὴν καὶ τὸν πόδα τὰ προειρημένα ἐκδέχοιτο, ἅπερ τῆς ἡμέρας ἐκείνης διὰ τῆς ἀγορᾶς κοντῷ ἐναπαιωρηθέντα τῇ πολιτείᾳ ἐθριαμβεύθησαν. Ἀλλὰ καὶ ἑτέρα κεφαλή τινος, Ποιητοῦ λεγομένου, ἣν ὁ βασιλεὺς μετὰ τὴν νίκην ἀποτμηθῆναι προσέταξεν, οὐκ οἶδα ἐπὶ τίνι ὠφελείᾳ.

Ἐπεὶ δὲ καὶ ὁ βασιλεὺς ἐσθίειν ἤρξατο, πᾶσαν πύλην τῶν βασιλείων ἀνεῳγμένην εἶναι ἐκέλευσε, καὶ τὸν βουλόμενον εἰσιέναι καὶ θεᾶσθαι τροπαιοῦχον αὐτὸν, παρεισαχθῆναι δὲ καὶ τὴν κεφαλὴν τοῦ Βρανᾶ· ἡ δὲ, ὡς εἰσήχθη, ἐπ' ἐδάφους ἔρριπται ὧδέ τε κἀκεῖσε ἀγομένη τε καὶ μεταγομένη δίκην σφαί-

---

(1) Ἐν τῷ κάτω περιθεωρίῳ τοῦ φύλλου 97 εὕρηται καὶ τὸ ἑξῆς ἀστεῖον ἐπίγραμμα.

Ὁ Μουλάτζης ἔπαρχος, οὐ γελᾷς, βίε;
Μικρόν με καρτέρησον, ὦ βιβλογράφε,
καὶ Γαδαρίτζην κουροπαλάτην ἴδῃς.

ρας, καὶ τέλος τῇ γαμετῇ ἐκείνου, ἔνδον τῶν ἀνακτόρων καθειργμένῃ εἰσφέρεται, καὶ οἱ ἀγαγόντες ἐπερωτῶσιν, εἰ γινώσκει τίνος ἡ κεφαλή· ἡ δὲ τοὺς ὀφθαλμοὺς ἐπιβαλοῦσα τῷ οἰκτρῷ ἐκείνῳ θεάματι « οἶδα, φησί, καὶ ταλανίζω ἐμαυτήν » · ἦν γὰρ ἡ γυνὴ σώφρων καὶ τὴν σιωπὴν τιθεμένη περὶ πολλοῦ, οὗ χάριν καὶ ὁ πρὸς μητρὸς αὐτῇ θεῖος, ὁ αὐτοκράτωρ Μανουὴλ, καλὴν ἐν γυναιξὶ κατωνόμαζε.

Τὰ δὲ τῷ Βρανᾷ ἀκολουθήσαντα στρατεύματα ὅλοι τῆς φυγῆς γενόμενοι, τοὺς ὄπισθεν οἱ ἔμπροσθεν ὡς ἐπιδιώκοντας ὑπενόουν, καὶ τὸν δρόμον ἐπέτεινον· καὶ περὶ τὴν γέφυραν τοῦ Δαφνούση πολλοὶ ἂν ὀλώλασιν, εἰ μή τις αὐτοὺς ἔπεισεν ἐνδοῦναι τῆς ὀξείας φυγῆς, τὸ θεῖον ἐπομοσάμενος μηδένα κατ' αὐτῶν ἐπιέναι πολέμιον. Οὕτως αὐτῶν ἡ δειλία κατεστρατήγησεν. Ὅσοι μὲν οὖν ἀφανεῖς ἦσαν τὴν τύχην ἀνεγκλήτως ἀφίκοντο οἴκαδε· οἱ δὲ τὸ γένος λαμπροὶ, καὶ δι ἡγεμονίαν ἢ ἀρχηγίαν ἐπίσημοι, οὗτοι πάντες πρεσβεύονται βασιλεῖ συγγνώμην αἰτοῦντες, οἷς τῷ ἀποστάτῃ ἐπηκολούθησαν, καὶ λαμβάνοντες τὸ ἀνέγκλητον, ἀγαθοὶ καὶ πιστοὶ θεράποντες εἰς τὸ ἑξῆς ἔσεσθαι συνετίθεντο. Βασιλεὺς δὲ πᾶσιν ἀμνηστίαν ἐβράβευσε, καὶ τοὺς προσιόντας εὐμενῶς προσδεχόμενος παρῄνει μετάμελον ἐπὶ τῇ τῶν ὅρκων παραβάσει ἐνδείκνυσθαι, καὶ τῷ μεγάλῳ προσερχομένους ἀρχιερεῖ λύσιν ζητεῖν τοῦ ἀναθέματος ᾧπερ αὐτοὺς καθυπέβαλλον ἄνωθεν οἱ ἐκ τῶν πύργων τῆς Πόλεως καὶ τὰ παρ' αὐτῶν τολμώμενα θεασάμενοι. Ὅσοις μὲν οὖν εὐλαβείας μετῆν, προσῆλθον τῷ πατριάρχῃ, οἱ δὲ ἄλλοι τῇ κατανεύσει τῆς κεφαλῆς τὸ πέρας τῆς εἰσηγήσεως περιέστησαν· πολλοὶ δὲ καὶ ἐξελθόντες διεχλεύαζον αὐτὸν, καὶ οὐ καινὸν, ἔλεγον, εἰ κληρικὸς ὢν (ἐπεὶ καὶ τοῦτο ἐλέγετο), ἐκεῖνα συμβουλεύει ὅσα ἐκ νεότητος ἔμαθε. Πολλοὶ δὲ καὶ τῷ Ἀσὰν καὶ τῷ Πέτρῳ προσέδραμον, ἀλλὰ καὶ οὗτοι μετὰ μικρὸν γράμμασι βασιλικοῖς ἐπανήλθοσαν.

Ἄλλο δ' ἐπὶ τούτοις παράλογον ἐπεγένετο· ὁ γὰρ βασιλεὺς ἐνέδωκε πᾶσιν ἀλλοχώροις τε καὶ Πολίταις ποιεῖν ἐπὶ τοῖς τῷ Βρανᾷ προσελθοῦσι τῶν τε τῆς Πόλεως πλησίον ἀγροτῶν καὶ τῶν κατὰ τὴν Προποντίδα λαχόντων τὴν οἴκησιν, εἴ τι ἂν κακὸν βούλοιντο. Καὶ κατὰ τὴν νύκτα ἐκείνην τῆς ἡμέρας καθ' ἣν ὁ Βρανᾶς κατεστράφη, πῦρ ἔβαλλον ταῖς οἰκίαις τῶν οἰκούντων ἐν τῷ Στενῷ, ὃ καὶ πᾶν ἐπυρπόλησεν οἰκοδόμημα, εἴτε ἅγιον ἦν τέμενος, εἴτε σεμνεῖον ἱερὸν, εἴτε οἴκημα, ἀλλὰ καὶ τὰς οὐσίας ἐπεβόσκετο τῶν ἀνθρώπων, οὐδενὸς ἁρπάσαι τι καὶ μετενεγκεῖν ἐξισχύοντος, εἰ μὴ ὅσα τῶν χρημάτων εὐμεταφόρητα.

Κατὰ δὲ τὴν μετ' αὐτὴν ἕω ἐξελθόντες οἱ τοῦ Λατινικοῦ
8·στίφους |, ὃ τῷ Κορράδῳ συνεστράτευσε, καὶ τὸ ἀγελαῖον καὶ πτωχικὸν πλῆθος τῆς Πόλεως, καὶ τῶν πέριξ διαδραμόντες, οἱ μὲν ὡπλισμένοι, οἱ δὲ τῷ παρευρεθέντι ἀμυντηρίῳ χρώμενοι, τί μὲν οὐχ ἥρπασαν, τί δὲ οὐκ εἰργάσαντο χείριστον; οἰκήματα κατέβαλον, τὸν ἔνδον πλοῦτον διήρπασαν, ἱερὰ ἐσκύλευσαν φροντιστήρια, ἔπιπλα θεῖα ἀφείλοντο, σκεύη τίμια ἐβεβήλωσαν, μοναζόντων πολιὰν οὐκ ᾐδέσθησαν, ἀρετῆς ἣν καὶ πολέμιος αἰδεῖται οὐδένα ἔθεντο λόγον, ἁπλῶς πᾶσαν κακῶν ἰδέαν ἐπήνεγκαν οἷς ἐπῆλθον, πολλοὺς δὲ καὶ θανάτῳ παρέπεμψαν, ὅτι σκυλευόμενοι ὀνειδισμοῖς λόγον εἰπεῖν ἐτόλμησαν τοῖς σκυλεύουσι. Προέκοψε δ' ἂν τὸ δεινὸν, εἰ μή τινες ἀνενεγκόντες τῷ βασιλεῖ τὰ τελούμενα, ὑπένυξαν πρὸς διόρθωσιν, καὶ στείλας τῶν περιφανῶν ἀρχόντων τινὰς ἀνέστειλε τὰς τῶν ἀτάκτων ὁρμὰς, καὶ μόλις ἔληξε τὸ δεινόν.

Ἀλλ' οὔπω ἐθρηνήθησαν ταῦτα, καὶ τὸ τῆς Πόλεως χειρωνακτικὸν, ὅσον οὐ συνευδόκησε τοῖς κακοῖς ὅσα εἴρηται, δεινὸν ἡγησάμενοι τὴν τῶν Λατίνων καύχησιν, ὅτι αὐτοὶ κατηγωνίσαντο τὸν Βρανᾶν, καὶ ὅτι τυραννοκτόνοι αὐτοὶ λέγουσιν εἶναι, κατὰ φάλαγγας συνιόντες, ταῖς τῶν Λατινικῶν γενῶν οἰκί-

αις ἐπεισπεσόντες σκυλεύειν ἠβούλοντο· καὶ οὐκ ἦν ἐν αὐτοῖς οὐδεὶς τῶν εἰρήνην εἰσηγουμένων κατήκοος, ἡγεμόνευε δὲ τῆς αὐτῶν συνδρομῆς θυμὸς ἄλογος, καὶ ἔρως ἀλλοτρίων χρημάτων· ᾤοντο γὰρ ὑπεκστῆναι τοὺς Λατίνους τῶν οἰκημάτων αὐτοῖς, καὶ διαρπάσαι τὰ ἔνδον, καθάπερ ἐπὶ τῶν Ἀνδρονίκου χρόνων διεπράξαντο· τοῖς δὲ εἰς τοὐναντίον μετεστράφη τὰ τῆς ἐλπίδος· οὐ μόνον γὰρ τῶν κατὰ σκοπὸν οὐκ ἐπέτυχον, ἀλλὰ καὶ κακῶς ἔπαθον ὑπὸ τῶν Λατίνων, γυμνοὶ πρὸς ὡπλισμένους μαχόμεναι. Καὶ τὴν μὲν δείλην ὅλην τῆς ἡμέρας ἄχρι καὶ ἐς ἑσπέραν βαθεῖαν οὕτω κατίσχυε τὸ δεινόν· πρωΐας δὲ οἱ Ῥωμαῖοι μετὰ μείζονος ὁρμῆς συνηθροίζοντο, πλείστους μεθ' ὅπλων προβεβλημένοι· ἀλλ' οἱ ἐκ βασιλέως λόγιμοι ἄνδρες αὐτοὺς ἀνέστειλαν, καὶ οἱ ἐκ Λατίνων φυλῆς κατασοφισάμενοι κατέσβεσαν τὴν ὁρμήν· τοὺς γὰρ ἐν τῷ χθὲς πολέμῳ τὸ ζῆν καταλύσαντας, μετὰ τὴν τῶν ἐπιβλημάτων ἀφαίρεσιν, καὶ τὴν τῶν γενείων καὶ τῶν τριχῶν κουρὰν ἐπιδείξαντες, καὶ ἐπ' αὐτοῖς πλαστῶς παθαινόμενοι, ὑπεδείκνυον τοῖς ἐκ βασιλέως, καὶ ἱκέτευον μὴ ἀνασχέσθαι δεύτερον ἐᾶσαι συρραγῆναι πόλεμον· οἱ δὲ πρὸς τὸν λαὸν ταῦτα λέγοντες, καὶ τοὺς τεθνεῶτας ὁρᾷν πείθοντες, ἴσχυσαν οὕτως μαλάξαι τὸ πλῆθος ἀποχωρῆσαι ἕκαστον εἰς τὸ ἴδιον ἐπιτήδευμα.

Βασιλεὺς δὲ δεύτερον τοῦτο στρατεύει κατὰ Μυσῶν· ἤκουσε γὰρ μηκέτι περὶ τὰ ὄρη καὶ τοὺς βουνοὺς ἐνδιατρίβειν αὐτούς, ἀλλὰ καὶ Σκύθας συλλαβόντας, καὶ αὐτὴν αὐλίζεσθαι Ἀγαθόπολιν, κακὰ δρῶντας μέγιστα. Συνήγοντο τοιγαροῦν τὰ Ῥωμαϊκὰ στρατεύματα, τοῦ βασιλέως ἐσκηνωμένου εἰς τὴν Ταυρόκωμον, οὐ πάνυ πόρρω τῆς Ἀδριανοῦ τοῦ χώρου τούτου κειμένου. Ἐπέταξε δὲ καὶ τὸν καίσαρα Κορράδον, μηδὲν μελήσαντα συνελθεῖν· ὁ δὲ τῇ ἐκ βασιλέως φιλοφροσύνῃ ἀπαρεσκόμενος, ὡς οὐκ ἀναλόγῳ τῷ γένει αὐτοῦ, καὶ τὰς ἐλπίδας, ἃς εἶχε μεγάλας, εἰς τὰ τοῦ καίσαρος καταληγούσας παράσημα,

καὶ ἄλλως δὲ κατὰ τὴν αὐτοῦ χώραν σταυροφορήσας, εἰς Παλαιστίνην ὁρμῆσαι κατασχεθεῖσαν ὑπὸ τῶν Σαρακηνῶν, κατένευσε μὲν τῇ βασιλικῇ προσταγῇ, ἀκούσας δὲ θεὸν βούλεσθαι κακοῦσθαι Ῥωμαίους ὑπὸ Μυσῶν, νῆα καταρτύσας τὴν ἐς Παλαιστίνην ἀπέπλευσε, καὶ τῇ Τύρῳ προσορμήσας, καὶ παρὰ τῶν ὁμογενῶν οἷά τις κρείττων ὀφθεὶς καὶ προσδεχθεὶς, δύναμις τοῖς Σαρακηνοῖς ἀντεφέρετο, Ἰόππην ἀνασωσάμενος, ἣ νῦν Ἄκε λέγεται, καὶ ἑτέρας πόλεις τοῖς ὁμοφύλοις. Ἀλλὰ μετ' οὐ πολὺ ἄλλοι τε τῶν ἐκεῖ γενναῖοι καὶ καλοὶ στρατηγοὶ ἀπώλοντο, καὶ αὐτὸς ἀναιρεῖται ὑπὸ Χασισίου· γένος δέ εἰσιν οἱ Χασίσιοι Ἀγαρηνοὶ, τοσαύτην τηρεῖν τῷ ἄρχοντι τούτων ὑπακοὴν λεγόμενον, ὡς κατὰ κρημνῶν καὶ ξιφῶν καὶ ὑδάτων ὠθεῖν ἑαυτοὺς, ἐκείνου κελεύσαντος· ἀμέλει καὶ οὓς ἂν ἐθέλωσιν ἐξ ἀνθρώπων θεῖναι οἱ τούτων ἄρχοντες, στέλλουσι τοὺς φονεύσοντας· οἱ δὲ, ὡς φίλοι προσιόντες, ἤ τι δέον εἰπεῖν ἔχοντες, ἢ ὡς πρέσβεις ἐξ ἐθνῶν ἥκειν πλαττόμενοι, ἀναιροῦσι τὸν πρὸς ὃν καὶ ἐστάλησαν, μηδέν τι πτοούμενοι, μηδ' ὅτι γνωσθέντες θάνατον τὴν ζημίαν ἕξουσιν.

Ἀλλ' ὁ μὲν βασιλεὺς περὶ τοὺς χιλίους ἐπιλεξάμενος, καὶ τούτοις ὅπλα καὶ ἵππους διδοὺς, ἀπὸ τῆς Ταυροκώμης κινήσας, ὥρμησεν ἐπὶ πόλεμον, τήν τε ἀποσκευὴν καὶ τὸ ὑπηρετικὸν ἅπαν προστάξας ἀφικέσθαι εἰς τὴν Ἀδριανούπολιν. Οἱ δὲ Μυσοὶ, ὡς οἱ τὰ κατ' αὐτοὺς ἔλεγον ἐρευνῶντες, τὰ περὶ τὸν Λαρδέαν κατέτρεχον, καὶ πλείστους μὲν ἐφόνευον, οὐκ ἐλάττους δὲ καὶ ζῶντας συνεῖχον· προσετίθουν δὲ οἱ κατάσκοποι, ὅτι καὶ πλοῦτον συναγαγόντες οἱ πολέμιοι ἱκανὸν, ὑποστρέφειν βουλεύονται. Ὀρθρίσας τοίνυν ὁ βασιλεὺς, καὶ τὸν ἵππον ἀναβὰς, ἠχούσης τῆς σάλπιγγος, ἐπορεύετο, καὶ κατὰ τὰς Βαστέρνας (τόπος δὲ καὶ οὗτος) γενόμενος, ἀνέπαυεν ἐκεῖσε τὴν στρατιὰν, τῶν πολεμίων μὴ ἐπιφαινομένων. Μετὰ δὲ τρεῖς ἡμέρας ἐκεῖθεν ἀπάρας, εὐθὺ Βερόης ἐβάδιζεν· ἀλλ' οὔπω πο-

λὺ τῆς ὁδοῦ διῆλθε, καὶ ἐφίσταταί τις ἀγγέλλων πλησίον που μετ' αἰχμαλωσίας τυγχάνειν τοὺς Μυσοὺς ὑποστρέφοντας, μηδένα προσδοκῶντας ἀντίμαχον. Διελὼν οὖν ὁ βασιλεὺς τὸν στρατὸν εἰς ἡγεμόνας, καὶ σχῆμα παρατάξεως θέμενος, ὥδευεν ἐκείνην καθ' ἣν τούτους ὁδοιπορεῖν ἐλέγετο. Ἐπεὶ δὲ τὰ στρατεύματα εἶδον ἀλλήλους, καὶ παρ' ἀμφοτέρων ἐθεάθησαν, οἱ μὲν Σκύθαι καὶ Βλάχοι τὴν λείαν παραδόντες τισὶν ἐξ αὐτῶν ἐκέλευσαν τὴν ἕως τῶν βουνῶν τρέχειν ὁδὸν, τὴν πορείαν ὡς δύναμις ἐπιτείνοντας· οἱ δ' ἄλλοι συστραφέντες ἐδέχοντο τοὺς κατ' αὐτῶν ὁρμῶντας Ῥωμαίους, κατὰ τὸ αὐτῶν ἔθος μαχόμενοι, βέλεσι βάλλοντες καὶ δόρασι πλήττοντες, μετὰ βραχὺ δὲ πρὸς φυγὴν τραπέντες, ἠρέθιζον τοὺς διώκοντας, καὶ πάλιν ὑποστρέφοντες γενναίως ἀνθίσταντο· καὶ τοῦτο πολλάκις πεποιηκότες τῶν Ῥωμαίων ἦσαν ἐπικρατέστεροι, καὶ τὰ ξίφη γυμνώσαντες, βοῶντες τοῖς Ῥωμαίοις ἐνέπεσον, καὶ ἔργα κατ' αὐτῶν εἰργάζοντο χείριστα. Καὶ τάχ' ἂν τότε οἱ Σκύθαι μέγα ἤραντο κλέος, εἰ μὴ ὁ βασιλεὺς ἐπεβοήθησε τὴν περὶ αὐτὸν ἔχων φάλαγγα μηδόλως ἀψαμένην πολέμου· καὶ ἦχουν αἱ σάλπιγγες, τά τε τῶν δρακόντων ἐξ ὑφασμάτων εἰκάσματα τοὺς πολεμίους κατέπληξαν, φαντασίαν παρασχόντα μείζονος στρατιᾶς.

Τότε μὲν οὖν ὁ βασιλεὺς βραχὺ τῆς αἰχμαλωσίας ἐλευθερώσας κατέλαβε τὴν Ἀδριανούπολιν, ἐάσας ἣν ὁδεῦσαι προέθετο· τῶν δὲ βαρβάρων οὐκ ἠρεμούντων, κατὰ Βερόην αὖθις ἐγένετο, τὰς ἐκδρομὰς αὐτῶν ἀναστέλλειν βουλόμενος. Οἱ δὲ τοὺς Ῥωμαίους ὑφορώμενοι, ὅμως ἐπιδρομὰς ἐποίουν, ὧδέ που ἐμβαλεῖν προσδοκώμενοι, ἀλλαχοῦ δὲ μεταβαίνοντες, καὶ κακὰ χείριστα ἐργαζόμενοι. Ἦν οὖν ὅτε ὁ βασιλεὺς κατ' αὐτῶν εἰς Ἀγαθόπολιν ἤλαυνεν, οἱ δὲ ἐδῄουν ὅσα τῇ Φιλιππουπόλει ἐγγίζοντα, κἀκείνου πρὸς ἄμυναν τοῦ πάσχοντος ἀπιόντος μέρους, οὗτοι αὖθις ἔτρεχον κατ' ἐκείνων ἀφ' ὧν ὁ βασιλεὺς ἀπανίστατο. Ταῦτα δὲ ἐποίει ὁ Ἀσὰν, ἱκανὸς ὢν πόρον καὐτοῖς ἀπόροις ἐπινοήσασθαι.

Ἠθέλησεν οὖν ὁ βασιλεὺς πάλιν εἰς τὴν Ζαγορὰν εἰσελθεῖν, ὅπως ἂν αὐτῷ γένηται τοὺς Μυσοὺς παραστήσασθαι. Καὶ δὴ τῆς Φιλιππουπόλεως ἀπάρας, εἰς Τριάδιτζαν παραγίνεται· ἐκεῖθεν γὰρ ἔμαθε τὴν εἰς τὸν Αἷμον ὁδὸν ῥᾳδίαν καὶ βάσιμον, καὶ τὰ πρὸς χρείαν εὐπόριστα εἶναι, εἰ κατὰ καιρόν τις
9. πορεύοιτο. Ὡς δὲ πρὸς χειμῶνα ἦν ὁ καιρὸς |, τὴν μὲν στρατιὰν ἐκεῖσε τὸν χειμῶνα διατελέσαι ἀφῆκεν, αὐτὸς δ' ὡς εἶχε, τὴν Κωνσταντινούπολιν κατέλαβεν, ἵππων ἁμίλλαις καὶ θεωρείοις διαχεόμενος.

Ἄρτι δ' ἀναφανέντος τοῦ ἔαρος ἔξεισι πάλιν κατὰ Μυσῶν ἔργα μεγάλα τελέσαι διασκοπούμενος· ὅλους οὖν μῆνας τρεῖς περὶ τὴν τοῦ φρουρίου, ὅ Λοβιτζὸς ὀνομάζεται, διανύσας κατάσχεσιν, ἀτελὲς τὸ ἐγχείρημα καταλιπὼν, εἰς τὰς Προποντίδος ἀναπαύσεις καὶ χωρία ἔβλεψεν. Εἶχε δὲ κατασχὼν ὁ βασιλεὺς τὴν τοῦ Ἀσὰν γυναῖκα, καὶ τὸν ἀδελφὸν αὐτοῦ Ἰωάννην εἰς ὅμηρον εἰληφώς· ἀλλὰ καὶ οὕτως ἐπὶ τὸ χεῖρον τὰ πράγματα ἔρρεπεν.

Ὁ δὲ ἀπὸ Φιλαδελφείας Θεόδωρος ὁ Μαγκαφᾶς ἐπιθέμενος τυραννίδι, πρῶτα μὲν τὸ τῆς πόλεως ταύτης ἀγελαῖον, πολύανδρον ὂν καὶ θρασὺ, ἑαυτῷ προσεκτήσατο, ὅρκοις τὴν εἰς αὐτὸν τούτων πίστιν κρατύνας· ὁδῷ δὲ προϊὼν, καὶ βασιλείας ὄνομα ἑαυτῷ περιέθετο, τοὺς ἐν Λυδίᾳ πάντας εἰς ἀποστασίαν παρακινήσας. Ἔπειτα καὶ τῶν ἔγγιστα ἀποπειρᾶται χωρῶν, καὶ ἀργύρεον ἔκοψε νόμισμα τὴν ἑαυτοῦ στήλην ἐγχαράξας αὐτῷ. Ὡς δὲ τὰ τῆς ἀποστασίας προέκοπτε, καὶ ὁ εἰς γέλων προκείμενος εἰς πληγὴν τοῦ βασιλέως μεθίστατο, μὴ μένειν ἐγνώκει, ἀλλὰ χωρεῖν κατ' αὐτοῦ. Καὶ δὴ κατὰ τὴν Φιλαδέλφειαν γεγονὼς, ὡς ἐν φρουρᾷ τοῦτον ἐκεῖ συνέσχεν, ὃς καὶ τὴν τοῦ Μωροθεοδώρου προσωνυμίαν ἐκτήσατο, ὡς τῶν κατὰ σκοπὸν ἐκπεσών· καὶ ἱκανὸν χρόνον ὁ βασιλεὺς τῇ πολιορκίᾳ ἐγκαρτερήσας, οὐκ ἴσχυσε τὴν πόλιν χειρώσασθαι· ὅθεν καὶ πρὸς συμ-

βάσεις ἐτράπετο, ὥστε τὸν μὲν Θεόδωρον τὰ τῆς βασιλείας ἀποθέσθαι παράσημα, καὶ καθ' ἑαυτὸν ὡς πρότερον πολιτεύεσθαι, τὸ δὲ τῆς πόλεως πλήρωμα ὡς καὶ πρότερον ὑπ' αὐτοῦ βασιλεύεσθαι. Καὶ ἐπὶ τούτοις ὅμηρα ἐκεῖθεν δεξάμενος, τοὺς παῖδας ὧνπερ ἐβούλετο, εἰς τὴν μεγαλόπολιν ἐπανέζευξεν. Οὐκ ὀλίγοι δὲ τῇ ἐπαναστάσει ταύτῃ ἀγαθοὶ ἄνδρες ἀπώλοντο.

Μετ' οὐ πολὺ δὲ ὁ Βατάτζης Βασίλειος, γένους μὲν ἀσήμου, διὰ δὲ τὸ εἰς γυναῖκα λαβεῖν τὴν τοῦ βασιλέως πρὸς πατρὸς ἐξανεψιὰν, δομέστικος τῆς Ἀνατολῆς τιμηθεὶς, καὶ δοὺξ τῶν Θρᾳκησίων καταστὰς, ἐπέφθειρε χρήμασι πολλοὺς τῶν τοῦ Μαγκαφᾶ ὁμοτῶν, καὶ αὐτὸν μὲν οὐκ ἔσχε συλλαβεῖν, φυγαδεύσας δὲ τῆς Φιλαδελφείας ἔδοξε μέγα τι δράσαι τῷ βασιλεῖ. Ἀλλ' ὁ μὲν Μαγκαφᾶς τῷ τοῦ Ἰκονίου προσχωρήσας σουλτάνῳ, ᾧ κλῆσις Καϊσχορόης, συμμαχικὸν μὲν αἰτήσας οὐκ ἔλαβεν, ἐνεδόθη δὲ αὐτῷ τοὺς βουλομένους τῶν Τούρκων προσέρχεσθαι ἀναδέχεσθαι. Συναγαγὼν οὖν πλείστους καὶ ἐπιών, τούς τε Φιλαδελφεῖς ἐς τὸν γεωργικὸν ὄχλον καὶ τὰ ὑποζύγια ἐλυμήνατο, καὶ τοὺς ἐν Λαοδικείᾳ, καὶ Φρύγας πάντας, πολυτρόπως ἐκάκωσεν, ὥσπερ καὶ τοὺς τῶν Χωνῶν οἰκήτορας, τοὺς ἅλωνας κατὰ τὸ θέρος πυρπολῶν, καὶ τὸ προστυχὸν ὡς πολέμιος ἀφανίζων· ἐμβαλὼν δὲ καὶ τῇ Καρίᾳ πολλοὺς τῶν ἐκεῖ τοῖς βαρβάροις ἐξέδωκεν εἰς ἀπαγωγήν. Ἀλλὰ καὶ τὸν νεὼν τοῦ Ἀρχιστρατήγου τὸν ἐν Χώναις ὁ ἀνόσιος ἀφῆκεν ἐμπρῆσαι, ἔργον μέγιστον ὄντα καὶ ὑπερβαίνοντα ἐς κάλλος καὶ μέγεθος τὸ ἐν Κωνσταντινουπόλει τέμενος τοῦ μεγαλομάρτυρος Μωκίου. Ὡς δέ ποτε πρὸς τὸν σουλτάνον ὑπέστρεψε, καὶ ἤκουσε βασιλέα εἰς οὐ καλὰς ἐννοίας καὶ πράξεις τὸν σουλτάνον ἐνάγειν, πέμψας πρέσβεις καὶ χρήματα παρασχὼν τῷ σουλτάνῳ, ἴσχυσε καταπροδοθέντα τὸν Μαγκαφᾶν κατασχεῖν, πλὴν μεθ' ὁμολογίας, ὥστε μήτε θάνατον αὐτῷ κεῖσθαι τῆς ἀποστασίας ἐπιτίμιον, ἤ τινα λώβην τοῦ σώματος· οὗ χάριν καὶ ἀ-

παθὴς διαφυλαχθεὶς, δεσμὰ χρόνια καὶ κάθειρξιν κατεκρίθη. Τοσοῦτον δὲ τὸ τοῦ σουλτάνου ἔργον ἀπαίσιον τοῖς ἀδελφοῖς αὐτοῦ ἐλογίσθη, οἳ τὴν πατρῴαν ἀρχὴν συνδιείλοντο, ὅτι καὶ μάχην κατ' αὐτοῦ κινῆσαι ὥρμησαν |, ἄνθρωπον ἑκουσίως προσφυγόντα καταπροδόντος· ἀπελογήσατο δὲ, ὅτι ἐπὶ συμβάσεσι καὶ πλάνητα ὄντα ἐς τὴν πατρίδα ἐπανήγαγε. Καὶ ταῦτα μὲν εἶχεν οὕτως.

Τότε καὶ ὁ τῶν Ἀλαμανῶν ῥὴξ ὑπερόριον κακὸν εἰσεκώμασε Φρεδερῖχος, ὡς μὴ ἀρκούντων (sic) τῶν καθ' ἡμᾶς ἐπηρειῶν, εἰς ἡμετέραν μαστίγωσιν· πρὸς γὰρ τὸν βασιλέα διαπρεσβευσάμενος Ἰσαάκιον, ὡς φίλος ᾐτεῖτο διὰ τῆς Ῥωμαίων γῆς παρελθεῖν αὐτός τε καὶ ὅσοι αὐτῷ ἕπονται, ἀπερχόμενοι εἰς τὴν Παλαιστίνην, καὶ τὰ πρὸς τὸ ζῆν ὠνεῖσθαι. Στέλλεται τοίνυν πρὸς αὐτὸν ὁ τοῦ δρόμου λογοθέτης Ἰωάννης ὁ Δούκας, καὶ πίστεις δοὺς καὶ λαβὼν, ὡς τὴν ὑπὸ Ῥωμαίους ὁ ῥὴξ διελεύσεται μηδέν τι δράσας κακὸν, Ῥωμαῖοι δὲ τὰ ἐπιτήδεια χορηγήσουσιν ἄφθονα οἷς τε ἄνθρωποι τρέφονται καὶ ἵπποι, μετὰ καιρὸν ἐκεῖθεν ἐπάνεισιν. Καὶ βασιλεὺς τῆς συναγωγῆς τῶν ὠνίων φροντίδα τίθησι· καὶ ἦν ὑπὸ τῶν ἐπαρχεωτῶν μετακομιζόμενα καθ' οὓς ἔμελλε τόπους ὁ ῥὴξ διέρχεσθαι. Ὡς δὲ καὶ γράμματα ἦλθε πρὸς βασιλέα μετ' ἀνδρῶν μεγάλων κατὰ γένος τε καὶ ἀξίαν, τὴν ἐπιδημίαν τοῦ ῥηγὸς δηλοῦντα ἐν τοῖς ὁρίοις Ῥωμαίων, αὐτὸς πάλιν ὁ λογοθέτης στέλλεται ἑτοιμάσαι τὴν δίοδον τοῦ ῥηγὸς, καὶ ὁ Καντακουζηνὸς Ἀνδρόνικος. Ἀλλ' οὗτοι μὴ καλῶς μετελθόντες τὸ ἀνατεθὲν αὐτοῖς ἔργον, αὐτόν τε τὸν ῥῆγα κατὰ τοῦ βασιλέως ἐξέμηναν, καὶ τὸν βασιλέα ὡς πολέμιον αὐτὸν ὑφορᾶσθαι παρέπεισαν. Ὅθεν οἵ τε ὅρκοι ἠθετήθησαν, καὶ ἡ τῶν διατροφῶν χορηγία ἤργησεν.

Ἀμέλει καὶ ὁ ῥὴξ μὲν ἐκδρομὰς ποιούμενος τὰ πρὸς τὸ ζῆν ἐπορίζετο, ὁ δὲ βασιλεὺς οὐ συνεχώρει τοὺς ἐκείνου πρέσβεις ὑποστρέψαι πρὸς τὸν ἀποστείλαντα, ἀλλὰ καὶ τὰς καθ' ὁδὸν δυσχωρίας ἀπέκλειεν, ἐκτομῇ δένδρων καὶ καταβολῇ τὰς

διόδους κατατασκευάζων εἰς ἄβατον· ἀλλὰ καὶ τὸν ἐξάδελφον αὐτοῦ Μιχαὴλ τὸν Καμμύτζην τὸν πρωτοστράτορα, καὶ τὸν τῆς Δύσεως δομέστικον Ἀλέξιον τὸν Γίδον παρέπεσθαι μετὰ στρατευμάτων ἐπέταξε, καὶ λεληθότως ἐπιτίθεσθαι τοῖς εἰς τροφῶν συλλογὴν ἐξιοῦσι Ἀλαμανοῖς. Ἀλλ' αὐτὸς μὲν ὁ ῥὴξ δι ἄλλης ὁδοῦ ἐπορεύθη καὶ ἦλθεν εἰς Φιλιππούπολιν, τὰ ἐν ταῖς δυσχωρίαις ἐμπόδια παρωσάμενος, ἐν αὐτῇ δὲ ηὐλίζετο βαλὼν χάρακα· τὴν δὲ Φιλιππούπολιν εἰσιών, τῶν κρειττόνων οἰκητόρων εὗρε κενήν, τῶν πτωχῶν μόνον καὶ Ἀρμενίων ἐν αὐτῇ καταλειφθέντων, οἷς καὶ φίλων παρουσία, ἀλλ' οὐκ ἐπιδρομὴ ἐθνῶν ἡ τῶν Ἀλαμανῶν πάροδος ἐλογίζετο, (ἐπεὶ καὶ συγχρῶνται Ἀρμενίοις Ἀλαμανοί). Πλὴν καὶ τῆς Φιλιππουπόλεως γενόμενος ὁ ῥὴξ ἐγκρατής, οὐκ ἐπαύσατο γράφων καὶ διαμηνυόμενος τῷ πρωτοστράτορι, ὡς μάτην αὐτὸν τῆς πορείας Ῥωμαῖοι κωλύουσιν· οὔτε γὰρ νῦν, οὔτε πρότερον κατὰ Ῥωμαίων βεβούλευται, τοὺς ὅρκους δὲ φυλάττειν ἀπαραβάτους. Ὁ δὲ πρωτοστράτωρ δῆλα τιθεὶς τὰ γραφόμενα, οὐδέποτε εἶχε τὸν βασιλέα τὰ πρὸς εἰρήνην ἀντεπιστέλλοντα, ἀλλὰ μᾶλλον εἰς συμπλοκὴν τὴν μετὰ τοῦ ῥηγὸς παροτρύνοντα, καὶ ὡς ἀγεννῆ τὸ φρόνημα κατωνείδιζεν, ὅτι μὴ ἤκουσε τὴν νίκην Ἀλαμανῶν. Ταῦτα δὲ γράφων ἦν ἐν τῷ δοξάζειν μὴ Παλαιστίνην καταλαβεῖν ἐθέλειν τὸν ῥῆγα, ἀλλὰ τῆς βασιλίδος τῶν πόλεων τρέφειν ἔφεσιν, καὶ μέλλειν διὰ τῆς λεγομένης Ξυλοκέρκου πύλης ἔνδον γενέσθαι τῆς Πόλεως, καὶ δρᾶσαι τὰ ἀπευκτέα, καὶ παθεῖν αὖθις τὰ ὅμοια. Τοιαύταις προληφθεὶς ἐννοίαις ὁ βασιλεὺς τήν τε Ξυλόκερκον ἀποφράσσει, καὶ βέλη φέρων ἐν ταῖς χερσίν, ἔφασκε, κατὰ καρδίας πῆξαι αὐτὰ τῶν Ἀλαμανῶν, καὶ ἀπὸ τῶν ἐν Βλαχέρναις βασιλείων ἔλεγεν ἀφιέναι βέλη καὶ ἐν τῷ Φιλοπατίῳ καταβάλλειν Ἀλαμανούς· ὥστε καὶ διὰ ταῦτα ἐν γέλωτι ἦν τοῖς ἀκούουσι.

Μοναχός δέ τις ἐν τῇ τοῦ Στουδίου μονῇ ἀσκούμενος, ἐκ

Βενετίκων ἕλκων τὸ γένος πατρὸς Βιτικλίνου λεγομένου, συνήθης ἐτύγχανεν Ἰσαακίῳ πρὸ τῆς ἀρχῆς, ὃς καὶ προεῖπεν αὐτῷ περὶ τῆς ἀρχῆς· ὡς δὲ πέρας εἰλήφει τὰ τῆς προρρήσεως, | διὰ τιμῆς ἤγετο τῷ βασιλεῖ Ἰσαακίῳ, καὶ μεγάλα παρὰ τούτῳ δεδύνητο. Καταλύσαντος δὲ τὴν ζωὴν τοῦ τότε πατριάρχου Ἱεροσολύμων Λέοντος, οὗτος Ἱεροσολύμων καθίσταται. Ἐπεὶ δὲ τὸν Καματηρὸν Βασίλειον τοῦ πατριαρχικοῦ θρόνου κατήγαγεν, αἰτίαν προσάψας ὅτι ἃς ὁ Ἀνδρόνικος τῶν εὐγενῶν γυναικῶν βίᾳ ἀπέκειρε, ταύταις οὗτος ἐνέδωκε τὸ μέλαν ἀποδύσασθαι ἄμφιον, προβάλλεται ἀντ' αὐτοῦ πατριάρχην Νικήταν τὸν Μουντάνην, σακελλάριον ὄντα τῆς ἐκκλησίας. Ἀλλ' οὐδὲ τὸν γηραιὸν τοῦτον εἴασεν ἐναποθανεῖν τῷ θρόνῳ· ἀφέλειαν δὲ καὶ γῆρας ἐπεγκαλέσας καὶ ἄκοντα ἐξωθεῖ, καὶ καθίστησι πατριάρχην Λεόντιόν τινα μοναχὸν, διομνύμενος ἐπὶ βασιλικοῦ βήματος ὡς οὐκ ᾔδει τὸν ἄνδρα, νυκτὸς δὲ ἡ Θεομήτωρ τοῦτον αὐτῷ καθυπέδειξε, τό τε εἶδος καὶ τὴν ἀρετὴν ὑπογράψασα καὶ τὸν τόπον καθ' ὃν εἶχε τὴν οἴκησιν. Ἀλλ' οὔπω ἐνιαυτὸς, καὶ καταστρέφει καὶ τὸν θεοτοκίτην τοῦτον τοῦ ὕψους τοῦ πατριαρχικοῦ. Ἔγνω γοῦν τὸν Ἱεροσολύμων Δοσίθεον μεταθεῖναι εἰς τὴν ἐκκλησίαν τῆς Κωνσταντινουπόλεως, καὶ μέτεισιν ὑπούλως τὸν Ἀντιοχείας Θεόδωρον τὸν Βαλσαμὼν, ὑπὲρ τοὺς τότε πάντας ὄντα νομοτριβῆ, καὶ κατὰ μόνας αὐτῷ συγγενόμενος ὑποκρίνεται τὸν λυπούμενον, ὡς μὴ εὑρίσκων εἰς πατριαρχίαν τῆς Πόλεως μήτ' ἐκ τῶν τοῦ κλήρου, μήτε τῶν μοναχῶν τινα, τὸν καλῶς διϊθυνοῦντα τὸ τῶν πιστῶν πλήρωμα, καὶ βούλεσθαι πάλαι μὲν μετενεγκεῖν αὐτὸν ἐκ τῆς τῶν Ἀντιοχέων εἰς τὴν οἰκουμενικὴν περιωπὴν, ὑφορᾶσθαι δὲ τὴν μετάθεσιν· εἰ δ' αὐτὸς ἕξει, ὡς νόμους καὶ κανόνας ἀκριβωσάμενος, ἀποδεῖξαι χώραν ἔχειν ὡς ποτὲ καὶ νῦν τὴν μετάθεσιν, πληρώσας ἔσται τὸ ἐφετόν. Οὕτω μετῆλθε τὸν Ἀντιοχείας· ὁ δ' ἐν τέλει (γρ. ἐκτελῆ) δοῦναι τὰ αἰτηθέντα κατέθετο.

Σύνοδοι οὖν καὶ σύλλογοι τῇ ἑξῆς, καὶ συζήτησις περὶ μεταθέσεως, καὶ ἐκχώρησις, καὶ τόμος ἐπὶ βασιλικοῦ συμπληρούμενος βήματος, καὶ ὁ Θεοδόσιος (γρ. Δοσίθεος) ἀπὸ τοῦ τῶν Ἱεροσολύμων θρόνου εἰς τὸν τῆς Κωνσταντινουπόλεως ἀναγόμενος, καὶ ἡ προπομπὴ λαμπροτάτη, ὡς καὶ βασιλικῷ θριάμβῳ εἰκάζεσθαι. Οἱ δὲ παραλογισθέντες, ὅσοι τε τῶν ἀρχιερέων καὶ ὅσοι τοῦ βήματος, μὴ φέροντες ἐνεγκεῖν τὸν γέλωτα, παρασυναγωγὰς ἐποίουν, καὶ ἐπιβάτης ἀκούει Δοσίθεος καὶ στερεῖται τῆς δευτέρας τιμῆς, καὶ τοῦ θρόνου κατάγεται. Ὁ δὲ βασιλεὺς μὴ ἀνεχόμενος, ἔσπευδε κρατεῖν τὴν κυρωθεῖσαν μετάθεσιν, καὶ ἀναλύσας τὰ ἐπιγενόμενα, ἐστήριξε τὸν Δοσίθεον· ὅτε καὶ διὰ πελεκυφόρων καὶ τῶν τοῦ παλατίου ἐκκρίτων ἔπεμψεν αὐτὸν εἰς τὸ πατριαρχεῖον, δεδιὼς τὴν τοῦ πλήθους ὁρμήν. Ἦν γὰρ τοῖς πᾶσιν ὁ Δοσίθεος διὰ μίσους, ὡς τὸν θρόνον φιλῶν. Ἀλλὰ καὶ πάλιν ἀπωθεῖται τοῦ θρόνου, καὶ προχειρίζεται πατριάρχης ὁ μέγας σκευοφύλαξ ὁ Ξιφιλῖνος Γεώργιος.

Ὁ δὲ πρωτοστράτωρ κατὰ τὴν βασιλικὴν κέλευσιν, παρέβλεπε μὲν ὅσα πρὸς αὐτὸν ὁ ῥὴξ ἔγραφεν, ἅπαξ δ' ἐγίνετο τοῦ δρᾶσαί τι κακὸν τοὺς Ἀλαμανούς, ἐξερχομένους εἰς τὴν τῶν χρειωδῶν συλλογήν· καὶ δήποτε περὶ τοὺς χιλίους ἀπολεξάμενος ἠθέλησε πλησίον που Φιλιππουπόλεως προσεχθῆναι νυκτὸς, καὶ τῶν ἐκεῖ βουνῶν ὑποκαθίσαι ἔνεδρον καὶ τοῖς σιτοφόροις ἐπιθέσθαι κατ' ὄρθρον. Καὶ αὐτὸς μὲν οὕτως ἐποίει· τοὺς δὲ λοιποὺς καὶ τὰ σκευοφόρα ἐκεῖθεν μεταβῆναι ἐπέταξεν. Οὔπω δὲ ἡμέρα ἦν, καὶ οἱ Ἀλαμανοὶ μαθόντες παρὰ τῶν εἰς τὸν Προυσηνὸν Ἀρμενίων (ἐκεῖ γὰρ ἡ βασιλικὴ διανεπαύετο στρατιὰ) ὅσα τῷ πρωτοστράτορι πρὸς βουλῆς, κατὰ τὴν αὐτὴν νύκτα ὑπὲρ τὰς πέντε χιλιάδας τῆς Φιλίππου ἐξάραντες ὡπλισμένοι, ἐπιθέσθαι τῷ πρωτοστράτορι ἔσπευδον, λαθόντες οὓς εἶχε κατασκόπους καὶ φύλακας, μηδὲ αὐτῷ συναντήσαντες, ἐπειδὴ οὗτος τοῖς ὄρεσιν ἦν ἐμφιλοχωρῶν κλέπτων τὸ

θεαθῆναι· οἱ δ' Ἀλαμανοὶ πεποιθότως ἐβάδιζον τὴν διὰ λείας εἰς τὸ στρατόπεδον φέρουσαν. Ὡς δ' οὐδένα εὗρον ἀντίμαχον, ἀλλὰ τὴν μὲν ἀποσκευὴν τοῦ στρατεύματος χθὲς ἐκεῖθεν ἤκουσαν ἀπάραι, ὅσον δὲ τοῦ στρατοῦ κράτιστον ἀπελθεῖν κατὰ τῶν εἰς συλλογὴν τῶν ἐν χρείᾳ, ἀναστρέψαντες τούτους ἐ-
0· ζήτουν |. Οὐκοῦν οἱ μὲν τὸν λόφον ὑποκαταβαίνοντες τὸν περὶ τὸν Προυσηνὸν, οἱ δὲ Ῥωμαῖοι ἀνιόντες, προσέμιξαν ἀλλήλοις, καὶ συμπλακέντες ἐμάχοντο· καὶ οἱ μὲν Ἀλανοὶ ἐξηγούμενον ἔχοντες τὸν τοῦ Βρανᾶ Ἀλεξίου υἱὸν τὸν Θεόδωρον μικροῦ πάντες ἔπεσον· οἱ δὲ Ῥωμαῖοι τραπέντες, ἀκλεῶς ἔφευγον· καὶ ὁ πρωτοστράτωρ δι' ἄλλης ὁδοῦ ἀνεχώρησε, φθάσας εἰς τὸ ἁλῶναι μικροῦ παρὰ τῶν Ἀλαμανῶν· πολλοὶ δὲ ὅπλων καὶ ἵππων ἄνευ εἰς τὸ στρατόπεδον ἐπανήλθοσαν, πεσόντων τῶν ἵππων αὐτῶν ἐν τῇ τοῦ φεύγειν τροπῇ.

Τὸ δ' ἀπὸ τοῦδε Ἀλαμανοί τε καὶ Ῥωμαῖοι ἀλλήλων διΐσταντο· οἱ μὲν γὰρ περὶ τὴν Φιλίππου προσέμενον, οἱ δὲ Ῥωμαῖοι τὰ ἔσχατα εἰς διατριβὴν ἐποιοῦντο τῆς Ἀχριδοῦ. Ταῦτα τὸν βασιλέα ἀκούσαντα ἐνδοῦναι ἀνέπεισαν τοῦ κατὰ τῶν Ἀλαμανῶν φέρεσθαι, καὶ μάλιστα ὅτι ἔλεγον οἱ Ἀλαμανοὶ, διὰ τὸ σπείσασθαι τὸν βασιλέα μετὰ τῶν Σαρακηνῶν τοὺς πρὸς αὐτοὺς παραβλέψασθαι ὅρκους· Ἀμέλει τὴν ἐναντίαν τραπόμενος, ἐγλίχετο τῆς εἰς Ἀνατολὴν τοῦ ῥηγὸς περαιώσεως· ὁρῶν δὲ αὐτὸν εἰς ἔαρ τὴν μετάβασιν ὑπερτιθέμενον (νοέμβριος γὰρ ἦν μὴν ὅτε ταῦτα ἐγίνετο), πάλιν τοῖς προτέροις ἐνέμενε, γράφων καὶ ἐπιστέλλων τῷ ῥηγὶ ἃ οὐκ ἐχρῆν. Ἀλλ' ἵνα τὰ πολλὰ παραλείψω, μόλις πείθεται τοὺς πρέσβεις ἐᾶσαι πρὸς τὸν ῥῆγα ἐπανελθεῖν· αὐτὸς δὲ τούτους ἰδὼν, καὶ μαθὼν ὡς οὔτε καθέδρας αὐτοῖς μετέδωκεν, οὔτέ τινος ἠξίωσεν ἀγαθοῦ, ἐπισκόπους τε ὄντας καὶ αὐτῷ προσγενεῖς, ἠγανάκτει. Ὡς δὲ καὶ πρέσβεις Ῥωμαίων παρ' ἐκεῖνον ἀφίκοντο, ἑαυτῷ συμπαρέδρους τούτους ἐποίησε καὶ τοὺς ὑπηρετοῦντας αὐτοῖς· μὴ εἶναι δ' ἐκεί-

νων λεγόντων εἰκὸς συγκαθεσθῆναι μεγίστῳ ῥηγί, ἀρκετὸν γὰρ ὅτι οἱ κύριοι τούτων αὐτῷ συγκάθηνται, οὐκ ἐνέδωκε τοῦ σκοποῦ, ἀλλὰ καὶ μὴ βουλομένους τοῖς δεσπόταις αὐτοὺς συγκατέκλινεν.

Οὐ πολλοῦ δὲ διαγενομένου καιροῦ, ἠνάγκασεν αὐτὸν ἡ τῶν χρειωδῶν ἔνδεια μερίσαι τὸ στράτευμα· οὐκοῦν αὐτὸς μὲν ἄπεισιν εἰς Ὀρεστιάδα, κατὰ δὲ τὴν Φιλιππούπολιν εἴασε τὸν αὐτοῦ υἱὸν καὶ τοὺς ἐπισκόπους μεθ' ἱκανοῦ τοῦ στρατοῦ, εἰπών, ὡς ἀναπαύσασθαι ὑμᾶς χρὴ κεκοπιακότας ἐκ τοῦ παρίστασθαι τῷ βασιλεῖ τῶν Γραικῶν.

Ἐπεὶ δὲ ὁ χειμὼν παρῆλθεν, ἀνανεοῦνται τοὺς ὅρκους ὅ τε βασιλεὺς καὶ ὁ ῥήξ· καὶ τοῦ μὲν ὤμοσαν οἱ τοπάρχαι καὶ μεγιστᾶνες, βασιλεὺς δὲ δέδωκεν ὁμήρους τινὰς τῶν ἐξ αἵματος. Ἔθεντο δὲ ὅρκους ἔνδον τοῦ Μεγίστου νεὼ ἀπό τε τῶν ἀγοραίων καὶ τῆς βασιλείου αὐλῆς πεντακόσιοι, ὡς βασιλεὺς ἀπαραβάτους τὰς συνθήκας φυλάξει, καὶ χορηγήσει τοῖς Ἀλαμανοῖς ἡγεμόνας ὁδοῦ καὶ ἐφόδια. Ὅτε καὶ τῶν κριτῶν τοῦ βήλου τινὲς εἰς τὸν ῥῆγα ὡς ὅμηροι ἀποστελλόμενοι οὐχ ὑπήκουσαν, καὶ ἐκρύβησάν που ἐν ἀφανέσιν ἕως τῆς τοῦ ῥηγὸς διαβάσεως· βασιλεὺς δὲ χολωθεὶς ταβελλίονας ἀπέστειλεν ὄψιδας, τὰς δὲ τῶν μὴ πεισθέντων ἀπελθεῖν κριτῶν κτήσεις καὶ οἰκήσεις οἷς ἤθελε παρέσχε, καὶ δικαστὰς ἑτέρους κατέστησεν, ὕστερον δέ, διὰ δειλίαν, ἀλλ' οὐκ ἀπείθειαν ἐπιγνοὺς τὸ πραχθὲν γεγονέναι, τῶν τε κτήσεων καὶ τῶν τιμῶν τοὺς ἄνδρας ἠξίωσε. Τῶν δὲ συμφωνιῶν πέρας λαβόντων (sic), ὁ μὲν βασιλεὺς τῷ ῥηγὶ ἀργυρέων νομισμάτων στέλλει κεντηνάρια τέσσαρα, καὶ περιφανῆ χρυσοϋφῆ νήματα, κἀκεῖνος ἄλλοις δωρήμασιν ἀντιδεξιοῦται τὸν βασιλέα.

Κἀντεῦθεν πλοίων πλείστων ἑτοιμασθέντων εἰς Καλλιούπολιν, ἐπεὶ καὶ τοῦτο ἀλλήλοις συνέδοξεν, ὥστε μὴ πολλαῖς ἀποπλοίαις διαπεραιωθῆναι τὸ πᾶν τοῦ στρατεύματος, οὕτως ἡμέραις οὐ πλείοσι τῶν τεσσάρων κατὰ τὴν Ἕω γίνεται. Ὡς

δ' ἤγγισε κατὰ τὴν Φιλαδέλφειαν, οἱ ταύτης οἰκήτορες ἐν τῷ ἀπαίρειν τὸν ῥῆγα ἐκεῖθεν ἤθελον πολεμεῖν, καὶ μέρει τῆς στρατιᾶς κατὰ λῃστείαν ἐπέθεντο· ὡς δ' οὐ προέκοπτε τὸ ἔργον αὐτοῖς, μετέθεντο τὴν ὁρμὴν εἰς τροπήν.

Οἱ δὲ Ἀλαμανοὶ διὰ τοῦ Ἀετοῦ παρελθόντες κατέλυσαν εἰς τὴν Λαοδίκειαν, καὶ ξεναγωγηθέντες καὶ φιλοφρονηθέντες 1. ὡς οὐχ ἑτέρωθι |, πάντες μὲν τοῖς Λαοδικεῦσι θεόθεν ἐπηύξαντο ἀγαθά, ὁ δὲ ῥὴξ καὶ μάλιστα· ἀνατείνας γὰρ τὰς χεῖρας εἰς οὐρανὸν καὶ τὰ ὄμματα, τὸ δὲ γόνυ κάμψας εἰς γῆν πᾶν εἴ τι βιωφελὲς καὶ ψυχῶν σωτήριον ἐπικαταπτῆναι τούτοις ἐκ τοῦ πατρὸς τῶν φώτων ἱκέτευσεν, ἐπειπὼν, ὡς εἰ χριστιανοὺς τοιούτους εἶχεν ἡ Ρωμαίων, πάλαι τὰ ὅρια Ρωμαίων παρήλθοσαν, μηδὲν τοῖς Ρωμαίοις ἐπενεγκόντες δεινόν. Ἁψάμενοι δὲ τῆς ἄνω πορείας οὐδὲ τοὺς Τούρκους εὕρισκον φιλίως διατιθεμένους αὐτοῖς· ἀλλὰ τὴν φανερὰν μάχην ἐκκλίνοντες καὶ οὗτοι κρυφίως ἐλῄστευον καθ' ὅσον ἠδύναντο, καὶ ταῦτα Ρωμαίοις ἐπίσης συνθέμενοι, ἀμάχως διὰ τῆς χώρας αὐτῶν παρελθεῖν καὶ πάντα χορηγήσειν καθ' ὁδὸν ὁπόσων χρῄζουσι. Καὶ ἦν ἂν αὐτοῖς κρεῖττον, εἰ τὰς συνθήκας συνετήρησαν· ἐφ' ᾧ καὶ περὶ τὸ Φιλομήλιον ὁ ῥὴξ πόλεμον συγκροτήσας μετὰ τῶν παίδων τοῦ Ἰκονιέως σουλτάνου, (οἵτινες αὐτὸν τοῦ ἄρχειν καὶ βασιλεύειν παρέλυσαν, καὶ τοῦ Ἰκονίου ἀπώσαντο, εἰς ἄκραν δυστυχίαν τὴν προτέραν αὐτοῦ εὐκληρίαν μεταθέμενοι), αὐτούς τε ῥᾷστα ἐτρέψατο, καὶ τὸ Φιλομίλιον πολιορκήσας ἐνέπρησεν. Ἀλλὰ καὶ κατὰ τὸ Γιγκλάριον συμβαλὼν, τὴν νίκην ἤρατο· ὅτε οἱ μὲν Τοῦρκοι τὰς τῆς ὁδοῦ καταλαβόντες κλεισούρας ἐτήρουν τὴν τῶν Ἀλαμανῶν ἄφιξιν· ὁ δὲ ῥὴξ τὸν δόλον γνοὺς, ἐπὶ τῆς πεδιάδος στρατοπεδεύει· νυκτὸς δὲ τὸ οἰκεῖον στράτευμα εἰς μοίρας διελὼν δύο, τῶν μὲν ταῖς σκηναῖς προσμένειν ἐπέταξε, τὴν δὲ λοιπὴν ἅμα ἡμέρᾳ εἰς ἀπόδρασιν ἑτοιμάζεσθαι ἄλλης ἁπτομένην ὁδοῦ. Οἱ δὲ Πέρσαι τὸ γινό-

μενον ἀγνοήσαντες, ἀπανίστανται τῶν δυσχωριῶν, καὶ κατὰ τὸ πεδίον γενόμενοι, εἰσέδυσαν τὸν χάρακα τῶν Ἀλαμανῶν, ὡς πολλῶν καὶ καλῶν ἀγαθῶν γενησόμενοι κύριοι, ἐπεὶ καὶ φιλοκερδὴς ἅπας βάρβαρος. Ὡς δὲ οἵ τε δοκοῦντες φεύγειν Ἀλαμανοὶ ὑπέστρεψαν, καὶ οἱ ἐν ταῖς σκηναῖς ἐμάχοντο, κυκλωθέντες οἱ Πέρσαι ἀπεσφάττοντο ἀφειδῶς.

Ἔδοξεν οὖν ὁ ῥὴξ φοβερὸς ἀπὸ τῶν δύο τούτων πολέμων· ἀλλὰ καὶ κατ' αὐτὸ τὸ Ἰκόνιον τοῖς αὐτοῖς δεινοῖς τοὺς Τούρκους περιέβαλεν· αὐτὸς μὲν γὰρ ὁ σουλτάνος εἰς τὰ Τάξαρα, ἀποδρὰς, ἀπελογεῖτο μηδὲν εἰδέναι ὧν οἱ υἱοὶ αὐτοῦ διεπράξαντο, ὅτι καὶ τῆς ἀρχῆς ἐφ' ἑνὸς αὐτῶν, τοῦ Κοτπατίνου, ἐξεβλήθη. Οἱ δὲ Τοῦρκοι τοὺς τῶν κήπων εἰσιόντες φραγμοὺς, οἵ πολλοὶ εἰσι περὶ τὸ Ἰκόνιον, καὶ τοὺς ἐκ λίθων περιβόλους εἰσιόντες, ἤθελον κωλύσειν τῆς εἰς τὸ Ἰκόνιον παρόδου τοὺς Ἀλαμανούς· ἀλλ' εἰς κενὸν αὐτοῖς καὶ τοῦτο τὸ διαβούλιον· οἱ γὰρ Ἀλαμανοὶ ἱππεῖς ἕκαστος πεζὸν ὁπλίτην ἀναλαβὼν, ἄνωθεν τῶν περιβόλων ἔθεντο, ἔνθα ἦσαν οἱ Πέρσαι, καὶ συμπλέκεσθαι αὐτοῖς ἐπέταττον· ἐβοήθουν δὲ καὶ αὐτοί· καὶ κακοὶ τότε κακῶς οἱ πλείους ἀπώλοντο τῶν Περσῶν, οἱ δὲ διασπαρέντες ἐσώθησαν. Ἔλεγε δέ τις Πέρσης τῷ πολέμῳ τούτῳ παρατυχὼν, καὶ προσελθὼν βασιλεῖ, διακοσίους ἀργυρέους καταβαλέσθαι στατῆρας εἰς ἐκκόμισιν τῶν νεκρῶν οἵ κατὰ τὸν κῆπον αὐτοῦ ἐσφάγησαν. Τὸ δὲ Ἰκόνιον κατασχόντες οἱ Ἀλαμανοὶ, τούτου μὲν ἐντὸς οὐκ εἰσῆλθον, κατὰ δὲ τὴν Ἔξω λεγομένην πύλην ἄνω τῶν δωμάτων πηξάμενοι τὰς σκηνὰς ἐνηυλίσαντο, καὶ μηδὲν ἕτερον εἰ μὴ τὰ πρὸς τὸ ζῆν ἐπιτήδεια ἐκεῖθεν λαβόντες, τοῦ πρόσω εἴχοντο.

Τότε λέγεται Ἀλαμανόν τινα πελώριον τὸ σῶμα καὶ τὴν ἰσχὺν ἀπρόσμαχον τῶν ὁμοφύλων ἀπολειφθῆναι, καὶ ποσὶ τὴν ὁδὸν ἀνύειν, τόν τε ἵππον καμόντα τοῦ χαλινοῦ ἐφέλκοντα, τῶν δὲ Περσῶν ἀθροισθῆναι περὶ αὐτὸν ὑπὲρ τοὺς πεντήκον-

τα· οἱ μὲν οὖν περικυκλώσαντες τοῦτον ἐτόξευον, ὁ δὲ τῷ εὐρεῖ σάκει σκεπόμενος, τοῖς ὅπλοις θαρρῶν, γεγηθὼς ἐπορεύετο· ὡς δ' ἐκείνων εἷς ἀπέθετο μὲν τὸ τόξον, σπάθην δὲ χειρισάμενος, καὶ τὸν ἵππον εἰς δρόμον ἐλάσας πλησίον ἤθελε μάχεσθαι, αὐτὸς μὲν ὡς ἀνδριάντα χάλκεον ἔπαιε τὸν Ἀλαμανόν· ὁ δὲ, τὸ ξίφος σπασάμενος πλήττει τὸν ἵππον περὶ τοὺς πόδας καὶ ἀμφοτέρους ἀποδιεῖλε τοὺς ἔμπροσθεν, καὶ τοῦ ἵππου ἐπὶ γόνυ κλιθέντος, ἔτι τοῦ ἀναβάτου ἐποχουμένου, ἐκτείνας ὁ Ἀλαμανὸς τὸν βραχίονα παίει τὸν Πέρσην κατὰ μέσην τὴν κορυφὴν, καὶ διαιρεῖ εἰς δύω, ὡς καὶ τὸν ἵππον ἐς 1*. τὸν νῶτον πληγῆναι |· τοὺς δὲ λοιποὺς πρὸς τὴν θέαν καταπλαγέντας, μηκέτι ἀποθαρρῆσαι πλησιάσαι, ἀλλὰ φεύγειν τὸν μεθ' ἑνὸς τούτου πόλεμον.

Φασὶ δὲ ὡς οἱ Τοῦρκοι πτοηθέντες μή ποτε χρονίσας ἐν τῇ αὐτῶν χώρα ὁ ῥὴξ, πολλοὺς αὐτῶν ἀναλώσειε, φιλοφροσύνην προσποιητὴν ἐνδειξάμενοι, ἔδοξαν οὕτως αὐτὸν ἐκμειλίξασθαι· τὸν δὲ ὅμηρα τῶν μέγα παρ' αὐτοῖς δυναμένων τοὺς παῖδας δεξάμενον, καὶ ἡγεμόνας τῆς ὁδοῦ προσλαβόμενον, τὰ αὐτῶν διελθεῖν ὅρια· τῆς δὲ Ἀρμενίας ἀψάμενον, οὐ βραχεῖς ἐκ τούτων δοῦναι τῷ ξίφει, τοὺς δ' ἄλλους ἐκπέμψαι ὄπισθεν.

Φιλοτίμως δὲ προσδεχθεὶς ὑπὸ τῶν Ἀρμενίων, μεθ' ἡμέρας πολλὰς ἐς τὴν Ἀντιόχου ὥρμησε μεγαλόπολιν· γενόμενος δὲ κατά τινα ποταμὸν, ταῖς τῶν ὑδάτων ῥοαῖς ἀποπνίγεται, ἀνὴρ διὰ μνήμης ἄγεσθαι ἄξιος.

Ὁ δ' ἐκείνου υἱὸς, τὰ τούτου διαδεξάμενος, εἰς τὴν Ἀντιόχειαν εἰσελήλυθεν, ἐκεῖθεν δὲ προσχωρήσας τῇ Κοίλῃ Συρίᾳ, Λαοδίκειαν κατεστήσατο καθ' ἑαυτὴν στασιάζουσαν καὶ πρὸς τοὺς ἐξ Ἄγαρ ἀβούλως ῥέπουσαν· καὶ Βηρυτὸν ἐχειρώσατο, καὶ ἄλλας πόλεις τῆς Συρίας, Λατίνοις μὲν ὑπηκόους πρότερον, τοῖς δὲ Σαρακηνοῖς προσχωρησάσας, ἀνεσώσατο. Ἀλλὰ καὶ κατὰ τὴν Τύρον γενόμενος, καὶ πολιορκήσας τὸ Ἄκε, ὑπὸ τῶν

ἐθνῶν κατεχόμενον, καὶ πολλὰ κοπιάσας ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ, καὶ αὐτὸς ἐκεῖσε τὴν ζωὴν καταλέλυκε. Τὸ δὲ περιλειφθὲν τοῦ στρατοῦ διὰ θαλάσσης ἔθετο τὴν ἐπάνοδον.

Τῷ δὲ καιρῷ τούτῳ οὐ μόνον ὁ ῥὴξ Ἀλαμανίας, ὡς εἴρηται, ἀλλὰ καὶ ὁ Φραγγίας, καὶ ὁ τῶν πελεκυφόρων Γερμανῶν, οὓς Ἰγγλίνους φαμὲν, κατὰ τῶν τὴν Παλαιστίνην πορθησάντων καὶ τὴν Ἱερουσαλὴμ, ναῦς ὅτε πλείστας ἐκ Σικελίας καὶ τῆς ὅλης Ἰταλίας συναγαγόντες, σίτου τε αὐτὰς ἐμπλησάμενοι καὶ τῶν ἄλλων χρειωδῶν, εἰς τὴν Τύρον κατέπλευσαν· ταύτην γὰρ εἶχον οἱ ἀθροιζόμενοι καταγώγιον. Πλὴν οὐδ' οὗτοι ἴσχυσαν τοὺς Σαρακηνοὺς ἐξελάσαι τῆς Ἁγίας πόλεως, ἀλλ' ἄπρακτοι πρὸς τὰς πατρίδας ὑπέστρεψαν.

Ὁ δέ γε τῶν Ἰγγλίνων ἐν τῷ καταίρειν εἰς Κύπρον, αὐτῆς γέγονεν ἐγκρατὴς, καὶ τὸν ἐν αὐτῇ τύραννον συλλαβὼν Ἰσαάκιον, πρῶτα μὲν ἐν δεσμοῖς εἶχεν, εἶτα ἐκεῖθεν ἐκτοπίσας ὥς τι σφάγιον ἀπεχαρίσατό τινι τῶν ὁμογενῶν. Καὶ αὐτὸς μὲν εἰς Παλαιστίνην κατέπλευσεν· ἐν δὲ Κύπρῳ καταλείψας στράτευμα, ὡς οἰκείας τῆς νήσου ἐπεμελεῖτο, καὶ τὰ πρὸς τὸ ζῆν ἐκεῖθεν ἐφορολόγει. Ἐν δὲ τῷ ἀπαίρειν τῆς Παλαιστίνης, ἐδωρήσατο ταύτην τῷ τῶν Ἱεροσολύμων ῥηγὶ, ὡς κατάρχῃ τῶν Κυπρίων ὡς ὑπ' αὐτοῦ προσκληρωθέντων τῷ Κυριακῷ τάφῳ, καὶ τῆς νήσου συναφθείσης τοῖς τῆς Παλαιστίνης ὁρίοις.

Ὁ δὲ βασιλεὺς Ἰσαάκιος τρισὶ παισὶ τὴν τοῦ γένους διαδοχὴν εὐτύχησεν ἐκ τῆς προτέρας αὐτοῦ γυναικὸς, ὧν ὁ εἷς ἄρρην ἦν· τῶν δὲ θηλειῶν τὴν μὲν πρώτην μοναχὴν ἀποκείρει εἰς τὴν μονὴν τῆς Παντανάσσης ἣν αὐτὸς συνεστήσατο· (οἶκος δὲ αὕτη τοῦ Μιχαηλίτζη ἐλέγετο, καὶ ἡ βασιλὶς Ξένη ἡ τοῦ κῦρ Μανουὴλ εἰς μονὴν μετὰ θάνατον τοῦ συνευνου καὶ βασιλέως ἐπεβάλετο μετασκευάσαι, ἐκωλύθη δὲ εἰς τέλος τὴν πρόθεσιν ἀγαγεῖν, τὸ ζῆν ἀποτίσασα)· θατέραν δὲ τῶν θυγατέρων τῷ τοῦ ῥηγὸς Σικελίας υἱῷ, τοῦ Ταγγρὲ, εἰς

γαμετὴν ἔπεμψεν, ὃς τὸν Γιλίελμον διεδέξατο. Τὸν δὲ υἱὸν Ἀλέξιον τῆς βασιλείας κληρονόμον ἀνέτρεφε, δύο καὶ τριάκοντα χρόνους αὐτὸς ἄρξειν χρησμολογῶν.

Οὐ μόνον δὲ ὁ Βρανᾶς Ἀλέξιος καὶ ὁ Λυδὸς Θεόδωρος τούτῳ ἐπανέστησαν, ἀλλὰ καὶ ἕτεροι βασιλείας ἑαυτοῖς περιτεθείκασιν ὄνομα. Αὐτίκα γὰρ Ἀλέξιός τις υἱὸν ἑαυτὸν εἶναι λέγων τοῦ Μανουὴλ, ἴσχυσεν ἐκεῖνον ὑποκριθῆναι, κόμην τρέφων ξανθίζουσαν, καὶ ὑποψελλίζειν σχηματιζόμενος· ἐκ δὲ τῆς Κωνσταντίνου ὥρμητο, καὶ ὀφθεὶς εἰς τὰς κατὰ Μαίανδρον πόλεις, κατέλυσεν εἰς πολίχνιον λεγόμενον Ἄρμαλα, κἀκεῖ Λατίνῳ τινὶ ἐπιξενωθεὶς, καὶ ἀπαγγείλας ὡς αὐτὸς εἴη ὁ τοῦ Μανουὴλ υἱὸς ὃν Ἀνδρόνικος μὲν ἐκδοθῆναι βυθῷ προσέταξεν, οἰκτειρηθῆναι δὲ παρὰ τῶν τοῦτο πρᾶξαι ἐπιταχθέντων, ὡς πατρῴων αὐτῷ ὀμοτῶν, καὶ διασωθῆναι, ἅμα τῷ Λατίνῳ εἰς Ἰκόνιον ἄπεισι, καὶ τῷ γέροντι σουλτάνῳ ἐποφθεὶς (οὔπω γὰρ ὁ 2 υἱὸς Κοτπατῖνος τῆς ἀρχῆς αὐτὸν μετεστήσατο), ὡς | ἀληθινὸς υἱὸς τοῦ Μανουὴλ ἐκείνῳ προσδιελέγετό τε καὶ προσεφέρετο, πολλάκις δὲ καὶ ἐπέπληττεν ὡς τῶν τοῦ πατρὸς αὐτοῦ Μανουὴλ εὐποιϊῶν ἀμνήμονα, καὶ οὐκ ἐπικαμπτόμενον βοηθῆσαι παιδὶ εὐεργέτου πατρός. Ὁ δὲ σουλτάνος, τοῦτο μὲν ἀπὸ τῆς ἀναιδείας, τοῦτο δὲ καὶ ἐκ τῶν τῆς ὄψεως ἰνδαλμάτων ἐναγόμενος, δώροις τε μεγάλοις αὐτὸν ἥδυνε καὶ χρησταῖς ἐλπίσιν ὑπέσαινε· καί ποτε καὶ πρεσβευτοῦ Ῥωμαίων παρεστῶτος καὶ ἀκροωμένου, ἃ ὁ πλάνος ἔλεγεν οὗτος, ἤρετο ὁ σουλτάνος εἰ ἐπίσταται τοῦτον· τοῦ δὲ πρεσβευτοῦ φήσαντος ὡς ὁ τοῦ Μανουὴλ υἱὸς τῷ βυθῷ παραδέδοται, καὶ ψευδῆ ὅσα οὗτος πλάττεται, ζέσας θυμῷ, μικροῦ ἂν τοῦ πώγωνος αὐτοῦ ἐπελάβετο, εἰ μὴ καὶ αὐτὸς εἰς ὀργὴν κινηθεὶς ὁ πρέσβυς ἀπεκρούσατο γενναίως τὸν Ψευδαλέξιον. Καὶ ὁ σουλτάνος δὲ αὐτῷ ἐπετίμησεν ὡς ἄτοπα πράττοντι.

Ὅμως ὁ σουλτάνος τῇ πολλῇ τοῦ νέου παρακλήσει καθυ-

πενδοὺς, συνεχώρησε διὰ σουλτανικοῦ γράμματος, ὅ φασιν οἱ Τοῦρκοι Μουσούριον, τοὺς αἱρουμένους ὑπ᾽ ἀρχὴν ἰδίαν ποιήσασθαι. Ἐφέλκεται τοίνυν τὸν ἀμηρᾶν Ἀρσανῆν καὶ ἑτέρους οὐκ ὀλίγους οἳ ληστεύειν τὰ Ῥωμαίων εἰώθασιν, ὡς ἐν βραχεῖ ὀκτὼ χιλιάδας ἔχειν ἑπομένους αὐτῷ· ὅθεν τὰς κατὰ Μαίανδρον ἐπιὼν πόλεις, ἃς μὲν ὁμολογίᾳ χειρούμενος ἦν, τὰς δὲ ἀνθισταμένας παντοίως διέφθειρε· μάλιστα δὲ τὰς ἅλωνας ἐλυμαίνετο, ὅθεν καὶ Καυσαλώνης ἐκέκλητο.

Κατὰ τούτου πολλοὶ ἀπεστάλησαν, οὐδεὶς δ᾽ ἔσχεν ἐργάσασθαί τι νεανικὸν, δεδιότες μὴ καταπροδοθεῖεν ὑπὸ τῶν συνόντων Ῥωμαίων, ὡς εἰς αὐτὸν ρεπόντων οὐ τῶν ἀγροτῶν μόνων, ἀλλὰ καὶ τῶν εἰς τὴν βασίλειον αὐλὴν, καὶ εἰδότων ἀκριβῶς ὅπως ὁ τοῦ Μανουὴλ υἱὸς πάλαι τὸν βίον ἀπολέλοιπε τὸν ἀνθρώπινον. Σὺν ἑτέροις δ᾽ ἐξῆλθε κατὰ τοῦ Ψευδαλεξίου τοῦδε καὶ ὁ σεβαστοκράτωρ Ἀλέξιος ὁ τοῦ βασιλέως Ἰσαακίου αὐτάδελφος, ὃς ὕστερον ἐβασίλευσε· πλὴν καὶ οὗτος κατ᾽ οὐδεμίαν μάχην συνεπλάκη τῷ Ἀλεξίῳ, ἀλλ᾽ ὡς πλεῖστον αὐτοῦ μακρυνόμενος, τῆς συστάσεως τῶν παροικιῶν ἐπεμέλετο ὅσαι μὴ ἐκείνῳ προσέθεντο.

Ἀλλ᾽ οὕτω τῶν πραγμάτων ἐχόντων, λύει θεὸς, ὡς αὐτὸς ἐπίσταται, τὸν ἐμφύλιον πόλεμον· ἱερεὺς γάρ τις ἀποσφάττει ὑπνώττοντα τὸν Ἀλέξιον κατὰ τὸ φρούριον τὴν Πισσὴν, τὴν αὐτοῦ σπασάμενος μάχαιραν· οὗ τὴν κεφαλὴν ἀποκομισθεῖσαν ἰδὼν ὁ σεβαστοκράτωρ Ἀλέξιος, « οὐ πάντη, ἔλεγεν, ἀμαθῶς αἱ πόλεις τούτῳ ἐπηκολούθησαν. » Ἀλλὰ τότε μὲν οὗτος τοιαύτην ἔτισε δίκην, καθ᾽ ὁμοφύλων Πέρσας ὁπλίσας, καὶ ἀλλήλους ἀποσφάττειν ἐξαγριάνας Ῥωμαίους· ἀλλὰ καὶ ὧν εἰς τὸν ἐν Χώναις τοῦ Ἀρχιστρατήγου ναὸν ἐπλημμέλησεν.

Οὐ πολλαῖς δὲ ὕστερον ἡμέραις καὶ ἕτερός τις τὴν αὐτὴν κλῆσιν, καὶ βασιλέα γεννήτορα τὸν αὐτὸν συμπλασάμενος, κατὰ τὴν Παφλαγονίαν ἐφάνη· ἀποσταλεὶς δὲ κατ᾽ αὐτοῦ ὁ Χοῦ-

μνος Θεόδωρος, ἥττησέ τε πόλεμον συγκροτήσας καὶ συλλαβὼν ἀπέκτεινεν.

Ἐπὶ τούτοις ὁ Χοτζᾶς Βασίλειος κατὰ τὴν ἔγγιστα Νικομηδείας Ταρσίαν ἀντῆρε, καὶ προέβη ἐφ' ἱκανὸν καὶ ἡ αὐτοῦ τυραννίς· συλληφθεὶς δὲ καὶ αὐτὸς ἐκτυφλοῦται. Καὶ πολλοὶ ἄλλοι ἐπανέστησαν, ἀναδοθέντες ὡς σπαρτοὶ Γίγαντες, οἱ πάντες δὲ κατεστρέφοντο.

Ἀλλὰ καὶ ὁ Κομνηνὸς Ἰσαάκιος, ὁ τοῦ τυράννου Ἀνδρονίκου ἀδελφιδοῦς, τῆς φυλακῆς ἀποδρὰς, καὶ πρὸς τὴν Μεγάλην ἐκκλησίαν ἐλθὼν, ἀνασείειν τὸν ὄχλον ὥρμησε· συλληφθεὶς δὲ, καὶ ἐταζόμενος τοὺς συνίστορας ἐκφῆναι τῆς τυραννίδος, τὰ ἐντὸς διαφθαρεὶς, ἀπεβίω τὴν μετ' ἐκείνην ἡμέραν.

Καὶ ὁ Τατίκιος Κωνσταντῖνος ἀνταρσίαν μελετήσας, καὶ πεντακοσίους ἔχων τοῦ ἔργου συλλήπτορας, ἐφ' ἱκανὸν τῇ Πόλει κρυπτόμενος, καταμηνυθεὶς ἑάλω καὶ ἐξεκόπη τοὺς ὀφθαλμούς. Καὶ ῥακενδύτης ἐκ τοῦ γένους τῶν Κομνηνῶν, τὰ αὐτὰ τοῖς εἰρημένοις διαπραξάμενος, ἀπεστέρηται τοῦ φωτός.

Τῶν δὲ συχνῶν τούτων ἐπαναστάσεων αἴτιον ἦν τὸ τὸν Ἰσαάκιον μαλθακώτερον διακυβερνᾶν τὴν βασιλείαν, καὶ τὸ αὐτὸν οὕτως τῆς βασιλείας ἐπιλαβέσθαι ἀπραγμόνως τῷ θανάτῳ τοῦ Ἁγιοχριστοφορίτου. Εὔκολος δὲ πρὸς ὀργὴν τυγχάνων ὁ Ἰσαάκιος, καὶ ἀπὸ μόνης ὑπονοίας καί τινων εἰσηγήσεως, πολλοὺς ἐκάκου καὶ δεινῶς ἐπεξήρχετο |. Τὸν δὲ Κομνηνὸν Ἀνδρόνικον, ὃς Ἀλεξίου παῖς ἦν ὃν Βρυέννιος ὁ καῖσαρ καὶ Ἄννα ἡ θυγάτηρ Ἀλεξίου τοῦ πρώτου ἐκ Κομνηνῶν βασιλέως ἐγείναντο, τὴν τῶν Θετταλῶν ἀρχὴν διέποντα, εἰσηγησαμένου τινὸς τῆς βασιλείας δρᾶν (γρ. ἐρᾶν), καὶ περὶ τοῦ ἔργου κοινολογεῖσθαι τῷ πρώην σεβαστοκράτορι Ἀλεξίῳ, τῷ υἱῷ τοῦ αὐτοκράτορος Μανουὴλ, κατὰ τὴν Δράμαν διάγοντι, εὐθὺς συλληφθῆναι προσέταξεν. Οἱ μὲν οὖν εἰς τοῦτο ἀποσταλέντες ὡς εἶδον εἰς βασιλέα ἐρχόμενον, οὐδὲν εἰς τοῦτον ἔπραξαν ὡς ὡρίσθησαν. Εἰς

γοῦν τὴν Κωνσταντίνου ἐλθών, καὶ τῷ Ἰσαακίῳ ὀφθεὶς ὁ Ἀνδρόνικος, εἰς ἀπιστίαν εὐθὺς ὀνειδίζεται, κἀκείνου ἔλεγον ἀπαιτήσαντος, σχῆμα μόνον τὰ τῆς δίκης ἐσχήκασι, καὶ συλληφθεὶς Ἀνδρόνικος εἰς φυλακὴν ἐνεβλήθη, κἀκεῖ τὰς κόρας ἐκκόπτεται. Συλλαμβάνεται δὲ καὶ ὁ συνίστωρ εἶναι τούτῳ λεγόμενος Ἀλέξιος, καὶ κείρεται εἰς μοναχὸν καθ' ἓν τῶν ἐν τῷ Παπυκίῳ φροντιστηρίων. Ἦν δὲ οὗτος εὐμήκης καὶ ἀνδρεῖος καὶ πλήρης συνέσεως, πατρῴζων ἐν ἅπασιν ἀκριβῶς· πρὸς ἃ καὶ ὁ τύραννος ἀπιδὼν τὴν οἰκείαν θυγατέρα Εἰρήνην αὐτῷ ἐμνήστευσε, καὶ τούτῳ προσέκειτο, καὶ τῆς βασιλείας καταλείψειν ἐμελέτα διάδοχον· μεταβουλευσάμενος δ' ὕστερον, τὸν υἱὸν Ἰωάννην ἀνθείλετο, εἰρηκὼς πρὸς οὓς ἐξεκάλυπτε τὰ τῶν βουλευμάτων ἀπόρρητα, μὴ ἐξ Ἄλφα εἰς Ἄλφα τὴν βασιλείαν μέλλειν μεταπεσεῖν, ἀλλ' εἰς τὸ Ἰῶτα· ὕστερον δὲ καὶ τοῦτον ὁ Ἀνδρόνικος ἀπεξένωσε τοῦ φωτὸς, ὁ δ' Ἰσαάκιος ἀνεκαλέσατο καὶ ἀπὸ σεβαστοκράτορος καίσαρα προεβάλετο. Τότε γοῦν πρᾴως καὶ εὐχαριστῶν θεῷ ἐδέξατο τὴν ἀπόκαρσιν, κἂν ἀκουσίως, καὶ πρὸς τὰς συνταγὰς βύων τὰ ὦτα, μηδ' ἄκροις ὠσὶ τὰ ἐπᾳδόμενα ἐνηχούμενος, τὴν τῶν προσόντων ἀφαίρεσιν περιχαρῶς, ὡς ἄλλος τις κτῆσιν ἐλογίσατο. Ἀλλ' οὔπω τρεῖς μῆνες διῆλθον, καὶ ὁ βασιλεὺς ἐκεῖθεν αὐτὸν ἀνακαλεσάμενος, ἔδειξεν ἐξ ὧν ἔδρασε μὴ σὺν λόγῳ ἃ ἔπραττεν ἐκτελεῖν. Τοῦτον σύσσιτον παραλαμβάνων ὁ Ἰσαάκιος, καὶ κρέα παρατιθεὶς « φάγε, ἔλεγε, καθηγούμενε. »

Οὐ τὸν Ἀλέξιον δὲ καὶ τὸν Ἀνδρόνικον οὕτω διέθετο Ἰσαάκιος, ἀλλὰ καὶ Κωνσταντῖνον τὸν Ἀσπιέτην ὑπερηγορήσαντα τοῦ στρατεύματος, οὗ ἡγεμὼν ἦν τὸν κατὰ τῶν Βλάχων μετιὼν πόλεμον, ὡς οὐ δύνανται λιμῷ καὶ τοῖς Βλάχοις μάχεσθαι, ἀλλὰ χρὴ δοθῆναι τούτοις τὰ ἐτήσια σιτηρέσια, τοῦ φωτὸς εὐθὺς τῶν ὀμμάτων ἐστέρησεν.

Ὁ δὲ τοῦ Κομνηνοῦ Ἀνδρονίκου υἱὸς, περὶ οὗ εἴρηται, οὐκ

οἶδα εἴτε τῷ πατρὶ ἐπαμῦναι βουλόμενος, εἴτε τὴν πατρικὴν ἀναπληρῶσαι ἀποστασίαν, πρόσεισι μετὰ βραχὺ τῆς τοῦ πατρὸς ἐκτυφλώσεως τῷ μεγίστῳ νεῷ· ἀλλ' οὔπω τοῖς συνελθοῦσιν ὁ τρόπος ἔγνωστο τῆς εἰς τὸν ναὸν αὐτοῦ εἰσελεύσεως, καὶ χειροῦται καὶ πάσχει στέρησιν τοῦ φωτός. Οὗτος δὲ καὶ τελευτὴ γέγονε τῶν ἀποστατῶν.

Ἐπεὶ δέ τὰ κατὰ Δύσιν ἀεὶ κακῶς ἔπασχον, καὶ οἱ Βλάχοι μετὰ Κομάνων τὴν ὑπὸ Ρωμαίους ἐλήϊζον, ἔξεισιν ὁ βασιλεὺς κατ' αὐτῶν· καὶ τὴν Ἀγχίαλον παραλλάξας, τὸν Αἷμον εἴσεισι· μηδὲν δέ τι παρουσίας βασιλικῆς δυνηθεὶς πρᾶξαι, δυσὶ μησὶ τὴν ἐκστρατείαν ἐπέρανε· τὰ γὰρ ἐκεῖσε φρούρια καὶ πολίχνια πολλῷ τῆς πρὶν εὗρεν ἰσχυροτέραν περιβεβλημένα τὴν ἰσχυρότητα, ἀλλὰ καὶ τὸ τὴν ἐπιδρομὴν τῶν Σκυθῶν ὑφορᾶσθαι (ἦν γὰρ καιρὸς εἰς τὴν τούτων περαίωσιν), ταχεῖαν ἠνάγκαζε ποιῆσαι τὴν ὑποχώρησιν. Διὸ καὶ ἐπιτομωτέραν εὑρὼν ὁδὸν δι' ἧς εἰς Βερόην καταβήσεται, τό τε πλεῖστον ἀπώλεσε τοῦ στρατεύματος, καὶ αὐτὸς, εἰ μὴ Κύριος ἐβοήθει, τῷ ᾅδῃ παρῴκησεν ἄν· δέον γὰρ τὴν βάσιμον πορευθῆναι, ὁ δὲ τῇ δυσχωρίᾳ ὥσπερ τινὶ τρυμαλιᾷ ἐνέβαλεν ἑαυτὸν καὶ τὴν στρατιάν. Προηγεῖτο μὲν οὖν ὁ πρωτοστράτωρ ὁ Καμμύτζης Μανουὴλ, καὶ ὁ Κομνηνὸς Ἰσαάκιος ὁ τοῦ ὕστερον βασιλεύσαντος Ἀλεξίου γαμβρὸς ἐπὶ θυγατρί, ὠπισθοφυλάκει δὲ ὁ σεβαστοκράτωρ, ὁ τοῦ βασιλέως θεῖος· τὸ δὲ μέσον ἐπεῖχε τῆς φάλαγγος, ἧς ἔμπροσθεν ὥδευε τὰ σκευοφόρα καὶ τὸ ὑπηρετικὸν |, αὐτός τε ὁ βασιλεὺς Ἰσαάκιος, καὶ ὁ τούτου ἀδελφὸς Ἀλέξιος ὁ σεβαστοκράτωρ. Οἱ δὲ βάρβαροι παρ' ἑκάτερα τῆς στενῆς ἐκείνης παρόδου φαινόμενοι, δῆλοι ἦσαν τελέσοντές τι δεινόν. Τὰ μὲν οὖν προπορευθέντα στρατεύματα ἀκινδύνως παρήλθοσαν, ἔτι τῶν βαρβάρων ἀθροιζομένων, καὶ ἄλλως δὲ κρινάντων συμφέρον μὴ τούτοις, ἀλλὰ τῷ μέσῳ προσβαλεῖν, καθ' ὃ πάρεστι βασιλεύς τε καὶ ἡ τούτου θεραπεία, καὶ ὅσον ἐπιφα-

νὲς καὶ κατὰ γένος ᾠκειωμένον αὐτῷ· καὶ οὐκ ἐψεύσθησαν τῶν κατὰ σκοπόν. Ἐπειδὴ γὰρ ἐς τὸ τῆς ὁδοῦ χαλεπὸν καὶ δυσέκβατον ὁ αὐτοκράτωρ εἰσῆλθε, τηνικαῦτα ἐπέθεντο καὶ οἱ βάρβαροι· ἀλλ' οὐδὲ τὸ πεζικὸν τοῦ Ρωμαϊκοῦ ἐπὶ τούτοις ἠμέλουν, ἀλλὰ καὶ αὐτοὶ σπεύδοντες μὴ ὑπὸ τούτων κυκλωθῶσι, πρὸς τὸ ἄναντες ἐχώρουν καὶ ἀνέστελλον, εἰ καὶ μάλα ἐπικινδύνως, τοὺς ὑποκατιόντας· ὡς δ' ἐβιάζοντο τῷ πλήθει, καὶ τοῖς ἐπικυλιομένοις λίθοις κακῶς ἔπασχον, ἐνεδίδοσαν εἰς τροπήν, καὶ συνέμιξαν τῇ στρατιᾷ καὶ αὐτοί. Συγχύσεως οὖν γενομένης, καὶ πάντων σώζειν ἑαυτοὺς ἔργον τιθεμένων, ὡς θρέμματα κατακλεισθέντα σηκῷ, οἱ πολέμιοι τὸν ἐν χερσὶν ἀεὶ ἔκτεινον. Βασιλεὺς δὲ ὡς ἐν ἄρκυσι μέσος ληφθείς, πολλάκις μὲν ἀπώσασθαι τοὺς καθ' αὐτὸν ἐπιόντας ἀπεπειρᾶτο, πρὸς δὲ τῷ μηδὲν ἀνύειν, καὶ τὴν ἐπὶ τῇ κεφαλῇ καλύπτραν σιδηρᾶν ἀπεβάλετο· πολλῶν δὲ καὶ κρατίστων συνδραμόντων περὶ αὐτὸν, καὶ πολλὰ διαχειρισαμένων ὑποζύγια, (ὡς δέ φασι καὶ στρατιώτας Ρωμαίους ὁπόσοι τῇ παρόδῳ εἰς ἐμπόδιον ἦσαν), οὕτως ἐξῆλθε μόνος, ἀπολωλότων πολλῶν· καὶ τοῖς προηγησαμένοις συναφθείς, ηὐχαρίστει θεῷ τῷ σωτῆρι αὐτοῦ· οἱ δὲ μετ' αὐτοῦ διασωθέντες ὀλίγοι ἦσαν καὶ γυμνοί.

Ἐντεῦθεν ἐφυσιώθη τὸ βάρβαρον, λείαν κερδῆσαν ἐκ τῶν Ρωμαίων πολλὴν, ἀλλὰ καὶ τῶν βασιλικῶν παρασήμων τὰ τιμιώτερα, τάς τε ἐν τῇ κεφαλῇ καλύπτρας, καὶ φιάλας τῶν ἐπισήμων, καὶ χρῆμα εἰς πλῆθος, καὶ αὐτὸν δὲ τὸν βασιλικὸν σταυρόν· τῶν ἱερέων γάρ τινος εἰς ποταμὸν αὐτὸν ῥίψαντος, μεθ' ἡμέρας εὗρον αὐτὸν, ἐκ χρυσοῦ μὲν κατεσκευασμένον, φέροντα δὲ μέσον ἐκ τοῦ ἁγίου ξύλου, ἐν ᾧπερ ὁ Δεσπότης προσηλώθη Χριστὸς, εἰς σταυροῦ σχῆμα τετυπωμένον καὶ μικρὰς θήκας πολλὰς ἔχοντα, ἐν οἷς λείψανα πρόσεστι τῶν περιφανεστέρων μαρτύρων, καὶ γάλα τῆς Θεομήτορος καὶ μέρος τι τῆς ζώνης αὐτῆς, καὶ ἄλλα πλεῖστα τῶν εὐαγῶν καὶ τιμίων. Ἔ-

χει δὲ λόγος τὸν πρῶτον Χριστιανῶν βασιλέα Κωνσταντῖνον τὸν Ἰσαπόστολον κατασκευάσαι αὐτὸν, κἂν τοῖς πολέμοις ὡς συστράτηγον ἀποφέρεσθαι καὶ αὐτὸν καὶ τοὺς μετ' αὐτὸν εὐσεβεῖς βασιλεῖς. (1) Ὁ δὲ σεβαστοκράτωρ ὁ Δούκας ἄλλως ἐβάδισεν, ἀγαθοῦ τινος ὁδηγοῦ εὐπορήσας, καὶ ἀπείρατος ἐξῆλθε κακοῦ. Βασιλεὺς δὲ διὰ τοῦ λεγομένου Κρηνοῦ πρὸς τὴν Βερόην ἀποσωθεὶς, εὗρε τὴν προεξελθοῦσαν ἀπαθῶς στρατιὰν οὐκ ἀγαθὰ φανταζομένην περὶ αὐτοῦ· διεφημίσθη γὰρ ὡς συναπολώλει τῷ λοιπῷ στρατεύματι.

Ἡμέρας οὖν οὐ πολλὰς ἐκεῖ διατρίψας πρὸς τὴν τῶν πόλεων βασιλεύουσαν ἐπανέρχεται. Τότε ὑπεχάλασέ τι μικρὸν τῆς ὀφρύος, καὶ ἦν ἐπὶ τῷ γεγονότι δακνόμενος· πρὸ τούτου δὲ οὐχ οὕτως διέκειτο, ἀλλὰ καὶ ἀλλοκότοις δόξαις μεγάλα περὶ ἑαυτοῦ ἐφαντάζετο, καὶ μὴ διὰ τὰ ἡμαρτημένα ὑφ' ἡμῶν βαρύνεσθαι τὸν θεὸν καθ' ἡμῶν, ἀλλὰ διὰ τὸ ὀπίσω τοῦ Βρανᾶ πορευθῆναι καὶ ἀποστασίαν κατὰ τούτου νοσῆσαί τινας, πάσχειν κακῶς δίκην τίνοντας. Τὸ δὲ δὴ θαυμάζεσθαι ἄξιον, ἔλεγε παρρησίᾳ, ὡς ὁ τύραννος Ἀνδρόνικος, ὃν οὗτος κατέλυσε τῆς ἀρχῆς, ἐννέα ἔτη ἔμελλεν ἐπιβιῶναι τῇ ἀρχῇ, διὰ δὲ τὰς κακὰς ἐκείνου πράξεις, ἐκκόψαι τὰ ἓξ τὸν θεὸν, καὶ προσθεῖναι τῇ τούτου ἀρχῇ, καὶ μέλλει κατὰ τούτους τοὺς χρόνους αὐτὸς μὴ μέτριος εἶναι, ὡς τῶν κακοποιῶν τοῦ Ἀνδρονίκου χρόνων | πρὸς τὴν ἐκείνου ὠμότητα μεθελκόντων αὐτόν. Ἐπεὶ δὲ οἱ ἓξ παρέδραμον ἐνιαυτοὶ, μεθ' οὓς ἀγαθὰ μέγιστα τοῖς ὑπηκόοις ἔλεγε διαπράξασθαι, ἔδειξεν, ὡς οὐ τῶν χρόνων, ἀλλὰ τῆς γνώμης αὐτοῦ τὰ πραττόμενα.

Οἱ μέντοι Βλάχοι τῷ ἀεὶ νικᾷν ἐπαιρόμενοι, καὶ πλοῦτον

(1) Περὶ τοῦ σταυροῦ τοῦ μεγάλου καὶ ἁγίου βασιλέως Κωνσταντίνου, ὡς καὶ οὗτος ἐλήφθη τοῖς Βουλγάροις, ὃν καὶ εἰσέτι ἔχουσιν (Σημ. περιθεωρίου.)

καὶ ὅπλα ἐκ τῶν Ρωμαϊκῶν σκύλων ἐπικτησάμενοι, ἀκατάσχετοι τὰς ὁρμὰς ἐτύγχανον, καὶ οὐκέτι ἀγροὺς καὶ κώμας ἐληΐζοντο, ἀλλὰ καὶ πόλεσι προσέβαλλον. Καὶ τὴν μὲν Ἀγχίαλον ἐξεπόρθησαν, καὶ τὴν Βάρναν δέ· κατὰ δὲ τὴν Τριάδιτζαν ἀφικόμενοι, τὸ πλεῖστον αὐτῆς μέρος ἠφάνισαν, καὶ τὸ Στούμπιον τῶν ἐνοικούντων ἐκένωσαν· καὶ εἰς τὴν Νίσον ἀφιγμένοι, οὐκ ὀλίγην λείαν ἀνθρώπων τε καὶ ζώων ἐξήλασαν. Μὴ ἔχων δ' ὁ βασιλεὺς τίνι τῶν κακῶς πασχόντων βοηθήσει πρότερον, εἰς ἀρχηγοὺς μερίζει τὴν στρατιάν. Ἀμέλει καὶ τὴν Βάρναν ἀνέκτισε, καὶ ἐπύργωσε τὴν Ἀγχίαλον, καὶ φρουρὰν αὐταῖς ἐγκατέστησε. Καὶ ἐδόκει μὲν ταῦτα προμηθείας εἶναι βασιλικῆς, πλὴν καὶ αὖθις τὰ τῶν ἐναντίων ἦσαν ἐπικρατέτερα. Ἔξεισι γοῦν καὶ αὐτὸς κατὰ τὰς μετοπωρινὰς τροπὰς περὶ τὴν Φιλιππούπολιν, καὶ τὴν γυναικωνῖτιν ἐπαγόμενος. Καὶ ὡς ἐνὸν ἀνέστειλε τὰς τῶν Βλάχων καὶ τῶν Σκυθῶν ἐπιδρομάς.

Τοῦ δὲ τῶν Σέρβων ζουπάνου τὰ Σκόπια κατατρέχοντος, ἄπεισι κατ' αὐτοῦ· καὶ ὡς τὰ στρατεύματα κατὰ τὸν ποταμὸν Μοράβον συνέμιξαν, τρέπονται οἱ βάρβαροι, καὶ, καταδιώξεως γενομένης, οὐκ ὀλίγοι τούτων ἀφανισμῷ παρεδόθησαν ὕδασί τε καὶ δόρασι.

Παρελθὼν δὲ τὴν Νίσον, καὶ περὶ τὸν Σάουβον γενόμενος ποταμὸν, τῷ τῆς Οὐγγρίας ῥηγὶ συνέμιξε τῷ Βελᾷ, πενθερῷ αὐτοῦ ὄντι ὡς προδεδήλωται· καὶ ἐφ' ἡμέρας ἐκεῖσε τούτῳ συνδιατρίψας, αὖθις ὑπέστρεψεν εἰς τὴν Φιλιππούπολιν, κἀκεῖθεν τὴν μεγαλόπολιν εἴσεισιν ἐκκλίνων τὴν εἰς τὸν Αἶμον πάροδον.

Εἰς δὲ τῶν κατὰ Φιλιππούπολιν χωρῶν κυβέρνησιν στέλλει τὸν οἰκεῖον ἐξάδελφον Κωνσταντῖνον, ὃν καὶ δοῦκα τοῦ στόλου προεχειρίσατο. Ὁ δὲ τὸ θυμοειδὲς παραδεικνύων, οὕτως πρὸς ὑπακοὴν καὶ δέος τὴν συνοῦσαν αὐτῷ στρατιὰν ἐρρύθμισεν, ὡς νεύματι μόνῳ καὶ νοήματι αὐτοῦ πείθεσθαι. Ἐστρα-

τήγει οὖν μετὰ τῆς φυσικῆς ἐντρεχείας, εἰ δέ που καὶ ἡ νεότης ἐξέπιπτε τοῦ καθήκοντος, ἡ τῶν ὑποστρατήγων ἐμπειρία ὑπετίθει τὸ δέον. Ἔπτηξαν οὖν αὐτὸν οἱ ἀποστάται Βλάχοι, ὡς οὐδ' αὐτὸν τὸν βασιλέα ἐκεῖσε διάγοντα, καὶ πολλάκις ὁ Πέτρος σὺν τῷ Ἀσὰν τὰ κατὰ Φιλιππούπολιν καὶ Βερόην ἐπιέναι προθέμενοι, τοῦτον οὐκ ἔλαθον, ἀλλ' εἶχον εὐθὺς τὰς ἐκείνων κλονοῦντα φάλαγγας· διὸ καὶ οὐδὲ συχνὰς ἐκδρομὰς ἐποιοῦντο. Ἀλλ' ὁ Κωνσταντῖνος οὗτος ἐπαρθεὶς τοῖς μικροῖς ἀγωνίσμασιν, ἤρξατο ὑποποιεῖσθαι τοὺς συνόντας αὐτῷ ἀρχηγοὺς, κἀκ τῶν ἐπιχωρίων Στρατιωτῶν ὁπόσους κατὰ γένος καὶ στρατείαν ἐγίνωσκε διαφέροντας. Οὐκοῦν καὶ μικρὰν ῥοπὴν ἐσχηκὼς, βασιλεὺς ἀναδείκνυται, καὶ παραδηλοῖ γράμμασι τὰ ἐπ' αὐτῷ τῷ τῆς ἀδελφῆς ἀνδρὶ, τῷ μεγάλῳ δομεστίκῳ τῆς Δύσεως, Βασιλείῳ τῷ Βατάτζῃ. Τὸν δὲ οὐ μόνον οὐκ ἔσχεν ἐπαινοῦντα τὰ τετολμημένα, ἀλλὰ καὶ ὀνειδίζοντα, καὶ ὡς ἀπολούμενον ὅσον οὔπω ἀποδυρόμενον· ὃ καὶ ἐπηκολούθησεν. Ἄρας γὰρ ἀπὸ τῆς Φιλιππουπόλεως ἐπὶ σκοπῷ τοῦ κατ' Ἀδριανούπολιν γενέσθαι, καὶ ἄκοντα συμπαραλαβεῖν τὸν γαμβρὸν τὸν Βατάτζην τοῦ ἔργου συνέριθον, συλλαμβάνεται παρ' ὧν εἰς τυραννίδα προήχθη, καὶ καταπροδίδοται βασιλεῖ, εἰς ἀπολογίαν ἑαυτῶν, τὸ ἀκουσίως ὑποκλιθῆναι τούτῳ, καὶ ὡς οὐκ ἀκίνδυνον τὸ ἀντιτείνειν τῷ ἀποστάτῃ προβαλλομένων, ῥᾳδίως τὸ ξίφος γυμνοῦντι κατὰ τῶν μὴ πειθομένων αὐτῷ· το δὲ πραχθὲν νῦν σημεῖον τῆς πρὸς τὸν βασιλέα ἀκραιφνοῦς πίστεως. Ἐπαινέσας οὖν τὸ γεγονὸς, οὐδένα τούτων ἐκ τοῦ προδήλου παρελύπησε, τὸν δὲ Κωνσταντῖνον ἐς τὸ φῶς ἐλυμήνατο.

Τότε ὁ βασιλεὺς τὴν τῶν κοινῶν διοίκησιν ἐνεχείρισε τῷ
4 πρὸς μητρὸς θείῳ Θεοδώρῳ τῷ Κασταμονίτῃ |. Ἦν δ' οὗτος περὶ τὰς δημοσίους εἰσφορὰς δεξιώτατος, καὶ λόγων σοφῶν μέτοχος, ὅν καὶ λογοθέτην τῶν σεκρέτων προβαλλόμενος ἤγετο ὑπ' αὐτοῦ καθάπερ βασιλευόμενος· οὐκοῦν πᾶν ὅπερ παρ' αὐ-

τοῦ ἐπετάττετο, τοῦτο ὡς ὑπηρέτης ἐπλήρου. Νοσῶν δὲ τὰ ἄρθρα τῶν ποδῶν ὁ Κασταμονίτης, βασταζόμενος πρὸς τὸν κρατοῦντα εἰσήγετο καὶ ἐξήγετο· οἱ δὲ λαοὶ καὶ τὸ τῆς πολιτείας πλήρωμα, καὶ ὅσοι τῷ βασιλεῖ κατὰ γένος συνήπτοντο, εἵποντο ἐκεῖνον προπέμποντες· οὐ γὰρ ἦν τι τῶν γινομένων ἄνευ γνώμης ἐκείνου γινόμενον, ἀλλ' οὐδέ τις τῶν ἐν ὑπεροχαῖς συμμετεῖχε καθέδρας αὐτῷ· παρίσταντο δὲ πάντες δουλοπρεπῶς. Προϊὼν δὲ καὶ φάλαρα ὀξυβαφῆ ἐνέδωκεν ἔχειν, τοῦ ἱεροῦ ὄντι πρότερον καταλόγου, καὶ ἐφεστρίδα τοιαύτην, καὶ διὰ βαφῆς ὁμοίας ὑποσημαίνεσθαι τοὺς τόμους τῶν δημοσίων λόγων, καὶ τὰ αὐτοῦ γράμματα. Ἀλλὰ νόσος τις ἐπέθετο τούτῳ τὰ ἄρθρα τοῦ σώματος ἀναμοχλεύουσα, ἥτις καὶ τῷ λογιστικῷ συνεπέθετο· ἦγε δὲ τότε πεντεκαιδεκάτην ὁ αὔγουστος, καὶ ὁ Κασταμονίτης διὰ τῆς ἀγορᾶς τῇ μονῇ Παντανάσσης ἐπεφοίτησε τὴν ἑορτὴν τελέσων τῆς Θεομήτορος, ὅτε καὶ πρῶτα ἀκούσας δεσπότην καὶ βασιλέα, (ἐπεὶ καὶ τοῦτο ἄδεια ἦν ἐπιλέγειν τοῖς κόλαξιν), ἔδοξε τῶν συνελθόντων τισὶν εἰς ἐπιληψίαν ἀποκλῖναι διὰ τὸ καινότερον τοῦ ἀκούσματος, ἀλλὰ καί τις τῶν τοῦ βήλου κριτῶν παρεστὼς ἐδέσμει τὰς γαστροκνημίδας ἐκείνου, ἐπισχήσειν τὴν ὕλην πειρώμενος. Βραχὺ δὲ καὶ ὅσον ἡδύτερον τὴν ἡμέραν ὑπολογίσασθαι τῆς νόσου ἀνανεύσας, πάλιν ἐμπέπτωκεν εἰς αὐτήν, καὶ μεθ' ἡμέρας ἀπέτισε τὸ χρεών.

Τοῦ δὲ Κασταμονίτου τελευτήσαντος, διαδέχεται τὴν βασιλικὴν εὔνοιαν νεανίσκος τις· καὶ τούτου τὸν βίον ἀπολιπόντος, παιδίον μικρὸν τὴν τῶν κοινῶν διοίκησιν ἀναζώννυται, ὅς οὐ τὸν κρατοῦντα μόνον ἦγε καὶ περιέφερεν, ἀλλὰ καὶ ὅσα τῶν στρατιωτικῶν εἰσι καταλόγων· ἐκεῖνα γὰρ τῷ αὐτοκράτορι θελητά, ὅσα οὗτος ἐπέκρινεν.

Ἐφ' ὅσον δὲ χρόνον τῇ Κωνσταντινουπόλει ἐνεδήμει ὁ βασιλεὺς οὗτος, ὡς ἐκ πολλῶν ὀλίγα εἰπεῖν ταῦτα ἦσαν τούτῳ

πραττόμενα. Ἐτρύφα καθ' ἡμέραν λαμπρῶς, συβαριτικὴν παρατιθέμενος τράπεζαν, καὶ λουτροῖς ἐχρῆτο τῆς ἑβδομάδος τρίς, μύροις καὶ εὐωδίαις ἁπάσαις περιαντλούμενος, καὶ ὡς ὁμοίωμα ναοῦ ἑαυτὸν ἐκόσμει, μὴ δὶς τὸν αὐτὸν χιτῶνα ἀμφιεννύμενος, ὡς ἐκ παστοῦ νυμφίος καθ' ἑκάστην τῶν ἀνακτόρων ἐκπορευόμενος, εὐτραπελίαις χαίρων, παρασίτοις καὶ ἀοιδοῖς καὶ γελωτοποιοῖς ἀνεῳγμένα ἔχων ἀεὶ τὰ βασίλεια, τοῖς δὲ τοιούτοις κῶμος συνέζευκται πάροινος καὶ ἡ κατὰ τὰς κοίτας ἀσέλγεια. Εἴρηκέ ποτε ἐπὶ δείπνου « φέρετέ μοι ἅλας », καὶ ὁ χαριέστατος τῶν ἐκείνῳ μίμων « γνωσόμεθα πρώτως, εἶπε, ταύτας, ὦ βασιλεῦ, εἶθ' οὕτως ἄλλας κέλευσον εἰσενεχθῆναι ». Μεταδιώκων δὲ τὰ τῶν χωρίων εὖ ἔχοντα καὶ ὥρας καὶ θέσεως, ἐκ διαλειμμάτων εἰς τὴν μεγαλόπολιν ἐπανήρχετο.

Ὑπὲρ δὲ πᾶν ἕτερον τὰς τῶν μεγίστων οἰκημάτων ἀνεγέρσεις ἔργον ἐτίθετο. Ἐντὸς οὖν τῶν βασιλείων ἀμφοτέρων λουτρὰ καὶ διαιτήσεις ἐδείματο, καὶ κατὰ τὴν Προποντίδα δόμους ἀνήγειρε, καὶ νησίδια τὴν θάλασσαν ἀπογαιώσας εἰργάσατο· προθέμενος δὲ πύργον κτίσαι κατὰ τὸ ἐν Βλαχέρναις παλάτιον, ναοὺς κατηδάφισε, καὶ πλείστους τῶν κατὰ τὴν βασιλίδα πόλιν περιφανῶν οἴκων ἔθετο εἰς ἐρήμωσιν· καὶ τὴν λαμπροτάτην τοῦ Γενικοῦ οἰκοδομὴν ἐκ θεμελίων κατέστρεψε, καὶ τὸν οἶκον τῶν Μαγγάνων, μήτε τὸ κάλλος αὐτοῦ λογισάμενος, μήτε τὸν Τροπαιοφόρον αἰδεσθεὶς Χριστοῦ μάρτυρα ᾧ ὁ οἶκος ἀνέκειτο. Ἀνανεῶσαι δὲ βουληθεὶς τὸν ἐν τῷ Ἀνάπλῳ τοῦ Ἀρχαγγέλου ναόν, εἴ τι τῶν μαρμάρων κάλλιστον ἐν τοῖς βασιλείοις κἂν ἐν τῷ ἐδάφει ὑπέκειτο, κἂν τοὺς τοίχους ἐκάλλυνεν, ἐκεῖσε μετήνεγκεν. Ἀλλὰ καὶ τὰ τοῦ Ἀρχιστρατήγου ἐκτυ-
4v. πώματα διὰ χρωμάτων καὶ ψηφίδων | χειρὸς τῶν ἀρχαίων τινὸς ἔργα θαυμάσια ὅπου ἂν ἔμαθεν εἶναι, κατὰ τὸ αὐτὸ συνήθροισε τέμενος· καὶ ἐκ Μονεμβασίας τὸν ἐπὶ σταυροῦ ἑλκόμενον Χριστὸν, ἔργον ἀξιάγαστον καὶ τὴν τέχνην καὶ τὴν χάριν,

αὐτόθι ὡς ἠδύνατο σπεύσας ἐκόμισε, καὶ τὰς χαλκᾶς πύλας αἳ πρώην μὲν ἦσαν περὶ τὴν τοῦ παλατίου εἴσοδον, ὕστερον δὲ περὶ τὴν εἱρκτὴν, ἣ Χαλκῆ ἐξ αὐτῶν ὀνομάζεται, καὶ τὸν περιώνυμον ναὸν, ὅς Νέα ἐπικέκληται, παντὸς θείου ἐπίπλου καὶ ἱεροῦ σκεύους ἐψίλωσε· καὶ ἐνηβρύνετο προσένεξιν οἰόμενος τὴν ἀφαίρεσιν, οὐδὲ τὸν θεὸν χολᾷν νομίζων, εἰ οὗτος μὲν ὁ νεὼς τῆς πρώτης λαμπρότητος στερίσκεται ἀχρειούμενος, ἕτερος δὲ ἐγκαινίζεται, καὶ ἀλλοτρίῳ κόσμῳ ἐναγλαΐζεται.

Τὸ δὲ τῆς τόλμης πλέον, ἐκοίνου τὰ ἱερὰ σκεύη, καὶ τῶν ναῶν ἀποσπῶν, τῇ ἑαυτοῦ τραπέζῃ προσέφερε· καὶ τὰ ἐν τάφοις τῶν βασιλέων κυπελλοειδῆ ἀναθήματα ἐκ χρυσίου καὶ λίθων ἐσκευασμένα, κατὰ πότον οὗτος ἐχρῆτο, καὶ ἕτερα ἔργα, οἷς ἱερεῖς καὶ Λευῗται τὰ θεῖα μετιόντες μυστήρια ἀπενίπτοντο, ἀφῃρεῖτο, καὶ ἀπὸ τιμίων σταυρῶν καὶ βιβλίων Εὐαγγελίων κόσμους πολυτελεῖς νοσφιζόμενος, περιδέραια καὶ στρεπτοὺς ἐτίθετο ἐξ αὐτῶν. Πρὸς δὲ τοὺς λέγοντας αὐτῷ μὴ συμφέρειν ταῦτα γινόμενα βασιλεῖ εὐσεβεῖ ὄντι, καὶ ἱεροσυλίαν τὸ ἔργον ἀποκαλοῦντας, παρωξύνετο, πάντα ἐξεῖναι ποιεῖν βασιλεῦσι διατεινόμενος, τὸν ἐν βασιλεῦσιν Ἰσαπόστολον Κωνσταντῖνον παράγων, ὡς τὸν μὲν τῶν δεσποτικῶν ὕλων (γρ. ἥλων) ἐπὶ τοῦ χαλινοῦ τοῦ ἵππου αὐτοῦ ἔθετο, τὸν δὲ τῇ κόρυθι, ἀγνοῶν, ὅτι δύναμιν θειοτέραν τὸν τοῦ σταυροῦ λόγον δεικνὺς τοῖς Ἕλλησιν ὁ ἀρχηγὸς τῆς πίστεως ἄναξ τοῦτο πεποίηκεν.

Οὗτος ὁ βασιλεὺς καὶ τὸ νόμισμα ἀδόκιμον κατειργάσατο κιβδηλεύσας αὐτό. Ναοῖς δὲ καὶ τεμένεσι καὶ εὐκτηρίοις οἴκοις καὶ φροντιστηρίοις ἱεροῖς ὡς οὐ πολλοὶ τὸ φιλότιμον ἐπεδείξατο· τοὺς γὰρ χρόνῳ καμόντας ἀνώρθωσε, καὶ τοῖς ἐκ ψηφίδων καὶ χρωμάτων ὡραϊσμοῖς κατεκόσμησε. Πρὸς δὲ τὴν Θεομήτορα τοσαύτην ἔτρεφε πίστιν, ὡς ἐκκεχῦσθαι τὴν ψυχὴν ταῖς εἰκόσιν αὐτῆς, καὶ διὰ τοῦτο πλείστας χρυσίῳ καὶ λίθοις τιμίοις καταχοσμήσας ἀνέθηκε ναοῖς εἰς προσκύνησιν. Καὶ τὴν

ἐν τῷ λιμένι τῶν Σοφιανῶν οἰκίαν τοῦ Σεβαστοκράτορος εἰς πανδοχεῖον μετασκευάσας ἀνδρῶν ἑκατὸν, τράπεζαν καὶ κλίνας ἀνέθετο, καὶ ἱπποζυγίων τοσούτων ἱππῶνας, καὶ εἱστιῶντο καθ' ἑκάστην οἱ παραβάλλοντες ἀδοτί. Μετέβαλε δὲ εἰς νοσοκομεῖον καὶ τοὺς βασιλικοὺς δόμους οὓς κατὰ τὸν νεὼν τῶν Τεσσαράκοντα μαρτύρων ὁ τύραννος Ἀνδρόνικος ἤγειρεν. Ἔτι δὲ καὶ τοῦ μεγάλου Δρουγγαρίου οἶκον ἐκ τοῦ δεσπόζοντος ὠνησάμενος, ὁμοίως καὶ τοῦτον εἰς ἀνάπαυσιν τῶν ἀσθενούντων ἀπέταξε, μηδενὸς φεισάμενος τῶν ὅσα πρὸς ῥῶσιν αὐτοῖς. Καὶ ὑπὸ πυρὸς πολλοὺς τῶν Πολιτῶν ἐς δόμους ζημιωθέντας, παρεκάλεσε, καὶ βασιλεύσας, πέντε κεντηνάρια χρυσίου τοῖς Πολίταις διένειμε· πολλάς τε χηρείαν παθούσας δι εὐποιΐας ἀνεκτᾶτο, καὶ παρθένοις τὰ πρὸς γάμον ἐπιτήδεια ἐχορήγει. Οὐ μόνον δὲ καθ' ἕνα καὶ κατ' οἴκους καὶ συγγενείας φιλοδωρίας παρεῖχεν, ἀλλὰ καὶ πόλεις ὅλας ἔστιν ὅτε εὐηργέτει ταῖς τῶν φόρων ἀνέσεσι. Κατάφορος δὲ ὢν εἰς θυμὸν, οὐδὲ τοῦ συμπαθεῖν ἀπείχετο, ἀλλὰ τῇ ὀργῇ σύνδρομον πολλάκις ἐπέφερε τὴν συμπάθειαν.

Ὃ δὲ τοῦτον καὶ μετὰ τὴν τῆς ἀρχῆς ἀπόθεσιν ἀγαπώμενον ἔθετο, τοῦτο ἐρεῖν ἄξιον· μὴ φέρων τὰς μετὰ Σκυθῶν τῶν Βλάχων ἐπιδρομὰς, πληττόμενος δὲ καὶ τῷ τὸν Γίδον Ἀλέξιον (ὃς ἡγεῖτο τῶν ἑῴων ταγμάτων), καὶ τὸν Βατάτζην Βασίλειον (τῶν ἑσπερίων δὲ στρατιωτῶν οὗτος ἦρχε), συμπλακέντας τοῖς πολεμίοις ἐγγὺς τῆς Ἀρκαδιουπόλεως, τὸν μὲν Γίδον ἀκόσμως φυγεῖν ἀπολέσαντα τὸ κρεῖττον τῆς στρατιᾶς, τὸν δὲ συνδιαφθαρῆναι ταῖς ὑπ' αὐτὸν τάξεσιν, ἔγνω καὶ πάλιν δι ἑ-
105 αυτοῦ κατὰ τῶν ἀντιπάλων ἐλθεῖν. | Συλλογαὶ οὖν Ῥωμαϊκῶν στρατευμάτων ἐγίνοντο, καὶ μισθοφορικὸν συνήγετο, καὶ πρὸς τὸν πενθερὸν αὐτοῦ πέμψας, τὸν ῥῆγα Οὐγγρίας, δι ἐπικούρων ᾐτεῖτο βοήθειαν· ὁ δὲ ἀσμένως ἐπένευσε, καὶ διὰ τῆς Βιδύνης ἱκανοὺς ἐκπέμψας συνέθετο· ἀποχρῶσαν οὖν τὴν συλλογὴν τῶν ὁπλιτῶν ἐργασάμενος, ἔξεισι κατὰ τὸν μάρτιον τῆς βα-

σιλίδος τῶν πόλεων, κατὰ τῶν βαρβάρων στηρίξας τὸ πρόσωπον, ὅρον τῆς ἐπαναστροφῆς θέμενος τὸ πέρας τῶν ἔργων ὧν χάριν κατὰ τῶν ἀποστατῶν ἐπορεύετο. Οὕτω μὲν οἱ ὀφθαλμοὶ τοῦ αὐτοκράτορος ἐπὶ τοὺς παραπικραίνοντας ἔβλεπον Βλάχους· ὁ δὲ τοῦτον καθαιρήσων τῆς ἀρχῆς ἐγγὺς ὢν παρεβλέπετο. Ἐπιβουλεύειν γὰρ τῇ αὐτοῦ ἀρχῇ τὸν ἀδελφὸν αὐτοῦ Ἀλέξιον παρὰ πλείστων ἀκούων, ὡς λῆρον ἀπεπέμπετο τὰ λεγόμενα, δριμὺς ὢν τοῖς ταῦτα λέγουσιν, ὡς τὴν εἰς τὸν κασίγνητον στοργὴν διαφθονουμένοις, ὅν μόνον ἀπὸ πάντων ὁ λωβητὴρ Ἀνδρόνικος ἀσινῆ εἴασεν.

Ἀφιγμένος τοίνυν εἰς Ραιδεστὸν, ἐκεῖ τὴν Κυριώνυμον ἐκτελεῖ τῆς ἀναστάσεως ἑορτὴν, ἔνθα καὶ τῷ Βασιλακίῳ συγγίγνεται· ἦν δ' οὗτος ἀλλότροπόν τινα βίοτον μετιὼν, δόξαν τε ἔχων προβλέπειν καὶ προλέγειν τὰ ἔμπροσθεν· ὅθεν καὶ τὰ πλήθη πρὸς τοῦτον συνέρρεον· σαφὲς δὲ οὐδὲν οὗτος περὶ τῶν ἐσομένων ἐφθέγγετο. Ἐδόκει οὖν ὁ ἀνὴρ οὗτος τοῖς πολλοῖς προσημαίνων τὰ συμβησόμενα ὡς προφήτης, τοῖς δ' εἰς νοῦν βάπτουσι, περίεργον, καὶ ληρῶδες γερόντιον· εἰσὶ δ' οἵ τινες καὶ πνεύματι Πύθωνος ἔλεγον κάτοχον. Τότε γοῦν ἐπιστάντι τῷ βασιλεῖ, οὔτε ἀξίως προσέσχεν, οὔτε τὴν ἀπόκρισιν πρὸς τὴν προσαγορείαν ἔθετο, ἥτις ἦν « Χαίροις, ὦ πάτερ Βασιλάκιε· » ἀλλ' οὐδὲ σιωπῇ κατησπάσατο, κατανεύσας τὴν κεφαλὴν, ἀλλ' ὧδε κἀκεῖσε μεταφερόμενος, ἐκακολόγει τοὺς προσιόντας, μηδ' αὐτοῦ τοῦ κρατοῦντος φειδόμενος. Μόλις δὲ τῶν ἀτάκτων λήξας κινήσεων, ἀχρειοῖ διὰ τῆς ῥάβδου ἣν ἔφερε τὴν εἰκόνα τοῦ βασιλέως (ἥτις ἦν κατὰ τὸ εἰς εὐχὴν αὐτῷ οἴκημα ἀποτεταγμένον χρώμασι ἐπὶ τοίχου ἐστηλωμένη), τοὺς ὀφθαλμοὺς λωβησάμενος. Ἤθελε δὲ καὶ τὸν τῇ κεφαλῇ πῖλον ἀφελέσθαι τοῦ βασιλέως. Ταῦτα μὲν ὁ Βασιλάκιος ἔπραξεν. Ὁ δὲ αὐτοκράτωρ ἀφροσύνην τοῦ ἀνδρὸς καταγνοὺς, ἐκεῖθεν μεθίσταται· τισὶ δὲ οὐκ εἰς καλὸν ἀφορᾶν τὰ πραχθέντα ἔδοξεν.

Ὡς δ' εἰς τὰ Κύψελα ὁ κρατῶν ἐγεγόνει, τὰ μὲν τῶν στρατευμάτων εἰς τάξεις συνέταττε, τὰ δὲ καραδοκῶν προσέμενεν ἀφικέσθαι. Τῶν δ' εὐγενῶν συχνοὶ τὰς μεταβολὰς τῶν πραγμάτων ὡς συμφερούσας αὐτοῖς κατανοήσαντες, τὰ ἐν τῇ ψυχῇ τούτων εἰς φῶς ἐξήνεγκαν. Τοίνυν ὁ μὲν αὐτοκράτωρ εἰς κυνηγέσιον ἀπιών, μετεπέμπετο καὶ τὸν ἀδελφὸν Ἀλέξιον· ὁ δὲ τὴν φλέβα τεμεῖν χρῄζειν φάμενος, οὐ συνεξῆλθε τῷ βασιλεῖ. Ἔξεισιν οὖν καὶ τῆς προκειμένης ἔχεται. Οἱ δὲ τῆς ἑταιρείας Ἀλεξίου, ὡς εἶδον τὸν βασιλέα ὡσεὶ τρεῖς σταδίους προϊόντα, συναρπάζουσι τὸν Ἀλέξιον, καὶ εἰς τὴν βασίλειον σκηνὴν εἰσαγαγόντες ἀνηγόρευσαν αὐτοκράτορα· προσχωρεῖ δὲ αὐτίκα τούτῳ καὶ ἅπαν τὸ στρατιωτικόν, καὶ ὁπόσον Ἰσαακίῳ θεραπευτικὸν καὶ οἰκίδιον, καὶ ὅσοι εἰς βουλῆς ἀξίωμα ἤρθησαν.

Ὁ δὲ Ἰσαάκιος τὰς ἀσήμους φωνὰς ἐνωτισάμενος, εἶτα καὶ κατὰ τὴν βασιλικὴν αὐλὴν τὴν τῶν πολλῶν θεασάμενος συνδρομήν, καὶ τὴν ἀνάρρησιν τοῦ ἀδελφοῦ ἐνηχούμενος καὶ ἀγγέλους τῶν τολμωμένων ἰδών, ἔστη τοῦ δρόμου, καὶ τὸ τοῦ σταυροῦ σημεῖον ἑαυτῷ ἐγχαράξας, «Ἵλεως εἴης, Χριστὲ βασιλεῦ» ἀνεβόησεν· ἐξενεγκὼν δὲ καὶ ὃ εἶχεν ἐγκόλπιον τὴν Θεομήτορα εἰκονίζον, πυκνὰ τοῦτο περιεπτύσσετο, τὰ μὲν ἀνθομολογούμενος, τὰ δὲ καὶ ἐξιλεούμενος. Ἐπεὶ δὲ καὶ τοὺς συλλαβεῖν αὐτὸν μέλλοντας ἑώρα πρὸς τὴν αὐτοῦ κατάσχεσιν σπεύδοντας, φεύγειν ἤρξατο, καὶ τὸν ποταμὸν ὃς Μαρίτζα καλεῖται ἐπικινδύνως διαβάς, εἴχετο τῆς ὁδοῦ· ἀφιγμένος δὲ κατὰ Στάγειραν (ἥτις Μάκρη κατονομάζεται) συλλαμβάνεται καὶ καταπροδίδοται τοῖς ἐπιδιώκουσι, καὶ κατὰ τὴν ἐν Βήρᾳ μονὴν τοὺς ὀφθαλμοὺς ἐξορύττεται. Καὶ τὸν μὲν εἶχε, μετὰ τὸ πάθος ἐφ' ἡμέρας μὴ προσενεγκάμενον σῖτα, τῶν βασιλείων ἔνδοθι κάθειρξις, καὶ αὖθις τὰ κατὰ τὸν Διπλοῦν Κίονα ἐνδιαι-
105v. τήματα [, τὸν δ' ἀδελφὸν ἡ βασιλεία μετὰ εἰρηναίας καὶ ἀστασιάστου τῆς καταστάσεως.

Ἦρξε δὲ Ῥωμαίων Ἰσαάκιος ἐνιαυτοὺς ἐννέα σὺν μησὶν ἑπτά, οὔπω τεσσαράκοντα ἔτη ἔχων ἀπὸ γεννήσεως, ὅτε καθῄρητο τῆς ἀρχῆς. Οὕτω μὲν ὁ Ἰσαάκιος τῆς ἀρχῆς καταστρέφεται, οὐ γνώμῃ τοῦ αὐταδέλφου, ὥσπερ ἐλέγετο, ἀλλὰ βίᾳ καὶ συνδρομῇ τοῦ στρατεύματος, ξίφη κατ' αὐτοῦ σπασαμένων καὶ διαπειλησαμένων θάνατον, εἰ μὴ τὴν ἀρχὴν καταδέξεται.

Βασιλεύσας δὲ οὐκ εὐθὺς εἰς τὴν μεγαλόπολιν ἔρχεται, ἀλλὰ τοῖς κατὰ Δύσιν προσέχει κακῶς πάσχουσιν ὑπὸ τοῦ Ἀσὰν καὶ τοῦ Πέτρου. Τῇ γυναικὶ δὲ δῆλον θέμενος τὸ συμβάν, πρὸς ὁρμὴν εἶχε μίαν τὸ τῆς πολιτείας πλήρωμα καὶ τὸ τῆς συγκλήτου μέρος ἀνευφημοῦντας αὐτόν. Ἐπεὶ δὲ καὶ πρὸς τὸ Μέγιστον ἀρχεῖον ἡ δούκαινα Εὐφροσύνη ἄρασα ἤλαυνε, τότε τινὲς τῶν βαναύσων φιλοτάραχοι, φατρίαν κροτήσαντες, τινὰ Κοντοστέφανον Ἀλέξιον ἀναγορεύουσιν αὐτοκράτορα, ἀστροθεάμονα, πάλαι τῇ ἀρχῇ ἐνεδρεύοντα. Τῆς δὲ βασιλίδος Εὐφροσύνης καὶ οὕτω τὸ Μέγα παλάτιον εἰσιούσης, τινὲς τῶν ἐκ γένους κρείττονος ἐκείνῃ ἐφεπομένων, κατὰ τοῦ Κοντοστεφάνου ὥρμησαν, καὶ αὐτίκα τῶν περὶ αὐτὸν διασκεδασθέντων, αὐτὸς συλληφθεὶς τῇ φρουρᾷ παραδίδοται· καὶ τὸ τῆς ἐκκλησίας δὲ πλήρωμα τὸν Κομνηνὸν Ἀλέξιον βασιλέα εὐφήμισαν, καὶ οὐδεὶς ἦν ἀμφιγνωμῶν ἐκ τούτου, ἀλλὰ πάντες τὸ Μέγα καταλαμβάνοντες ἀρχεῖον τῇ δουκαίνῃ Εὐφροσύνῃ ὡς βασιλίδι τὴν προσκύνησιν ἀπεδίδοσαν.

Μεθ' ἡμέρας δέ τινας καταλαμβάνει τὴν μεγαλόπολιν καὶ αὐτὸς, οὐ πᾶσιν ἀσπασίως διὰ τὸ συμβὰν ἐς τὸν ἀδελφόν. Ἐλθὼν δὲ καὶ εἰς τὴν Μεγάλην ἐκκλησίαν, καὶ τὸ τῆς αὐτοκρατορίας περιθέμενος στέφος, ἔξεισιν ἐκεῖθεν ἐπιβησόμενος τοῦ ὀχήματος· προσάγεται οὖν ὁ ἵππος παρὰ τοῦ πρωτοστράτορος· ὁ δὲ ἀπεσείετο τὸν ἐπιβάτην· μετὰ πολλὰ οὖν περιποππίσματα, ὁ μὲν βασιλεὺς ἐπ' αὐτὸν ἀνεπήδησε, καὶ ἐπελάβετο τῶν ἡνίων, ὁ δὲ ὥσπερ ἠπατημένος ἠτάκτει τοῦ προτέρου

πλέον, καὶ τοὺς πόδας ἀνίστη, καὶ οὐκ ἐπαύσατο ἀτακτῶν, ἕως τοῦ καταπεσεῖν ἐπὶ γῆν τὸν ἐπὶ τῆς κεφαλῆς τοῦ βασιλέως στέφανον. Ἵππου τοίνυν ἑτέρου προσενεχθέντος, ἐπέβη καὶ ἐπόμπευσεν οὐ μεθ' ὑγιοῦς τοῦ στεφάνου· ὡς γὰρ πέπτωκε, συνεθραύσθησαν τούτου μέρη τινά. Συνεπόμπευον δὲ τῷ βασιλεῖ τῷδε καὶ οἱ ἐπὶ θυγατράσι δύο γαμβροί, ὅ τε Κοντοστέφανος Ἀνδρόνικος καὶ ὁ Κομνηνὸς Ἰσαάκιος, καὶ ὁ πρὸς μητρὸς θεῖος Ἰωάννης ὁ Δούκας, ᾧ καὶ συνέβη τι τότε τοιοῦτον· μὴ γάρ τινος διαταράξαντος τὴν ἡμίονον, ἥτις αὐτῷ ὄχημα, τὸν σεβαστοκρατορικὸν ἀπεβάλετο στέφανον, ἐκ τῆς κεφαλῆς καταπεσόντα εἰς ἔδαφος· πρὸς ὃ οἱ μὲν θεώμενοι ἐξεβόησαν, ἐψιλωμένον τὴν κεφαλὴν τριχῶν ὡς φαλακρὸν κατιδόντες· ὁ δὲ πρᾴως τὴν ἐπ' αὐτῷ τῶν πολλῶν διάχυσιν ἔφερεν.

Ἐνδιατρίψας δὲ τοῖς ἀρχείοις ὁ βασιλεύς, καὶ πολλοὺς δωρεαῖς καθηδύνας, διαπεραιοῦται εἰς τὴν Ἀνατολήν· ἤκουσε γὰρ ὡς Ἀλέξιός τις ἐκ Κιλικίας τῷ τοῦ βασιλέως Ἀλεξίου, ὃν ὁ Μανουὴλ ἐγέννησεν, ἑαυτῷ περιθέμενος ὄνομα, τῷ τῆς Ἀγκύρας σατράπῃ Πέρσῃ προσῆλθε, καὶ προσδεχθείς, δέχεται δύναμιν Ῥωμαίοις ἀντικαθίστασθαι. Ἀφικόμενος οὖν παρὰ τὰ Μελάγγεια, καὶ βασιλεὺς αὐτοκράτωρ παρὰ τῶν ἐκεῖ πολιχνίων εὐφημηθείς, ἐπανέζευξεν εἰς τὴν μεγαλόπολιν, πυρὶ παραδοὺς τινὰ τῶν φρουρίων καὶ ὅσα τῷ ἀποστάτῃ προσῆλθον, ὃς καὶ μικρὸν ἀποσφάττεται.

Ἕτερον δέ τι ἐπανεφύη κακόν. Ὁ Κομνηνὸς Ἰσαάκιος, ὃς ἐτυράννει τῆς Κύπρου καὶ πρὸς τοῦ ῥηγὸς Ἰγγλινίας καθῃρέθη, καὶ τεθνάναι ἐλέγετο, οὗτος ἀπαλλαγεὶς δεσμῶν καὶ φρουρᾶς τῆς Λατινικῆς, τῷ τῶν Ἰκονιέων σουλτάνῳ τῷ Καϊσχοσρόῃ προσέρχεται, καὶ ξενίας τυχών, τὸν τῆς τυραννίδος ἔρωτα, ὃν ἐκ παλαιοῦ εἶχεν, ἀνέφλεγεν. Ἀνεκαλεῖτο μὲν οὖν πρὸς τοῦ βασιλέως, τῆς βασιλίδος Εὐφροσύνης ἐναγούσης αὐτὸν δι' ἣν εἶχε πρὸς ἐκεῖνον συγγενείας ἐγγύτητα· ὁ δὲ ἀπεδυσ-

πέτει καὶ πρὸς μόνην τὴν τῶν ἐπιστελλομένων ἀκρόασιν, βασιλεύειν, οὐ βασιλεύεσθαι λέγων εἰδέναι. Γράμματα τοίνυν πυκνὰ διεπέμπετο πρὸς τοὺς ἐν Ἀσίᾳ πρωτεύοντας |, πολλὰ καὶ [φ. 1] μέγιστα ὑπισχνούμενος, εἰ τοῦ τῆς βασιλείας ὀνόματος ἐπιτεύξεται· ἀλλ' οὔτε ὁ σουλτάνος αὐτῷ προσέσχηκεν ὥσπερ ἠβούλετο (ἤθελε δὲ αὐτὸν ἐκεῖνον τὸν Περσάρχην μετ' αὐτοῦ στρατεῦσαι κατὰ Ῥωμαίων,) οὔτε οἷς προσέγραφεν ὅλως αὐτοῦ ἐπεστράφησαν. Ἀλλ' ὢ τῶν τοῦ θεοῦ κριμάτων! μετὰ μικρὸν ἀπέρρηξε καὶ αὐτὸς τὴν ψυχὴν, καὶ τοῖς λοιποῖς προσετέθη τυράννοις, οὓς χεὶρ Κυρίου ἠφάνισεν.

Ὁ δὲ βασιλεὺς πλείω τῶν Δυτικῶν χωρῶν φροντίδα τιθέμενος, μετὰ πλείστης στρατιᾶς τὸν Ἀσπιέτην Ἀλέξιον ἐξαπέστειλεν· οὐχ ὡς ἔδει δὲ καὶ οὗτος τὸν πόλεμον συγκροτήσας, ὑπὸ τῶν Βλάχων ἁλίσκεται. Καὶ πάλιν ὁ βασιλεὺς τὸν ἑαυτοῦ γαμβρὸν Ἰσαάκιον τὸν σεβαστοκράτορα μετὰ μείζονος στρατεύματος ἔπεμψε· πλὴν καὶ οὗτος νέος ὢν, καὶ κατορθώματι ἐπαρθεὶς, μὴ προεξετάσας τὴν τῶν πολεμίων δύναμιν, συνάπτει μάχην, καὶ ὁ Ἀσὰν εἰς λόχους τὸν οἰκεῖον στρατὸν καταμερισάμενος, τροποῦται τὸν Ἰσαάκιον, ἱκανῶς μὲν ἀγωνισάμενον, ὑπὸ δὲ Σκύθου τινὸς χειρωθέντα.

Τότε τις τῶν δορυαλώτων Ῥωμαίων ἱερεὺς ἐδεῖτο τοῦ Ἀσὰν ἀνεθῆναι, ὡς ἴδρις τῆς τῶν Βλάχων φωνῆς· ὁ δὲ εἴρηκε, μηδέποτε θελῆσαι Ῥωμαίους ἐλευθεροῦν, ἀλλὰ θανατοῦν. Πρὸς ὃ τὸν ἱερέα μετὰ δακρύων στενάξαντα ἀνθυπενεγκεῖν, ἀνθ' ὧν οὐκ ἐμνήσατο ποιῆσαι ἔλεος μετὰ πένητος δι' ἱερωσύνης θεῷ πλησιάζοντος, μηδὲ αὐτὸν ἐλεηθῆναι παρὰ θεῷ, ἀλλὰ καὶ τὴν καταστροφὴν αὐτοῦ γενέσθαι τάχιον. Καὶ οὐ διέπεσεν ὁ λόγος τοῦ ἱερέως· μικρῷ γὰρ ὕστερον παρά τινος τῶν οἰκείων διαχειρίζεται.

Ἦν δ' οὗτος ὁ τρόπος τῆς αὐτοῦ ἀναιρέσεως. Ἀνήρ τις ὁμογενὴς αὐτῷ καὶ ὁμότροπος, Ἰβαγκὸς ὄνομα, ἐλέγετο τῇ

γυναικαδέλφῃ τούτου λάθρα συνέρχεσθαι. Πυθόμενος οὖν τὰ τῆς μίξεως, πρῶτα μὲν τὴν γαμετὴν εἰς εὐθύνην καθίστησιν, εἶτα τὸν χόλον εἰς τὸν Ἰβαγκὸν μετατίθησι, καὶ ἀωρὶ τῶν νυκτῶν μεταπέμπεται τοῦτον· ὁ δὲ πτοηθεὶς εἰς τὴν αὔριον τὴν ἄφιξιν ὑπερτίθεται. Τοῦ δὲ Ἀσὰν ἀναγκάζοντος, βουλῇ τῶν προσγενῶν ὁ Ἰβαγκὸς ρομφαίαν ἐντὸς τῶν ἱματίων αὐτοῦ περιζωσάμενος ἀπέρχεται πρὸς αὐτὸν, καὶ μηδὲν ἐπ' αὐτῷ μέτριον φρονοῦντα εὑρὼν τὸν Ἀσὰν, ἀλλὰ καὶ θάνατον ἐπαγαγεῖν μελετῶντα, προφθάνει οὗτος ὅσα μέλλει παθεῖν ἐκείνῳ ἐπαγαγεῖν, καὶ πλήξας καιρίαν, ἐστέρησε τῆς ζωῆς τὸν πολλοὺς τῷ ᾅδῃ προπέμψαντα. Οὐκοῦν καὶ διαδρὰς Ἰβαγκὸς, πρόσεισι τοῖς τοῦ ἔργου συνίστορσι, καὶ σὺν αὐτοῖς πρὸς ἀποστασίαν ὁρᾷ· καὶ πολλῶν συνδραμόντων, κρατεῖ τοῦ Τερνόβου (αὕτη δέ ἐστιν ἡ τῶν κατὰ τὸν Αἷμον ὀχυρότητι καὶ περιφανείᾳ διαφέρουσα πόλις, ἐπ' ὄρους κειμένη καὶ ποταμῷ περιλαμβανομένη κύκλῳ). Ἀνθίσταται τούτῳ Πέτρος ὁ τοῦ Ἀσὰν ἀδελφός. Ὡς δὲ χρονοτριβεῖν οὐκ εἶχεν ὁ Ἰβαγκὸς, οὐδ' ἴσχυε πρὸς τὸν ἀνθιστάμενον, ἀεὶ πλείω περιβαλλόμενον δύναμιν, δεῖν ἔγνω προσδραμεῖν τῷ βασιλεῖ τῶν Ῥωμαίων, καὶ διὰ τῆς ἐκ τούτου συνάρσεως περιγενέσθαι τῶν ἀντιπάλων.

Ἐλέγετο δὲ καὶ εἰσηγήσεσι τοῦ σεβαστοκράτορος Ἰσαακίου ἀναιρεθῆναι παρὰ τοῦ Ἰβαγκοῦ τὸν Ἀσὰν, ἄλλαις τε πολλαῖς ὑποσχέσεσι πρὸς τοῦτο αὐτὸν παραθήξαντος, καὶ τῷ ὑποσχέσθαι εἰς γυναῖκα αὐτῷ δοῦναι τὴν οἰκείαν θυγατέρα Θεοδώραν· πλὴν ἀλλ' ὁ μὲν σεβαστοκράτωρ καὶ πρὸ τοῦ φόνου τοῦ Ἀσὰν ἐναφῆκε τοῖς δεσμοῖς τὴν ψυχήν· ὁ δ' Ἰβαγκὸς δεδήλωκε τῷ βασιλεῖ τὸ γενόμενον, καὶ στεῖλαί τινα ᾔτησε τὸν παραληψόμενον τὸν Τέρνοβον.

Στέλλει οὖν ὁ βασιλεὺς τὸν πρωτοστράτορα τὸν Καμμύτζην· ὁ δὲ μετὰ τῶν συνεπομένων αὐτῷ δυνάμεων | ἄκροις ποσὶ τῶν ὀρῶν τῆς Μυσίας ἀψάμενος, αὖθις ὑπέστρεψεν. Ὁ-

θεν καὶ πλείονος στρατιᾶς ἀθροισθείσης, εἴχοντο τοῦ ἔργου· οὐκ ἦν δὲ προβῆναι τοῦτο εἰς πέρας.

Ἀπειρηκὼς οὖν ὁ Ἰβαγκὸς, ἔξεισι τῆς Μυσίας λάθρα καὶ πρόσεισι τῷ βασιλεῖ. Καὶ ὁ Πέτρος καθαρῶς τὴν ἀρχὴν κατέσχε, καὶ ἑαυτῷ ἐκρατύνατο· πλὴν οὐδ' οὗτος φυσικῷ θανάτῳ τὴν ζωὴν ἐξεπέρανεν, ἀλλά τις τῶν ὁμοφύλων καὶ τοῦτον ἀπέσφαξεν. Ἡ δὲ τῶν Βλάχων ἀρχὴ βλέπει πρὸς Ἰωάννην τὸν τρίτον τῶν ἀδελφῶν. Τότε δὲ ὁ Πέτρος συμμεριστὴν τῆς δυναστείας τὸν Ἰωάννην προσλαβόμενος, τὰ Ῥωμαίων ὅσον ἐδύνατο ἐλυμαίνετο.

Ὁ οὖν Ἰβαγκὸς τῷ βασιλεῖ προσιὼν, χρήσιμος εἰς πολλὰ τοῖς Ῥωμαίοις ἐγένετο, εὐμήκης ὢν τὴν ἡλικίαν, καὶ τὴν ῥώμην ἀκμαῖος, καὶ τὸ ἦθος ἀκρόχολος, ὡς αἱμάτων ἀνήρ. Ἀλλὰ καὶ τῆς μνηστείας οὐκ ἀνάξιον κρίνας ὁ βασιλεὺς τοῖς μέγα δυναμένοις συγγενέσιν ἐνέγραφε, τὸν γάμον ὑπερτιθέμενος εἰς καιρὸν, ἔτι γὰρ ἡ νύμφη ἐψέλλιζε. Τὰ πλεῖστα μέντοι οὗτος τοῖς περὶ τὴν Φιλιππούπολιν διέτριβε μέρεσι, καὶ ἦν ἀγαπητὸν Ῥωμαίοις ἀντίφραγμα τῶν ἐκ τοῦ γένους ἐκείνου Βλάχων καὶ τῶν Σκυθῶν, καὶ βασιλεῖ δὲ συστρατεύων διαφερόντως ἐδόκει δραστήριος.

Ἀλλ' οὔπω χρόνος τρέχει πολὺς καὶ ὁ τῶν Ἀλαμανῶν ῥὴξ Ἀμερίγος, ὁ τοῦ Φρεδερίχου υἱὸς, τὴν πατρῴαν ἀρχὴν εἰληφὼς, Σικελίαν τε ὑποτάξας καὶ Ἰταλίαν, καὶ Ῥωμαίοις ἐπεφύετο, νεωτέρων πραγμάτων ὢν ἄτοπος ἐραστής. Καὶ πέμψας πρέσβεις πρὸς Ἰσαάκιον, ἔτι τὴν βασιλείαν κατέχοντα, αἰτίας ἀνέπλαττε διαστάσεως, ἑαυτῷ προσοικειῶν, ὡς Σικελίας ἄρχοντι, τὰς ἐξ Ἐπιδάμνου ἄχρι τῆς Θεσσαλονίκης πάσας χώρας Ῥωμαϊκὰς ὡς ὑποκυψάσας νόμῳ πολέμου τῷ ἐκ Σικελίας στρατῷ. Ἀνεκίνει δὲ καὶ τὰς τοῦ πατρὸς ἀπερχομένου εἰς Παλαιστίνην κατὰ πάροδον λύπας, ἀλλὰ καὶ ὅσαις ἐκεῖνος προσεπάλαισε θλίψεσιν, ἀφιστάμενος ἀπὸ τῆς παλαιτέρας Ῥώμης,

ταῖς τοῦ βασιλέως Μανουὴλ ἀγχινοίαις. Καὶ ταῦτα ἀνακινῶν ἤθελε Ῥωμαίους χρήμασι τὴν εἰρήνην ὠνήσασθαι, ἢ πολεμησείοντα τοῦτον ἐκδέχεσθαι. Πρέσβυν οὖν ἄνδρα τῶν οὐκ ἀσήμων τοῦ βασιλέως πρὸς αὐτὸν στείλαντος, καὶ ἀπολογησαμένου ὅσα εἰκὸς, πρέσβεις ἐκεῖθεν αὖθις ἀφίκοντο, ὧν ἕτερος βαρὺς ἦν καὶ περιττὸς [τὴν] ὀφρὺν, ὡς τοῦ ῥηγὸς παιδοκόμος. Ἦν δὲ τὰ δι' αὐτῶν δηλούμενα, χρημάτων ἀποδόσεις πολλῶν, ἀλαζονεῖαί τε καὶ κόμποι, καὶ αὐχημάτων κατάλογος.

Βασιλεὺς τοίνυν, (ἦρχε δὲ ὁ Ἀλέξιος), κατένευσεν οὐ πράγματι, ἀλλὰ σχήματι, χρημάτων τὴν εἰρήνην ἀλλάξασθαι. Πρέσβυν οὖν πέπομφε πρὸς τὸν ῥῆγα τὸν Φιλοκάλην Εὐμάθιον, ἔπαρχον ὄντα τῆς Πόλεως, δεηθέντα μετὰ τῶν ἐπαρχικῶν παρασήμων τὴν πρεσβείαν ποιήσασθαι· τὰ δὲ χρήματα εἰς δέκα πρὸς τοῖς ἓξ περιέστησαν κεντηνάρια, ὧν καὶ τὴν ἀποστολὴν κατὰ Σικελίαν ὁ Φιλοκάλης προσεδέχετο.

Ὁ δὲ θεὸς λύει τὴν δόσιν, ἐξ ἀνθρώπων τὸν ῥῆγα θανάτῳ θέμενος· ὁ δὲ τούτου μόρος μικροῦ πᾶσιν ἀσπάσιος γέγονε Σικελοῖς, οἳ τὰ χείριστα παρ' αὐτοῦ ἔπαθον· καὶ ὁ πρὸς Ἀντωνίνους καὶ Αὐγούστους καίσαρας ἑαυτὸν παρομοιοῦσθαι λέγων, καὶ κύριος τῶν κύκλῳ καὶ μονοκράτωρ καταστῆναι βρενθυόμενος, ἠλέγχετο μηδὲν ὤν. Πρὸ δὲ τοῦ θανάτου ἐπεβουλεύθη παρά τινων, οὓς καὶ κρατήσας οἰκτρότατα ἐστέρησε τῆς ζωῆς, |τὸν μὲν| καχλάζοντι λέβητι ἐμβαλὼν, τὸν δὲ ὁλοκαυτώσας πυρὶ, ἕτερον δὲ σάκκῳ περισχὼν καὶ ἀφέμενος κατὰ βυθοῦ, τὸν δέ γε πρὸς ἡγεμονίαν ἐπιλεγέντα, στέφος ἐκ χαλκοῦ ἐπιτάξας γενέσθαι, ὀπὰς ἔχον ἴσας τοῖς πέρασι, τοῦτο περιτίθησι τῇ αὐτοῦ κεφαλῇ, καὶ ἥλους διὰ τῶν ὀπῶν ἐμβαλὼν πηγνυμένους τῇ κεφαλῇ, οὕτω βαδίζειν ἀφῆκεν, εἰπὼν « ἔχεις ὃν ἐ-
97. δίωκες στέφανον· | ἀπόλαυε τοῦ ἐφετοῦ σοι »· ὁ δὲ σκοτοδίνης πλησθεὶς καὶ πρηνὴς πεσὼν, ἐναπέρρηξε τὴν ψυχήν.

Κατὰ δὲ τὴν ἅλωσιν τῆς Σικελίας ἀπήχθη καὶ ἡ θυγά-

τηρ Ἰσαακίου τοῦ αὐτοκράτορος δορύκτητος, ἧς ἡ κλῆσις Εἰρήνη, καὶ ἡρμόσθη Φιλίππῳ τῷ τοῦ ῥηγὸς Ἀλαμανίας ἀδελφῷ, ἀποβαλοῦσα θανάτῳ τὸν σύννευνον, ὃς ἦρξε Σικελίας μετὰ θάνατον τοῦ τεκόντος αὐτὸν Ταγκρέ.

Ἐπεφύη δὲ τῇ Ῥωμαίων τότε κακὸν ἕτερον. Γεννουΐτης τις Καφούρης ὄνομα, ὃς νῆας κινήσας μακρὰς καὶ πλοῖα ἔχων στρογγύλα, τὰς παραθαλαττίους ἔκειρε πόλεις, καὶ τὰς νήσους ἐτίθει κακῶς. Στέλλεται οὖν κατὰ τοῦ Καφούρη μετὰ τριάκοντα νηῶν ὁ Στειριόνης Ἰωάννης, κακοδαιμονεῖ δέ· θέλων γὰρ κατασοφίσασθαι τὸν ἀντίπαλον, αὐτὸς ὑπὸ τούτου κατασοφίζεται· λαθρηδὸν γὰρ ἐπιστὰς ὁ Καφούρης, εὗρε τὰς Ῥωμαϊκὰς περὶ τὸν Σιγὸν ποταμὸν κεκενωμένας τοῦ ναυτικοῦ, καὶ ἁπάσας μετὰ τῶν ὅπλων ὧν εἶχον ἔνδοθεν καταστρέφει. Ἐκ δὲ τούτου ἀδεέστερον ἐπιὼν, τάς τε παραλίους χώρας ἐδῄου, καὶ φόρους συνέλεγεν. Ὁ τοίνυν βασιλεὺς ἄλλας τριήρεις καταρτισάμενος, καὶ τῷ Στειριόνῃ παραδεδωκὼς μετὰ τῶν ἀπὸ τῆς Πίσσης, κατὰ τοῦ Καφούρη ἐξέπεμψεν. Ἐφίσταται τοίνυν τῷ πολεμίῳ ἀπροσδόκητος ὁ Στειριόνης, καὶ μάχην συνάψας τόν τε Καφούρην ἑλὼν ἀναιρεῖ, καὶ τὰς νῆας ἐκείνου, πλὴν τεσσάρων, αἱρεῖ· ταύτας δὲ ὁ ἐκείνου ἦγεν ἀνεψιός.

Τότε καὶ αἱ μετὰ τοῦ σουλτάνου τοῦ Ἰκονίου σπονδαὶ εἰρηνικαὶ παρεβάθησαν ἐξ αἰτίας τοιᾶσδε. Δύο ἵππους Ἄρραβας ὁ τῆς Αἰγύπτου σουλτάνος πέμπει τῷ βασιλεῖ, καὶ τούτους ὁ τοῦ Ἰκονίου σουλτάνος ἀφείλετο· ὁ δὲ βασιλεὺς κελεύει τοὺς ἀπὸ τοῦ Ἰκονίου εἰς τὸ Βυζάντιον εὑρισκομένους ἐμπορίας χάριν Τούρκους τε καὶ Ῥωμαίους φυλακαῖς ἐμβληθῆναι καὶ ἀφαιρεθῆναι τὰ ὄντα. Ὅπερ ἀκηκοὼς ὁ σουλτάνος, ὡς εἶχε, βλέπει πρὸς ὅπλα, καὶ ταῖς κατὰ Μαίανδρον ἐπιπεσὼν κωμοπόλεσι, λείαν ἐκεῖθεν ἤλασεν· ἐπειγόμενος δὲ καὶ εἰς τὴν κατὰ Φρυγίαν Ἀντιόχειαν, εὗρεν ἐμπόδιον. Ἀνὴρ γάρ τις τῶν ἐν αὐτῇ τὸ θυγάτριον ἀνδρὶ ἁρμοσάμενος κατὰ νόμιμον γά-

μον, τὰ τοῦ γάμου ἐτέλει, τρυφαῖς ἐνεστιῶν τοὺς φίλους καὶ συγγενεῖς, καὶ κυμβάλων καὶ ὀργάνων ἤχῳ περικτυπῶν δι᾽ ὅλης νυκτὸς, καὶ ἄλλως τὰ εἰς διάχυσιν ἐκπληρῶν. Ὡς οὖν ἤγγισε τῇ πόλει Καϊχοσρόης (τοῦτο γὰρ ὄνομα τῷ σουλτάνῳ), καὶ τὴν συμφωνίαν τῶν ὀργάνων εἰς ὦτα ἐδέξατο, οὐχὶ τοῦ ὄντος στοχάζεται, ἀλλὰ στράτευμα ὑπονοήσας εἶναι τὴν ἐκείνου προεγνωκὸς ἔφοδον, ᾤχετο ἐκεῖθεν, καὶ πρὸς τὸ Φιλομίλιον ἄπεισιν. Ὁ δὲ βασιλεὺς στρατιὰν κατὰ τῶν Τούρκων ἐκπέμψας, πολλοὺς ἐληΐσατο διὰ τοῦ Δούκα Ἀνδρονίκου, καὶ μάλιστα οἵπερ ᾤκουν ταῖς τοῦ Ἀρσανῆ σκηναῖς. Καὶ αὐτὸς δὲ ὁ βασιλεὺς ἐν τοῖς κατὰ τὸν Πιθηκᾶν ἀφίκετο μέρεσι.

Τοῦ δ᾽ ἔαρος ἐπιστάντος, αὐτὸς ὁ βασιλεὺς οἰκείᾳ ὁρμῇ ἀποθαρρεῖ ὅπερ ὁ λόγος ἐρεῖ. Ἔπασχε τὰ ἄθρα τοῦ σώματος κατὰ περίοδον, τοὺς δὲ πόδας ἐπὶ πλέον, ὕλης ἐνσκηπτούσης καὶ ὀδύνας ἐμποιούσης βαρείας, ἐξ ὧν ἀκινησία τε καὶ λαῦροι πυρετοὶ πολλάκις συνεῖχον αὐτὸν. Κατά τινα γοῦν ἡμέραν τὰς θύρας ἀσφαλισάμενος τοῦ κοιτῶνος, ὡς ἂν μηδεὶς γνῷ τί ποιεῖ, σιδήρια πυρακτωθέντα τοῖς ποσὶν ἐπιτίθησι, καὶ εἰς βάθος τὸν καυτῆρα ἐπαγαγὼν, πρῶτα μὲν φιλοσοφῶν τὰς ὀδύνας ὑπέφερε, μεθ᾽ ὕβρεων τοὺς ἰατροὺς ἀποπέμπων, περὶ μόνα τὰ καθάρσια λέγων αὐτοὺς στρέφεσθαι· τὰ δ᾽ ἐξῆς φλεγμοναὶ τῶν καυτηριῶν, καὶ περιωδινίαι δριμύτεραι, καὶ ἰατροὶ πάντες προσκεκλημένοι· πρὸς τούτοις καὶ δέος ὑπέθραττε τοὺς προσγενεῖς, μὴ τὸ τῆς ὕλης τῆς συνήθους ἀνακοπὲν φορᾶς εἰς τοὺς πόδας εἴς τι καίριον ἐνσκήψει τοῦ σώματος μέρος, καὶ αὐτὸν μὲν παρασύρῃ αἴφνης τοῦ ζῆν, ἡ δ᾽ ἀρχὴ μεταπεσεῖται πρὸς ἕτερον. Οἱ μὲν οὖν ἰατροὶ, κενωτικοῖς φαρμάκοις βοηθεῖν τούτῳ ἐπέγνων καλὸν· καὶ ἦν τὰ
07 φάρμακα παρ᾽ ἡμέραν σχεδὸν προσαγόμενα |, καὶ ἦσαν ἀνύσιμα.

Ἡ δὲ βασιλὶς Εὐφροσύνη ἐπεμέλετο μὲν καὶ τῆς ὑγείας τοῦ συννεύνου καὶ βασιλέως, ἐσκέπτετο δὲ καὶ μεθ᾽ ὧν τὰ τῆς βουλῆς κρύφια ἐνεπιστεύετο, καὶ περὶ τοῦ παραληψομένου τὴν

βασιλείαν. Βασιλεῖ γὰρ οὐκ ἦν διάδοχος υἱὸς τῆς ἀρχῆς, δύο δὲ θυγατέρες οὐ πρὸ πολλοῦ τῶν ἀνδρῶν ὑποστᾶσαι τὴν στέρησιν· ἡ γὰρ Εἰρήνη θανάτῳ φυσικῷ τὸν ἄνδρα αὐτῆς Ἀνδρόνικον ἀπεβάλετο, ἡ δὲ Ἄννα τὸν Κομνηνὸν Ἰσαάκιον ἐν τοῖς κατὰ Μυσίαν δεσμοῖς ἀποψύξαντα ἤκουσεν. Ἐπιλογαὶ τοίνυν καὶ ψῆφοι ἄλλαι παρ' ἄλλων ἐγίνοντο, τὸ οἰκεῖον ἑκάστου ζητοῦντος χρήσιμον, τοῦ δ' ἀξίως βασιλεύσοντος Ῥωμαίων οὐδεὶς οὐδένα λόγον ἐτίθετο.

Τοῦ δὲ βασιλέως ἐκ καχεξίας τῶν ἄρθρων πάσχοντος, Σκῦθαι μετὰ Βλάχων τοῖς ἐν Θρᾴκῃ ἐπιόντες πολίσμασιν, ἐξ ἐφόδου αὐτὰ ἔβλαπτον. Ὁ δὲ τὴν Βιζύην φυλάσσων στρατὸς μαθὼν τοὺς Σκύθας ἔρχεσθαι μετὰ λείας, τὴν ἐπ' αὐτοὺς ἐτράπετο, καὶ κρατεῖ τὸ ἡμέτερον στράτευμα· φόνος τε γίνεται τῶν Σκυθῶν, καὶ τὸ τῶν αἰχμαλώτων πολὺ πλῆθος ἐλευθεροῦται· καὶ εἰ μὴ τοῦ ἀφαρπάζειν τὰ τῆς λείας οἱ νικήσαντες ὅλοι ἐγένοντο, ἔργον ἂν μέγα κατώρθωσαν. Ὅλοι δὲ τοῦ αὐτοὶ σφετερίζεσθαι ταῦτα γενόμενοι, καθ' ἑαυτῶν ἐπέστρεψαν τοὺς ἐχθρούς, διωκόμενοι ἀποφανέντες οἱ διώκοντες πρὸ μικροῦ.

Βασιλεὺς δὲ τῆς Πόλεως ἐξελθὼν ἐφίσταται τῇ Θεσσαλονίκῃ, κἀκεῖθεν κατὰ τοῦ Χρύσου ὁρμᾷ· οὗτος γὰρ τὴν Στρούμμιτζαν κατασχών, καὶ τὸν Προύσακον (φρούριον δὲ τοῦτο) κατοχυρώσας ἑαυτῷ τῆς τυραννίδος κατέστησεν ἐνδιαίτημα· ἔχει δὲ θέας οὑτωσί. Ὄρος ἐστὶ Θετταλικὸν εἰς μῆκος ἐκτεταμένον ὅσον εἰς ἡμερησίαν ὁδόν, οὐ πολὺ καὶ ἀνάλογον πλάτος πλουτοῦν, ἄχρι νεφῶν τάχα ὑψούμενον, ἀλλ' ὡσεί τι τεῖχος ἀποτεινόμενον· τοῦτο λίθος ἐστὶν ὅλον ὡς ἐκ τῶν φαινομένων νοεῖν οἱ στοχαζόμενοι δύνανται· κατὰ γὰρ τὸ πρὸς βορρᾶν μέρος τοῦ τέρματος ἐγγύς που διαιρεθέν, ὥσπερ ἂν εἰ καὶ τέχνη τις τοῦτο ἔπραττε τῇ τῆς πέτρας σχισμῇ, λίθος τε τὸ ὄρος δείκνυται, καὶ δίοδον ἐποίησεν ὅσον τόν τε ποταμὸν ἐπιρρέειν, ὃς Ἀξιὸς μὲν πρότερον, νῦν δὲ Βαρδάριος ἐπικέκληται,

καὶ ὅσον ἄνθρωπον ἕνα πεζὸν ἢ ἔφιππον ἀπὸ τοῦ ἀνατολικοῦ διέρχεσθαι μέρους. Κατὰ δὲ τὸ δυτικὸν ἄνωθεν τμῆμα, ἐν ᾧ καὶ ἡ πόλις τῷ ἄκρῳ τῆς πέτρας, ὁ Προύσακος τὸ φρούριον ᾤκισται, μήτε τὴν ἄνοδον ἔχον ῥᾳδίαν τοῖς εἰσιοῦσι πεζοῖς, μήτε τὴν κάθοδον. Τοῦτο Ῥωμαῖοι μὲν πάλαι παρεῖδον καὶ ἔρημον εἴασαν· ὁ δὲ Χρύσος ἐπιμέλειαν τούτου θέμενος, εἶχε κατὰ Ῥωμαίων ἀπρόσμαχον οἰκητήριον, ἑνὸς μόνου στερούμενον, ὕδατος· εἰ μὴ γὰρ τὸ τοῦ ποταμοῦ, ἕτερον οὐκ ἄν τις ὕδωρ ἐκεῖ ἐπόψεται. Τούτου ἐγκρατὴς ὢν ὁ Χρύσος, καὶ τὰ χρειώδη ἐναποθέμενος ἄφθονα, καὶ ποίμνια καὶ βουκόλια τῷ βουνῷ τρέφων, (ἐκπλατύνεται γὰρ μικρὸν ὅσον οὔπω τὸ φρούριον ὁ βουνὸς καὶ πόαν τρέφει, καὶ δρυῶν τυγχάνει πατὴρ), οὐδόλως ἐφρόντιζε τὴν κατ' αὐτοῦ τοῦ βασιλέως ὁρμήν.

Ἐνίοις μὲν οὖν τῶν τοῦ βασιλέως ἐδόκει τὸν Προύσακον ὡς δυσάλωτον, ἢ μᾶλλον ἀνάλωτον, παρελθεῖν, τὰ δὲ κύκλῳ τούτου σπεῦσαι χειρώσασθαι, καὶ τότε προσβαλεῖν τούτῳ, τοῦ τε στρατοῦ τῇ λείᾳ τῶν ἐκεῖθεν εὐθαρσῶς ἐπιόντος, καὶ τοῦ Χρύσου δὲ τῇ ἐκείνων ἀποβολῇ μεταβουλευσαμένου χρηστότερον. Ὁ δὲ βασιλεὺς ἀνάξια ταῦτα κρίνας τῆς αὐτοῦ παρουσίας, εὐθὺ Προυσάκου ἄγειν ἔγνω τὴν στρατιάν, ὡς εἰ οὗτος ἁλώσεται, λέγων, οὐδὲν ἀντιστήσεται. Τοίνυν καὶ κατὰ τοῦ Προυσάκου φέρεται· ὅθεν καί τινα ἑάλωσαν φρούρια [, καὶ θημωνίαι καὶ λήϊα πυρὶ παρεδόθησαν, ὑπὸ δὲ τῶν ἐπικούρων Περσῶν, οὓς ὁ τῆς Ἀγκύρας σατράπης τῷ βασιλεῖ ἀπέστειλε, καὶ Βλάχοι ἑάλωσαν.

Ἐπεὶ δὲ καὶ εἰς τὸν Προύσακον ἔφθασεν, ἐκεῖ που στρατοπεδεύεται, καὶ τούτου ἔγνω αὐτίκα πειράσασθαι, εἴ πως τοῦ πρὸς τῇ ἀνόδῳ τειχίου κρατήσει, ὃ ἦν ὡς διάφραγμα· καὶ ἦν ἰδεῖν ἔργα πρὸς Ῥωμαίους τελούμενα ἄξια θαύματος· ὑπὲρ γὰρ ἐλπίδας διηγωνίσαντο ἐπὶ τῆς πέτρας ἐκείνης ἀναρριχώμενοι, καὶ ἣν ὁ Χρύσος ἐπετεχνήσατο οἰκοδομήν, προφύλαγμα τῶν

πυλῶν τῆς ἀνόδου, κρατῆσαι σπουδάζοντες. Ἀλλ' ὅτε τοῦτο διήνυσαν, τότε εἰκαίως διαπονούμενοι ἔγνωσαν· αἰτήσαντες γὰρ σκαπάνας εἰς καθαίρεσιν τοῦ τείχους, οὐδένα εἶχον διδόντα τὸ αἰτηθέν. Ὁ μὲν οὖν βασιλεὺς, μείλιχος ὢν, ἤνεγκε τὸ πραχθὲν, οἱ δὲ πρὸς τὸ ἔργον μοχθοῦντες παρὰ βραχὺ τὸν τῶν ὅπλων ἐπιστάτην εὐνοῦχον διεχειρίσαντο. Ἐπὶ δὲ τούτῳ καὶ κλίμακας αἰτησάμενοι ὅπως ἄνω γένωνται τοῦ τῶν πυλῶν διαφράγματος, οὐδὲν τούτων ηὐμοίρησαν. Ὡς δὲ διετείνοντο ὕστερον οἱ τειχομαχούμενοι Βλάχοι, εἰ παρῆσαν τὰ πρὸς τὴν τοῦ τείχους καθαίρεσιν, τό τε δὴ φρούριον ἐχειροῦτο ἡμέρᾳ τῇ αὐτῇ, καὶ ὁ Χρύσος συνελαμβάνετο. Τὴν δ' ἐπιοῦσαν πρὸς συμπλοκὴν πάλιν οἱ Ρωμαῖοι ἀνέδραμον, ὅτε καὶ οἱ βάρβαροι μηχανήμασι χρώμενοι, πολλοὺς ἀνήρουν, ἀφ' ὕψους βάλλοντες, καὶ λίθων κατὰ Ρωμαίων κυλίοντες, καὶ οἴνων δοχεῖα ἐκ λύγων τυμπανοειδῆ διάκενα ἐπιρρίπτοντες καὶ ἐξιστῶντες τῷ ἤχῳ τὸ στράτευμα. Ὅμως ὁ Χρύσος εἰς συμβάσεις ἐτράπη, καὶ δεῖται βασιλέως καθ' ὁρισμὸν αὐτοῦ κατέχειν τὸν Προύσακον, καὶ γυναικὶ συζευχθῆναι μιᾷ τῶν εὐγενῶν. Καὶ τὰς αἰτήσεις ὁ βασιλεὺς δεξάμενος, ἐκεῖθεν ἀπανίσταται, καὶ εἰς τὴν Κωνσταντινούπολιν εἰσιὼν, γυναῖκα τῷ Χρύσῳ πέμπει, νυμφαγωγὸν ἀναδείξας τὸν σεβαστὸν Κωνσταντῖνον τὸν Ραδηνόν· ἐπὶ δὲ τῆς παστάδος, ἐπεὶ μὴ ἤσθιεν ἡ νύμφη καὶ ἔπινε καθὼς ὁ νυμφίος, ἐκμαίνει τοῦτον, εἰπόντα συμμετέχειν τούτῳ τῆς τραπέζης, καὶ αὐτίκα οὕτως μὴ δράσασα, καὶ ὑποβαρβαρίσας πλεῖστα καθ' ἑαυτὸν, ὕστερον ἔφησε « μὴ φάγῃς, μηδὲ πίῃς. »

Μετ' οὐ πολὺ δὲ ἀφίσταται καὶ ὁ Ἰβαγκός· οὗτος γὰρ τῶν κατὰ τὴν Φιλιππούπολιν πραγμάτων κύριος γεγονὼς, φρούριά τε ἀνήγειρεν ἐν τόποις ἐπιτηδείοις, καὶ τὸ ὑποκείμενον αὐτῷ στράτευμα εἰς ἔργα ἐγύμναζε τὰ πολέμια. Οἱ μὲν οὖν περὶ τὸν βασιλέα οὐ καλῶς ἔλεγον τοῦτο ποιεῖν, οὐδ' ἐπὶ συμφέροντι τῶν Ρωμαίων, ὅθεν καὶ παρῄνουν παραλῦσαι αὐτὸν τῆς

ἀρχῆς. Καὶ οἱ μὲν οὕτως· ὁ δὲ βασιλεὺς ἐχέγγυα τὸν τῆς ἐγγόνης γάμον ὑπονοῶν, ἀσφαλῆ τὰ πρὸς εὔνοιαν ἔκρινεν. Ὡς δ' οὐ πολλῷ ὕστερον ἀντάρτης γέγονε, μὴ ἔχων ὅ, τι καὶ δράσειεν, αὐτίκα στέλλει εὐνοῦχόν τινα οἰκεῖον αὐτῷ, ἀναμνήσαντα τοῦτον τῶν συνθηκῶν, καὶ πληροφορίαν δώσοντα μηδέν τι παθεῖν ἀηδὲς, εἰ μετασταίη τῆς γνώμης καὶ πρὸς τὸν βασιλέα ἐπανελεύσεται, ἀλλὰ καὶ τοῦ τῆς μνηστῆς γάμου ἐπιτυχεῖν. Κατόπιν δὲ καὶ οἱ γαμβροὶ τοῦ βασιλέως ἐξῆλθον μετὰ παντὸς ἰδίου καὶ συγγενικοῦ πληρώματος. Ἀφικόμενος δὲ ὁ εὐνοῦχος πρὸς τοῦτον, οὐ μόνον οὐδὲν πρὸς ὃ ἐστάλη ἔπραξεν, ἀλλὰ καὶ πρὸς τὸ ἐν χερσὶν ἔργον ἐπέρρωσε, προσημάνας τὴν κατ' αὐτοῦ τῶν Ῥωμαίων ἄφιξιν, καὶ διδάξας ἀποσχέσθαι μὲν τῶν πεδινῶν, ἐπιλαβέσθαι δὲ τῶν ὀρέων ἐν οἷς αὐτῷ ἡ βοήθεια. Οἱ δὲ περὶ τοὺς γαμβροὺς τοῦ βασιλέως καὶ τὸν πρωτοστράτορα Μανουὴλ τὸν Καμμύτζην ἐδίωξαν μὲν ὀπίσω αὐτοῦ, οὐκ ἐπέτυχον δέ· τισὶ μὲν οὖν καὶ οὕτως ἐδόκει ἐπιδιώκειν, τοῖς δὲ ἀσφαλεστέροις οὐκ ἤρεσκε τοῦτο, περιελθεῖν δὲ τὰ πολίχνια ἅπερ οὗτος ἀνήγειρε καὶ θέσθαι κατήκοα βασιλεῖ· καὶ τῆς 8* βουλῆς ὡς ἀμείνονος κρατησάσης, προσβάλλουσι τῷ Κριτζιμῷ |, καὶ πολλὰ καμόντες, καὶ οὐκ ὀλίγους δὲ ἐν τῷ προσάγειν τὰς κλίμακας ἀποβαλλόμενοι, ὧν κράτιστος ὁ Παλαιολόγος Γεώργιος, ἐκράτησαν τούτου· καὶ ἐπὶ τῷδε καὶ ἕτερα πολισμάτια ἐχειρώσαντο, τὰ μὲν δι' ὁμολογίας, τὰ δὲ καὶ μεθ' αἵματος τούτων περιγενόμενοι.

Εὐμήχανος δὲ ὢν εἰς ἔργα πολέμια ὁ ἀποστάτης, καὶ τοιόνδε τι μεθοδεύει, καὶ αὐτὸν χειροῦται τὸν πρωτοστράτορα· πλεῖστα ζῶα εἰς τὸ πεδίον καταγαγὼν, ἐνέδρας εἰργάσατο. Ὁ δὲ πρωτοστράτωρ ἐκ τοῦ Βατραχοκάστρου εἰς τὸ Βατκούνιον παραγίνεται, καὶ τῷ μὲν φαινομένῳ προσχὼν, τὸν δόλον δὲ μὴ ὑπονοήσας, τὰ ἔνδον ὀφθαλμοῖς ληΐζεσθαι ἀφῆκε τὸ στράτευμα. Ἐκ δὲ τῶν λόχων ἀνακύψας ὁ ἀποστάτης, ὡς σαγήνην

ἐκτείνας κύκλῳ τὸ περὶ αὐτὸν ὁπλιτικὸν, ζωγρεῖ τὸν πρωτοστράτορα. Καὶ τὸ ἔργον τοῦτο τοὺς μὲν Ῥωμαίους περιδεεῖς ἐναπέδειξεν ὅσοι στρατηγὸν ηὔχουν τὸν πρωτοστράτορα, τοῖς δ' ἐναντίοις θράσος ἐνέβαλεν. Ἦν οὖν ἀφιστῶν Ῥωμαίων ὁ ἀντάρτης ὁπόσα ἐς Μοσυνόπολιν νεύει μέχρι Ξανθείας καὶ πρὸς ὄρος τὸ Πάγγαιον ὡς ἐπ' Αὔδηρα παρατείνουσιν· ἀλλὰ καὶ τὸ θέμα τῶν Σμολένων ὑπεποιήσατο, ἐμπλατυνόμενος ἀεὶ, καὶ εἰς πολλὴν ἐλαύνων ὠμότητα, ἣν ἀνδρείαν οἱ πλεῖστοι βάρβαροι οἴονται, ὥστε καὶ κατὰ μέλος τοὺς ζωγρουμένους διαιρεῖν κατὰ πότον Ῥωμαίους.

Ἔξεισι τοίνυν τῆς βασιλίδος τῶν πόλεων ὁ βασιλεὺς, καὶ ἄπεισιν εἰς τὰ Κύψελλα. Ὅτε καὶ τὸ περὶ τῶν θείων μυστηρίων ἀναφυὲν δόγμα εἰς σχίσματα τοὺς χριστωνύμους ἐλεεινῶς κατεμέρισεν, ἔσχε δὲ τοιαύτην ἀρχὴν. Μετὰ τὸν Ξιφιλῖνον, ἔτεσιν ἑπτὰ προστάντα τῆς ἐκκλησίας, ὁ Καματηρὸς Ἰωάννης τὸν πατριαρχικὸν θρόνον εἴληφε, καὶ δέον τὸ ἐπὶ τοῦ Ξιφιλίνου ἀρξάμενον ὑπολαλεῖσθαι καὶ φύεσθαι δόγμα πρόρριζον ἐκτεμεῖν, καὶ καθυποβαλεῖν ἀναθέματι τὸν γεννήτορα τούτου τὸν ψευδομόναχον Σικιδίτην ὡς αἱρεσιάρχην, τοὺς δὲ ἄλλους σιγᾶν πεῖσαι τῷ καθ' ἑαυτὸν ὑποδείγματι, ὡς εἶναι καὶ αὖθις μυστήριον τὸ μυστήριον, ὁ δὲ λογικαῖς ἐχρῆτο μεθόδοις καὶ ἀποδείξεσι βιαζομέναις εἰς συγκατάθεσιν τὸν προσδιαλεγόμενον, καὶ ἐν κατηχητηρίοις λόγοις περὶ τούτων ἐκίνει. Ὁ δὲ βασιλεὺς τῇ κρείττονι προσθέμενος δόξῃ, εἰς τὰ Κύψελλα, ὡς ἔφημεν παραγέγονε, καὶ τὸ ἐκεῖ συναθροισθὲν στράτευμα εἰληφὼς, εἰς τὴν Ἀδριανούπολιν ἔρχεται, ἔνθα καὶ πολλὰς ἡμέρας ἐνδιατρίψας, ἠμηχάνει, τὸν ἀποστάτην ὁρῶν δυσμαχώτατον, τὸ δ' οἰκεῖον στράτευμα πάντῃ περίφοβον.

Τοίνυν καὶ παντοῖος ἐγίνετο, καὶ τοῦτον εἰς συμβάσεις προσκαλούμενος ὡς ἀγχιστέα, καὶ μηδὲ τοῦ πολέμου παντάπασιν ἀμελῶν, καὶ τὴν στρατιὰν ἀναλαβὼν περὶ τὸν Στενίμα-

χον παραγίνεται, καὶ περικυκλώσας εἷλέ τε, καὶ τοὺς ἐν αὐτῷ βαρβάρους ἠνδραποδίσατο. Μετὰ βραχὺ δὲ καὶ τὸν ἀποστάτην εὐμεθόδως συνείληφε, καὶ ἐκ τούτου τῶν τε πόλεων καὶ φρουρίων ὧν ἦρχεν ὁ ἀποστάτης, χωρὶς πόνου πολλοῦ περιγίνεται, καὶ τὸν ἀδελφὸν αὐτοῦ Μῖτον φυγάδα δείκνυσι. Τοιαῦτα κατωρθωκὼς ἐπάνεισιν ἐς Βυζάντιον.

Εὑρίσκει δὲ καὶ τὴν σύννευνον Εὐφροσύνην κατὰ δημοκόπων στασιωτῶν ἀνδρισαμένην, καὶ ὡς ἱστὸν ἀράχνης διαλύσασαν τὰ παρά τινος Κοντοστεφάνου ἐξυφανθέντα.

Ἀλλὰ μικρόν τι περὶ τῶν ἐν Πέρσαις διαλαβόντες, οὕτω τοῖς ἑξῆς τῆς ἱστορίας ἑξόμεθα. Τῷ τοῦ Ἰκονίου σουλτάνῳ Κλιτζασθλάν, ὃς ἠδυνήθη μεγάλα, καὶ τῷ βασιλεῖ Μανουὴλ ἐπὶ πολλοῖς ἀντετάξατο, υἱοὶ γεγόνασι πλείους. Ἀμάσειαν μὲν οὖν καὶ Ἄγκυραν, καὶ Δορύλεον, καὶ πόλεις ἄλλας Ποντικὰς τῷ Μασοὺτ εἰς κλῆρον ἀπένειμε· Μελιτηνὴν δὲ καὶ σὺν Καισαρείᾳ Κολώνειαν (ἢ Τάξαρα λέγεται νῦν) ὁ Κοτπατῖνος διεῖπεν· Ἀμινσὸν δὲ καὶ Δόκειαν καὶ πόλεις ἑτέρας ὁ Ρουκνατῖνος παρέλαβεν εἰς ἀρχήν· Καϊχοσρόης δὲ, οὗ πρὸ ὀλίγου ἐμνήσθημεν, ἡγεμόνευεν Ἰκονίου, Λυκαονίας τε καὶ Παμφυλίας, καὶ ὅσα παρατείνει ἐς Κοτυάειον. Ὡς οὖν ὁ Κοτπατῖνος ἀπέρρηξε τὴν ψυχὴν |, περὶ τῆς ὑπ' ἐκεῖνον χώρας διαφέρονται ὅ τε τῆς Δοκείας κρατῶν Ρουκνατῖνος, καὶ ὁ τῆς Ἀγκύρας Μασούτ. Ὁ Ρουκνατῖνος δὲ προφθάσας τὴν τοῦ ἀδελφοῦ τοῦ τεθνηκότος χώραν ὑφ' ἑαυτὸν ἐποιήσατο, καὶ μείζονος εὐπορήσας δυνάμεως, τὸν μὲν Μασοὺτ φίλια φρονεῖν αὐτῷ συνθέμενον, τὴν ἰδίαν χώραν ἀφῆκε νέμεσθαι, τῷ δὲ Καϊχοσρόῃ ἐμμανῶς ἐπεφύη, τοῦ Ἰκονίου ἔρωτα ἔχων ὡς πατρῴας ἀρχῆς. Ἀνέσεως δ' ἐκ τῶν πολέμων αὐτοῖς γενομένης, πρόσεισι Καϊχοσρόης τῷ βασιλεῖ, καὶ φιλοφρονηθεὶς ἐπάνεισιν αὖθις ἐς Ἰκόνιον· τοῦτο δὲ καὶ ὁ Μασοὺτ ἔπραξεν ἔπειτα. Ἀλλ' οὔπω τὸ Ἰκόνιον ὁ Καϊχοσρόης κατέλαβε, καὶ τοῦ Ρουκνατίνου κατ' αὐτοῦ ἐκστρα-

τεύσαντος, τῆς τε ἀρχῆς ἐκδιώκεται, καὶ φυγὰς εἰς Ἀρμενίαν παρὰ Λεβούνην ἔρχεται, καὶ ἐκεῖθεν ἔρχεται πάλιν εἰς βασιλέα, καὶ Ῥωμαίοις συνῆν.

Τῷ δ' ἐξῆς ἔτει μετὰ Κομάνων οἱ Βλάχοι ἐξιόντες, ἀπαθεῖς ὑπέστρεψαν εἰς τὰ ἴδια. Τάχ' ἂν οὐ διέλιπον καθ' ἡμῶν ἐξιόντες, εἰ μὴ τὸ χριστιανικώτατον ἔθνος, οἱ Ῥῶσοι, τοῦ βασιλέως εἰσηγήσεσι, γενναίως κατὰ τούτων παρεκινήθησαν· ὁ γὰρ τῆς Γαλίτζας ἡγεμὼν Ῥωμανὸς, πολλὴν καὶ ἀξιόλογον στρατιὰν ἠθροικὼς, τὴν γῆν τῶν Κομάνων εὐπετῶς ἐπιὼν ἔφθειρε καὶ ἠφάνισε, καὶ τοῦτο πλειστάκις διαπραξάμενος εἰς καύχημα τῆς τῶν χριστιανῶν πίστεως, οὕτω τὰς τῶν Κομάνων ἐφόδους ἔστησεν.

Χρεὼν μηδὲ τοῦτο παρελθεῖν ἀνιστόρητον. Ἦν τις τραπεζίτης, Καλοπόδιος τὴν προσηγορίαν· οὗτος χρήμασιν ἐπλούτει πολλοῖς, κατ' ἐμπορίαν πολλαχῆ ἀπιὼν, φειδωλὸς ἀνὴρ, καὶ τὸ λεγόμενον, πρίζων τὸ κύμινον, καὶ πάντα τιθεὶς δεύτερα τοῦ χρυσίον πορίζεσθαι. Τοῦτον οἱ ἐκ τῶν βασιλικῶν χρυσώνων κρατῆσαι καὶ ἀφελεῖν ἐξ αὐτοῦ χρήματα ἔγνωσαν· ἀλλὰ γὰρ ἅμα τὰς χεῖρας τούτῳ ἐπέβαλον, καὶ ἅμα τὴν Πόλιν εἰς στάσιν ἀνέσεισαν. Οἱ γὰρ ἀγοραῖοι μαθόντες τὴν τοῦ Καλοποδίου κατάσχεσιν, καὶ τὸ αἴτιον αὐτῆς γνόντες, κατὰ φατρίας ἐκ πρωΐας ἠθροίσθησαν, καὶ τὸν μέγιστον ναὸν εἰσελθόντες, καὶ τῷ πρώτῳ ἐποφθέντες ἀρχιερεῖ, ἱκέτευσαν ὡς πρόβατον ἀπολωλὸς αὐτοῖς τὸν Καλοπόδιον ἀνασώσασθαι, τοῖς πρὸς βασιλέα χρησάμενον γράμμασιν. Ὁ δὲ καταστείλας τὸν θόρυβον, ἐπανῆκε φέρων αὐτοῖς τὸν ζητούμενον, μὴ τὸν χρυσὸν ὡς δορὰν ἀποσυρέντα, ὡς οἱ περισχόντες αὐτὸν ἤλπισαν. Καὶ τοῦτο μὲν οὕτως ἐγένετο.

Τότε τις τῶν ἐκ τοῦ Κομνηνῶν γένους τῷ βασιλεῖ ἐπανίσταται, Ἰωάννης ὄνομα, Παχὺς τὸ ἐπώνυμον διὰ τὴν πλάσιν τοῦ σώματος. Οὗτος τοίνυν τῷ μεγίστῳ ναῷ αἰφνίδιον εἰσελ-

θῶν, καὶ τῶν στεφάνων ἕνα τῇ κεφαλῇ περιθεὶς οἳ περὶ τὴν ἱερὰν ἀπῃώρηντο τράπεζαν, ἔξεισιν ἐκεῖθεν καὶ ὑπὸ τῶν ὁμοτῶν προσδεχθεὶς (πλεῖστοι δὲ ἦσαν οὗτοι καὶ σχεδὸν πάντες τῶν εὐγενῶν), συνδραμόντων ὄχλων πρὸς τὴν φήμην τῶν πραττομένων, τὸ Μέγα παλάτιον εἴσεισι· καὶ αὐτὸς μὲν ἐπὶ θρόνου διαχρύσου καθίσας, τινὰς ἐπὶ τῶν μεγάλων ὀφφικίων ἀνύψωσεν. Ὁ δὲ συναποστὰς ὄχλος τὰς ἀγυιὰς διϊὼν, βασιλέα τὸν Ἰωάννην ἀνηγόρευον, οἰκίας τε κατέσπων περιφανεῖς. Νυκτὸς δ' ἐπιούσης, οὔτε τῆς φρουρᾶς τῶν ἀρχείων ὁ Ἰωάννης ἐφρόντισεν, οὔτε τὰς ἀνατραπείσας πύλας ἀνέστησεν, ὕδατος δὲ ὅλα κεράμια ἐξεκένου, δίψει ἀμάχῳ ἐχόμενος, καὶ τοὺς ἱδρῶτας ἀπέψα κρουνηδὸν ἀποστάζοντας. Ὁ δὲ βασιλεὺς Ἀλέξιος ὁπόσον συγγενὲς συναθροίσας, καὶ τὸ περὶ αὐτὸν στρατιωτικὸν, ἐκπέμπει νυκτὸς ἐπιθέσθαι τῷ Ἰωάννῃ. Οἱ μὲν οὖν πλοίων ἐπέβησαν καὶ τῇ μονῇ τῶν Ὁδηγῶν προσχόντες, τοῖς πελεκυφόροις συνέμιξαν τοῦ βασιλέως ὑπασπισταῖς, (οὐδὲ γὰρ ἦν ὁπλοφόρους διὰ μέσης τῆς ἀγορᾶς παρελθεῖν), καὶ ἄφνω συρραγέντες τοῖς περὶ τὸ θέατρον στασιώταις τοῦ Ἰωάννου, αὐτοὺς τρέπονται καὶ τῷ Ἰωάννῃ προσβάλλουσιν, ἐπενεγκόντες πληγὰς παντὶ σώματι, καὶ τὴν κεφαλὴν ἀφελόμενοι, τῇ κατὰ τὴν ἀγορὰν ἀψῖδι μετεωρίζουσι πρὸς θέαν πάνδημον, ἔτι τοῦ αἵματος ἀποβλύζουσαν· τὸ δὲ λοιπὸν αὐτοῦ σῶμα ἐπὶ κλίνης ἀρθὲν, αἴθριον προτιθέασι κατὰ τὴν μεσημβρινὴν πύλην τῶν
09 *ἐν Βλαχέρναις ἀρχείων |, εἶτα κυσὶ βάλλουσιν εἰς βορὰν, ὃ καὶ ἀπάνθρωπον ἔδοξεν.

Κατὰ τὸν χρόνον τοῦτον ἔξεισι τῆς Μυσίας Ἰωάννης (1) μεγίστῳ ὡπλισμένος στρατῷ, καὶ χειροῦται Κωνστάντειαν ἐν Ροδόπῃ πόλιν, καὶ καθελὼν τὸν ταύτης περίβολον, ἐκεῖθεν ἔρχεται εἰς τὴν Βάρναν, καὶ πολιορκεῖ γενναίως καὶ ταύτην κα-

(1) Περὶ τοῦ Μυσοῦ Ἰωάννου (σημ. περιθ.)

τὰ τὴν ἕκτην τῶν Χριστοῦ παθημάτων ἡμέραν, ἔνστασιν ἐνδεικνυμένων τῶν ἔνδοθι, κρατίστων ὄντων κἀκ τοῦ Λατινικοῦ στίφους ἁπάντων σχεδόν· διὸ τετράπλευρον συντίθησι μηχανὴν ἴσην τῷ ὕψει τοῦ τείχους τῆς πόλεως, τὸ δὲ μῆκος ὅσον ἦν ἡ τοῦ τάφρου περίμετρος· ταύτην ἐπὶ τροχῶν σαλευομένην τῆς τάφρου ἔγγιστα στήσας, εἶτα ἐπαναστρέψας, ἀμφοτέρων τῶν περάτων τῆς τάφρου ἐπιλαμβάνεται, καὶ τῷ αὐτῷ καὶ ἐνὶ μηχανήματι κλίμακι καὶ ζεύγματι τῆς τάφρου χρησάμενος, ἐξικνουμένῳ τοῦ ὕψους τῆς πόλεως, κρατεῖ τῆς πόλεως. Οὔτε δὲ τῆς ἡμέρας τὴν δύναμιν ὁ βάρβαρος αἰδεσθεὶς (ἦν γὰρ τὸ ὑπερευλογημένον Σάββατον), οὔτε τὸν χριστιανισμὸν ὃν τοῖς χείλεσι περιέφερε, πάντας οὓς συνέλαβε κατὰ τῆς τάφρου ὠθεῖ, καὶ χοῦν ἐπιχέας πολυάνδριον τὸν τόπον δείκνυσιν· ἔπειτα καὶ τὰ τείχη καταστρεψάμενος, ἐς Μυσίαν ἐπάνεισιν.

Ἀλλ' οἷα τὰ ἐπὶ τούτοις! Ὁ πρωτοστράτωρ Μανουὴλ ὁ Καμμύτζης ἐκ Μυσίας εἰς Προύσακον ἄπεισι παρὰ τοῦ Χρύσου λυθείς, καὶ πρὸς ἀποστασίαν ἰδὼν συνάμα τῷ Χρύσῳ χειροῦται Πελαγονίαν, καὶ Πρίλαπον· ἐπιφύεται τοῖς ἑξῆς, ἀφιστᾷ τὰ πόρρωθεν, διεκπίπτει τῶν Θετταλικῶν ὀρέων, ἐπιλαμβάνεται τῶν πεδιάδων, τὴν Ἑλλάδα παρακινεῖ, ἀμφίβολον τίθησι καὶ τὴν Πελοπόννησον. Τότε καὶ ἕτερος ἀποστάτης ἀνεφάνη, Ἰωάννης τις, τὸ γένος Κύπριος, Σπυριδωνάκης τὸ ἐπώνυμον, φαῦλος τὸ εἶδος, τὴν ἡλικίαν φαυλότερος.

Ὁ δὲ βασιλεὺς τότε καὶ ἄλλῳ κακῷ, τῇ τῶν ποδῶν συνήθει νόσῳ τρυχόμενος, διχῇ διαιρεῖ τὸ στράτευμα, καὶ τὸ μὲν τῷ γαμβρῷ παραδοὺς Ἀλεξίῳ τῷ Παλαιολόγῳ κατὰ τοῦ Σπυριδωνάκη στρατεύοντι, τὸ δὲ πρὸς τὸν Ἡνοπολίτην (sic) Ἰωάννην ἐκπέμψας τῷ πρωτοστράτορι ἀνθιστάμενον, κατατροποῦται καὶ ἀμφοτέρους καὶ φυγάδας δείκνυσι.

Τότε καὶ τὴν Στρούμιτζαν ἐπανεσώσατο βασιλεύς, τοῦ Χρύσου ταύτην ἀφελόμενος.

Προσθετέον καὶ ταῦτα τῇ ἀφηγήσει. Εἶχε μὲν ὁ βασιλεὺς Ἀλέξιος τὴν Ρωμαϊκὴν ἀρχὴν λαβὼν ἀπὸ τοῦ ἀδελφοῦ καθὼς ἔλαβε, καὶ δέον μὴ ἀμελῆσαι τῆς ἐκείνου φυλακῆς, ὁ δὲ λαθόμενος ὡς ἔγκεινται οἱ πλεῖστοι πρὸς ἀντιλύπησιν τῶν ἐξ ὧν αὐτοί τι ἔπαθον λυπηρὸν, ἐνδίδωσι τῷ ἀδελφῷ, κατὰ τὸ Διπλοκιόνιον διάγοντι, βιοτὴν ἔχειν ἄνετον, καὶ πᾶσι τοῖς βουλομένοις ἀκαταιτίατον εἶναι τὴν εἰς αὐτὸν διαπλώϊσιν. Ἦν οὖν τοῦ βουλομένου παντὸς, καὶ μάλιστα τῶν ἐκ γένους Λατίνων ἔρχεσθαι πρὸς αὐτὸν, οἷς καὶ κρυφίων βουλευμάτων καθίστατο κοινωνὸς, τὴν βασιλέως καθαίρεσιν ἐπισπεύδων, καὶ γράμματα πρὸς Εἰρήνην τὴν θυγατέρα πέμπων, ἥτις καὶ Φιλίππῳ συνῴκει ἄρχοντι τῶν Ἀλαμανῶν, κἀκεῖθεν ἀντίγραφα δεχόμενος δι ὧν ἐτεχνάζετο τὴν βασιλέως καταστροφὴν, καὶ ἑαυτοῦ πάλιν ἀνύψωσιν.

Ἀλλὰ καὶ ἐν τῷ μέλλειν ὁ βασιλεὺς Ἀλέξιος κατὰ τοῦ πρωτοστράτορος ἐξιέναι, καὶ τὸν υἱὸν Ἰσαακίου τῆς εἱρκτῆς ἐξαγαγὼν συνέκδημον εἶχε, καταλύσας εἰς Δαμοκράνειαν· ὁ δὲ Πισσαίῳ τινὶ κοινολογησάμενος περὶ δρασμοῦ, στρογγύλης προεστῶτος νηὸς, καιρὸν ἐζήτει ἀποφυγεῖν. Ὡς δ' ἐπέστη καιρὸς, ἡ μὲν ναῦς ἀπαίρει καὶ πρὸς ταῖς καθ' Ἑλλήσποντον Πηγαῖς προσοκέλλει, ἐκ Λατίνων ἐχούσαις τὸ ἐνοικοῦν· τὸ δὲ ταύτης πλοιάριον, ὅ βάρκα λέγεται, εἰς τὸν Ἀθύρα κατάραν ἐπὶ τῷ δέξασθαι τὸν Ἀλέξιον, ψάμμαθον ἐνεφόρει, φόρτον τῇ νηῒ ἐσομένην τάχα κενῇ οὔσῃ τῶν ἀγωγίμων. Καὶ ὁ Ἀλέξιος ἐκ Δαμοκρανείας παραγενόμενος, εἴσεισι τῷ πλοιαρίῳ, καὶ τῆς φυγῆς τούτου γνωσθείσης, πέμπονται παρὰ τοῦ βασιλέως οἱ τὸ πλοῖον ἀνερευνήσοντες. Οὐ μὴν ἴσχυσαν συλλαβεῖν τὸν Ἀλέξιον· | οὗτος γὰρ τὴν κόμην ὡς οἱ Λατῖνοι κειράμενος, καὶ στολὴν ὁμοίαν τῇ αὐτῶν ἐνδυσάμενος, τοὺς ζητοῦντας ἐν μέσῳ πολλῶν ἐλάνθανεν. Ἀπαχθεὶς οὖν ἐς Σικελίαν, δῆλος τῇ ἀδελφῇ γίνεται, καὶ μεγαλοπρεπῶς προσδέχεται, [ἡ δὲ] καὶ τοῦ ἀνδρὸς δεῖται Φιλίππου τῷ πατρὶ βοηθῆσαι καὶ τῷ ἀδελφῷ.

Ἀλλὰ καὶ ἄλλα μοι πρὸς τούτοις ἀναγκαῖον εἰπεῖν, εἰσὶ δὲ ταῦτα. Οἱ ἐκ τῶν γηΐνων Ἀγγέλων βασιλεύσαντες ἀδελφοὶ καὶ ἄλλως μὲν οὐχ ὡς ἔδει διῴκουν τὰ τῆς ἀρχῆς, μάλιστα δὲ τὰ χρήματα μὴ συνέχοντες, ἀλλὰ θεραπείᾳ καὶ κόσμῳ πολυτελεῖ τοῦ σώματος ταῦτα κενοῦντες, καὶ εἰς ἀλυσιτελῆ τῷ κοινῷ ποιοῦντες μέγιστα ἀναλώματα, καὶ οὐ μόνον διὰ τοῦτο τὰς Ῥωμαϊκὰς καλαμώμενοι πόλεις, ἀλλὰ καὶ τοὺς ἐκ Λατίνων ἐν οἷς εἶχον χρήματα εἰσεπράττοντο. Πολλάκις οὖν τὰς πρὸς Βενετίκους παραβλεψάμενοι συμφωνίας, εἰς χρήματα αὐτοὺς ἐζημίωσαν, καὶ τοὺς ἐκ τῆς Πίσσης Λατίνους αὐτοῖς ἐπανέστησαν. Ἀμέλει καὶ ἦν ὁρᾶν, ποτὲ μὲν τῆς Πόλεως ἔνδοθεν, ποτὲ δὲ κατὰ θάλασσαν μαχόμενα τὰ Βενετίκων καὶ Πισσαίων γένη.

Οἱ δὲ Βενέτικοι τῶν παλαιῶν μεμνημένοι πρὸς Ῥωμαίους σπονδῶν, καὶ τὴν πρὸς αὐτοὺς δεξίωσιν ὁρῶντες μεταπίπτουσαν πρὸς Πισσαίους, μὴ ἀνεχόμενοι, δῆλοι ἦσαν καιροσκοποῦντες τὴν ἀντιλύπησιν, καὶ μάλιστα ὅτι μὴ ἀπεδίδοντο αὐτοῖς τὰ ἐλλείποντα πρὸς τὰ δεκαπέντε κεντηνάρια ἃ συνέθετο δοῦναι τοῖς Βενετίκοις ὁ βασιλεὺς Μανουὴλ χρήματα, ἃ ἦσαν χρυσίου μναῖ διακόσιαι.

Ἦν δὲ δεινὸν οὐκ ἐλάχιστον καὶ ὁ τηνικαῦτα δοὺξ Βενετίας Ἐρίκος Δάνδουλος, πηρὸς τὰς ὄψεις καὶ ὑπέργηρως, ἐπιβουλώτατον ὢν πρᾶγμα Ῥωμαίοις καὶ φθονερώτατον, φρονιμώτερον ἑαυτὸν ὀνομάζων πάντων, καὶ θανεῖν ἐθέλων εἰ μὴ Ῥωμαίους τίσαιτο τῆς εἰς τὸ γένος αὐτοῦ καταφρονήσεως, ἀναλογιζόμενος ὅσα πεπόνθασι Βενέτικοι τῶν Ἀγγελωνύμων αὐταδέλφων βασιλευόντων, καὶ πρὸ τούτων τῶν Κομνηνῶν Ἀνδρονίκου καὶ Μανουήλ. Μὴ δυνάμενος δὲ μετὰ τῶν ὁμοφύλων μόνων ἐργάσασθαί τι κατὰ Ῥωμαίων, σκέπτεται προσλαβέσθαι καὶ ἄλλους. Τοῦ δὲ καιροῦ χορηγήσαντος εὐγενεῖς τινας τοπάρχας, οἵ εἰς τὴν Παλαιστίνην ἤθελον ἀπελθεῖν, συγγίνεται

τούτοις καὶ συνωμότας προσλαμβάνει τοῦ κατὰ Ῥωμαίων κινήματος· ἦσαν δὲ οὗτοι ὁ Μόντε Φεράντου μαρκέσιος Βονιφάτιος, ὁ κόμης Φλάντρας Βαλδουῖνος, ὁ κόμης τοῦ Ἁγίου Παύλου Ἐρίκος, καὶ ὁ κόμης Πλέης Δολοΐκος, καὶ συχνοὶ ἕτεροι.

Ναυπηγηθέντων οὖν εἰς Βενετίαν δι' ὅλων τριῶν ἐνιαυτῶν πλοίων ἱππαγωγῶν ἑκατὸν δέκα, καὶ νηῶν μακρῶν ἑξήκοντα, ἔτι δὲ πλοίων συναθροισθέντων μεγίστων ὑπὲρ τὰ ἑβδομήκοντα, ὧν ἓν Κόσμος παρὰ τούτοις ἐλέγετο, εἴσεισιν ἐν αὐτοῖς ἵππων μὲν χιλιὰς σιδήρῳ κατάφρακτος, ἀσπίδων δὲ εἶχον πλῆθος ὡσεὶ μυριάδας τρεῖς, ὁπλῖται δὲ πλεῖστοι ἦσαν, καὶ μάλιστα οὓς καλοῦσι τζαγράτορας.

Ὡς δ' ἦν ὁ στόλος πρὸς κίνησιν ἕτοιμος, Ἀλέξιος ὁ παῖς Ἰσαακίου τοῦ Ἀγγέλου γράμμασιν ἐφοδιασθεὶς τοῦ Πάπα τῆς πρεσβυτέρας Ῥώμης καὶ τοῦ ῥηγὸς Ἀλαμανίας Φιλίππου, χάριτας ὁμολογούντων τοῖς πειραταῖς τούτοις, εἰ τὸν Ἀλέξιον δέξονται καὶ πρὸς τὴν πατρῴαν ἐπαναγάγωσι βασιλείαν, τρισάσμενος τῷ στόλῳ ἐφίσταται, οὐ μόνον ὡς ἀφορμὴ γενόμενος τοῦ κατὰ Ῥωμαίων ληστρικοῦ τούτων κινήματος, ἀλλὰ καὶ χρημάτων ὑπισχνούμενος δοῦναι σωρείας αὐτοῖς. Τὸν γὰρ νεάζοντα τοῦτον Ἀλέξιον, οὐ τὴν ἡλικίαν μᾶλλον ἢ τὸ φρονεῖν [νεάζοντα], πανοῦργοι παραλαβόντες ἐνόρκως ἐκείνοις συνθέσθαι παρέπεισαν ἃ οὐκ ἦν πέρας λαβεῖν· οὐ γὰρ μόνον χρημάτων θαλάσσας αἰτησαμένοις ὑπέσχετο, ἀλλὰ καὶ κατὰ Σαρακηνῶν σύναρσιν μετὰ Ῥωμαίων στρατιωτῶν, καὶ νηῶν μακρῶν πεντήκοντα, τὸ δὲ μεῖζον καὶ παρεκτροπὴν τῆς πίστεως ὁποία τοῖς Λατίνοις ἀσπάζεται καὶ τῶν τοῦ Πάπα προνομίων καινισμόν, 10* καὶ | μετάθεσιν τῶν παλαιῶν τοῖς Ῥωμαίοις ἐθῶν.

Ὁ δὲ βασιλεὺς Ἀλέξιος ἐκ πολλοῦ ταῦτα ἀκούων, οὐδέν τι ἄμεινον ἑαυτῷ καὶ Ῥωμαίοις διετέθη· ἀλλὰ καὶ οἱ τῶν ὀρῶν φύλακες ἐκτομίαι, ἐν οἷς ἦν βασιλεῦσι τὰ κυνηγέσια, διηπειλοῦντο τὸν ἔσχατον κίνδυνον τοῖς ἐκτεμεῖν ἐκεῖθεν ξύλα

ναυπηγήσιμα βουληθεῖσι· καὶ ὁ τοῦ στόλου δοὺξ, Μιχαὴλ ὁ Στρυφνὸς, ἀδελφῇ τῆς βασιλίσσης συνεζευγμένος, ἀπαξάπαντος πλοίου μακροῦ χρήματα λαμβάνων, τὰ νεώρια Ῥωμαίων ἐκένωσε· καὶ βασιλεὺς δὲ οἷς οὐκ ἐπετίμα τοῖς ταῦτα δρῶσιν, ἐπευδοκῶν τοῖς γινομένοις ἡλίσκετο· ἀλλὰ καὶ εἰς γέλωτα εἶχε τὴν τοῦ Λατινικοῦ στόλου ἀπόπλοιαν.

Ὁ δὲ στόλος τὰ πρυμνήσια λύσας, κατάγεται εἰς Ἰάδαρα, τὴν λεγομένην νῦν Τζίαραν βαρβαρικῶς, καὶ ἣν αὐτὰ πολιορκῶν, δόξαν οὕτω τῷ τῆς Βενετίας δουκὶ, ὡς παλαιὰς συνθήκας παραβλεψάμενα. Ἐπεὶ δὲ ταῦτα παραστησάμενοι, τῇ Ἐπιδάμνῳ (τῷ Δυρραχίῳ) προσώκειλαν, καὶ βασιλεὺς Ῥωμαίων ὁ συνὼν ἐκείνοις Ἀλέξιος παρὰ τῶν Ἐπιδαμνιτῶν ἀνηγορεύθη, καὶ ἠνωτίσατο τοῦτο ὁ βασιλεὺς, ἤρξατο ἀνανεοῦσθαι τὰ ὑπόσαθρα τῶν νηῶν, μόλις εἰς εἴκοσιν ἀριθμούμενα· περιελθὼν δὲ καὶ τὰ τείχη τῆς Πόλεως, τὰς ἔξωθεν οἰκήσεις κατέστρεψεν.

Ὁ δὲ στόλος ἄρας ἐξ Ἐπιδάμνου, τῇ τῶν Κερκυραίων παρενέβαλε, καὶ περὶ τὰς εἴκοσιν ἡμέρας ἐκεῖθι σχάσας τὸν πλοῦν, ὡς ἔγνω τήνδε ἀνάλωτον, εὐθὺ τῆς Κωνσταντίνου τὰ λαίφη διαπετάννυσιν. Ὅθεν καὶ εὐπλοίας τυχόντες, τῇ Πόλει ἐφίστανται· καὶ κατάραντες εἰς Χαλκηδόνα, εἶτα κάτωθεν μικρόν τι τοῦ Διπλοῦ κίονος ἀφικνοῦνται μετὰ μικρὸν, καὶ ἐπ' ἀγκυρῶν σαλεύουσι τῆς χέρσου ἄπωθεν, ὅσον μὴ εἶναι βέλους ἐντός. Οἱ δὲ δρόμωνες τῷ Σκουταρίῳ προσβάλλουσιν.

Ἠφίεσαν μὲν οὖν οἱ Ῥωμαῖοι βέλη κατὰ τῶν ἐν τοῖς πλοίοις, ἀλλ' ἦν οὐδαμῶς ἀνύσιμα· τὰ γὰρ πλείω εἰς θάλασσαν ἔπιπτον. Καὶ φάλαγξ περὶ τὸν Δαματρύα προσέμενε, τὰς ἐκδρομὰς τῶν Λατίνων κωλύσουσα, ἀλλὰ καὶ αὕτη ἀχρήσιμος γέγονεν· οὐ γὰρ μόνον οὐδ' ἐπὶ βραχὺ τοῖς πολεμίοις προσεπέλασαν, ἀλλὰ καὶ ἀνὰ κράτος ἔφυγον, καὶ μάλιστα οἱ στρατηγοὶ καὶ πρὸς τὴν αὐτῶν θέαν τῷ δέει ἔθανον.

Ἀλλ' οὔπω πολλαὶ παρῆλθον ἡμέραι, καὶ γνόντες οἱ Ἰτα-

λοὶ ὡς οὐδεὶς ὁ κατὰ χέρσον τούτοις ἀντιταξόμενος, προσπελάζουσι ταῖς ἀκταῖς· κἀντεῦθεν ἡ μὲν ἱππικὴ στρατιὰ τῆς χέρσου ἔχεται, αἱ νῆες δὲ καὶ οἱ δρόμωνες καὶ τὰ πλοῖα πρὸς τὸν κόλπον τῆς Πόλεως ἔβαινον. Ὡς δ' οἱ μὲν ἀπὸ γῆς, οἱ δ' ἐκ θαλάσσης τῷ φρουρίῳ ἐπέστησαν, ἐν ᾧπερ ἡ ἅλυσις, εὐθὺς τούτῳ προσβάλλουσι, καὶ ἦν ἰδεῖν τοὺς μὲν τῶν ἐκεῖσε φυλάκων μετὰ μάχην βραχεῖαν φυγάδας, οὓς δὲ ἀναιρουμένους καὶ ζωγρουμένους, ἐνίους δὲ καὶ διὰ τῆς ἁλύσεως κατιόντας καὶ εἰσερχομένους τὰς τῶν Ῥωμαίων τριήρεις, πολλοὺς δὲ καὶ κατὰ βυθοῦ φερομένους, εἶτα καὶ τῆς ἁλύσεως διαρραγείσης, εἴσω πᾶς ὁ στόλος τῶν ἐναντίων εἰσέρχεται. Τῶν δ' ἡμετέρων τριήρεων, αἱ μὲν αὐτίκα χειροῦνται, αἱ δὲ τῷ αἰγιαλῷ τῆς Πόλεως προσεγγίσασαι θραύονται μετὰ τὴν τῶν ἐμπλεόντων κένωσιν. Καὶ ἦν πολυειδὲς τὸ κακόν.

Ἐνίστατο δὲ τότε μὴν ὁ Ἰούλιος τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ ἑνδεκάτου ἔτους. Μετὰ βραχὺ δὲ τῷ Κοσμιδίῳ ἐφίστανται πάντες μετὰ καὶ τῶν νηῶν, μικρὰν ἐφευρηκότες ἐκ τῶν Ῥωμαίων ἀντίστασιν περὶ τὴν ἐκεῖσε γέφυραν καὶ τὸν λεγόμενον Τρυπητὸν Λίθον· καὶ τὰ μὲν πλοῖα πάντα ἐκεῖ που καταίρουσιν, ὁ δὲ στρατὸς χάρακα πήγνυσι χαρακώμασιν ὀρυκτοῖς καὶ ξυλίνοις περισταυρώμασι περὶ τὸ γεώλοφον ἀφ' οὗ ὁρᾶται τὰ ἐν Βλαχέρναις βασίλεια ὁπόσα πρὸς δύσιν ἡλίου βλέπουσι. Σκηνὰς οὖν ὀρθὰς ἑώρων οἱ ἐν τοῖς τείχεσι καὶ μικροῦ συλλαβεῖν εἶχον τοῖς ἐν αὐταῖς περὶ τὴν Γυρολίμνην στρεφομένοις.

Οἱ δέ γε περὶ τὸν βασιλέα οἰκειακοί τε καὶ συγγενεῖς συλλέξαντες στράτευμα ἱππικόν τε καὶ πεζικὸν, ἐξερχόμενοι συνεπλέκοντο τοῖς Λατίνοις, καὶ ἦσαν ἐπὶ τούτοις τὰ Ῥωμαίων 1. οὐκ ἀγενῆ, καὶ μάλιστα | ἡνίκα ἐστρατήγει τὸν πόλεμον ὁ τοῦ βασιλέως γαμβρὸς Θεόδωρος ὁ Λάσκαρις. Οὗτος γὰρ γενναίως συμπλεκόμενος, εἶναι καὶ παρὰ Ῥωμαίοις ἀρεϊκοὺς ἄνδρας ἐκ

τῶν ἔργων τοῖς Λατίνοις ἐδείκνυεν. Ἀλλὰ καὶ πεζῶν ἐξιοῦσαι δυνάμεις τοῖς Λατίνοις συνέβαλον. Ἦν δὲ καὶ ἀπὸ πετροβόλων μηχανημάτων ἀχρειούμενα τὰ βασίλεια, ἐνιαχοῦ δὲ καὶ ἀπὸ τῶν τειχῶν τῆς Πόλεως ἀποσφενδονούμενοι λίθοι τοὺς ἐναντίους κατέπληττον.

Ἐνστάσης δὲ τῆς πεντεκαιδεκάτης τοῦ Ἰουλίου, διὰ γῆς καὶ θαλάσσης οἱ ἀντίμαχοι ἔγνων διαγωνίσασθαι ἀνδρικώτερον, ὡς ἢ τῶν κατὰ σκοπὸν ἐπιτυχεῖν ἕξουσιν, ἢ πρὸς συμβάσεις χωρήσοντες. Τοίνυν οἱ μὲν τὰ πλοῖα φέροντες ἔστησαν εἰς τὸ Πετρίον, δοραῖς φραξάμενοι ταῦτα, ὡς ἂν ὦσιν ἀπὸ τοῦ πυρὸς ἀβλαβῆ, καὶ κλίμακας δὲ διὰ σχοινίων κατεσκεύασαν ἐνδεσμουμένας τοῖς ἱστοῖς τῶν πλοίων· οἱ δὲ κριὸν τεκτηνάμενοι, καὶ τοὺς τζαγράτορας πολλαχῇ περιστήσαντες, ὡς ἀφ' ἑνὸς συνθήματος ποιοῦνται τὴν προσβολήν. Καὶ ἦν ἡ μάχη φρικώδης καὶ φοβερά· οἱ γὰρ περὶ τὸν κριὸν τὸ τεῖχος ἔρρηξαν τὸ πρὸς θάλασσαν περὶ τὸν τόπον ὃ Βασιλέως Ἀποβάθρα ὠνόμασται· ἀλλὰ πρὸς τῶν ἐπικούρων Ρωμαίοις Πισσαίων καὶ τῶν πελεκυφόρων ἀπεκρούσθησαν, καὶ τραυματίαι οἱ πλείους ἐκεῖθεν ἐξέφυγον. Οἱ δὲ περὶ τὰ πλοῖα τοῖς περὶ τὸ Πετρίον τείχεσι προσεγγίσαντες, καὶ δι' ἀκατίων τὰς ἀγκύρας ῥίψαντες ἐκ τῶν δηλωθέντων κλιμάκων, τοῖς ἐπὶ τῶν πύργων Ρωμαίοις ἐμάχοντο, καὶ τρέπονται τούτους, καὶ πῦρ ἐμβάλλουσι, τῶν τειχῶν κρατήσαντες, ταῖς ἐκεῖσε οἰκίαις. Πάντα οὖν ὅσα ἐκ τοῦ βουνοῦ τῶν Βλαχερνῶν ἕως τῆς τοῦ Εὐεργέτου μονῆς πυρὸς γεγόνασι παρανάλωμα, ἔφθασε δὲ καὶ ἕως τὸ καλούμενον Δεύτερον τὰ τοῦ ἐμπρησμοῦ.

Ἰδὼν δὲ ὁ βασιλεὺς τὸ οἰκτρὸν τοῦτο τῆς Κωνσταντίνου δυστύχημα, ὁπλίτης γίνεται, καὶ τῶν βασιλείων ἐξιών, πλείστους ἱππότας πρὸς ἑαυτὸν ἐπεσπάσατο· καὶ πεζή τις φάλαγξ οὐκ ἀγεννὴς συνέδραμεν, ὥστε καὶ τοῖς κατὰ χέρσον πολεμίοις φόβος καὶ τρόμος ἐπέπεσε, τάχα δ' ἂν καὶ σωτήριον ἔργον ἐ-

γίνετο, εἰ κατὰ τῶν πολεμίων ἐχώρει, ἢ τῷ γαμβρῷ τῷ Λάσκαρι συνεχώρει συμμῖξαι τοῖς Ἰταλοῖς· νῦν δὲ τὸ εὐπτόητον, σοβαρώτερον πεποίηκε τὸ ἀντίμαχον. Εἰσιὼν οὖν ὁ βασιλεὺς τὰ ἀνάκτορα, ἔγνω δεῖν μεθίστασθαι τῷ καιρῷ, ὥς τινες λέγουσιν, ἐπιβουλευόμενον γνοὺς ἑαυτόν. Ὅθεν καὶ περὶ πρώτην φυλακὴν τῆς νυκτὸς ἐξιὼν τῆς Κωνσταντινουπόλεως, εἰς τὸ Δεβελτὸν ἀφικνεῖται μετ' οὐ πολύ.

Ἐβασίλευσε μὲν οὖν ἐνιαυτοὺς ὀκτώ, μῆνας τρεῖς, καὶ ἡμέρας δέκα· χαρίεις ὢν τὸ εἶδος, πλέον δὲ πάντων πρᾳότητι ἐκαλλωπίζετο· ἦν γὰρ τοῦ βουλομένου προσελθεῖν τούτῳ καὶ δεηθῆναι καὶ πρὸς ἀντιλογίαν ἰδεῖν ἐλευθέρᾳ φωνῇ· ἀλλὰ καὶ τοὺς ἀλλήλοις κατηγοροῦντας καὶ κόλακας ἀπεστρέφετο. Εἰ δὲ μέγα βασιλεῦσι τὸ μὴ τέμνειν τῶν ὑπηκόων τοὺς ὑπεραίροντας ὡς ἀστάχυας, μηδὲ θηριωδῶς τοῖς παραλυπήσασι φέρεσθαι, ἔχει καὶ τούτῳ οὗτος ὑπὲρ πολλοὺς ἐναβρύνεσθαι· ὅσον γὰρ χρόνον ἐβασίλευσε γυνή τις οὐκ ἠμφιάσατο μέλανα, πρὸς τούτου τὴν τοῦ ἀνδρὸς δυστυχήσασα στέρησιν, οὐκ ὀφθαλμῶν τινας ἐστέρησεν, οὐδ' ἐπήρειαν ἐπήνεγκεν ἄδικον, ὁποῖα πολλὰ γίνεται.

Ὁ μὲν οὖν βασιλεὺς Ἀλέξιος ὥδευεν ἣν προέθετο· ὁ δ' ἐντὸς τοῦ ἐν Βλαχέρναις παλατίου εὑρεθεὶς τότε λεώς, σφόδρα λελύπηται διὰ τὴν τοῦ Ἀλεξίου ἀπόδρασιν· οὐκοῦν συγχεόμενοι τὴν ψυχὴν διὰ τὰς τῶν κακῶν ἐλπίδας (ᾤοντο γὰρ μηδὲν μελήσαντας τοὺς Λατίνους εἰσελθεῖν ἐν τῇ Πόλει), τοὺς μὲν γένει προσήκοντας Ἀλεξίῳ καὶ τοὺς ἄλλως ἐπιτηδείως ἔχοντας, καὶ αὐτὴν τὴν ἄνασσαν Εὐφροσύνην, προδότου δόξαν λαβόντας, οὐ προσεδέξαντο εἰς ἀρχήν· διὰ δὲ τὴν τοῦ κινδύνου ἀκμὴν εἰς τὸν Ἰσαάκιον ἀφορῶσι τὸν Ἀλεξίου αὐτάδελφον, ἔνδον τῶν ἀρχείων τηνικαῦτα φρουρούμενον. Καὶ δὴ τοῦ εὐνούχου Κωνσταντίνου, ὃς ἐπὶ τῶν βασιλικῶν θησαυρῶν ἦν, τοὺς πελεκυφόρους συναγαγόντος, συνδραμόντων δὲ καὶ τῶν διὰ

σπουδῆς ἐχόντων βασιλεύσειν αὖθις τὸν Ἰσαάκιον, ἡ μὲν βασιλὶς Εὐφροσύνη συλλαμβάνεται καὶ ὅσον αὐτῇ συγγενὲς, ὁ δ' Ἰσαάκιος αὐτοκράτωρ ἀναγορεύεται, καὶ χειραγωγούμενος εἰς τὸν βασίλειον θῶκον ἀνάγεται. Πέμψας δ' εὐθέως τῷ τε υἱῷ Ἀλεξίῳ καὶ τοῖς τοῦ Λατινικοῦ στρατεύματος ἡγεμόσι δήλην ποιεῖ τὴν τοῦ ἀδελφοῦ βασιλέως φυγὴν [. Οἱ δὲ οὐδέν τι τῶν f. 1 προσδοκωμένων κατὰ τῆς Πόλεως ἔπραξαν, ἀλλ' οὐδὲ τὸν Ἀλέξιον πρὸς τὸν πατέρα ἔπεμψαν, εἰ μὴ καὶ αὐτὸς Ἰσαάκιος ἐκπληρῶσαι πάντα ὅσα καὶ ὁ υἱὸς συγκατέθετο, ὅσα καὶ προδεδήλωται. Ἐπὶ τοιαύταις τοίνυν τοῦ βασιλικοῦ ὕψους καταστροφαῖς εἰς τὴν Πόλιν εἰσιὼν, τῆς πατρικῆς συνεδρίας ἠξίωται, ὡς κοινωνὸς τῆς βασιλείας αὐτῷ.

Ἅπαντες οὖν Πολῖται εἰς βασιλέα ἔτρεχον, σὺν τῷ πατρὶ τὸν υἱὸν ἐποψόμενοι, καὶ τούτοις ἀποδώσοντες τὴν προσκύνησιν. Μετ' οὐ πολλὰς δὲ ἡμέρας καὶ οἱ τῶν Λατίνων ἡγεμόνες εἰς τὰ ἀνάκτορα παραβάλλουσι, καὶ ὅσοι παρὰ τούτοις τὸ γένος ἐπίσημοι, καὶ ἐπὶ καθεδρῶν τοῖς βασιλεῦσιν ἅπαντες συνεδρίαζον, εὐεργέται καὶ σωτῆρες ἀκούοντες, ἀλλὰ καὶ πάσης μετεῖχον φιλοφροσύνης καὶ δεξιώσεως. Ἰσαάκιος γὰρ εἴ τί που ἐναποκείμενον εὗρε χρῆμα τοῖς βασιλικοῖς θησαυροῖς, ἀλλὰ καὶ ὅσα αὐτὸς ἐπορίσατο τὴν βασιλίδα Εὐφροσύνην καὶ τοὺς προσγενεῖς αὐτῆς συνειληφὼς, ἀμφοτέραις ἀφειδέστερον ἐξεκένου· ἐπεὶ δὲ ταῦτα ὡσεὶ ρανὶς ἐκρίνετο τοῖς λαμβάνουσιν (οὐδὲν γὰρ ἕτερον ἔθνος χρημάτων ἔρωτα τρέφει, ὡς τὸ γένος τῶν Ἰταλῶν, οὐδὲ δαπανηρότερον καὶ τρυφηλότερον τούτου ἐστὶν), ἅπτεται καὶ τῶν ἀψαύστων ἀνοσίως (ὁπόθεν οἶμαι καὶ τὰ Ῥωμαίων ἠφάνισται)· ὡς γὰρ ἐσπάνιζε χρημάτων, καὶ τοῖς θείοις ναοῖς ἐπέθετο. Ἦν οὖν ἰδεῖν οὐ μόνον ἱερὰς εἰκόνας Χριστοῦ καὶ τῶν ἄλλων ἁγίων ἀξίναις ἐκκοπτομένας, καὶ τοὺς κόσμους αὐτῶν πυρὶ παραπεμπομένους, ἀλλὰ καὶ σκεύη ἱερά τε καὶ τίμια καὶ τῶν ναῶν ἁρπαζόμενα καὶ ὡς κοινὸν ἀργύριον καὶ

χρυσίον τοῖς πολεμίοις διδόμενα. Καὶ τούτων οὐδεμία τις ἦν αἴσθησις οὐδενὶ, ὡς παρρησιάσασθαι τὴν εὐσέβειαν.

Τὸ δὲ τῆς Πόλεως πλῆθος, ἤδη τῶν πολεμίων ἐρχομένων, εἰς ἔδαφος καθαιρεῖ τὰς πρὸς θάλασσαν οἰκίας τῶν Λατίνων, μὴ διακρῖναν τὸν φίλον τοῦ πολεμίου. Ἐδυσχέραινον οὖν διὰ τοῦτο οἵ τε ἐκ τῆς Ἀμάλφης, ἀλλὰ καὶ οἱ ἐκ τῆς Πίσσης, ἤθεσιν ἐντεθραμμένοι Ρωμαϊκοῖς. Μήπω τοίνυν φυγὰς ὀφθεὶς ὁ Ἀλέξιος, ἐλπίσι χρησταῖς ἔσαινε τούτους· ὡς δ' ὁ μὲν δρασμῷ ἐχρήσατο, ὁ δ' Ἰσαάκιος τὴν βασιλείαν παρέλαβε, καταλλάσσει τοὺς ἐκ τῆς Πίσσης τοῖς Βενετίκοις, καθ' ἡμῶν καὶ τοῦτο ἐπιτεχνώμενος· οἱ δὲ πρὸς τοὺς πολεμίους ἀπελθόντες, ὁμόδειπνοι καὶ ὁμόφρονες τούτοις γίνονται. Ἐννεακαιδεκάτην δ' ἄγοντος τοῦ αὐγούστου τῆς ἕκτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ ἑνδεκάτου ἔτους, τινὲς τῶν Φραγγίσκων (οὗτοι δέ εἰσιν οἱ πάλαι κεκλημένοι Φλαμίονες) Πισσαίων τινὰς καὶ Βενετίκων προσειληφότες, ὡς εἰς ὄψον ἕτοιμον πρὸς τὰ τῶν Σαρακηνῶν διαπλωΐζονται χρήματα· καὶ δὴ τὸ σύνταγμα ἐκεῖνο τὸ πονηρὸν, περὶ πρώτας ἀφὰς τῶν λύχνων δι' ἁλιάδων τῇ Πόλει προσχὸν, τῷ μιτάτῳ τῶν Σαρακηνῶν εἰσπίπτουσι, καὶ τὰ ἐνόντα τούτοις λῃστεύουσιν. Ἠμύνοντο γοῦν οἱ βάρβαροι τοῖς παρατυχοῦσι τὰς χεῖρας ὁπλίσαντες· ἐπιβοηθοῦσι δὲ καὶ Ῥωμαῖοι. Καὶ ὅσον μὲν ἔδει ἀνῦσαι, οὐκ ἴσχυσαν, πλὴν ἀναχωρῆσαι τούτους ἠνάγκασαν. Οἱ δὲ τὸ δι' ὅπλων ἀφέντες προσφέρεσθαι, δι' ἐμπρησμοῦ διανοοῦνται τὴν Πόλιν κατεργάσασθαι. Κατὰ πλείστους οὖν περιστάντες τόπους, πῦρ ταῖς οἰκίαις ὑφάπτουσι· τὸ δὲ, ἐξαφθὲν ὅλην τὴν νύκτα ἐκείνην, καὶ τὴν ἑξῆς ἡμέραν τὸ πᾶν ἐπενέμετο. Καὶ ἦν καινὸν τὸ ὁρώμενον· πολλῶν γὰρ ἐμπρησμῶν τῇ Πόλει πρότερον γενομένων, οὗτος οὐδὲν ἐκείνους ἀπέδειξεν· ἀνετρέποντο τοίνυν στοαὶ, ἀγορῶν ἠρημοῦτο κάλλη, κιόνων μέγεθος εἰς τίτανον μετεβάλλετο· οὐδὲν ἦν ἐκείνου τοῦ πυρὸς δυνατώτερον·

τὸ δὲ καινότερον, ὡσεὶ ψωμοὶ πυρὸς ἐκ τοῦ ἐμπρησμοῦ ἀφαιρούμενοι καὶ διὰ τοῦ ἀέρος φερόμενοι, καὶ τὰς πόρρωθεν οἰκοδομὰς κατέφλεγον. Συνεπελάβετο δὲ καὶ τοῦ μεγίστου νεὼ τὸ δεινὸν, καὶ ὅσα πρὸς ἀψῖδα νεύουσι τοῦ Μιλίου καὶ συνημμένα τυγχάνει τῷ Μάκρωνι καὶ τῷ λεγομένῳ αἱ Σύνοδοι εἰς ἔδαφος πτῶμα κατέπεσον. Ἤρξατο μὲν οὖν ἡ πρώτη τοῦ πυρὸς ἄναψις ἀπὸ τοῦ μιτάτου τῶν Σαρακηνῶν (ὅ τῷ πρὸς θάλασσαν τεμένει τῆς ἁγίας Εἰρήνης ἔγγιστα ἵδρυται) | καὶ πρὸς f. 1
μὲν ἕω κατὰ εὖρος εἰς τὸν μέγιστον ναὸν ἐλώφησε, κατὰ δὲ ἑσπέραν εἰς τὸ λεγόμενον Πέραμα· ἐκταθὲν δὲ, πέρας εἴληφε τῆς ὁρμῆς τὰ πρὸς νότον τείχη τῆς Πόλεως· τὸ δὲ καινότερον, καὶ τῶν ἐκτὸς οἰκήσεων ἐπελάβετο· καὶ νῆας δὲ ἄνθρακες ἐκτιναχθέντες κατέφλεξαν. Κατεφλέχθησαν δὲ καὶ οἱ Δομνίνου λεγόμενοι ἔμβολοι, αἵ τε ὑπόστεγοι διπλαῖ ἄμφοδοι, αἱ ἀπὸ τοῦ Μιλίου ἀρχόμεναι, ὧν ἡ μία εἰς τὸ Φιλαδέλφιον ἦν παρατείνουσα, καὶ ἡ Κωνσταντίνου ἀγορὰ καὶ ὅσα πρὸς νότον τε καὶ βορρᾶν· οὐδ' ἂν αὐτὸ τὸ Ὀπτικὸν (sic, Χων. ἱππικὸν) ἔμεινεν ἀπαθὲς, ἀλλὰ καὶ τούτου τὸ πλέον μέρος ἐπυρπολήθη, καὶ ὅσα εἰς τὰ Σοφίας κάτεισι καὶ περὶ τὸ Βύκανον ἐπεκτείνεται καὶ τοῖς Ἐλευθερίου μέρεσι πλησιάζει. Οὕτως οὖν τοῦ πυρὸς ἀπὸ θαλάσσης ἕως θαλάσσης τὴν Πόλιν διαζώσαντος, οὐκ ἦν ἀκίνδυνον συμμῖξαι τοῖς φιλουμένοις, εἰ μή τις ἀκατίῳ παρέπλευσε. Τότε καὶ οἱ πλείους τῶν οἰκητόρων τῆς Πόλεως τῶν περιουσιῶν ἐγυμνώθησαν.

Πρὸς δὲ τὰ δεινότατα συναντήματα ταῦτα ὁ μὲν βασιλεὺς Ἰσαάκιος ἤχθετο, εἰ καὶ μὴ ὅσον ἦν δέον· ὁ δὲ τούτου υἱὸς καὶ συντελεσμὸν ἐπηύχετο τοῦ παντός. Μήπω δὲ καθαρῶς λωφήσαντος τοῦ πυρὸς, ἡ τῶν θείων κειμηλίων χώνευσις ὑπὲρ τὸ πρὶν ἐπετείνετο. Ὁ δὲ τῶν Λατίνων στρατὸς τὸν χορηγούμενον αὐτοῖς χρυσὸν καὶ ἄργυρον τοῖς βουλομένοις ἐπίπρασκον, οὐκ ἀγνοοῦντες μὲν ὅθεν συνήγοντο, εἰς κεφαλὴν δὲ

εἶναι λέγοντες τὸ ἁμάρτημα τοῖς μὴ ἐκ τῶν οἰκείων, ἀλλ' ἐκ τῶν τοῦ θεοῦ τὰ ὀφειλόμενα διδοῦσιν αὐτοῖς.

Δεῆσαν δὲ βοήθειαν τὸν Ἀλέξιον ἐκ τῶν Λατίνων λαβεῖν, (ὁ γὰρ θεῖος αὐτῷ καὶ πρῴην βασιλεύων Ἀλέξιος, ἀπαναστὰς Δεβελτοῦ τὴν Ἀδριανούπολιν κατέλαβεν), οὐκ ἄλλως τὸν μαρκέσιον Βονιφάτιον συστράτηγον ἐπεσπάσατο, εἰ μὴ χρυσίου δεκαὲξ κεντηνάρια συνέθετο καταθέσθαι. Ἀμέλει καὶ τὰς Θρᾳκίας πόλεις περιελθὼν, καὶ ταύτας καταστησάμενος, εἰπεῖν δὲ καὶ καλαμησάμενος (οἱ γὰρ συστρατευόμενοι Λατῖνοι ἐς κόρον πίνοντες τῶν τοῦ χρυσίου ρείθρων οὐκ ἐκορέννυντο), καὶ μέχρι Κυψέλλων κατιὼν, ἐπάνεισιν αὖθις εἰς τὰ βασίλεια, ἅπας ἐξηρτημένος ὢν τῆς φατρίας, οἳ τὴν τοῦ πατρὸς τύφλωσιν καὶ τὴν τῆς ἀρχῆς καθαίρεσιν τῷ θείῳ Ἀλεξίῳ συνδιεπράξαντο. Ὅ καὶ μὴ φέρειν Ἰσαάκιος ἔχων, κακηγορῶν οὐκ ἔληγε τὸν υἱὸν, καὶ μάλιστα τὴν μετάθεσιν ἐνωτιζόμενος τῆς ἀναγορεύσεως, ὅτι τὸν μὲν πρῶτον καὶ διακτόρως ἀνευφήμουν, αὐτὸν δὲ ὕστερον καὶ ταπειναῖς ταῖς φωναῖς. Μηδὲν δέ τι δυνάμενος δρᾶσαι, μόνοις οἷς ἐθάρρει τὰ τῆς καρδίας ἀπόρρητα κατὰ τοῦ υἱοῦ ἀπόφημα διελέγετο.

Οὐ μάτην δὲ τοῦ υἱοῦ ὁ Ἰσαάκιος ἀπεφθέγγετο, καὶ γὰρ ἦν ὁ Ἀλέξιος ἀσελγέστερα πλημμελῶν, καὶ τὸ μεγαλοπρεπὲς τῆς βασιλείας Ρωμαίων κατερρύπαινεν ὄνομα. Εἰς γὰρ τὰς τῶν βαρβάρων σκηνὰς μετὰ μετρίων ὀπαδῶν διαπεραιούμενος, συνεκραιπάλα τοῖς ἐν αὐταῖς Λατίνοις, καὶ συνδιημερεύων κύβοις ἐσχόλαζεν. Οἱ δὲ συμπαίζοντες ἐκείνῳ, τὸ ἐπὶ τῆς κεφαλῆς ἀφαιροῦντες διάδημα, λιθόστρωτον καὶ χρυσοκόλλητον, αὐτοὶ μὲν ἐκεῖνο περιετίθεντο, τὸν δ' Ἀλέξιον τὸ ἐξ ἐρίου λατινικὸν περιέβαλλον κάλυμμα.

Οὐ μόνον δὲ Ἀλέξιος τοιαύταις ἐσχόλαζε πράξεσιν, ἀλλὰ καὶ ὁ πατὴρ αὐτοῦ Ἰσαάκιος, πάλιν ἀλλόκοτα ἐφαντάζετο, αὐτὸς εἶναι διατεινόμενος ὁ μόναρχος βασιλεύς, ὁ συνάψων τῇ

Δυτικῇ ἐπικρατείᾳ πάσῃ τὴν τῆς Ἀνατολῆς, καὶ τὴν τῶν ὀμμάτων πήρωσιν ὡς λεβηρίδα ἀποτρίψασθαι προσεδόκα, καὶ τὴν ἀρθρίτιδα νόσον, καὶ εἰς ἄνδρα θεοείκελον ἀμειφθῆναι· ὥστε καὶ τῶν μοναστῶν οἱ λαοπλάνοι συνδειπνοῦντες Ἰσαακίῳ συγκαθίστων ἐκείνῳ τὴν μοναρχίαν ἐν λόγοις, τὸν ἀνθοσμίαν ζωρότερον πίνοντες, ἐνίοτε δὲ καὶ τὰς ἐξηρθρωμένας χεῖρας περιπτυσσόμενοι, καὶ τοῖς ὀφθαλμοῖς αὐτῶν προσάγοντες, τὴν ἀνακαίνισιν προηγόρευον. Ὁ δὲ διεχεῖτο τοῖς λεγομένοις. Ἐν πολλοῖς δὲ καὶ τοῖς ἀστρονόμοις προσκείμενος, ἄλλα τε πολλὰ τούτων ἀκούων εἰργάζετο· καὶ τὸν Καλυδώνιον χοῖρον χαλκοῦν τὸν ἐν τῷ ἱππικῷ, τῆς βάσεως καθελὼν, μετήνεγκεν εἰς τὸ μέγα παλάτιον, τὴν τοῦ δήμου φορὰν καταστεῖλαι ἐντεῦθεν διανοούμενος. (1)

| Καὶ τὸ ἐν τῷ Κωνσταντινείῳ φόρῳ τῆς Ἀθηνᾶς ἄγαλμα f.112 ὁ δῆμος εἰς πλεῖστα μέρη διεῖλον· ἐδόκει γὰρ στοιχεῖον εἶναι τῶν ἐξ Ἑσπέρας στρατῶν.

Ὁ μὲν οὖν δῆμος τοῦτο ἔπραξεν· οἱ δὲ βασιλεῖς πρὸς τὴν συλλογὴν τῶν χρημάτων ἐπέσπευδον, ἐπεὶ μηδὲ ἦν τοῖς λαμβάνουσι Λατίνοις κόρος τῆς λήψεως. Ἀμέλει καὶ ἐκ τῶν Πολιτῶν φόρων ἐγένετο συλλογαί· τούτου δὲ μὴ ὁμαλῶς προχωροῦντος, τῆς μὲν προθέσεως ταύτης ἀπέστησαν, τοῖς δὲ μεγαλοπλούτοις ἐπιφυόμενοι, τῶν προσόντων ἐπῆγον τὴν στέρησιν. Καὶ τὰ χρύσεα δὲ τοῦ μεγίστου νεὼ ἔπιπλα, βαρυτάλαντα ὄντα, καὶ λυχνίαι ἀργύρειαι πυρὶ παραδιδόμεναι, πρὸς βρῶσιν ἐδίδοντο τοῖς κυσὶν Ἰταλοῖς· ἀλλὰ καὶ τούτων ἀνομουμένων, οὐδὲν ἠνύετο. Ὅθεν καὶ τοῖς περὶ τὴν μεγαλόπολιν τρυφηλοῖς χωρίοις, καὶ τοῖς ἐν τῇ Προποντίδι ἱεροῖς τεμένεσι, τοῖς τε οἰκοπέδοις τῶν βασιλείων οἱ στρατηγοὶ ἐφιστάμενοι, ἐσκύλευόν

(1) Περὶ τῶν ἀστρονόμων, ὡς κατήνεγκεν ἀγάλματα, τούτων ἀκούων. (σ. π.)

τε τὰ ἐνόντα καὶ αὐτὰ τῷ πυρὶ παρεδίδοσαν, φειδόμενοι μηδενός· κἂν τοῖς αἰγιαλοῖς τῆς Πόλεως ἐπιπλέοντες, πόλεμον συνεκρότουν, καὶ ἦν ἡ νίκη καὶ Ῥωμαίοις ποτέ.

Ὅθεν καὶ τὸ δημῶδες τῆς Πόλεως ἐνέκειντο τὸν βασιλέα αἰτούμενοι βοηθῆσαι τούτοις κατὰ τῶν πολεμίων μετὰ στρατεύματος· ἀλλ' οὐδὲν ἥνυον. Ὅ τε γὰρ Ἀλέξιος μὴ πεφυκὸς εἶναι κατὰ Λατίνων ὁπλίσασθαι ᾤετο, καὶ ὁ τούτου πατὴρ ἀπράκτους ἐῶν ἦν τοὺς λέγοντας. Ταῖς δὲ γνώμαις ταύταις προσέρρεπον καὶ ὅσοι τοῦ βασιλικοῦ γένους, ἔνιοι δὲ καὶ τοῖς Λατίνοις εἰς ἑταίρους γεγενημένοι, ὡς λήρους τὰς τῶν Πολιτῶν ἐντεύξεις παρέτρεχον.

Μόνος δ' ἐκ πάντων ὁ Δούκας Ἀλέξιος, ὃς Μούρτζουφλος ἐπωνόμαστο πρὸς τῶν ὁμηλίκων ἐκ τοῦ συνεσπάσθαι τὰς ὀφρῦς, πλὴν καὶ οὗτος βασιλειῶν καὶ τὴν τῶν Πολιτῶν ἐπιτεχνώμενος εὔνοιαν, τὸν κατὰ Λατίνων ἀπεθάρρει πόλεμον· καὶ πρὸς τὸν λεγόμενον Τρυπητὸν Λίθον τοῖς δυσμενέσι συμπλέκεται. Μηδενὸς δὲ συναραμένου, δόξαν οὕτω τῷ βασιλεῖ, μικροῦ συνελήφθη ἄν, εἰ μὴ τοξότις νεολαία τῆς Πόλεως παρατυχοῦσα ἐπήμυνεν.

Ὁ τοίνυν λαὸς τῆς Πόλεως, ἐπεὶ μηδένα σύμμαχον εὕρισκον, εἰς ἀποστασίαν χωρεῖν ἤρξατο. Ἦγε μὲν οὖν τότε πέμπτην καὶ εἰκοστὴν ὁ Ἰανουάριος μὴν τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ δωδεκάτου ἔτους. Συνδρομῆς δ' ὅτι πλείστης εἰς τὸν Μέγαν γενομένης νεών, ἠναγκάζετο καὶ ἡ σύγκλητος καὶ ἡ τῶν ἀρχιερέων ὁμήγυρις καὶ οἱ τοῦ βήματος λόγιμοι συνελθεῖν ἐκεῖσε, καὶ περὶ τοῦ ἄρξοντος συνδιασκέψασθαι. Οὐκ ἐδόκει γοῦν καλὸν ἐπιθέσθαι τοῖς βασιλεύουσι καὶ χειροτονεῖν ἑτέραν ἀρχήν, ὅτι καὶ οἱ τῶν Ἰταλῶν ἄρχοντες ἀνθέξονται τοῦ Ἀλεξίου καὶ περιέξονται. Οἱ δὲ τοῦ δήμου οὐκέτι ἔφασκον βούλεσθαι ὑπὸ τῶν Ἀγγέλων βασιλεύεσθαι, καὶ οὐκ ἄλλως ὁ σύλλογος ἐκεῖνος διαλυθήσεται, εἰ μὴ τῶν πραγμάτων προστήσε-

ταί τις θυμήρης αὐτοῖς· καὶ νῦν μὲν τοῦτον, νῦν δ' ἐκεῖνον τῶν εὐγενῶν προέκρινον αὐτοκράτορα. Μόλις δὲ τρίτης ἡμέρας παρελθούσης, νεανίσκον τινὰ συλλαβόντες Νικόλαον τὴν κλῆσιν, Κανναβὸν τὴν ἐπίκλησιν, εἰς βασιλέα χρίουσιν ἄκοντα.

Ὡς δ' Ἀλεξίῳ ταῦτα ἠκούσθη (ὁ γὰρ Ἰσαάκιος ἔκειτο πνέων τὰ λοίσθια) μετάκλητος γίνεται ὑπ' αὐτοῦ ὁ Βονιφάτιος μαρκέσιος, καὶ περὶ τῶν ἐνεστώτων σκεψάμενοι, δεῖν ἔγνωσαν δυνάμεις Λατινικὰς εἰσαχθῆναι τῷ παλατίῳ, δι' ὧν ἀπόβλητος ἔσται ὁ δημοπρόβλητος καὶ ὁ τοῦτον ἐκλεξάμενος λαός.

Ὡς οὖν ταῦτα ἦν δῆλα, τὸν καιρὸν ἁρπάσας ὁ Δούκας Ἀλέξιος σὺν πολλοῖς τῶν ἐκ τοῦ γένους καὶ τὸν ἐπὶ τῶν βασιλικῶν ταμείων εὐνοῦχον ὑποποιήσασθαι σπεύδει τοῖς πρὸ ὀφθαλμῶν κακοῖς ὁρῶν ἀχθόμενον. Ὁ δὲ τοὺς πελεκυφόρους συναγαγὼν καὶ κοινωσάμενος περὶ τούτων, ἐκεῖνα ποιεῖ φιλεῖν αὐτοὺς ὅσα δὴ καὶ αὐτῷ φιλητά. Κἀντεῦθεν ἡ τοῦ Ἀλεξίου δραματουργεῖται καθαίρεσις.

Πρόσεισιν ὁ Δούκας τῷ βασιλεῖ ἀωρὶ τῆς νυκτὸς (ᾠκείωτο γὰρ ὑπὲρ ἅπαντας τιμηθεὶς πρωτοβεστιάριος, καὶ τὰ ἑτερόχρωμα ὑποδούμενος πέδιλα) καὶ φησὶ περιπαθῶς, ὡς οἱ προσγενεῖς ἐκείνῳ, ἀλλὰ καὶ οἱ πλεῖστοι τῶν ἀνωνύμων, καὶ οἱ πελεκυφόροι αὐτοὶ ἐπὶ θύραις ἵστανται διασπᾶσαι τοῦτον αὐτοχειρὶ γλιχόμενοι, ὡς ὁμόφρονα τοῖς Λατίνοις. Ὁ δὲ πρὸς τὴν ἀκοὴν δειλιάσας |, τὸ πραχθησόμενον ἐξειπεῖν λιπαρεῖ. φ. 113.
Περισχὼν τοίνυν αὐτὸν τῷ ἕως ποδῶν διήκοντι ἐπενδύτῃ τοῦ σώματος, συνεξέρχεται ἐκείνῳ καὶ δι' ἀφανοῦς πυλίδος ἄπεισιν εἰς τὸ σκήνωμα ὃ δὴ τῶν βασιλείων εἶχεν ἐντός, ὡς δῆθεν αὐτὸν ῥυσόμενος. Καὶ βασιλεὺς μὲν μικροῦ καὶ χάριτας ὡμολόγει τῷ Δούκᾳ ἐπὶ τοῖς οὕτω δρωμένοις· ἐκεῖ δὲ σιδήρῳ τοὺς πόδας ἀσφαλισθείς, καὶ παραρριφεὶς δεινοτάτῃ παρὰ πάσας εἱρκτῇ, ἐν αὐτῇ ἔκειτο. Ὁ δὲ Δούκας τοῖς βασιλικοῖς κατακοσμεῖται συμβόλοις.

Τὰ δ' ἐπὶ τούτοις; Οἱ μὲν τῷ Δούκᾳ προσίασι καὶ τὰς βασιλικὰς προσρήσεις ἀποδιδόασιν, οἱ δὲ τῷ καθημένῳ ἐπὶ τοῦ νεὼ προσνεύουσι Κανναβῷ, ἀνδρὶ μειλίχῳ τὸ εἶδος, καὶ δεξιῷ τὴν γνώμην, μηδὲ ἀγεννεῖ τὰ πολέμια. Ἀλλ' ὁ μὲν Δούκας ἐκραταιοῦτο καὶ ηὔξανεν, ὁ δὲ Κανναβὸς ἠμαυροῦτο τὴν αἴγλην· χειροῦται οὖν πρὸς τῶν ὁπλοφόρων τοῦ Δούκα οὐκ εἰς μακρὸν καὶ φρουρᾷ παραπέμπεται.

Τῷ δὲ βασιλεῖ Ἀλεξίῳ δὶς μὲν ὁ Δούκας πιεῖν ἐπέδωκε θανάσιμον κύλικα, ὡς δὲ τὸ φάρμακον ἀνενεργὲς ἦν, δι' ἀγχόνης ἐξάγει τοῦτον τοῦ ζῆν, βασιλεύσαντα μῆνας ἓξ σὺν ἡμέραις ὀκτώ.

Ὡς οὖν καθαρῶς εἰς Δούκαν ἡ βασιλεία μετέπεσεν, ὁ μὲν ὤδινε πραγμάτων μεταβολάς, φρόνημα ἔχων μέγα καὶ τὸ εὐεργετῆσαι ἀεὶ ἐς τὸ μέλλον ἀναβαλλόμενος· πρὸς δὲ ταῦτα εἶχε μὲν τὴν ὁρμὴν καὶ ἐξ ἑαυτοῦ, παρέθηγε δὲ αὐτὸν καὶ ὁ πενθερὸς Φιλοκάλης, ὃν καὶ τῶν σεκρέτων λογοθέτην κατέστησε. Σπανίζοντας δὲ χρημάτων τοὺς βασιλικοὺς εὑρὼν θησαυρούς, ἐτάσεσιν ὑπάγων τοὺς τὰς μεγίστας ὑπ' Ἀγγέλων ἀνεζωσμένους ἀρχάς, ἐντεῦθεν συνέλεγε χρήματα, καὶ πρὸς τὰς κοινὰς χρείας ἐκένου, καὶ πρὸς τὴν τῶν Λατίνων ἀντιμάχησιν ἑτοιμασίαν ποιούμενος, διὰ ξύλων μεγίστων ἀνύψωσε τὰ πρὸς θάλασσαν τείχη τῆς Πόλεως, καὶ τὰ χερσαῖα τειχίσμασι περιέλαβε, καὶ τὴν στρατιὰν παρέθηγε τῷ καθ' ἑαυτὸν ὑποδείγματι, ὁπλιζόμενος, καὶ ποτὲ μὲν τὰς τῶν ἐναντίων ἀνακόπτων ἐκδρομάς, ποτὲ δὲ καὶ εἰς πορισμὸν σιτίων ἐξιοῦσιν ἐφιστάμενος.

Ἀμέλει διὰ ταῦτα καὶ τοῖς Πολίταις ἠσπάζετο· οἱ δ' ἐκ τῶν εὐγενῶν βλακείᾳ συντραφέντες, τὴν αὐτοῦ σώφρονα δίαιταν ἀποστρεφόμενοι, ἐσκληρύνοντο, καὶ τὴν αὐτοῦ καταστροφήν, ἐπιστροφὴν ᾤοντο θεϊκήν. Ἀμέλει καὶ τοῦ τῆς Φλάντρας κόμητος Βαλδουΐνου τὰ περὶ τὸν Φιλέα κείροντος καὶ φόρους συλλέγοντος, ἔξεισιν ὁ βασιλεὺς οὗτος κατ' αὐτοῦ· ὡς δ' οἱ μὲν

ἀπιόντες, οἱ δὲ ὑποστρέφοντες ἀλλήλοις συνέμιξαν, Ῥωμαῖοι μὲν δειλιάσαντες ἔφυγον, μόνος δὲ περιλειφθεὶς ὁ βασιλεὺς μικροῦ παραπώλετο· καὶ ἡ τῆς Θεομήτορος εἰκών, ἣν οἱ βασιλεῖς Ῥωμαίων εἶχον συστράτηγον, τοῖς ἐναντίοις ἑάλω.

Ἦν δὲ οὐ ταῦτα μόνα δεινά, ἀλλὰ καὶ τὰ ἐλπιζόμενα χείρονα καὶ χαλεπώτερα. Πάλιν γὰρ κλίμακες ἐν τοῖς πλοίοις τῶν Ἰταλῶν, καὶ μηχαναὶ παντοῖαι κατεσκευάζοντο, καὶ τοῖς εἰς αὐτὰς ἀνιοῦσιν ἐπὶ τῷ μάχεσθαι δωρεαὶ ὑπισχνοῦντο μέγισται. Καὶ τὰ μὲν τῶν δεινῶν ἐκινεῖτο, τὰ δὲ ἤμελλεν.

Ὅ τε δοὺξ Βενετίας Ἐρίκος Δάνδουλος ἐν δολιότητι ὁμιλῆσαι περὶ σπονδῶν ἑλόμενος βασιλεῖ, εἰσιὼν τριήρει περὶ ταῖς ἀκταῖς προσίσχε τοῦ Κοσμιδίου. Ὡς δ' ἔφιππος ὁ βασιλεὺς ἐκεῖσε ἀφίκετο, ἐκίνουν μόνοι τὰ πρὸς εἰρήνην, καὶ ἦσαν τὰ παρὰ τοῦ Δανδούλου καὶ τῶν ἄλλων Ἰταλῶν ἀπαιτούμενα χρυσίου πεντήκοντα κεντηνάρια ἐκ τοῦ αὐτίκα καταβαλλόμενα, καὶ συμφωνίαι τοῖς ἐλευθέροις ἀνδράσιν ἀνοίκειαι. Ἐνῷ δὲ τὰ πρὸς εἰρήνην διελέγετο, ἱππικαὶ Λατινικαὶ δυνάμεις φανεῖσαι τῷ βασιλεῖ ἐπιτίθενται, ὡς μόλις τοῦτον διεκφυγεῖν τὸν κίνδυνον, τῶν δὲ συνόντων χειρωθῆναί τινας.

Τὰ δ' ἐπὶ τούτοις, καταλαμβάνουσι τὰ πλοῖα, ἐφ' ὧν αἱ κλίμακες καὶ τὰ μηχανικὰ ὄργανα, τὸν ἀπὸ τῆς τοῦ Εὐεργέτου μονῆς τόπον ἕως τῶν Βλαχερνῶν, ἐμπεπυρισμένον ὄντα καὶ παντὸς ἐψιλωμένον οἰκήματος. Ὅπερ ἰδὼν ὁ Δούκας, τοῖς πολεμίοις πράττων ἀντίθετα, τὴν βασιλικὴν σκηνὴν περὶ τὸν τοῦ Παντεπόπτου βουνὸν στῆναι ἐκέλευσεν, ὅθεν ὁρᾷν εἶχε τὰς νῆας, καὶ τὰ δρώμενα ἐν αὐταῖς.

Ὡς δ' ἐπέφωσκεν ἡ ἐννάτη τοῦ Ἀπριλίου μηνός, τῆς ἑβδόμης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ δωδεκάτου ἔτους | [φ.113r], ὁ μὲν στόλος ἅπας τοῖς τείχεσιν ἐπλησίασε, τὰς κλίμακας δέ τινες ἀνιόντες κατὰ τῶν ἐν τοῖς πύργοις τῆς Πόλεως βέλη ἠφίεσαν. Ὅλην μὲν οὖν ἐκείνην τὴν ἡμέραν μάχη

κραταιὰ συνεκροτεῖτο, καὶ ἦν τὰ Ῥωμαίων ἐπικρατέστερα, καὶ τὰ ἐκ τῆς Πόλεως τῶν λίθων ἀφετήρια πολλοὺς τῶν πολεμίων διέφθειραν. Ἀνέσει γοῦν ἑαυτοὺς δόντες, τὴν μετ' ἐκείνην ἡμέραν καὶ τὴν ἐφεξῆς Κυριώνυμον τῇ ὑστεραίᾳ πάλιν τῇ Πόλει προσπλέουσιν, ἥτις ἦν δωδεκάτη τοῦ ἀπριλλίου μηνὸς, δευτέρα δὲ τῆς ἕκτης ἑβδομάδος τῶν Νηστειῶν· μέση μὲν οὖν ἡμέρα, καὶ Ῥωμαῖοι κατίσχυον.

Ἐπεὶ δὲ ἔδει δούλην γενέσθαι τὴν βασιλίδα τῶν πόλεων διὰ τὰς ἁμαρτίας ἡμῶν, δύο τινὲς ἐκ μιᾶς τῶν κλιμάκων, ἥτις ἦν ἄγχιστα τῶν Πετρίων καὶ βασιλέως ἔναντι, παραδόντες ἑαυτοὺς τῇ τύχῃ, πρῶτοι εἰς τὸν ἔμπροσθεν αὐτῶν πύργον καταπηδῶσι καὶ τοὺς ἐκεῖ Ῥωμαίους διασοβοῦσι, καὶ διασείσαντες τὴν χεῖρα ἄνωθεν, οἷον σύμβολον χαρᾶς καὶ θάρσους, τοὺς ὁμοφύλους ἐθάρσυναν. Ἀλλὰ καί τις Πέτρος τοὔνομα ἔφιππος διὰ τῆς ἐκεῖσε εἴσεισι πύλης. Οἱ περὶ τὸν βασιλέα τοίνυν τῷ γένει ἐπίσημοι καὶ τὸ λοιπὸν στράτευμα, οὐκ ἐνεγκόντες κατιδεῖν ἑνὸς ἀνδρὸς ἱππότου κόρυθος ὃ λέγεται μέτωπον, πρὸς φυγὴν ἔβλεψαν· ὅθεν κατὰ χιλίους ὑφ' ἑνὸς ἐδιώκετο, εἰς μίαν ἀγεννῆ ψυχὴν συντακέντες ὑπὸ δειλίας, καὶ ταῖς χερσαίαις χρυσέαις λεγομέναις πύλαις ἐπιστάντες τῆς Πόλεως, τὸ νεόκτιστον ἐκεῖσε κατασπῶσι τεῖχος. Οἱ δὲ πολέμιοι, μηδενὸς εἰς χεῖρας ἰόντος, διατρέχουσι πολλαχῇ οὐ συνημμένοι καὶ κατὰ σύνταξιν, ἀλλὰ σποράδες καὶ πᾶσιν ἐπίφοβοι.

Ἑσπέρας δὲ πυρὶ παραδόντες τὰ ἀπὸ τοῦ Εὐεργέτου ἕως τοῦ Δρουγγαρίου καταλήγοντα μέρη τῆς Πόλεως, ὑποστρέφουσιν αὖθις, καὶ περὶ τὴν τοῦ Παντεπόπτου μονὴν στρατήγιον βάλλουσι, τὴν βασίλειον ἐσκυλευκότες σκηνὴν, καὶ αὐτῶν τῶν ἐν Βλαχέρναις βασιλείων κρατήσαντες. Ὁ δὲ βασιλεὺς τῇδε κἀκεῖσε τῶν τῆς Πόλεως περιϊὼν στενωπῶν, ἐπεχείρισε μὲν συνιστᾷν καὶ εἰς σύνταξιν συγκροτεῖν τὸν εἰκῇ περιφοιτῶντα λαὸν, οἱ δὲ οὔτε ἐπείθοντο, οὐδ' ὑπήκουον.

Παρῆλθεν ἡ ἡμέρα, καὶ νὺξ κατέλαβε, καὶ τῶν Πολιτῶν ἕκαστος περὶ τὴν τῶν οὐσιῶν μετάθεσιν καὶ κατάχωσιν ἐνησχολεῖτο, ἦσαν δὲ καὶ οἱ ἀπαίροντες τῆς Πόλεως σώζειν οὕτως ἑαυτοὺς ἐπειγόμενοι. Ἰδὼν τοίνυν ὁ Δούκας ὡς οὐδὲν ὠφελεῖ, καὶ δεδιὼς μὴ συλληφθείη, εἴσεισιν εἰς τὸ Μέγα παλάτιον· καὶ δὴ τὴν βασιλίδα Εὐφροσύνην καὶ τὴν αὐτῆς θυγατέρα Εὐδοκίαν, ἧς τῷ ἔρωτι προκατείληπτο, λεμβαδίῳ ἐνθέμενος τῆς Πόλεως ἔξεισι, βασιλεύσας μῆνας δύο, καὶ ἡμέρας δεκαέξ.

Τοῦ δὲ βασιλέως οὕτω ἐξιόντος τῆς Πόλεως, δύο νεανίαι ἄριστοι κατὰ πόλεμον, ὁ Δούκας οὗτοι καὶ Λάσκαρις, Κωνσταντῖνος δ' ἦν ἀμφοτέροις ἡ κλῆσις, περὶ τῆς βασιλείας ἤριζον· ἦσαν οὖν τῆς ἴσης ῥοπῆς ἀξιούμενοι, ὅτι μηδὲ ἦν ὁ ἐπικρίνων ἑκάτερον. Ἐκ δὲ κλήρου τὸ πρωτεῖον ὁ Λάσκαρις εἰληφώς, τὰ μὲν τῆς βασιλείας οὐ προσίεται σύμβολα, συνεξιὼν δὲ τῷ πατριάρχῃ κατὰ τὸ Μίλιον, οὐκ ἀνήει παραινῶν καὶ ὑποθωπεύων τοὺς συνιόντας εἰς ἀντιμάχησιν, ἀλλὰ καὶ τοὺς πελεκυφόρους ἐς τὸν προκείμενον ἀγῶνα ἐπώτρυνε, καὶ ὡς χρὴ καὶ τούτους μὴ ἔλαττον τῶν Ῥωμαίων δεδιέναι, εἰ πρὸς ἕτερον ἔθνος μεταπέσῃ τὰ πράγματα, οὔτε γὰρ μισθοὺς ἁδροὺς λήψονται, οὔτε πρὸς τῶν βασιλέων τιμάς.

Καὶ ὁ μὲν ἐν τούτοις ἦν· ὡς δ' οὐκ ἐπεστρέφετό τις αὐτοῦ τοῦ λαοῦ, καὶ οἱ πελεκυφόροι ἐπὶ μισθῷ μεγάλῳ τὴν σύναρσιν ἐπηγγέλλοντο, ἐμπορίας καιρὸν τὸν τοῦ κινδύνου τιθέμενοι· ἤδη δὲ καὶ Λατινικαὶ ἐφάνησαν φάλαγγες· ἐκεῖθεν μεθίσταται, καὶ φυγῇ τὸ σωθῆναι οἰκονομεῖ.

Οἱ δὲ πολέμιοι, μηδένα τὸν ἀντίμαχον ἔχοντες, πάντων προσυπαντώντων αὐτοῖς μετὰ σταυρικῶν σημείων καὶ εἰκονισμάτων, ὡς ἐν πανηγύρεσιν εἴθισται, οὐ πρὸς τὴν ὄψιν τῶν ὁρωμένων μεταμορφοῦσι τῆς ψυχῆς τὴν κατάστασιν, ἀλλ' ἐπρονόμευον ἀδεῶς καὶ ἐσκύλευον, ἐκ τῶν ὀχημάτων ἀρξάμενοι, οὐ

τὰ τῶν Πολιτῶν μόνων χρήματα, ἀλλὰ καὶ τὰ τῷ θεῷ ἀνακείμενα, ξιφηφόροι πάντες· ὤ μοι, τῆς τῶν προσκυνητῶν εἰκόνων κατεδαφίσεως, καὶ τῆς τῶν λειψάνων τῶν ὑπὲρ Χριστοῦ παθόντων κατὰ τόπον ἐναγῶν ἀκοντίσεως! (1) τὸ δὲ φρικῶδες
14. καὶ ἀκουόμενον, | ἦν ὁρᾷν τὸ σῶμα καὶ αἷμα Χριστοῦ κατὰ γῆς χεόμενον καὶ ῥιπτόμενον· οἱ δὲ τὰ τίμια τούτων δοχεῖα ἁρπάζοντες, τὰ μὲν διέθραυον, καὶ τοὺς κόσμους αὐτῶν ἐνεκολπίζοντο, τὰ δὲ εἰς οἰκείας χρήσεις τῶν σιτίων καὶ πομάτων παρέφερον.

Τὰ δ' ἐπὶ τοῦ νεὼ τοῦ μεγίστου πραχθέντα, πᾶσαν ἀσέβειαν ὑπερήλασαν. Ἡ μὲν ἁγία τράπεζα ἐκ πασῶν ὑλῶν τιμίων συντετηγμένων πυρὶ συγκειμένη, ἐξαίσιον ἔργον ὄντως καὶ ἀξιάγαστον, διεμερίσθη τοῖς σκυλευταῖς, ὥσπερ καὶ ὁ ἱερὸς ἅπας πλοῦτος, ὁ πολὺς τὸ πλῆθος καὶ τὴν καλλονὴν τοῖς πᾶσιν ἀσύγκριτος· εἰς δ' ἐκκομιδὴν τῶν ἱερῶν σκευῶν καὶ ἐπίπλων, ἀλλὰ καὶ τοῦ ἀργύρου ὅσος τε περὶ τὸν ἄμβωνα, καὶ περὶ τὸν τοῦ βήματος περίβολον, καὶ ὅσος περὶ τὰς πύλας καὶ τὸν ἄλλον κόσμον τοῦ θείου ναοῦ, ὑποζύγια σεσαγμένα εἰσήγετο μέχρι τῶν ἀδύτων αὐτῶν, ὧν ἔνια διολισθήσαντα καὶ πεπτωκότα, ἐκεῖ μαχαίραις κατεσφάγησαν, ὡς ἐκ τῆς αὐτῶν κόπρου καὶ τοῦ αἵματος τὸ θεῖον δάπεδον μιανθῆναι. Ἀλλὰ καὶ γυναικάριον, γοητειῶν καὶ ἐπῳδῶν ἐργαστήριον, ἐπὶ τοῦ συνθρόνου καθίσαν, κεκλασμένον μέλος ἀφῆκε, καὶ πολλάκις περιδινηθὲν ὠρχήσατο. Καὶ ἁπλῶς πάντα παρὰ παντὸς ἐτελεῖτο ἀνοσίως τὰ ἄθεσμα.

Πῶς δ' ἂν ἐφείσαντο γυναικῶν εὐλαβῶν, καὶ κορίων ἐπιγάμων, ἢ τῶν ἀνακειμένων θεῷ καὶ παρθενεύειν αἱρετισαμένων, οἱ κατὰ τῶν θείων οὕτως λυττῶντες! Ἐπὶ πᾶσιν οὐκ ἦν ἐκ-

(1) Ὦ μοι τούτου ἕνεκα τῆς ἀνοχῆς σου, Χριστὲ, ὡς εἰς οἰκείας χρείας τὰ ἱερὰ παρέφερον (Σ. περ.)

μειλίξασθαι λιταῖς, οὐδ' ἐλεεινολογίαις πραῧναι τὸ βάρβαρον, πάντα δ' ἐκρίνετο θυμοῦ ὑπεκκαύματα. Ἐν πολλοῖς δὲ καὶ τὸ ξίφος εἶχεν ἐπ' αὐτὸν λαμβανόμενον ὁ καὶ μικρὸν ἀντειπὼν, ἢ πρὸς τὰ ἀρεστὰ τούτοις ἀναδυόμενος. Ὅθεν ἦν εἰς πόνον ἅπασα κεφαλὴ, καὶ πανταχοῦ στόνοι, καὶ θρῆνοι, καὶ οὐαί· οἱ τῷ γένει σεμνοὶ γυμνοὶ καθωρῶντο, οἱ γεραροὶ τῷ γήρᾳ, γόων ἦσαν ἐπάξια πάσχοντες· οἱ πλούσιοι, ἀνούσιοι· οὐκ ἦν τόπος ἀνερεύνητος, ἢ ἀσυλίαν τινὶ παρεχόμενος, ἀλλὰ πάντα κακῶν ἔμπλεα ἦν.

Τότε συνέβη γενέσθαι καὶ ἕτερον βούλευμα τοῖς Πολίταις, οὐκ οἶδα περὶ τούτου φάναι, εἴτε καλῶς, εἴτε καὶ τοῦτο καθ' ἑαυτῶν· τοὺς γὰρ Λατίνους, οἳ ἦσαν τὰς οἰκήσεις ἐν Κωνσταντινουπόλει κεκτημένοι, εἰς χιλιοστύας ἀριθμουμένους, τῆς Πόλεως ἀπεπέμψαντο, τοσούτῳ πλήθει τοὺς ἐναντίους ἐπικρατεστέρους πεποιηκότες, καὶ ταῦτα ὅρκοις πληροφοροῦντας μή ποτε προδοσίαν κατ' αὐτῶν μελετῆσαι, συναποθανεῖν δὲ μᾶλλον αὐτοῖς, εἰ συμβαίη, μαχομένοις, ὡς ἰθαγενεῖς καὶ αὐτόχθονας, καὶ γυναῖκας καὶ παιδία διδόντας ἐνέχυρα εἰς ἀσφαλεστέρους τόπους ἀπαγαγεῖν.

Ὁ μὲν οὖν βασιλεὺς Ἀλέξιος ὁ Ἄγγελος ἀποδρὰς τῆς Κωνσταντίνου, ὡς εἴρηται πρὸ βραχέος, καὶ τόπον ἐκ τόπου περιερχόμενος ἀφίκετο πρὸς τὴν Φιλιππούπολιν· ἀλλ' οὐ προσεδέχθη· ἀπῆλθε γοῦν εἰς τὴν Μοσυνόπολιν, κακεῖσε διέτριβεν, ὅπου καὶ ὁ Δούκας Ἀλέξιος ὁ Μούρτζουφλος μετὰ γαμετῆς βασιλίδος Εὐφροσύνης καὶ τῆς αὐτοῦ τοῦ Ἀγγέλου θυγατρὸς Εὐδοκίας, ἥν εἰς γυναῖκα ἑαυτῷ προσηρμόσατο, ὑστάτην οὖσαν τῶν αὐτοῦ θυγατέρων, ἀφίκετο. Τρεῖς δὲ ἦσαν θυγατέρες τῷ βασιλεῖ Ἀλεξίῳ, Εἰρήνη ἡ πρώτη, ἥν καὶ τῷ Παλαιολόγῳ Ἀλεξίῳ συνέζευξεν, ὃς καὶ πρὸ τῆς τοῦ Βύζαντος ἁλώσεως φυσικῷ θανάτῳ τῶν τῇδε ἀπῆλθεν, Ἄννα τε ἡ δευτέρα, εἰς ἣν τὸν Λάσκαριν Θεόδωρον τὸν βασιλέα ἐπεγάμβρευσε, καὶ ἡ

τρίτη Εὐδοκία, ἣ τῷ κράλῃ Σερβίας συνέζευκτο, καὶ, ὡς ἔφησε, φωράσας ἐπὶ πάθει ταύτην ἐκεῖνος, πρὸς τὸν πατέρα ἀνέπεμψεν.

Ὁ δὲ βασιλεὺς Ἀλέξιος, πολλῶν μὲν καὶ ἄλλων ἕνεκα, τὸν Μούρτζουφλον, οὐδὲν δ' ἧττον καὶ τῆς θυγατρὸς, ἐμυσάττετο, προσωπεῖον δὲ πλασάμενος εὐνοίας ὑποδέχεται τοῦτον, καὶ ὡς κηδεστὴς φιλοφρονεῖται, καὶ λουτρὸν εὐτρεπίσας, ἅμα τῇ θυγατρὶ λουσθῆναι παρακελεύεται. Ἐντὸς οὖν τοῦ λοετροῦ γενομένῳ, οἱ τοῦ βασιλέως Ἀλεξίου ἐπιπεσόντες, στεροῦσι τῶν ὀφθαλμῶν. Φασὶ δὲ ὡς ἡ Εὐδοκία παρὰ τὰς θύρας ἑστῶσα τοῦ λουτροῦ, τὸν πατέρα κακηγορεῖν οὐκ ἐπαύετο, καὶ ὁ πατὴρ, τῆς ἀναιδείας καὶ ἀσελγοῦς ἀγαπήσεως χάριν, ὕβρεσιν αὐτὴν ἔπλυνε.

14ᵃ. | Τυφλὸς οὖν ὁ Μούρτζουφλος γεγονὼς, περὶ τὴν Μοσυνόπολιν ἐπλανᾶτο. Ὁ δὲ βασιλεὺς Ἀλέξιος ἀπάρας ἐκεῖθεν, εἰς τὴν Θεσσαλονίκην ἐχώρει. Ἐπεὶ δὲ τῆς Κωνσταντίνου ἐξελθόντες οἱ Ἰταλοὶ πρὸς τὴν Μοσυνόπολιν ἔφθασαν, εὑρόντες ἐκεῖ τὸν Μούρτζουφλον, εἰς τὸ Βυζάντιον ἀπήγαγον, καὶ τοῦ παρ' αὐτοῦ πραχθέντος εἰς τὸν τοῦ Κῦρ Ἰσαακίου υἱὸν ἀμυνόμενοι, ἀπὸ τοῦ κίονος, οὗ Ταῦρος ἡ κλῆσις, κάτω βάλλουσιν, καὶ τοῦ ζῆν ὑπεξάγουσιν.

Ὁ μὲν οὖν Λάσκαρις Θεόδωρος δεσπότης παρὰ τοῦ κηδεστοῦ Ἀλεξίου τοῦ βασιλέως προβεβλημένος, φθάσας προεξῆλθε τῆς μεγαλοπόλεως ἅμα τῇ γυναικὶ Ἄννῃ καὶ ταῖς τρισὶ θυγατράσιν, ὧν ἡ μὲν Εἰρήνη κατωνομάζετο, ἡ δὲ μετ' αὐτὴν Μαρία, καὶ ἡ τρίτη Εὐδοκία. Παρεκάλει οὖν ἀπελθὼν εἰς τὴν Νίκαιαν τοὺς Νικαεῖς ἔσω τοῦτον τῆς πόλεως δέξασθαι, καὶ ὡς κυρίῳ αὐτῶν ὑποτάττεσθαι· οἱ δὲ, οὐκ ἐπείθοντο· ἐνέκειτο γοῦν λιπαρῶν, καὶ κἂν τὴν αὐτοῦ μόνην γυναῖκα δέξασθαι, καὶ μόλις εἰς τοῦτο παρέπεισεν. Ἀφεὶς οὖν κατὰ Νίκαιαν τὴν γυναῖκα, τὰ πέριξ διήρχετο, Προῦσάν τε καὶ τὰ περὶ αὐτὴν, ὅπως ὑπὸ

χεῖρα ταῦτα ποιήσαιτο, καὶ ὡς βασιλεὺς ἀντὶ τοῦ πενθεροῦ τούτων κατάρξειεν· οὗ δὴ καὶ ἐπέτυχεν. Ἐν δὲ τῷ μεταξὺ καὶ πρὸς τὸν σουλτάνον ἀφίκετο, συνήθη τούτῳ τυγχάνοντα, καὶ συμμαχίαν παρ' αὐτοῦ εἴληφε, καὶ τὰ κατὰ σκοπὸν διεπράξατο·

Δύο τοίνυν παρῳχηκότων ἐνιαυτῶν, καὶ δεσπότου φημιζομένου τοῦ Λάσκαρι, ἐπεὶ συνδρομὴ γέγονε κατὰ Νίκαιαν περιφανῶν ἀνδρῶν τῆς συγκλήτου καὶ λογάδων τῆς ἐκκλησίας, σκέψις τούτοις ἐγένετο ὅπως βασιλεὺς ἀναγορευθείη ὁ Λάσκαρις. Πατριάρχου δὲ μὴ παρόντος (ὁ γὰρ Καματηρὸς Ἰωάννης περὶ τὸ Διδυμότειχον ἀπῆρε, κἀκεῖ διέτριβε) διαμηνυθεὶς παρά τε τοῦ Λάσκαρι καὶ τῶν λοιπῶν, ἀπηνήνατο τὴν πρὸς αὐτοὺς ἄφιξιν, ἔγγραφον τὴν παραίτησιν ποιησάμενος· καὶ ψηφίζεται πατριάρχης ὁ Αὐτωρειανὸς Μιχαὴλ, ἀνὴρ λόγιος καὶ πάσης γραφῆς ἔχων πεῖραν, τῆς τε ἡμετέρας καὶ θύραθεν, ὅς καὶ τὸν Λάσκαριν τῷ βασιλικῷ διαδήματι ταινιοῖ.

Ἐντεῦθεν βασιλεὺς ὁ Λάσκαρις φημισθεὶς, κραταιότερον τῶν πραγμάτων ἐφήπτετο, καὶ μάχας πολλὰς καὶ χαλεπὰς συνεστήσατο· οἵ τε γὰρ Ἰταλοὶ, καὶ ἐξ ἑαυτῶν, ἀλλὰ καὶ παρὰ τῶν κατὰ Πηγὰς ὁμοεθνῶν, ἔτι δὲ καὶ τῶν κατὰ Σκάμανδρον Ἀρμενίων παραθηγόμενοι, κατὰ τὴν ἕω περαιωθέντες, τὰ πλείω ταύτης ὑφ' ἑαυτοὺς ἐποιήσαντο, τό τε θέμα δηλονότι τοῦ Ὀψικίου καὶ Αἰγαίου, καὶ τὸ Ἀτραμύττιον, Βάρη τε καὶ Αὐλωνία, Πημανηνόν τε καὶ Οὐαλεντινιανὰ μέχρι καὶ αὐτοῦ Λοπαδίου, δεσπότας τοὺς Λατίνους ἐγίνωσκον, ἀλλὰ καὶ τὰ τῆς Θινίας ἕως καὶ Νικομηδείας αὐτῆς. Ἐντεῦθεν ἐστενοῦτο ὁ βασιλεύς· οὐδὲν δὲ ἧττον καὶ πρὸς τῶν Ρωμαίων κατεβιάζετο· ὁ γὰρ ἡγεμὼν εἶναι λαχὼν ἐν τῇ ἁλώσει τῆς Κωνσταντινουπόλεως ἄλλοθεν ἄλλως, ἢ καὶ οἱ τῶν ἄλλων προέχοντες, ὡς ἀρχὴν ἰδίαν τὴν ὑφ' ἑαυτοὺς ἐποιοῦντο διοίκησιν, ἢ ἐξ ἑαυτῶν εἰς τοῦτο παρακινούμενοι, ἢ παρὰ τῶν οἰκητόρων εἰς δεφένδευσιν προσκαλούμενοι.

Αὐτίκα Θεόδωρός τις, ὃν καὶ Μωροθεόδωρον ἐκάλουν, ἄρχων τῆς Φιλαδελφείας ἦν· ἕτερος δὲ τοῦ ἄστεος ἐκυρίευε τοῦ Σαμψὼν καὶ τῶν σύνεγγυς, Σάβας οὗτος ἐλέγετο. Παφλαγονίας δὲ πάσης ὁ Δαυῒδ ἐκράτει, ὅς ἦν ἀδελφὸς Ἀλεξίου τοῦ ἐν τῇ Τραπεζοῦντι ἐξουσιάζοντος, ὃν Μέγαν ὠνόμαζον Κομνηνὸν, τοῦ τυράννου Ἀνδρονίκου ὄντες ἀπόγονοι. Διὰ ταῦτα πολλὴν εἶχε τὴν ἀπορίαν ὁ βασιλεύς· ἀλλὰ τὸν μὲν Μωροθεόδωρον καὶ τὸν Σάβαν ρᾷον μετῆλθε, καὶ ἐδέσποζεν ἀδεῶς Κελβιανοῦ τε παντὸς καὶ Μαιάνδρου, καὶ Φιλαδελφείας καὶ Νεοκάστρων.

Ἀλλ' ἐνταῦθα ἱστορητέον ὅσα τῷ βασιλεῖ Ἀλεξίῳ συμβέβηκε, καὶ περί τινων τῶν κατὰ μέρη τὰ Δυτικά. Ἀφίκετο μὲν ὁ βασιλεὺς Ἀλέξιος εἰς τὴν Θεσσαλονίκην, καὶ ὑπεδέχθη παρὰ τῆς πρότερον μὲν ἐπ' ἀδελφῷ τῷ βασιλεῖ Ἰσαακίῳ νύμφης αὐτοῦ Μαρίας τῆς θυγατρὸς τοῦ τῆς Οὐγγρίας ρηγὸς, τότε δὲ συννεύνου τῷ μαρκεσίῳ. Τῶν γὰρ Ἰταλῶν εἰς πολλὰ μέρη τὰ τῆς Ρωμαΐδος κληρωσαμένων, ὁ μὲν ἐκ Φλάντρας Βαλδουῖνος βασιλεὺς ἀνηγορεύθη, καὶ καθολικὸς ἦν ἄρχων, τοὺς Φραγγίσκους κεκτημένος περὶ αὐτόν· ὁ δὲ τῆς Βενετίας δοὺξ δεσπότης τιμηθεὶς πρὸς τοῦ Βαλδουΐνου ἔχειν ἐτάχθη μετὰ τῶν ὁμογενῶν ἐξ ὅλου οὗ τὸ τῶν Ἰταλῶν κοινῶς ἐκτήσατο ἔθνος, τὸ τέταρτον καὶ τοῦ τετάρτου τὸ ἥμισυ. Τῷ μαρκεσίῳ δὲ ἀνα-
15.λόγως τῇ συμμαχίᾳ ἣν συνεμάχησεν |, ἡ Θεσσαλονίκη ἐδόθη, καὶ ρὴξ Θεσσαλονίκης τετίμηται, γυναῖκα προσλαβομένῳ τὴν δηλωθεῖσαν Μαρίαν. Ὑπὸ ταύτης ὁ Ἀλέξιος ὑπεδέχθη.

Ἐπεὶ δὲ νεωτερίζων ἐφωράθη μετὰ μικρὸν, ἀπεδιώχθη συνάμα τῇ γυναικὶ καὶ τῇ θυγατρὶ Εὐδοκίᾳ, ἣν καὶ εἰς Κόρινθον ἀφικόμενος συνέζευξε τῷ Σγουρῷ, (1) ἐκεῖσε κατάρχοντι, καὶ δεσπότην τοῦτον ἐτίμησε. Μετ' οὐ πολὺ δὲ γνοὺς παρὰ

(1) Ἐν τῷ ἄνω περιθεωρίῳ: Ἀνακτόγαμβρος δεσπότης Σγοῦρος Λέων.

τινων ὡς μέλλει ἁλίσκεσθαι, ἀποδιδράσκει Κορίνθου πρὸς τὸν ἐξάδελφον αὐτοῦ Μιχαὴλ τὸν Δούκαν βουλόμενος ἀπελθεῖν· αὐτος γὰρ ἦν τότε τῆς Παλαιᾶς Ἠπείρου κρατήσας, Ἀχαΐας τε καὶ Ἀκαρνάνων ἐξουσιάζων καὶ τῆς Ναυπάκτου αὐτῆς, καὶ πολλὰ τοῖς πρὸς τὰ ἐκεῖ ἀπερχομένοις Λατίνοις παρέχων πράγματα, γενναίως αὐτοῖς ἀντικαθιστάμενος. Ἀπήρχετο μὲν οὖν πρὸς τὸν Μιχαὴλ ὁ Ἀλέξιος· ἐκ Λογγιβαρδίας δέ τισι συντυχὼν, ἁλίσκεται καὶ ἀπεμπολεῖται παρ' αὐτῶν εἰς τὸν Μιχαὴλ μετὰ καὶ τῆς γυναικὸς, χρυσίον δόντα πολὺ τοῖς κατέχουσι. Μικρὸν δὲ μετὰ τοῦ Μιχαὴλ προσκαρτερήσας, βουλεύεται πρὸς τὸν τοῦ Ἰκονίου σουλτάνον ἐλθεῖν Ἰαθατίνην· ἦν γὰρ αὐτῷ συνήθης τὰς τοῦ ἀδελφοῦ χεῖρας ἀποδρὰς Ἀζατίνη, τοῦ Περσῶν τότε κατάρχοντος, καὶ εἰς Κωνσταντινούπολιν εἰσιὼν, καὶ παρὰ τοῦ Ἀλεξίου ὑποδεχθείς· ὃς καὶ ἐβαπτίσθη, καὶ εἰς υἱὸν ἀπεκληρώθη τῷ Ἀλεξίῳ, καὶ συναπέδρα τούτῳ ἐξιόντι τῆς Κωνσταντινουπόλεως· ἀλλ' οὔπω συχναὶ παρῆλθον ἡμέραι μετὰ τὴν ἀπὸ τῆς μεγαλοπόλεως ἐξέλευσιν, καὶ ἔρχεται πρὸς τὸν Ἰαθατίνην ἀνὴρ κρύφα, μηνύων τὸν τοῦ ἀδελφοῦ αὐτοῦ Α'ζατίνη θάνατον, ὃς καὶ ῥάκεσιν ἄγαν πενιχροῖς ἠμφιεσμένος μετ' αὐτοῦ εἰς τὸ Ἰκόνιον ἄπεισι, καὶ γνωσθεὶς σουλτάνος ἀποκαθίσταται. Οὗτος καὶ τῷ Λάσκαρι βασιλεῖ ἐν πολλοῖς χρήσιμος ἀνεφάνη, συμμαχίαν διδοὺς, καὶ τὰς τῆς εἰρήνης σπονδὰς συντηρῶν, ὡς ἀδελφὴν γὰρ τὴν βασιλίδα Ἄνναν ὠνόμαζε. Προς τοῦτον Ἀλέξιος ἔσπευδεν ἀφικέσθαι, ἐλθεῖν πρὸς τὸν γαμβρὸν καὶ βασιλέα ἀπαναινόμενος. Ἐφοδιασθεὶς οὖν πρὸς τοῦ Μιχαὴλ, καὶ φορῷ χρησάμενος πνεύματι, τῇ Ἀτταλείᾳ προσώρμισε, καὶ ἀσμένως παρὰ τοῦ σουλτάνου ὑπεδέχθη καὶ φιλοφρόνως.

Τότε ὁ βασιλεὺς Θεόδωρος διῆγεν ἐν τῇ Νικαίᾳ, καὶ πρέσβεις ἐκ τοῦ σουλτάνου ἀφίκετο παρ' αὐτὸν, τήν τε τοῦ πενθεροῦ ἄφιξιν πρὸς αὐτὸν γνωρίζων, καὶ ὡς ἀπ' αὐτοῦ εἰσηγού-

μενος ὑπεκστῆναι τῷ πενθερῷ τῆς ἀρχῆς. Ταῦτα ἀκούσας ὁ βασιλεὺς Θεόδωρος ἐταράχθη, καὶ δέος ἔσχεν αὐτὸν οὐ μικρόν· πεπληροφόρητο γὰρ πρός τινων, ὡς σκῆψις ἦν ὁ βασιλεὺς Ἀλέξιος, τῇ δ' ἀληθείᾳ σκοπὸς ἦν τῷ σουλτάνῳ τὴν Ῥωμαίων καταδραμεῖν καὶ ληΐσασθαι, καὶ ὑπὸ χεῖρα ποιήσασθαι. Συναγαγὼν οὖν ὁ βασιλεὺς Θεόδωρος ἅπαντας τοὺς αὐτοῦ, ἐπειρᾶτο τούτων εἴ τε αὐτῷ προσκείμενοι κατὰ πάντα εἰσὶν, εἴ τε καὶ πρὸς τὸν βασιλέα Ἀλέξιον βλέπουσιν. Οἱ δὲ πάντες μιᾷ φωνῇ ὡς ἐκ μιᾶς γνώμης ἔφασαν, ἢ συζῇν αὐτῷ, ἢ συναποθανεῖν διαβεβαιούμενοι. Θάρσος οὖν τοῖς λόγοις τούτων λαβὼν, ἔξεισι τῆς Νικαίας, ἔχων καὶ τὸν τοῦ σουλτάνου πρέσβιν μεθ' ἑαυτοῦ, καὶ ταχύνας τὸν δρόμον τῇ Φιλαδέλφου ἐφίσταται. Ὁ δὲ σουλτάνος ἔχων μεθ' ἑαυτοῦ καὶ ὃν ὡς δέλεαρ ἐπεφέρετο βασιλέα Ἀλέξιον, τὴν ἔφοδον ἐν Ἀντιοχείᾳ πεποίηται, (πόλις δὲ αὕτη κατὰ τὸν Μαίανδρον), κρατῆσαι θέλων αὐτῆς. Καὶ στήσας ἑλεπόλεις ἐπόρθει τὴν Ἀντιόχου, καὶ ἦν αὕτη τοῦ ἁλῶναι ἐγγύς· ὃ καὶ ὁ βασιλεὺς Θεόδωρος δεδιὼς, (εἰ γὰρ ταύτης ἐκράτησεν ὁ σουλτάνος, εἶχεν ἂν καὶ τὴν Ῥωμαίων πᾶσαν χειρώσασθαι), οἷον ἐπὶ κύβου τὸν πόλεμον θέμενος, ἢ μᾶλλον θαρρήσας ἐπὶ τῷ δι' οὗ βασιλεῖς βασιλεύουσι καὶ τύραννοι κρατοῦσι γῆς, ἐπισπεύδει τὸν δρόμον, παραγγείλας πᾶσι μὴ σκηνὴν φέρειν, ἢ ἕτερόν τι μὴ τῷ πολέμῳ λυσιτελοῦν, ἄνευ μέντοι τῶν ἀναγκαίων, τροφῆς καὶ ἐνδύματος. Ἦν δὲ τὸ πᾶν αὐτῷ στράτευμα εἰς δισχιλίους ποσούμενον, ὧν οἱ ὀκτακόσιοι Ἰταλοί, ἄνδρες γενναῖοι καὶ σθενκροί, Ῥωμαῖοι δὲ οἱ πλείους ἐτύγχανον. Τῇ γοῦν Ἀντιοχείᾳ ἐγγίσας ὁ βασιλεὺς, ἀφίησι καὶ τὸν πρέσβιν εἰς τὸν αὐτοῦ κύριον τὸν σουλτάνον ἐλθεῖν· ὃς καὶ ἀπελθὼν, μηνύει τῷ σουλτάνῳ τὴν τοῦ βασιλέως ἔφοδον, ἄπιστον ἐκείνῳ τυγχάνουσαν· ὁ δὲ καὶ ὅρκοις διεβεβαιοῦτο, ἦ μὴν, οὕτως ἔχειν ὥσπερ φησί. Ταῦτ' οὖν ἐνωτισάμενος ὁ σουλτάνος, συνάγει καὶ αὐτὸς τὸν οἰκεῖον στρα-

τὸν, καὶ παρατάττεται πρὸς τὸν πόλεμον. Ἐμπίπτουσι τοίνυν | ταῖς σουλτανικαῖς δυνάμεσι πρῶτοι οἱ Ἰταλοὶ (ἦν δὲ τὸ f. 1 τῶν Περσῶν πλῆθος πολύ), ἔργα δὲ λόγου καὶ μνήμης κατεργασάμενοι ἄξια, πίπτουσι σχεδὸν πάντες, ἀπειροπλασίους διαχειρισάμενοι τῶν ἐχθρῶν· τούτων δὲ οἱ πολέμιοι περιγινόμενοι, ῥᾷον καὶ τοὺς Ῥωμαίους ἐτρέψαντο. Ὅθεν οἱ μὲν αὐτῶν ἔφευγον, ὀλίγοι δ᾽ ἐκαρτέρουν, τὸ τέλος ἀποσκοπούμενοι.

Τῆς μάχης δὲ γενόμενος ὁ σουλτάνος ἐγκρατὴς, τὸν βαλέα ἐζήτει Θεόδωρον, καὶ δείκνυσί τις τοῦτον αὐτῷ, καὶ ὡς εἶχε τάχους φέρεται κατ᾽ αὐτοῦ· ἔγνωσαν οὖν ἀλλήλους, καὶ ὁ μὲν σουλτάνος σιδηρᾷ κορύνῃ πλήττει κατὰ κεφαλῆς τὸν βασιλέα, καὶ πίπτει τοῦ ἵππου σκοτιδινιάσας ὁ βασιλεύς· συνεποδίσθη γὰρ, ὥς φασι, καὶ ὁ ἵππος, οὐκ οἶδα εἰ καὶ τούτου παρὰ τοῦ σουλτάνου λαβόντος πληγήν· πεζὸς οὖν ὁ βασιλεὺς γεγονὼς, καὶ οἷον ὑπὸ θείας ῥωσθεὶς δυνάμεως, σταθεὶς ἐπὶ πόδας, τὴν σπάθην ἐξάγει τοῦ κουλεοῦ, καὶ τοῦ σουλτάνου πρὸς τοὺς οἰκείους στραφέντος, καὶ μεθ᾽ ὕβρεως εἰπόντος « λάβετε τοῦτον », πλήττει τῆς τοῦ σουλτάνου ἵππου ὁ βασιλεὺς (θηλείας γὰρ ἐπωχεῖτο) τοὺς ὀπισθίους πόδας, καὶ ὡς πύργου ὁ σουλτάνος καταπίπτει, καὶ τὴν κεφαλὴν ἀποτέμνεται, μήτε τοῦ βασιλέως, μήθ᾽ ἑτέρου τῶν συμπαρεστώτων γνόντος παρὰ τίνος ἀφῃρέθη τὴν κεφαλήν. Νικᾷ γοῦν, τὸ θαυμάσιον ἡττημένος ὁ βασιλεὺς, καὶ σκυλεύει τὸ στρατόπεδον τῶν Περσῶν. Οἱ γὰρ πάντες ὡς εἶδον ἐπὶ δόρατος φερομένην τὴν τοῦ σουλτάνου κεφαλὴν, ἔφευγον ἀμεταστρεπτί.

Τοῦτο τοῖς Ῥωμαίοις ἀναψυχῆς ἐγένετο πρόφασις, οὐ μόνον ὅτι χρημάτων οὐκ εὐαριθμήτων αὐτός τε βασιλεὺς καὶ οἱ σὺν αὐτῷ ἐγένοντο κύριοι, καὶ ἵππων καλῶν καὶ πολλῶν, καὶ ἄλλης μεγίστης περιουσίας, ἀλλ᾽ ὅτι καὶ φοβεροὶ πᾶσιν ἔθνεσιν ἔδοξαν, καὶ οἱ Μουσουλμάνοι σπονδὰς ἀρρήκτους μετὰ Ῥωμαίων ἐποίησαν. Τότε καὶ ὁ βασιλεὺς Ἀλέξιος συλλαμβάνεται, καὶ

πρὸς τὸν γαμβρὸν καὶ βασιλέα Θεόδωρον ἄγεται· ὁ δὲ τοῦτον ἰδὼν, τοῦ ἵππου τε ἀποβαίνει καὶ οὕτως τὴν ὀφειλομένην ὡς βασιλεῖ τούτῳ ἀφοσιοῦται προσκύνησιν. Οἱ δὲ τῆς συγκλήτου καὶ τοῦ στρατοῦ τὸ διαφέρον αἰτήσαντες καὶ λαβόντες αὐτὸν, αἰτίαν προσάψαντες τὴν αὐτῶν πρὸς τὸν σουλτάνον προδοσίαν καὶ τῶν χωρῶν τῶν Ρωμαϊκῶν, μετὰ δίκην στεροῦσι τοῦ φάους τῶν ὀφθαλμῶν· ἐν δὲ τῇ Νικαίᾳ τὸ λεῖπον τῆς ζωῆς αὐτοῦ διανύσας, θνήσκει καὶ θάπτεται ἐν τῇ τοῦ Ὑακίνθου μονῇ. Ἡ μέντοι σύζυγος αὐτοῦ, βασίλισσα Εὐφροσύνη, ἐν τῇ τῆς Ἄρτης ἐτελεύτησε χώρᾳ, ἔνθα καὶ θάπτεται.

Περιεγένετο ὁ βασιλεὺς Θεόδωρος καὶ τοῦ τῆς Παφλαγονίας κρατοῦντος Δαυΐδ, καὶ τὰς πόλεις Ἡράκλειάν τε καὶ Ἄμαστριν ἐχειρώσατο, καὶ ὅσα περὶ αὐτὰς πολίχνια, καὶ τὴν χώραν πᾶσαν τῆς Παφλαγονίας ὑπέταξεν.

Ἄξιον δὲ καὶ τῶν περὶ τῶν κατὰ τὴν Δυτικὴν χώραν εἰπεῖν, ἵνα δὲ ὁ λόγος σαφὴς εἴη, προειπεῖν τινα τούτων χρεών. Ὁ βασιλεὺς Ἰσαάκιος τῆς Κωνσταντίνου κατάρχων, ἠγάγετο εἰς γαμετὴν δευτέραν, (τῆς πρώτης θανούσης), τὴν τοῦ ῥηγὸς Οὐγγρίας θυγατέρα Μαρίαν, ὡς φθάσαντες εἴπομεν· ἐπεὶ δὲ καὶ τὸν γάμον ἔδει τελέσαι, ἠθέλησε τὰ ἀναλώματα ποιῆσαι ἀνάλογα γάμῳ βασιλικῷ, ἐφ᾽ ᾧ καὶ ἀπὸ τῆς Ρωμαίων πάσης συνήγετο θρέμματα, μάλιστα δ᾽ ἐκ τῶν Βουλγάρων, ἐπειδὴ καὶ κτηνοτρόφοι οὗτοι πλέον τῶν ἄλλων μᾶλλόν εἰσι. Τοῦτο τὸ γένος Ρωμαίοις ἀρχῆθεν ἐναντιούμενον, ὁ πορφυρογέννητος βασιλεὺς Βασίλειος ὑπέταξε τέλεον, ὃν καὶ διὰ τοῦτο Βουλγαροκτόνον ἐφήμησαν. Μέχρι μὲν οὖν τοῦ βασιλέως Ἰσαακίου, δοῦλον καὶ ὑπόφορον τὸ ἔθνος ἐτέλει Ρωμαίοις· τότε δέ τις Ἀσὰν, ὡς ἀνωτέρω δεδήλωται, μελετήσας ἀνταρσίαν διὰ τὴν τοιαύτην αἰτίαν, πλείω τῶν προτέρων δεινὰ Ρωμαίοις εἰργάσατο. Οὗτος εἶχεν ἀδελφοὺς δύο, Πέτρον τε καὶ Ἰωάννην, καὶ τὸν μὲν Ἰωάννην ἔκρινε συνεῖναι αὐτῷ, τὸν Πέτρον δὲ, τμῆ-

μά τι κόψας τῆς ὑπ' αὐτὸν χώρας, ἄρχειν ἐκείνου διεκελεύσατο, (ἡ μεγάλη Πρεσθλάβα, καὶ ἡ Προβάτους καὶ τὰ περὶ αὐτὰ ἦν, ἃ τῷ Πέτρῳ ὡς κλῆρος ἐδόθησαν, ὅθεν καὶ μέχρι τοῦ νῦν Χώρα τοῦ Πέτρου κατονομάζεται). Ἔνατον οὖν ἔτος διανύσας τῇ ἀρχῇ ὁ Ἀσὰν, φονεύεται παρὰ τοῦ ἐξαδέλφου αὐτοῦ Ἰβαγκοῦ, ὡς δεδήλωται. | Καὶ ὁ ἀδελφὸς αὐτοῦ Ἰωάννης φ. 11
τὴν ἀρχὴν διαδέχεται, μὴ θελησάντων τῶν Βουλγάρων ἄρξαι Πέτρον αὐτῶν· ὁ γὰρ τοῦ Ἀσὰν υἱὸς Ἰωάννης ἔτι ἀφῆλιξ ἦν.

Οὗτος οὖν ὁ Ἰωάννης βασιλεύσας Βουλγάρων, πολλῶν κακῶν τοῖς Ῥωμαίοις αἴτιος ἐγεγόνει, ἀλλὰ καὶ αὐτοῖς Ἰταλοῖς ὅτε τῆς Κωνσταντίνου ἐκράτησαν, καὶ πᾶσαν τὴν τῆς Μακεδονίας χώραν ὑφ' ἑαυτοὺς ἐποιήσαντο. Τότε τοῦ πρώτως ἐν τῇ μεγαλοπόλει βασιλέως ὀνομασθέντος Βαλδουΐνου πρὸς τὴν Ἀδριανούπολιν διαμηνύσαντος ὅπως ὑπ' αὐτὸν γένηται, (ὁ γὰρ Βούλγαρος Ἰωάννης τὴν Φιλιππούπολιν προφθάνει χειρώσασθαι καὶ ἀνδραποδισμὸν ἐκεῖθεν Ῥωμαίων μέγαν ποιήσασθαι), τῶν Ἀδριανουπολιτῶν μὴ βουληθέντων ὑπὸ χεῖρα γενέσθαι τῶν Ἰταλῶν, ὁ Βαλδουΐνος μετὰ καὶ τοῦ τὸν τόπον τοῦ δουκὸς Βενετίας ὑπέχοντος καὶ τῶν Ἰταλῶν, κατὰ τῆς Ἀδριανοῦ ἐκστρατεύει. Οἱ δ' ἐν αὐτῇ μηδέν τι ἔχοντες ἕτερον δρᾶσαι, πρὸς τὸν Βούλγαρον Ἰωάννην ἀποστέλλουσιν, ὡς ἂν αὐτοῖς βοηθήσῃ καὶ τοῦ ἐπηρτημένου κινδύνου ῥύσηται. Ὁ δὲ ἀσμένως τὴν αἴτησιν δέχεται, καὶ Σκυθῶν πλῆθος πολὺ προσλαβόμενος, ἐπεὶ μὴ φανερῶς μαχέσασθαι τοῖς Λατίνοις ἠδύνατο, μηχανῇ καταπράττει τὸ ἔργον. Ὁ μὲν γὰρ ἔκειτο μακράν που τῆς Ἀδριανουπόλεως, ἐκπέμπει δὲ τοὺς Σκύθας κατὰ τῶν Ἰταλῶν, ὡς τὴν οἰκείαν στρατείαν ἐνδείξωνται κατ' αὐτῶν. Ἰταλοῖς γὰρ ἔθος ἵπποις ὑψαύχεσιν ἐποχεῖσθαι καὶ ὡπλισμένοις τυγχάνειν δι' ὅλου τοῦ σώματος καὶ τῶν ἵππων αὐτῶν, κἀντεῦθεν δυσκινήτως κατὰ τῶν ἐναντίων ὁρμᾷν. Σκῦθαι δὲ κουφότερα ὅπλα περιδυόμενοι, ῥᾷστα ἐπιπηδῶσι τοῖς ἐναντίοις, καὶ μεταφέρον-

ται ᾗπερ βούλοιντο· ἅπερ ἀγνοοῦντες οἱ Ἰταλοί, ὑπ' αὐτῶν καταστρατηγοῦνται, ὡς καὶ αὐτὸν Βαλδουΐνον τὸν βασιλέα ἁλῶναι, καὶ δέσμιον ἀπαχθῆναι πρὸς Ἰωάννην τὸν βασιλέα Βουλγάρων ὀνομαζόμενον, οὗπερ τὴν κεφαλήν, ὥς φασι, μετὰ τὴν σφαγὴν εἰς κύπελλον μετασκευάσαι τὸν βάρβαρον, κόσμῳ περιλαβόντα κύκλωθεν.

Εἰ μὲν οὖν ἐγνώρισαν οἱ Ἀδριανουπολῖται τὸ γεγονός, τάχα ἂν ἐξελθόντες τὰς Ἰταλικὰς σκηνὰς ἐληΐσαντο· οἱ δὲ περιλειφθέντες Λατῖνοι πῦρ καθ' ἑκάστην τῶν σκηνῶν αὐτῶν ἀνάψαντες, ὑποψίαν διδόντες τοῖς πολίταις ὡς πάρεισι, μέσον νυκτῶν φυγάδες εἰς τὴν Κωνσταντίνου χωροῦσι. Πρωΐας δὲ γνόντες τοῦτο οἱ τῆς Ἀδριανοῦ, τὰ ταῖς σκηναῖς ἀπολειφθέντα λείαν ἐξελθόντες αὐτοὶ ἐποιήσαντο.

Ὁ μὲν οὖν Βουλγάρων βασιλεὺς κατὰ τὰ ὑπεσχημένα ἐζήτει ἐγκρατὴς γενέσθαι τῆς πόλεως Ἀδριανοῦ, οἱ δὲ ταύτης οἰκήτορες ἀπηνήναντο· ὁ δὲ πολιορκῆσαι ταύτην ἠθέλησε μέν, κατανοῶν δὲ πρὸς τοῦτο μὴ ἐξαρκοῦσαν τὴν αὐτοῦ στρατιάν, ἀπάρας ἐκεῖθεν, ὡς μὴ ἔχων τὸ ἐκποδών, τῶν Λατίνων ἡττημένων καὶ μή τινος ἀνθισταμένου, κατατρέχει πᾶσαν Μακεδονίαν· λείαν οὖν πλείστην εἰργάσατο, αὐτάνδρους πόλεις ἀνδραποδισάμενος, καὶ κατασκάψας αὐτάς, ὡς μή ποτε Ρωμαίους πάροδον σχεῖν ἐν αὐταῖς· καταστρέφει τοίνυν τὴν Φιλιππούπολιν, πόλιν μεγίστην κειμένην παρὰ τῷ ποταμῷ Εὔρῳ, εἶτα Ἡράκλειαν, τὸ Πάνιον, τὴν Ραιδεστόν, Χαριούπολιν, Τραϊανούπολιν, Μάκρην, Κλαυδιούπολιν, Μοσυνόπολιν, Περιθεώριον, Πόρους, καὶ ἄλλας πολλάς, τὸν δὲ περισωθέντα λαὸν (τοὺς γὰρ πλείους κατηφάνισε καταχώσας τοῖς πτώμασιν) ἀπάρας ἐκεῖθεν περὶ τὰς παρρροίας τοῦ Εὔρου καθίζει, ἐκ τῶν ἠνδραποδισμένων κωμῶν καὶ πόλεων τὰ τῶν οἰκήσεων ἐπιθεὶς ὀνόματα· ἔλεγε δὲ εἰς ἄμυναν ταῦτα ποιεῖν ὧν εἰργάσατο ὁ Βασίλειος εἰς τοὺς Βουλγάρους κακῶν, καὶ Βουλγαροκτόνον μὲν ἐ-

κεῖνον, ἑαυτὸν δὲ Ρωμαιοκτόνον ὠνόμαζε. Μέχρι δὲ Θεσσαλονίκης καταντήσας, ἐκεῖ θνήσκει πλευρίτιδι νόσῳ κατασχεθείς· ὡς δέ τινες ἔλεγον ἐκ θεομηνίας ἐπῆλθε τούτῳ ὁ θάνατος· ἔδοξε γὰρ ἄνδρα ἔνοπλον καθ' ὕπνους ἐπιστῆναι αὐτῷ, καὶ τὴν πλευρὰν αὐτοῦ πλῆξαι τῷ δόρατι. Οὐδέποτε δὲ Ρωμαῖοι παρ' οὐδέ τινος τοιαῦτα οἷα παρ' αὐτοῦ κακὰ ἔπαθον, διὸ καὶ κλῆσιν τῆς ἀπηνείας ἀξίαν ἔσχηκε, Σκυλοϊωάννης ὄνομα ἐπίσημον κληρωσάμενος.

Ὡς οὖν τέθνηκεν οὗτος, ὁ τῆς ἀδελφῆς αὐτοῦ παῖς Βορίλας, τὴν ἐκ Σκυθῶν θείαν αὐτοῦ λαβὼν γαμετὴν, καὶ τῆς ἀρχῆς τῶν Βουλγάρων γέγονεν ἐγκρατής. Ὁ δὲ τοῦ Ἀσὰν παῖς Ἰωάννης, οὔπω ἔφηβος ὢν, παρά του κρύφα ληφθεὶς, εἰς Σκύθας ἐχώρησε.

Καὶ ταῦτα μὲν οὕτως. Ὁ δὲ Μιχαὴλ, περὶ οὗ προειρήκαμεν, ὡς τῆς Ἠπείρου κατάρξαντος, τρεῖς αὐταδέλφους ἐκέκτητο, Κωνσταντῖνον, Θεόδωρον, καὶ Μανουὴλ |, ὧν ὁ μὲν Θεόδω- φ.116ᵃ
ρος τῷ βασιλεῖ Ρωμαίων συνῆν Θεοδώρῳ τῷ Λάσκαρι, ὑπηρετῶν ὡς καὶ οἱ λοιποὶ τῶν Ρωμαίων ὧνπερ ἐδέσποζε. Δέεται οὖν τοῦ βασιλέως ὁ Μιχαὴλ στεῖλαι πρὸς τοῦτον τὸν ἀδελφὸν Θεόδωρον, ὅτι μὴ εἶχε παῖδα γνήσιον εἰς ἥβην ἐλθόντα, ἵν' εἴ τι τοῦτο συμβαίη, τῆς ἀρχῆς ἔσται διάδοχος, (ὁ γὰρ Μιχαὴλ ἐκ παλλακῆς τούτῳ γεγένηται, περὶ οὗ ἐροῦμεν κατὰ καιρὸν), τοὺς γάρ τοι ἀδελφοὺς αὐτοῦ οὓς εἶχε μεθ' ἑαυτοῦ ἀφυεῖς εἰς ἀρχῆς διαγωγὴν ἔκρινεν. Ἐκπέμπει τοιγαροῦν τὸν Θεόδωρον ὁ βασιλεὺς πρὸς τὸν ἀδελφὸν, ὅρκοις ἐμπεδωσάμενος πρότερον πίστιν δουλείας φυλάττειν καὶ εἰς αὐτὸν καὶ εἰς τοὺς μετ' αὐτὸν τῶν Ρωμαίων κατάρξοντας. Ὃς καὶ συνῆν τῷ ἀδελφῷ Μιχαὴλ ἀφικόμενος· καὶ μετ' ὀλίγον φονεύεται ὁ Μιχαὴλ νύκτωρ τῇ γυναικὶ συγκαθεύδων παρά του, ᾧ Ρωμαῖος ἡ κλῆσις ἦν· ἐπιλαμβάνεται δὲ τῆς ἐξουσίας ὁ ἀδελφὸς Θεόδωρος, ἔχων ὑφ' ἑαυτὸν καὶ τοὺς ἀδελφοὺς Κωνσταντῖνον καὶ Μανουήλ.

Ἄρξας δὲ ὁ Θεόδωρος πάνυ ἐπηύξησε τὴν ἀρχὴν ἣν παρέλαβεν, ἔκ τε τῶν Ἰταλῶν, κὰκ τῶν Βουλγάρων οὐκ ὀλίγην χώραν ἐπικτησάμενος· τήν τε γὰρ Θεσσαλίαν ὑφ' ἑαυτὸν ἐποιήσατο, Ἀχρίδαν τε καὶ Πρίλαπον, Ἀλβανόν τε καὶ αὐτὸ τὸ Δυρράχιον, ἔνθα καὶ Πέτρον τὸν πρὸς τοῦ Πάπα βασιλέα τῆς Κωνσταντινουπόλεως προβεβλημένον, καὶ τὴν δίοδον ποιούμενον καὶ τὸ Δυρράχιον χειρωσάμενον, γενναίως κατετροπώσατο.

Ἦν δὲ ὁ Πέτρος τοῦ πρώτως ἐξ Ἰταλῶν ἐν τῇ μεγάλῃ πόλει βασιλεύσαντος ἐπ' ἀδελφῇ γαμβρὸς, καὶ τοῦ μετ' αὐτὸν Ἐρρῆ· ἐκαλεῖτο δὲ ἡ αὐταδέλφη αὐτῶν Ἰολεντία, ἐξ ἧς παῖδες τῷ Πέτρῳ τρεῖς, Φίλιππος, Ρομπέρτος καὶ Βαλδουΐνος, ὧν ὁ Ρομπέρτος καὶ ὁ Βαλδουΐνος τῆς Κωνσταντίνου βασιλεῖς ἐχρημάτισαν, Φιλίππου τοῦ πρώτου αὐτῶν ἀδελφοῦ τῷ ἀδελφῷ Ρομπέρτῳ τῆς βασιλείας παραχωρήσαντος. Ὑπῆρχε δὲ τούτοις καὶ ἀδελφὴ Μαρία, ἣ συνεζύγη τῷ βασιλεῖ Θεοδώρῳ τῷ Λάσκαρι.

Ὁ μὲν οὖν δηλωθεὶς Κομνηνὸς Θεόδωρος τὸ οἰκεῖον παραλαβὼν στράτευμα, ἀντιτάττεται τῷ Πέτρῳ, μικρὸν τοῦ Δυρραχίου παρελθόντι, καὶ ἐν ταῖς τοῦ Ἀλβάνου δυσχωρίαις γεγενημένῳ, καὶ νικᾷ κατὰ κράτος τὸ τῶν Λατίνων στράτευμα, ὡς μή τινα τούτων ὑπολειφθῆναι ἐλεύθερον, ἀλλὰ πάντας, καὶ αὐτὸν δὲ τὸν Πέτρον, δεσμώτας γενέσθαι, καὶ τὴν ἀποσκευὴν αὐτῶν πᾶσαν σκυλευθῆναι πρὸς τῶν τοῦ Κομνηνοῦ, ὁ δὲ Πέτρος καὶ μαχαίρας ἔργον ἐγένετο. Τοῦτο τὸ ἔργον εἰς μεγάλην βοήθειαν τοῖς Ρωμαίοις ὑπῆρξε καὶ ὕψωμα.

Ὁ δὲ βασιλεὺς Θεόδωρος τρεῖς ἐκ τῆς γαμετῆς αὐτοῦ Ἄννης θυγατέρας ἐγέννησεν, Εἰρήνην, Μαρίαν, καὶ Εὐδοκίαν· τὴν γοῦν δευτέραν αὐτῶν τὴν Μαρίαν τῷ ῥηγὶ Οὐγγρίας, διερχομένῳ τὴν αὐτοῦ χώραν ἐκ τῶν Ἱεροσολύμων, εἰς νύμφην τοῦ υἱοῦ παραδίδωσι, τὴν δὲ πρώτην Εἰρήνην τῷ Παλαιολόγῳ Ἀνδρονίκῳ συζεύγνυσι, δεσπότην τοῦτον τετιμηκώς· μετ' οὐ πο-

λὺ θνήσκει ὁ Παλαιολόγος οὗτος καὶ προσλαμβάνεται εἰς γαμβρὸν ὁ βασιλεὺς ἐπὶ τῇ Εἰρήνῃ Ἰωάννην Δούκαν τὸν Βατάτζην, ὃς ἐκ Διδυμοτείχου μὲν ὥρμητο, τὸ τοῦ πρωτοβεστιαρίου δὲ εἶχεν ὀφφίκιον. Ἔφθασε δὲ καὶ ἡ βασίλισσα Ἄννα πρὸ καιροῦ τελευτῆσαι, καὶ ἠγάγετο ὁ βασιλεὺς γυναῖκα ἐξ Ἀρμενίας τὴν θυγατέρα τοῦ ἐκεῖσε ῥηγὸς τοῦ Λεβούνη, ἀλλ' ἀποστόργως πρὸς αὐτὴν διατεθείς, ἀποστέλλει πάλιν πρὸς τὸν πατέρα· συνάπτεται δὲ ἑαυτῷ τὴν ἀδελφὴν τοῦ τῶν Ἰταλῶν βασιλεύοντος Ρομπέρτου, ὡς εἴρηται, ὃς καὶ πολλὰ Ρωμαίοις δεινὰ κατειργάσατο, καὶ αὐτῷ δὲ τῷ βασιλεῖ Θεοδώρῳ παρέσχε πράγματα, ἀνδρεῖος ὢν καὶ περὶ μάχας εὐκίνητος, καὶ τὰ Ρωμαίων ὁρῶν ὑποκατακλιθέντα πρὸς ἀντιμάχησιν, ἀφ' οὗ τοὺς μαχητὰς Λατίνους ὁ βασιλεὺς ἐν τῷ πολέμῳ μετὰ τοῦ σουλτάνου ἀπεβάλετο, οὓς καὶ ὁ Ἐρρῆς ἐδεδίει διὰ τὴν ἀνδρείαν ἐκείνων καὶ γενναιότητα· φασὶ δέ τινες ὡς καὶ τὴν τοῦ σουλτάνου νίκην ἀκηκοὼς ὁ Ἐρρῆς καὶ τὴν Λατίνων ἀπώλειαν « νενίκηται, ἔφη, ὁ Λάσκαρις, οὐ νενίκηκε, τοιούτους προμάχους ἀποβαλών ». Ἦλθε γοῦν ὁ Ἐρρῆς μέχρι καὶ αὐτοῦ τοῦ Νυμφαίου, κἀκεῖ τὴν σκηνὴν ἔπηξε κατὰ πολλὴν τοῦ κωλύοντος ἐρημίαν· ἐκεῖθέν τε ὑποστρέψας, τὸ μὲν κορεσθεὶς οἷς ἐκτήσατο, τὸ δὲ καὶ ἄνεσιν θέλων ἐκ τῶν πολέμων λαβεῖν, (οὐ γὰρ καὶ τὸ καρτερικὸν τοῖς Ἰταλοῖς πρόσεστιν), εἰς συμβάσεις ἦλθε μετὰ τοῦ βασιλέως· καὶ συνεφωνήθη τὰ μὲν τοῦ Κιμινᾶ πάντα (ὄρος δὲ | τοῦτο περί που τοῦ κάστρου τῶν Ὀχυρῶν, δ' φ. 117
καὶ Ἀχυράους παρά τισι λέγεται) μετὰ καὶ τῆς Ἀχυράους παρὰ τῶν Φράγγων ἐξουσιάζεσθαι, τὸν δὲ Κάλαμον (κώμη δὲ οὗτος ἐξ οὗ καὶ τὸ τῶν Νεοκάστρων ἄρχεται θέμα) μένειν ἄοικον· τὰ δὲ παρὰ ταῦτα παρὰ τοῦ βασιλέως δεσπόζεσθαι, Νεόκαστρα ταῦτα ἦν, καὶ Κελβιανὸν, Χλιαρά τε καὶ Πέργαμος, καὶ τὰ πλησίον ἐγκείμενα, Μαγιδία τε καὶ Ὀψίκιον. Ὑπῆρχε δὲ καὶ ἄλλη χώρα τότε τῷ βασιλεῖ, ἡ ἀρχομένη ἀπὸ

τοῦ Λοπαδίου καὶ Προῦσαν περιλαμβάνουσα, καὶ Νίκαιαν. Ἀλλ' οὕτω μὲν τῷ βασιλεῖ Θεοδώρῳ εἶχε τὰ πράγματα.

Δεδόσθω καὶ τοῦτο τῇ ἱστορίᾳ ὡς ἀστεῖον καὶ χάριεν. Ἦν τις κατὰ τὸν καιρὸν τοῦτον ἀνὴρ ἁπλοϊκός τε καὶ ἀπερίσκεπτος· οὗτος ἀνὰ τὰς ἀγυιὰς Νικαίας τῆς μεγαλοπόλεως διερχόμενος, οἷς ἂν ἐντύχοι συνήθεσι, συγχαίρειν αὐτῷ ἔλεγεν, ἀναφανήσεται γὰρ δι' ὀλίγου ὁ ἀγαθὸς βασιλεύς. Τοῦτο θρυλλούμενον, φθάνει καὶ εἰς τὰς τοῦ αὐτοκράτορος ἀκοάς, καὶ εὐθὺς ἀγώγιμος ὁ προαγορευτὴς ἐκεῖνος ἐς τὸν ἄνακτα γίνεται· καὶ παραστὰς ἐρωτᾶται, καὶ ὁμολογεῖ ταῦτα λέγειν ἃ κατηγόρητο. Καὶ ὁ βασιλεὺς « τί δ' ἐγώ, οὐ σοὶ δοκῶ καλὸς βασιλεύς; » Καὶ αὐτὸς « καὶ τί μοί ποτε δέδωκας ἵνα σὲ ἔχω καλόν; » Καὶ πάλιν ὁ βασιλεὺς « καὶ οὐ δίδομαί σοι καθ' ἑκάστην ὑπὲρ σοῦ καὶ τῶν ὁμοφύλων μέχρι θανάτου ἀγωνιζόμενος; » Ὁ δὲ ἀνὴρ ἀνθυπέφερε « καὶ ὁ ἥλιος ἐπιλάμπων θερμαίνει καὶ φωτίζει ἡμᾶς, ἀλλ' οὐκ ἔχομεν χάριν αὐτῷ· ὃ γὰρ προσετάχθη, ἀποπληροῖ· καὶ σὺ γοῦν ὃ ὀφείλεις ἐργάζῃ, ὑπὲρ τῶν ὁμογενῶν ὡς εἴρηκας κοπιῶν καὶ μοχθῶν. » Καὶ ἐπὶ τούτοις ὁ αὐτοκράτωρ ἐπέφερεν « ἀλλ' εἰ δώσω δῶρά σοι, ἔσομαι ἀγαθός; » « καὶ μάλα γε, » ἀντέφησεν ὁ ἁπλοϊκός. Καὶ εὐθὺς βασιλικῇ προσταγῇ ἐνδύματα καὶ χρήματα τούτῳ προσέφερον, ἃ καὶ λαβὼν ἄρασθαι ἤρξατο τὸν ἐπιζητοῦντα ἕτερον καλὸν βασιλέα, οὗτος γὰρ ὁ τοῦτον τούτοις δεξιωσάμενος, ὁ καλός τε καὶ ὁλόκαλος καὶ χρηστὸς βασιλεύς.

Ὁ δὲ Ἐρρῆς, εἰ καὶ Φράγγος ἐτύγχανεν, ἀλλ' οὖν τοῖς Ρωμαίοις, καὶ μάλιστα τοῖς Κωνσταντινουπολίταις ἱλαρώτερον τῶν ὁμογενῶν διετίθετο, καὶ πολλοὺς εἶχε τοῖς τε μεγάλοις καὶ τοῖς στρατιώταις τούτου συντεταγμένους, τὸ δὲ κοινὸν πλῆθος, ὡς οἰκεῖον περιεῖπε λαόν. Τῶν δὲ Ρωμαϊκῶν πολιχνίων, Ποιμανηνοῦ καὶ Οὐαλεντινιανῶν γενόμενος ἐγκρατής, οὓς εὗρεν ἐκεῖσε τὰ πολέμια ἄνδρας ἀρίστους, ὡς ἕρμαιόν τι ἐδέξατο.

Ἐν γὰρ τῷ τῶν Οὐαλεντινιανῶν ἄστει οὐ μόνον σπάνις ὕδατος συνέφριγε τοὺς φυλάττοντας, καὶ λιμὸς ἦγχεν, ὡς καὶ σκύτη τὰ ἀπὸ τῶν ἀσπίδων καὶ ἐφεστρίδων φαγεῖν, ἀλλὰ καὶ τοῦ τείχους οὐκ ὀλίγου ταῖς ἑλεπόλεσι καταπεσόντος, μετὰ μεγίστης πυρκαϊᾶς ἐφύλασσον τοῦτο ἐφ' ἡμέρας τετράκις τὰς δέκα, ἀμοιβαδὸν τῇ πυρκαϊᾷ προσεπισωρεύοντες ξύλα· κρατηθέντος γοῦν τούτου, οὐδεὶς τῶν ἐν αὐτῷ ἀπολέλυται, εἰ μὴ ὁ εἰς ἡγεμόνα τοῦ στρατοῦ τοῦ βασιλέως αὐτάδελφος, καὶ ὁ Δερμοκαΐτης, καὶ ὁ Παλαιολόγος Ἀνδρόνικος, ὃν καὶ εἰς θυγατέρα τὴν Εἰρήνην γαμβρὸν εἶχεν ὁ βασιλεύς· τοὺς δ' ἄλλους ὁ Ἐρρῆς συλλεξάμενος καὶ κατὰ ἴλας συντάξας καὶ ὁμογενεῖς αὐτοῖς παραδοὺς ἡγεμόνας, ὑπερέχειν δὲ πάντων τὸν Θεοφιλόπουλον Γεώργιον παρακελευσάμενος, τὴν τῶν Ἀνατολικῶν μερῶν φυλακὴν ἐνεπίστευσε.

Τοῦ Ἐρρῆ τούτου τῆς Κωνσταντίνου κατάρχοντος, παρὰ τοῦ Πάπου (sic) λεγάτος ἀπεστάλη ἀρχιερεὺς Πελάγιος τοὔνομα, πάντα τὰ τοῦ Πάπα περιφέρων γνωρίσματα· ἐρυθροβαφῆ γὰρ ὑπεδέδετο πέδιλα, ἐκ τῆς αὐτῆς δὲ χροιᾶς εἶχε καὶ τὰ ἐνδύματα, τά τε τοῦ ἵππου χαλινά, καὶ τὴν ἐφεστρίδα· οὗτος ἀγριωτέρου εἶναι ἤθους τυχὼν καὶ ἀλαζονείᾳ χρώμενος, τοὺς ἐν Κωνσταντινουπόλει ἱερεῖς καὶ μονάζοντας, ἀπανθρώπως ἐκόλασεν· ἠνάγκαζε γὰρ τῇ τῆς πρεσβυτέρας Ῥώμης ὑποκύψαι ὑποταγῇ· ἐντεῦθεν εἱρκταὶ τούτους εἶχον, καὶ ναὸς ἅπας τούτων ἐκλείετο. Καὶ ἦν τῶν δύο τὸ ἕτερον, ἢ τὸν Πάπαν πρῶτον ἀρχιερέα ὁμολογῆσαι, καὶ τοῦ ὀνόματος αὐτοῦ τὴν μνείαν ἐν ταῖς ἁγιστείαις ποιεῖσθαι, καὶ οὕτως ἐν ἀνέσει διάγειν, ἢ τὸν ἀνθιστάμενον θάνατον ἔχειν τὸ ἐπιτίμιον. Τοῦτο εἰς πολλὴν βαρυθυμίαν τοῖς ἐν τῇ Κωνσταντίνου, καὶ μάλιστα τοῖς προέχουσιν, οἳ καὶ τῷ Ἐρρῇ προσιόντες « ἡμεῖς μέν, ἔφασαν, ἄλλου γένους τυγχάνοντες καὶ ὁμογενῆ τὸν ἀρχιερέα ἔχοντες, τῷ σῷ κράτει ἑαυτοὺς ὑπετάξαμεν, ὥστε σω-

ματικῶς ὑπὸ σοῦ ἐξουσιάζεσθαι, ἀλλ' οὐ ψυχικῶς καὶ πνευματικῶς· καὶ σοῦ μὲν ἐν πολέμοις ὑπερμάχεσθαι ἔργον ἔχομεν ἀναγκαῖον, τοῦ δ' ἡμετέρου σεβάσματος ὑπεκστῆναι ἡμᾶς τῶν ἀδυνάτων καθέστηκεν. Ἤ γοῦν λῦσον τὰ ἐπιόντα δεινά, ἢ ἀλλ' ἀπόλυσον ἀπελθεῖν, ὅπου φίλον ἡμῖν.» Ταῦτα εἶπον· καὶ 17*οὗτος μὴ | ζημιωθῆναι τοιούτους ἄνδρας βουλόμενος, καλούς τε καὶ ἀγαθούς, καὶ ἄκοντος τοῦ λεγάτου, τούς τε ναοὺς ἀνέῳξε, καὶ τοὺς ἐν εἱρκταῖς μοναχούς τε καὶ ἱερεῖς ἀπέλυσε, καὶ τὸν τότε χειμῶνα τῆς ἐκκλησίας, ὅσον ἦν αὐτῷ δυνατὸν, κατεστόρεσε. Πολλοὶ δὲ τῶν μοναχῶν προεξελθόντες τῆς βασιλίδος τῶν πόλεων, τῷ βασιλεῖ Θεοδώρῳ προσῆλθον, οἷς καὶ μοναὶ ἐπεδόθησαν, προστάξει αὐτοῦ, εἰς καταμονὴν καὶ ἀνάπαυσιν, καὶ πρεσβύτεροι δὲ πρὸς τὴν Νίκαιαν ἀπελθόντες τῷ ἐκεῖ πατριαρχικῷ κλήρῳ ἐγκατελέγησαν, καὶ ἐλευθέρως ἐβίωσαν· οὐκ ὀλίγοι δ' ἐξ αὐτῶν καὶ εἰς ἀρχιερωσύνης ὕψος ἀνεβιβάσθησαν.

Τοῦ δὲ Ἐρρῆ τελευτήσαντος, ὁ ἀδελφὸς αὐτοῦ Ρομπέρτος ἀναδεξάμενος τὴν ἀρχὴν, μαλακώτερον ἐχρῆτο τοῖς πράγμασι· τούτου τὴν ἀδελφὴν εἰς γαμετὴν εἴληφεν ὁ βασιλεὺς Θεόδωρος. Οὐ πολλοὶ παρῆλθον ἐνιαυτοί, καὶ ἐπεὶ Ρομπέρτος ἀγαγέσθαι γυναῖκα οὐκ ἔφθασε, παράνομόν τι πρᾶγμα βεβούλευται διαπράξασθαι ὁ βασιλεύς· γαμβρὸν ἐπὶ τῇ θυγατρὶ αὐτοῦ Εὐδοκίᾳ λαβεῖν τοῦτον αἱρετισάμενος. Ἔνθεν τοι καὶ ἔρις ἐκ τοῦ τότε πατριαρχεύοντος Μανουὴλ ἐπισυνέβη τῷ βασιλεῖ, μηδόλως μήτε αὐτοῦ, μήτε τῶν ἀρχιερέων συναινούντων τῇ ἀθεμιτογαμίᾳ ταύτῃ, μᾶλλον δὲ καὶ ὅση δύναμις κωλυόντων, ὡς μὴ ἐγνωσμένου τοῦ τοιούτου γάμου τῇ ἐκκλησίᾳ ἡμῶν. Ἀλλ' οὐκ ἔφθασεν ὁ βασιλεὺς τελειῶσαι τὸ θέλημα· στεῖλαι γὰρ ταύτην εὐτρεπίζων εἰς τὴν Κωνσταντινούπολιν, αὐτὸς τὴν ἐς ᾅδην ἐστείλατο, τὴν βασιλείαν καταλιπὼν τῷ γαμβρῷ αὐτοῦ Ἰωάννῃ τῷ Δούκᾳ· οὐ γὰρ εἶχεν ἄρρενα παῖδα ἔφηβον· οὓς γὰρ ἐκ τῆς βασιλίδος Ἄννης ἐγέννησε δύο, Νικόλαον καὶ Ἰω-

άννην, ὁ θάνατος προαφήρπασεν· ὁ δ' ἐκ τῆς ἐξ Ἀρμενίων αὐτῷ τεχθεὶς οὔπω τὸ ὄγδοον παρήμειβεν ἔτος, ὅτε οὗτος τὸν βίον κατέλυσεν.

Ἦν δὲ ὁ βασιλεὺς Θεόδωρος ὁ Λάσκαρις, ὅτε τοῦ βίου ἐξῆλθε, τῶν μὲν τεσσαράκοντα πέντε ἐτῶν ὑπερεπέκεινα, ἐλάττων δὲ τῶν πεντήκοντα, βασιλεύσας ἐκ τούτων δεκαοκτώ. Ἦν δὲ τὸ σῶμα μέτριος, μελάγχρους, καθειμένον ἔχων τὸ γένειον καὶ περὶ τὸ ἄκρον σχιζόμενον, ἐπ' ὀλίγον ἑτερόφθαλμος, περὶ τὰς μάχας ὀξὺς, ἐλευθέριος ἐν ταῖς δωρεαῖς, ῥᾷον ἐκ πενομένων οὓς ἂν βούλοιτο πλουσίους ποιῶν· τὴν δὲ περὶ τὰ θεῖα τούτου εὐλάβειαν δέον δι ὀλίγου δηλῶσαι· ὡς γὰρ μάθοι τινὰς τῶν ἀπὸ τῆς Κωνσταντίνου λογίων περὶ τῶν προσαγομένων θείων καὶ ὑπὲρ ἡμᾶς δώρων λογομαχοῦντας, καὶ εἰ φθαρτὰ ἢ ἄφθαρτα ταῦτα ἐπερωτῶντας ὡς κἂν τῇ Κωνσταντινουπόλει ἐλέγετο, παραστησάμενος τούτους μετ' ἐμβριθείας ἠπείλησεν, ὅρκον προσθεὶς εἰς πίστωσιν ὧν ἀπεφήνατο, ἢ σιγῆσαι τούτους τοῦ περὶ τοιούτων γυμνάζειν, καὶ ἐμμένειν ταῖς πατρικαῖς παραδόσεσι καὶ τοῖς δόγμασι τῆς τοῦ θεοῦ ἐκκλησίας, ἢ ἀλλὰ γινώσκειν ὡς καὶ Πέρσας καὶ Ἰταλοὺς καὶ ἄλλους πάντας ἐναντιουμένους καταλιπὼν, τούτοις μαχέσασθαι, ἕως ἂν τέλεον ἐκτρίψῃ. Καὶ οὕτως τὴν ἄλογον ἔριν κατέστειλε καὶ ψυχοβλαβῆ. Τεταλαιπώρηκε δὲ ἐν ταῖς πρὸς Ἰταλοὺς καὶ Πέρσας μάχαις πολλά· ἀρχὴ γὰρ οὗτος ὑπῆρχε τῆς τῶν Ῥωμαίων ἀρχῆς, ᾧ καὶ πολλὰς χάριτας ὀφείλειν τοὺς Ῥωμαίους πάντας πάνυ δέον ἐστί. Κατετέθη δὲ ὁ νεκρὸς αὐτοῦ ἐν τῇ τοῦ Ὑακίνθου μονῇ, ἔνθα καὶ ὁ βασιλεὺς Ἀλέξιος ἐτάφη, καὶ ἡ τοῦ Λάσκαρι τούτου σύζυγος, Ἄννα ἡ βασιλίς.

Οὗτος ὁ βασιλεὺς ὅσα καὶ πατὴρ ὀφείλει τιμᾶσθαι παρὰ πάντων τῶν μετ' αὐτὸν βασιλέων καὶ γενάρχης, ἐπείπερ, ὡς εἴρηται, τοῦ κοσμικοῦ κατειληφότος κλύδωνος, τῆς ἁλώσεως δηλαδὴ τῆς βασιλίδος τῶν πόλεων, καὶ ὡς ἐν καταποντισμῷ τῆς

Ῥωμαϊκῆς μεγαλειότητος καὶ εὐδοξίας διαφθαρείσης καὶ βασιλείας καὶ ἱερωσύνης ἄρδην ἐποιχομένων, αὐτὸς καὶ βασιλείαν καὶ ἱερωσύνην συνέστησεν, οὐ χρήμασι πεποιθὼς, οὐ χωρῶν ἐπικρατείᾳ, οὐ πόλεων κυριότητι, ἀλλ' ἐπὶ τῷ τοῦ θεοῦ ἐλέει μόνῳ τεθαρρηκὼς, καὶ τοῖς οἰκείοις κόποις τε καὶ ἀγῶσιν, οὓς ὑπὲρ τῶν ὁμοφύλων ἐνδείξασθαι ᾑρετίσατο· διὸ καὶ ὁ φυγὰς καὶ ὁ ἀνέστιος, βασιλεὺς μέγιστος ἀνεφάνη, καὶ τοῖς αἰχμαλωτεῦσαι διώκουσι φοβερὸς καὶ ἐπίδοξος, Νῶέ τις ἕτερος δίκαιος ἐν τῇ αὐτοῦ γενεᾷ σπέρματα δευτέρου βίου διασωσάμενος ὡς ἐκ κατακλυσμοῦ τῆς κοσμικῆς ἐκείνης πανωλεθρίας, ἢ Ζοροβάβελ ἄλλος, ἅτε δὴ καταπεπτωκότα νεὼν ἀναστήσας, τὰ Ῥωμαίων εἰς τὸ μηδὲν καταντήσαντα, καὶ βασιλεύειν ἐγκαταστήσας Ῥωμαίους, καὶ χωρῶν καὶ πόλεων ἄρχειν, καὶ ἀρχιερωσύνῃ καὶ συγκλήτῳ, ἔτι δὲ στρατηγῶν τοῖς ἀρίστοις καὶ ταγμάτων, πρὸς δὲ καὶ δυνάμεων στρατιωτικῶν τάξεσι συνί-
18.στασθαί τε καὶ ὡραΐζεσθαι [, μετὰ τῆς ἄνωθεν συμμαχίας καὶ τῶν οἰκείων σπουδασμάτων ταῦτα τετελεκὼς, ἃ μικροῦ καὶ ὑπὲρ ἄνθρωπον ἐνεδείξατο. Τοὺς δ' ὑπὸ τῆς Λατινικῆς χειρὸς αἰχμαλώτους γεγενημένους προσφεύγοντας ἐπ' αὐτὸν, πάντας τε προσεδέχετο, καὶ πᾶσι φιλοφρόνως διατιθέμενος, πόρους ζωῆς ἐχορήγει, καὶ ἀναλόγως εὐηργέτει, ἀνάδοχος τῶν πάντων γινόμενος καὶ πᾶσιν ὡς ἡ χεὶρ ἐδίδου ἀπονέμων τὰ δέοντα, οὐκ εἰς τὸ συναγαγεῖν ἀπιδὼν χρήματα καὶ θησαυροὺς περιποιήσασθαι καὶ κειμήλια· οὐ γὰρ ἐδίδου ῥοπὴν αὐτῷ πρὸς τοῦτο τὰ πράγματα, ἀλλ' εἰς τὸ κυβερνῆσαι καὶ διασώσασθαι οὓς ὁ θεὸς ἐκίνει τούτῳ προσέρχεσθαι.

Ἐπιλαμβάνεται τοιγαροῦν τῶν Ῥωμαϊκῶν σκήπτρων ὁ γαμβρὸς αὐτοῦ Ἰωάννης ὁ Δούκας, στεφθεὶς παρὰ τοῦ πατριάρχου Μανουὴλ, ὃς τὸν Μάξιμον διεδέξατο· μετὰ γὰρ τὴν τοῦ Μιχαὴλ τελευτὴν ὁ Εἰρηνικὸς Θεόδωρος τῷ θρόνῳ ἐγκαθιδρύεται· ἐνιαυτῶν δ' ἓξ διελθόντων, ἐκείνου τὸ βιώσιμον ἀποπλή-

σαντος, ὁ μοναχὸς Μάξιμος προχειρίζεται, θεραπεύων τὴν γυναικωνίτιδα, καὶ ὑπὸ ταύτης στεργόμενος· οὐδὲ γὰρ ἦν τι ἄλλο τὸ συστῆσαν αὐτὸν εἰς τὴν περιωπὴν ταύτην ἀναδραμεῖν, ἐν ᾗ καὶ μῆνας ἐπιβιοὺς ἓξ τελευτᾷ, καὶ ὁ Μανουὴλ τὴν οἰκουμενικὴν ὡς πατριάρχης διοίκησιν ἀναδέχεται, Φιλόσοφος καὶ ὢν καὶ ὀνομαζόμενος.

Ὁ δὲ τῶν Βουλγάρων πρῶτος βασιλεύσας Ἀσὰν δύο ἔσχεν υἱούς, τὸν Ἰωάννην καὶ τὸν Ἀλέξανδρον. Τοῦ γοῦν Βορίλα τὴν Βουλγάρων ἀρχὴν ἔχοντος, ὁ τοῦ Ἀσὰν υἱὸς Ἰωάννης περὶ τὴν τῶν Ῥώσων χωρεῖ, ἐκεῖσέ τε χρόνον ἐφ' ἱκανὸν διατρίψας, καί τινας τῶν Ῥώσων δυνηθεὶς ἰδιώσασθαι, τὴν πατρικὴν ἀνακαλεῖται ἀρχήν, καὶ τῷ Βορίλᾳ πολεμεῖ, καὶ νικᾷ τοῦτον, καὶ χώρας οὐκ ὀλίγης γίνεται ἐγκρατής. Ὁ δὲ Βορίλας ἔνδον εἰσέρχεται τοῦ Τερνόβου, καὶ ἐπὶ ἑπτὰ ἔτη πολιορκεῖται· ἐπεὶ δὲ οἱ σὺν αὐτῷ μὴ εἶχον ἐπὶ πλέον ἀντέχειν, προσέρχονται καὶ αὐτοὶ τῷ Ἀσὰν Ἰωάννῃ, καὶ ὁ Βορίλας φεύγων ἁλίσκεται καὶ παρὰ τοῦ Ἰωάννου τυφλοῦται. Καὶ οὕτως τῆς τῶν Βουλγάρων ὁ Ἰωάννης ἐγκρατὴς πάσης γίνεται. Καὶ τὰ μὲν τῶν Βουλγάρων τοιαῦτα.

Ὁ δὲ κατὰ τὴν δυσμὴν Κομνηνὸς Θεόδωρος, ἐπαρθεὶς ἀνθ' ὧν πολλὴν ἐκ τῆς παρὰ τῶν Ἰταλῶν καὶ τῶν Βουλγάρων κατεχομένης χώρας Ῥωμαϊκῆς ὑφ' ἑαυτὸν ἐποιήσατο, καὶ αὐτῆς δὲ τῆς Θεσσαλονίκης γέγονεν ἐγκρατής, πορφυρίδα τε φορεῖ, καὶ ἐρυθρὰ ἑαυτῷ περιτίθησι πέδιλα. Ἀντιστάντος δὲ τοῦ τότε μητροπολίτου Θεσσαλονίκης Κωνσταντίνου τοῦ Μεσοποταμίτου, πολλαῖς τοῦτον κακώσεσι καθυπέβαλε, καὶ ἐξορίᾳ δεινῇ κατεδίκασε, καὶ τὰ μοναδικὰ καὶ ἄκοντα βιαίως ἐνέδυσεν ἄμφια. Ὁ δὲ Βουλγαρίας ἐπίσκοπος Δημήτριος, ᾧ Χωματηνὸς ἦν ἡ ἐπίκλησις, ὡς αὐτοκέφαλος ἀρχιερεὺς πρὸς τὴν στεφηφορίαν αὐτῷ ὑπούργησε. Βασιλεὺς οὖν ἀναγορευθεὶς ὁ Θεόδωρος οὗτος, βασιλικῶς ἐχρῆτο τοῖς πράγμασι, δεσπότας τε προεβάλ-

λετο, καὶ σεβαστοκράτορας, καὶ τὰ λοιπὰ τῶν ἀξιωμάτων οἷς ἐβούλετο τῶν ὑπ' αὐτὸν διένειμεν. Οὐκ εὐφυῶς δὲ ἔχων πρὸς τοὺς τῆς βασιλείας θεσμοὺς, Βουλγαρικώτερον ἢ βαρβαρικώτερον εἰπεῖν μᾶλλον ταῖς ὑποθέσεσι διετίθετο, ἀγνοῶν ὅσα τῆς βασιλείας ἀρχαῖα τυγχάνουσιν ἔθιμα. Οὗτος ἀντίφρων τῷ βασιλεῖ Ἰωάννῃ τῷ Δούκᾳ ἦν, καὶ ταῦτα αὐτὸν ἀξιοῦντι τῶν δευτερείων τῆς βασιλείας μετέχειν, καὶ τῆς χώρας ἣν ὑφ' ἑαυτὸν εἶχεν ἐγκρατῆ εἶναι, καὶ κατ' οὐδὲν ἄλλο ὑπείκειν αὐτῷ· ὁ δὲ ἀντέβαινε στερεώτερον.

Ἄρτι δὲ τῆς βασιλείας ἐπειλημμένος ὁ βασιλεὺς Ἰωάννης ὁ Δούκας, καὶ ἐν στενῷ οὖσαν εὑρὼν τὴν τῶν Ῥωμαίων ἀρχὴν, μὴ ἀνασχόμενος ἐν ὀλίγοις τὴν αὑτοῦ ἀρχὴν περιγράφεσθαι, δύο παραδραμόντων ἐνιαυτῶν μάχην ποιεῖται μετὰ τῶν Ἰταλῶν. Συνάγεται γοῦν Λατινικὸν στράτευμα ἀξιόμαχον, οὗ πρόμαχοι οἱ τοῦ βασιλέως τοῦ Λάσκαρι Θεοδώρου αὐτάδελφοι, οἱ σεβαστοκράτορες Ἀλέξιός τε καὶ Ἰσαάκιος· οὗτοι γὰρ μετὰ θάνατον τοῦ ἀδελφοῦ, τὴν θυγατέρα ἐκείνου Εὐδοκίαν λαβεῖν καὶ πρὸς τὴν Κωνσταντινούπολιν ἀπελθεῖν ἐβουλεύσαντο· μὴ δυνηθέντες δὲ καὶ τὴν ἀνεψιὰν λαβεῖν, αὐτοὶ μόνοι ἀπέδρασαν. Μάχης οὖν συγκροτηθείσης ἐν τοῖς μέρεσι τοῦ Ποιμανηνοῦ, ὅπου καὶ τοῦ ἀρχαγγέλου Μιχαὴλ ὁ ναὸς, νικᾷ κατὰ κράτος ὁ βασιλεὺς, τῶν μὲν Ῥωμαίων σχεδὸν τῶν πλείστων ἐξατονησάντων, αὐτοῦ δὲ τοῦ βασιλέως μετ' ὀλίγων πάνυ τὴν νίκην πᾶσαν ἐργασαμένου· δόρατος καὶ γὰρ ἥψατο, καὶ πολέμιον ἔβαλλε, καὶ ἀνδρεῖον τὸ φρόνημα παρεστήσατο, οὐδὲ πρό-
3* τερον ἀγνοούμενον |. Ἡ τοιαύτη νίκη εἰς μεγάλην αὔξησιν τὰ Ῥωμαίων κατέστησε, τοὺς δ' Ἰταλοὺς συνέστειλε καὶ κατέβαλλε· τοὺς μὲν γὰρ ζῶντας, τοὺς κρείττους τούτων συνέσχεν, ἀλλὰ καὶ τοὺς τοῦ Λάσκαρι αὐταδέλφους οὓς καὶ ἐκτυφλοῖ, ἐπ' αἰτίαις εὑρὼν, ἄλλοι δὲ φόνου ἔργον ἐγένοντο.

Καὶ οἱ μὴ τῷ πολέμῳ δὲ παραγεγονότες, τὴν δειλίαν ὡς

τινα κλῆρον ἐκτήσαντο. Ὡς καὶ μέρος τι τῶν Ἰταλῶν τὸ τῶν Σερρῶν κάστρον πολιορκοῦν, ὑπὸ τοῦ Κομνηνοῦ Θεοδώρου δεσποζόμενον, τὴν τοιαύτην ἧτταν ἐνωτισάμενον, ἐκεῖθεν ἀποδρᾶναι, καὶ ταῦτα ἐγγὺς ἁλώσεως ἤδη ἐλθόν. Ἐντεῦθεν τὰ τῶν Ἰταλῶν κατά τε ἕω καὶ τὴν ἑσπέραν, σθεναροῖς ἀντιπάλοις συγκρούοντα, τῷ τε βασιλεῖ Ἰωάννῃ καὶ τῷ Κομνηνῷ Θεοδώρῳ, ἤρξαντο προκόπτειν τοῖς χείροσιν.

Ἐπεὶ γὰρ ἐν τῷ εἰρημένῳ τόπῳ τοὺς Φράγγους ὁ βασιλεύς, ὡς εἴρηται, ἐτροπώσατο, αὐτίκα καὶ τὰ παρ' ἐκείνων τυραννούμενα φρούρια Ῥωμαίων ἐπολιόρκει, καὶ ἠλευθέρου ταῦτα, μηδενὸς ἀνθισταμένου καὶ ἀντιπίπτοντος· καὶ οὐκ ἐνέλιπε κατὰ πάντα καιρὸν, ἔαρι δηλονότι, καὶ θέρει, καὶ μετοπώρῳ καὶ μέσῳ χειμῶνι, τὰς ἐφόδους ποιούμενος, ἑλεπόλεις τε συνιστῶν καὶ καταβάλλων ἐπάλξεις, ἕως οἱ ἐντὸς ἀπειρηκότες, τὰ μὲν προεδίδουν, τὴν ζωὴν ἐξωνούμενοι, τῶν δὲ ἐξέπιπτον μάχῃ, καὶ δεσμῶται ταῖς εἱρκταῖς παρεπέμποντο.

Ἑάλω γοῦν ὑπὸ τοῦ βασιλέως τὸ Ποιμανηνὸν, τὰ Οὐαλεντινιανά, τὸ Χαρίορον, τὸ Βερβενίακον. Ἀλλὰ καὶ τριήρεις ὁ βασιλεὺς εὐτρεπίσας περὶ τὸν Ὁλκὸν ἔστησε (πόρος δὲ οὗτος περίπου τὴν Λάμψακον), τοὺς ἐκ τῶν Ἰταλικῶν χωρῶν πρὸς τὴν Κωνσταντίνου διαπλωΐζομένους παγίδα ταύτας ἔχειν διαταξάμενος· ἀλλὰ καὶ κατὰ Δύσιν ὁρμῶν καὶ τὰ ἐκείνων λείαν ποιούμενος, τό τε ἄστυ τῶν Μαδύτων πορθῶν καὶ τὴν Καλλιούπολιν, καὶ τὰ παράλια ὅσα τοῖς Λατίνοις ὑπόφορα, εἶχε καὶ αὐτὰς συναντιλαμβανομένας τοῦ ἔργου ἐν οὐ μικροῖς.

Ἀλλ' οὕτω τοῦ βασιλέως ἐν πᾶσιν ἀκμάζοντος κατά τε γῆν τε καὶ θάλασσαν σκευωρεῖται τούτῳ ἐπιβουλή· ὁ δὲ ταύτης πρωτεργάτης ὁ πρωτεξάδελφος ἦν τοῦ βασιλέως Ἀνδρόνικος ὁ Νεστόγγος, ἔχων εἰς τοῦτο συμπράκτορα καὶ τὸν ἀδελφὸν Ἰσαάκιον καὶ ἑτέρους τῶν ἐπιφανῶν οὐκ ὀλίγους, τόν τε Φλαμούλιον, ὃν μέγαν ἑταιρειάρχην ὁ βασιλεὺς ἐτίμησε καὶ τὸν

Ταρχανειώτην Συναδηνὸν, τὸν ἐπ' ἀδελφῇ γαμβρὸν αὐτοῦ τὸν Στασηνὸν, τὸν Μακρηνὸν, καὶ ἄλλους εἰς πλῆθος τὸν ἀριθμόν. Παρετάθη δὲ ἡ ἐπιβουλὴ ἐς μακρόν· ἐν τῇ Λαμψάκῳ δὲ διάγων μανθάνει ὁ βασιλεὺς τὰ περὶ αὐτῆς, καὶ αὐτίκα τάς τε τριήρεις πυρὶ παραδέδωκεν, ὡς μὴ τοῖς Ἰταλοῖς ὑπὸ χεῖρα γένοιντο, καὶ τὰ πάντα παραδραμὼν, τῶν ἠκουτισμένων ἐπέσπευδε τὴν διόρθωσιν. Ἀφίκετο τοιγαροῦν εἰς τὰς Ὀχυρὰς, κἀκεῖ τὴν ἐξέτασιν τῆς ἐπιβουλῆς ἐποιήσατο· καὶ ἦσαν οἱ συνωμόται πάντες ταῖς δίκαις ὑπεύθυνοι. Ὁ βασιλεὺς δὲ φιλανθρωπότερον ἐπὶ τούτοις διατεθεὶς, ἢ ὡς οἱ νόμοι ἐκέλευον, τὸν μὲν Νεστόγγον Ἰσαάκιον ἐκτυφλώσει καταδικάζει καὶ χειρὸς ἐκκοπῇ, καὶ τὸν Μακρηνὸν ὡσαύτως, ἐληλεγμένον ὡς πολλάκις κατὰ νῶτα τυγχάνων τοῦ βασιλέως ὥρμησεν ἐφελκύσαι τὴν σπάθην καὶ καιρίαν τούτου κατενεγκεῖν· καὶ ἄλλους δέ τινας μικραῖς ποιναῖς καθυπέβαλλε, τοὺς πλείονας δὲ πρὸς καιρὸν ἐγκλεισάμενος, μετ' οὐ πολὺ καὶ τούτους ἀνῆκε τῆς φυλακῆς. Τὸν δὲ πρωταίτιον Νεστόγγον Ἀνδρόνικον, τὸν καὶ βασιλείας τυχεῖν ὀρεγόμενον, τῷ τῆς Μαγνησίας φρουρίῳ συνέκλεισεν· ἡ γὰρ τῆς ἀγάπης σχέσις ἣν εἶχε περὶ αὐτὸν βασιλεὺς, ἐκώλυσε τοῦ κακοποιῆσαι αὐτὸν, ὃς καὶ μετ' ὀλίγον ἀπέδρα, θελήσει τοῦ βασιλέως ὥσπερ ἐλέγετο, ἐλευθερώτερον διάγειν παρακελευσαμένου, καὶ οἱονεὶ κλέψαι τὴν σωτηρίαν βουλευσαμένου, ὅς περὶ τὰ τῶν Μουσουλμάνων ἐφώρμησε, κἀκεῖ διῆγε μέχρι τὸ βιοῦν ἐξεμέτρησε.

Τὸ δ' ἀπὸ τοῦδε περὶ ἑαυτοῦ πολλὴν ὁ βασιλεὺς ἐποιεῖτο φυλακὴν, φρουρούς τε περὶ αὐτὸν ἔστησε καὶ τοὺς γνησίους ὑποβλεπόμενος· μάλιστα δὲ περὶ ταῦτα συνέτεινεν ἡ βασιλὶς Εἰρήνη, ἀνδρικώτερον ἔχουσα τὸ ἦθος καὶ τοῖς πᾶσι βασιλικώτερον ἐντυγχάνουσα.

Εἰς συμβάσεις δὲ καὶ οἱ Ἰταλοὶ ἐλθόντες ἀπέλυσαν τὸ τῶν Πηγῶν ἄστυ· καὶ οὕτως εἰρήνευσεν ὁ βασιλεὺς μετ' αὐτῶν, πάν-

των τῶν πρὸς νότον ὑποχωρησάντων, μόνα δὲ τὰ πρὸς βορρᾶν ὄντα πλησίον τῆς Κωνσταντίνου κατεχόντων καὶ ὅσα τῇ τοῦ Νικομήδους πόλει ἐγγίζουσιν.

Ἐπεγένετο δὲ κατὰ τὸν καιρὸν τοῦτον καὶ τοιοῦτον. Οἱ τῆς Ἀδριανοῦ οἰκήτορες πρεσβείαν στέλλουσι πρὸς τὸν βασιλέα, ὡς ἂν στρατὸν πέμψῃ καὶ ἐλευθερώσῃ αὐτοὺς τῆς τῶν Φράγγων χειρός· ὁ δὲ τὸν πρωτοστράτορα τὸν Ἰσῆν ἐκλεξάμενος, καὶ στράτευμα δοὺς ἐξαπέστειλε |, συνῆν δὲ τούτῳ καὶ ὁ Καμμύτζης Ἰωάννης, οἳ καὶ διαπεράσαντες τὸν Ἑλλήσποντον, ἦλθον εἰς τὴν Ἀδριανούπολιν, καὶ τῆς πόλεως ἐντὸς γενόμενοι διῆγον ἐκεῖ. Ἤλπιζε δὲ ὁ βασιλεὺς Ἰωάννης διὰ τούτων καὶ τῶν πέριξ περιγενέσθαι, καὶ ὑπὸ χεῖρα ταῦτα ποιήσασθαι.

Ἀλλ' ὁ Κομνηνὸς Θεόδωρος, τῶν ἐγγὺς ὢν ἐγκρατής, ἄνευ μέντοι τοῦ τῆς Ροδόπης ὄρους, ὅπερ καὶ Ἀχριδὸς ὀνομάζεται, καὶ τῶν ἐν τούτῳ φρουρίων καὶ τοῦ Μελενίκου, ἐπειδὴ ταῦτα ὑπὸ τὸν Σθλάβον ἐτάττοντο, συγγενῆ τοῦ Ἀσὰν, καὶ ὑπὸ τοῦ Κωνσταντινουπόλεως ἄνακτος τῶν Ἰταλῶν Ἐρρῆ δεσπότην τετιμημένον, οὗ καὶ τὴν θυγατέρα ἐκ παλλακῆς εἰς γυναῖκα ἠγάγετο. Οὗτος ὁ Σθλάβος, ἵνα μικρά τινα περὶ αὐτοῦ διέλθωμεν φρούριον τὸν Μελενίκον εὑρὼν ὀχυρὸν καθ' ἑαυτὸν διῆγε, μηδενὶ τῶν πέριξ ἀρχόντων ὑποπεσών, ποτὲ μὲν σύμμαχος διὰ τὸ κῆδος Ἰταλοῖς καθεστώς, ἐνίοτε δὲ ὡς Βούλγαρος τοῖς Βουλγάροις ὁμοφρονῶν, ἔστι δὲ ὅτε καὶ τῷ Κομνηνῷ Θεοδώρῳ συναρήγων, μηδενὶ δὲ ὑποτασσόμενος, μήτε εἰς ὁμοφροσύνην ἀληθῆ συνερχόμενος. Τούτῳ, μετὰ θάνατον τῆς γαμετῆς, εἰς γυναῖκα ἡ τοῦ Πετραλίφα θυγάτηρ ἐδόθη, τοῦ γυναικαδέλφου Θεοδώρου τοῦ Κομνηνοῦ. Ἄνευ μὲν οὖν, ὡς εἴρηται, τῶν ὑποκειμένων τούτῳ χωρῶν, τὰ ἄλλα ὑπὸ τὸν Κομνηνὸν ἐτέλουν Θεόδωρον.

Ἐπεὶ γοῦν Μοσυνόπολις καὶ Ξάνθεια, καὶ ἡ Γρατζίανους ὑπὸ τὸν Κομνηνὸν ἦσαν, (οὗτος) τὸ τῆς Σταγείρας ὑπερβὰς

ὄρος (ὃ δὴ Μάκρη κατονομάζεται), τὰ ἐκεῖθεν τοῦ Εὔρου κατέδραμεν, ἄνετα εὑρὼν καὶ μηδενὶ φρουρίῳ περιφραττόμενα, καὶ περὶ τὸ Διδυμότειχον γεγονὼς, βασιλεὺς αὐτῶν ἐφημίζετο. Ἀφικόμενος δὲ καὶ περὶ τὴν Ἀδριανούπολιν, ἐντὸς ἔμαθεν εἶναι τὸν πρωτοστράτορα τὸν Ἰσῆν καὶ τὸν Καμμύτζην μετὰ τοῦ στρατοῦ τοῦ βασιλέως Ἰωάννου, ἀπατηλοῖς δὲ λόγοις τοὺς τῆς πόλεως οἰκήτορας ὑπελθὼν, ὡς πλοῦτον αὐτοῖς χορηγήσειε, καὶ ὑπερυψώσειεν εἰς τιμὰς, πείθει τὸ μὲν τοῦ βασιλέως ἐξαγαγεῖν στράτευμα, αὐτὸν δὲ εἰσαγαγεῖν.

Ἔξεισι τοίνυν ὁ πρωτοστράτωρ τῆς πόλεως καὶ ὁ Καμμύτζης μετὰ τῶν συνόντων τούτοις στρατιωτῶν, ἐπὶ ὅρκοις τοῦ μή τινα ἐκ τούτων παθεῖν τι κακόν. Ὁ μὲν οὖν πρωτοστράτωρ οὐδόλως εἰς ὄψιν ἦλθε τοῦ Κομνηνοῦ Θεοδώρου (οὕτω γὰρ εἶχε τὴν συμφωνίαν), ὁ δὲ Καμμύτζης αὐτῷ συντυχὼν, οὐ κατέβη τοῦ ἵππου, οὐδὲ ὡς βασιλεῖ αὐτῷ προσηγόρευσε· διὸ καὶ βαρυθυμήσας κατὰ τούτου ὁ Κομνηνὸς, ὕβρεις τε κετέχεε τοῦ ἀνδρὸς, καὶ ἐγγὺς ἦλθε τοῦ καὶ πληγὰς ἐπιθεῖναι αὐτῷ. Τοῦτο δὲ ἀφορμὴ γέγονε τῷ Καμμύτζῃ τῆς πρὸς βασιλέως τιμῆς· ὡς γὰρ πρὸς τὸν βασιλέα ἀφίκετο, μέγας ἑταιρειάρχης ὁ Καμμύτζης τετίμηται.

Ὁ δὲ Κομνηνὸς Θεόδωρος καὶ τῆς Ἀδριανοῦ γεγονὼς ἐγκρατὴς, πολλὰ τοῖς Ἰταλοῖς λυπηρὰ κατειργάσατο, ἕως τῆς Βιζύης καταδραμὼν, καὶ τὰ ὑπ' ἐκείνους ἅπαντα ἕως καὶ αὐτῆς τοῦ Βύζαντος ληϊσάμενος, καὶ πολλοῦ φόβου τοῖς Λατίνοις ὑπάρξας αἴτιος.

Τότε καὶ ὁ Ἀσὲλ Δεκάε, ὅς νομίμως τῇ θυγατρὶ Θεοδώρας (γρ. Θεοδώρου) τοῦ Λάσκαρι Εὐδοκίᾳ συνῴκει, ὑπό τινος δόρατι ἐπλήγη τὸν τράχηλον, καὶ ἡ τομὴ θανάσιμος ἔδοξεν, ὑπό του δὲ τῶν ἰατρῶν θεραπείας ἔτυχεν· ἦν δ' ἔκτοτε καὶ ἡ φωνὴ τούτου τραχεῖα, καὶ οὐδὲ οἱ τοῦ τραχήλου σπόνδυλοι στρεφόμενοι εὐχερῶς.

Ἐπεὶ γοῦν οὕτως ηὐξήθη τὰ κατὰ τὸν Κομνηνὸν Θεόδωρον, καὶ ὁμορῶν ἦν τοῖς Βουλγάροις, σπένδεται τῷ Ἀσὰν, ὅς μετὰ τὸν Βορίλαν τοῖς Βουλγάροις βασιλεὺς ἦν, καὶ συγγένειαν μετὰ τούτου ἐποίησε, προσλαβόμενος ἐπὶ τῷ ἀδελφῷ Μανουὴλ νύμφην τὴν τοῦ Ἀσὰν ἐκ παλλακῆς θυγατέρα Μαρίαν. Ἀλλ' οὐ μετὰ πολὺ τὰς σπονδὰς διαλύσας, οἷος ἐκεῖνος θρασύτερος ἐν πᾶσι καὶ ἀτακτότερος καὶ τῶν ὅρκων παραβάτης, στρατιὰν συναγηοχὼς ἔκ τε Ῥωμαίων καὶ Ἰταλῶν, τὴν Ἀδριανοῦ παραμείψας περὶ τὰ τοῦ Εὔρου ποταμοῦ ἄνω τὴν πορείαν ἔθετο, πόλεμον συγκροτῆσαι μετὰ Βουλγάρων προθέμενος· ἐζήτει δὲ ἄρα τὸν αὐτοῦ ὄλεθρον· ἐθάρρει δὲ μηδ' εἰς ὄψιν στῆναι τοὺς βαρβάρους τῆς αὐτοῦ στρατιᾶς. Ἀλλ' ὁ Ἀσὰν ταῖς τοῦ Θεοδώρου ἐπιορκίαις ὑπέρ τινι ἄλλῳ τεθαρρηκὼς, ὀλίγον τι συμμαχικὸν λαβὼν ἐκ Σκυθῶν εἰς χιλίους ποσούμενον, καὶ τὰς οἰκείας δυνάμεις συναθροίσας, κατ' ἐκείνου ἐφέρετο, | τὸν ἔγ- φ.119ᵃ
γραφον τοῦ Θεοδώρου ὅρκον τῇ ἰδίᾳ σημαίᾳ ἀπαιωρήσας. Καὶ δὴ κατά τινα παρεύριον τόπον, (Κλοκοτινίτζαν αὐτὸν ὀνομάζουσι) συμβάλλουσι τὰ στρατεύματα, καὶ νικᾶται ὁ Θεόδωρος παρὰ τῶν Βουλγάρων· καὶ συλλαμβάνεται μὲν αὐτὸς, οὐκ ὀλίγοι δὲ καὶ τῶν αὐτοῦ προσγενῶν, καὶ τῶν ἄλλως οἰκείων· τὰ δὲ αὐτῶν πάντα πρὸς τῶν Βουλγάρων ἐσκύλευται. Περὶ δὲ τὸ πλῆθος φιλανθρωπότερον διατεθεὶς ὁ Ἀσὰν, τοὺς πλείους τῶν στρατιωτῶν, τῶν ἀφανῶν καὶ μάλιστα, ἐλευθεροῖ, καὶ πρὸς τὰς ἑαυτῶν ἀποπέμπει κώμας καὶ πόλεις. Εἶχε δ' ἐπὶ τούτῳ καί τι συμφέρον πραγματευόμενος ἑαυτῷ· ἐβούλετο γὰρ τῆς τῶν Ῥωμαίων ἀρχῆς ἀποστήσας, κυριεῦσαι αὐτῶν, οὗ καὶ ἐπέτυχεν· ἐπεὶ γὰρ κατ' αὐτῶν ἐχώρει, πάντες τούτῳ ὑπέκυπτον.

Καὶ γίνεται ὑπ' αὐτὸν ἡ Ἀδριανοῦ καὶ τὸ Διδυμότειχον, εἶτα Βολερὸν ἅπαν, Σέρραι, Πελαγονία, καὶ Πρίλαπος, καὶ τὰ πέριξ αὐτῶν. Κατέδραμε καὶ τῆς Μεγάλης Βλαχίας, ἀλλὰ καὶ τοῦ Ἀλβάνου δεσπόζει, καὶ τὰ μέχρι τοῦ Ἰλλυρικοῦ ληΐζεται,

καὶ λείαν ἀποκερδαίνει πολλήν. Ἐπεὶ δὲ κατεπράξατο ταῦτα καὶ ὡς βουλητὸν διέθετο, τινὰ μὲν τῶν φρουρίων ὑπὸ Ρωμαίων διεξάγεσθαι καταλελοιπώς, τὰ πλείω δ' ὑφ' ἑαυτὸν ποιησάμενος, στρατιώτας ἐν τούτοις τάξας, καὶ στρατηγοὺς καὶ φορολόγους ἐπιστήσας, ἀνέζευξεν εἰς τὰ οἰκεῖα, μέγας δόξας καὶ θαυμαστὸς· οὐ γὰρ ἐχραίνετο φόνοις Ρωμαϊκοῖς, ὡς οἱ πρὸ αὐτοῦ, ἔνθεν τοι καὶ παρὰ πάντων φιλούμενος ἦν.

Ὁ δὲ Ἄγγελος Θεόδωρος ἐν φρουρᾷ διάγων, ἐφιλοφρονεῖτο μὲν παρὰ τοῦ Ἀσάν· ἐπεὶ δὲ καὶ εἰς τὰ οἴκοι νεωτερίζειν πεφώραται, ἐκτυφλοῖ αὐτὸν ὁ Ἀσάν.

Ὁ μέντοι τοῦ Θεοδώρου ἀδελφὸς Μανουήλ, ὅς καὶ παρὰ τού[του] δεσπότης τετίμηται, φυγὰς περὶ τὴν Θεσσαλονίκην ἀπῆλθεν, ὅτε ὁ Θεόδωρος καὶ οἱ περὶ αὐτὸν συνεσχέθησαν, καὶ ἦν κυριεύων αὐτῆς καὶ τῶν περὶ αὐτήν, ἐρυθροῖς δὲ γράμμασι τὰς αὐτοῦ γραφὰς ἐπεκύρου· πρὸς ὅν καί τις τῶν ἐκ βασιλέως Ἰωάννου πρέσβεων ἀπέσκωψεν « εἰς σὲ, φάμενος, ἁρμόσει τὸ ψαλμῳδούμενον, σὲ τὸν βασιλέα καὶ δεσπότην ».

Εἶχε μὲν οὖν οὕτως τὰ Δυτικὰ ὑπὸ τοῦ Ἀγγέλου Μανουὴλ δεσποζόμενα. Οἱ δὲ ἐν τῇ Κωνσταντινουπόλει Λατῖνοι, ἐπεὶ ὁ βασιλεύων αὐτῶν Ρομπέρτος τὸ κοινὸν χρέος ἀπέτισε, τὴν Εὔριπον καταλαβών, ὁ δὲ τούτου υἱὸς Βαλδουῖνος ἀφῆλιξ ἦν, πρεσβείαν στέλλουσι πρὸς Ἰωάννην, τὸν Ἱεροσολύμων ῥῆγα ὀνομαζόμενον, φήμην αὐχοῦντα περὶ τὰ στρατιωτικά, καὶ βριαρὸν τὴν χεῖρα, καὶ μεγέθει τοὺς κατ' αὐτὸν ὑπερβάλλοντα, ὡς ἂν πρὸς αὐτοὺς ἐλθών, τῆς Κωνσταντίνου βασιλεὺς φημισθείη, ἐπιγαμβρεύσῃ δὲ ἑαυτῷ ἐπὶ τῇ θυγατρὶ τῇ ἰδίᾳ τὸν κληρονόμον Βαλδουῖνον, ἵνα, μετὰ τὴν τοῦ ῥηγὸς ἀποβίωσιν, βασιλεύσῃ τούτων ὁ Βαλδουῖνος πρὸς αὔξην ἐλθών· ὁ γὰρ ῥὴξ οὗτος ὑπὲρ τὰ ὀγδοήκοντα ἔτη ἐλέγετο τότε ἔχειν ἀφ' οὗπερ γεγένητο. Ἠρέσθη γοῦν ὁ ῥὴξ τῇ πρεσβείᾳ, καὶ καταλαμβάνει τὴν βασιλίδα τῶν πόλεων διὰ θαλάττης ποιησάμενος τὴν πο-

ρείαν, (οὐδὲ γὰρ εἶχε στρατὸν ἀξιόλογον ὡς ἄν γε πεζοπορήσειεν). Ἐπεὶ δὲ καὶ εἰς τὸ Βυζάντιον ἦλθε, μὴ δυνάμενος ἐξιέναι καὶ μάχης ἀπάρξασθαι (καὶ γὰρ ἐπέγνω τὸν βασιλέα Ἰωάννην στρατηγικώτατόν τε καὶ δυσμαχώτατον), ἐμέμφετο ἑαυτῷ μὲν καὶ τῆς ἐγχειρήσεως, ὅτι πρὸς τοιοῦτον μαχεσθῆναι προείλετο, ἀλλὰ καὶ τοὺς εἰς τοῦτο αὐτὸν ἐρεθίσαντας, καὶ κακῶς νοεῖν, ἔφασκε, τοὺς λέγοντας ὡς εἰς χώρους ἀφίξεται, ὧν ὁ βασιλεύων τοῦ ἄρχειν ἀνεπιστήμων ἐστὶ, καλῶς γὰρ ἐγνωκέναι ὡς εἰ δέκα τοσοῦτοι χῶροι τῷ βασιλεῖ Ἰωάννῃ πρὸς δεσποτείαν ὑπῆσαν, καλῶς καὶ ἀρίστως ἄρχειν αὐτῶν ἐπίσταται καὶ διασώζειν ἐκ τῶν ἐχθρῶν. Εἴτε γοῦν διὰ ταῦτα, εἴτε καὶ κατατρυφῆσαι βουλόμενος τῶν τῆς Κωνσταντίνου καλῶν, δύο ἐνιαυτοὺς ἄπρακτος ἐν ταύτῃ διήγαγε.

Μόλις οὖν τριήρεις ἑτοιμασάμενος καὶ στράτευμα συναγαγὼν ὅσον ἠδύνατο, κατὰ τῆς ἕω ἐχώρησε, καὶ ἐλλιμενίζει περὶ τὴν Λάμψακον, προσεχῶς τότε τοῦ βασιλέως Ἰωάννου ἐκ τῆς κατὰ τοῦ καίσαρος Γαβαλᾶ μάχης ὑποστρέψαντος, ὅν νεωτερίσαντα ἐμαχέσατο καὶ ὑπέταξεν. Ὁ μὲν οὖν βασιλεὺς περὶ τὰ τῆς Σταδίας μέρη κατασκηνῶν, τῷ Παλαιολόγῳ Ἀνδρονίκῳ, ὅν εἶχε μέγαν δομέστικον, τὰ στρατεύματα καὶ τοὺς στρατάρχας παραδεδωκὼς, περὶ τὴν νῆσον Ῥόδον τριήρεσιν ἱκαναῖς καὶ λοιπαῖς ναυσὶν ἐξαποστέλλει, βριαρώτερον τῷ | ἀποστάτῃ ἐπιτε- φ. 120. θησόμενον οἷς οἶδε λόγοις στρατηγικοῖς.

Ἐπεὶ δὲ τὰ κατὰ τὸν καίσαρα κατὰ σκοπὸν ἐγεγόνει τῷ βασιλεῖ, ἤκουσε δὲ τὸν ῥῆγα προσοκεῖλαι τῇ Λαμψάκῳ Ῥωμαίοις πολεμῆσαι βουλόμενον, μεθ' ὧν ἔτυχε διάγειν βασιλεὺς (ὀλίγοι δὲ ἦσαν, οἱ γὰρ πλείους τῆς στρατιᾶς τῇ μάχῃ καὶ τῷ χειμῶνι ταλαιπωρήσαντες ἀνέσεως χάριν ἐν τοῖς οἴκοις διῆγον αὐτῶν) χωρεῖ πρὸς τὴν Λάμψακον, καὶ τοῖς μέρεσι τῆς Σιγρηνῆς πήγνυσι τὰς σκηνάς. Ἐπεὶ δὲ μὴ εἶχε μεθ' ἑαυτοῦ στρατὸν ἀξιόλογον κωλῦσαι τὴν ἔφοδον τοῦ ῥηγὸς, μεθόδοις

στρατηγικαῖς μεθ' ὧν εἶχε τούτῳ ἀντέταττεν. Ἐξῆλθον οὖν οἱ Λατῖνοι καὶ ὁ ῥὴξ Ἰωάννης, καὶ παραιγιαλίους τόπους διέδραμον· οὐδὲ γὰρ τῶν νηῶν αὐτῶν ἐπὶ μακρὸν ἀποστῆναι ἀκίνδυνον ἐδόκει αὐτοῖς. Ὁ γὰρ βασιλεὺς Ἰωάννης, ἱκανὸς ἦν καὶ μετὰ πάνυ ὀλίγων μεγάλα τούτοις πράγματα παρασχεῖν.

Ὁ μὲν γὰρ βασιλεὺς περὶ τὰς ὑπωρείας διέτριβε, περὶ δὲ τὰς ἠϊόνας οἱ Φράγγοι. Τέσσαρας τοίνυν μῆνας διατελέσαντες ἐν τῇ τοῦ βασιλέως χώρᾳ, καὶ ὀλίγον χῶρον πατήσαντες, ὅσος ὁ ἀπὸ τῆς Λαμψάκου μέχρι τῶν Κεγχρεῶν, καὶ μικρὰ λυμηνάμενοι, (ὁ γὰρ βασιλεὺς τὰ χρειώδη πάντα ἔφθασε τοῖς ὑψηλοτέροις τόποις διασώσασθαι), περὶ τὸ τῶν Πηγῶν ἔφθασαν ἄστυ, ἓν μόνον φρούριον χειρωσάμενοι ὅ Κεραμιδᾶς λέγεται, περίπου τὸν βουνὸν τῆς Κυζίκου διακείμενον. Εἶχον δὲ τὰς ναῦς ἑτοιμάσαντες ἀποπλεῦσαι εἰς τὴν Κωνσταντινούπολιν, καὶ ᾤχοντο ἂν αἰσχύνης καὶ ζημίας ἐμπεπλησμένοι· ἀλλ' ἀνήρ τις δεινὸς ἀναρριχᾶσθαι πρὸς ἀκρωρείας, ὁδὸν ἐφεῦρε δι' ἧς καὶ ὡπλισμένους Λατίνους εἰς τὴν ἀκρόπολιν τῶν Πηγῶν ἀνεβίβασεν, οἳ καὶ τοὺς εἰς φυλακὴν τοῦ κάστρου διαχειρισάμενοι, ἴσχυσαν τοῦτο παραλαβεῖν. Τοῦτο πρὸς βραχὺ δειλίαν καὶ ἀθυμίαν προὐξένησεν, (ἐπεὶ καὶ πολλοὶ ἦσαν ἄνδρες ἐκεῖ καλοί τε κἀγαθοί, κἂν τοῖς Στρατιώταις περιφανεῖς), ἀλλ' ἡ τοῦ βασιλέως ἀρίστη οἰκονομία καὶ στρατηγικωτάτη ἐπίνοια, τήν τε τῶν Ῥωμαίων δειλίαν παρεμυθήσατο, καὶ τοὺς Ἰταλοὺς εἰς τὴν Κωνσταντινούπολιν ὑποστρέψαι ἠνάγκασεν.

Ἐγεννήθη τῷ βασιλεῖ ἐκ τῆς βασιλίδος Εἰρήνης υἱός, ᾧ κλῆσις Θεόδωρος· ἑνδέκατον δὲ τότε ἦν ἔτος αὐτῷ· τέτοκε καὶ τῷ Ἀσὰν, ὃς ἦρχε Βουλγάρων, ἡ ἀπὸ Οὔγγρων, θυγάτριον, Ἑλένη τῇ κορίσκῃ τὸ ὄνομα, καὶ ἔννατον ἔτος ἀπὸ γεννήσεως ἤνυε. Στέλλει οὖν πρεσβείαν ὁ βασιλεὺς πρὸς Ἀσὰν, καὶ μνηστείας τῶν παίδων αὐτῶν μέμνηται, καὶ τῆς εἰς ἀλλήλους ἀμ-

φοτέρων συμμαχίας καὶ συγκροτήσεως. Δέχεται ὁ Ἀσὰν τὴν πρεσβείαν, καὶ πληροῦνται αἱ συμφωνίαι, καὶ ὅρκοι ἐπὶ ταύταις προβαίνουσι.

Καὶ ἐπὶ τούτοις ὁ βασιλεὺς καταλαμβάνει τὴν Λάμψακον, καὶ διαπεραιοῦται μετὰ τῶν οἰκείων δυνάμεων εἰς τὴν Καλλιούπολιν, καὶ στήσας ἑλεπόλεις, ταύτην ἐμάχετο, καὶ μετ' οὐ πολὺ χειροῦται καὶ ὑπήκοον τίθησι, τῆς τῶν Βενετίκων δυναστείας ἀνασωσάμενος. Μετὰ τοῦτο καὶ ὁ Ἀσὰν καταλαμβάνει τὴν Καλλιούπολιν, γαμετῇ συνάμα τῇ ἐξ Οὔγγρων Μαρίᾳ καὶ τῇ θυγατρὶ Ἑλένῃ, καὶ συνέρχονται τῷ βασιλεῖ, καὶ τὰ εἰς φιλίαν ἀμφότεροι διαπράττονται.

Ὁ μὲν οὖν Ἀσὰν οὐ διεπέρασε τὸν Ἑλλήσποντον, ἀλλ' ἐν τοῖς μέρεσι τῆς Καλλιουπόλεως ἔμεινεν· ὁ δὲ βασιλεὺς Ἰωάννης τὴν τοῦ Ἀσὰν σύζυγον καὶ τὴν θυγατέρα λαβών, διαπεραιοῦται εἰς Λάμψακον, ἔνθα ἦν βασιλὶς Εἰρήνη, καὶ πληροῦσι τὴν τῶν παίδων ἱερολογίαν, τοῦ πατριάρχου Γερμανοῦ ταύτην τελέσαντος.

Τότε καὶ ὁ Τερνόβου ἀρχιερεὺς ὑπὸ τὸν Κωνσταντινουπόλεως τελῶν, αὐτονομίᾳ τετίμηται, καὶ πατριάρχης ἀναγορεύεσθαι ἐξεχωρήθη βασιλικῷ καὶ πατριαρχικῷ θεσπίσματι, χάριν ἀποτιννύντων τῷ Ἀσὰν, τοῦ κήδους χάριν καὶ τῆς φιλίας, καὶ πρὸς τούτοις ὅτι ὑπέσχετο αὐτὸς οὗτος τὰ δυνατὰ οἱ συνάρασθαι τῷ βασιλεῖ εἰς τὴν τῆς Κωνσταντινουπόλεως ἐλευθερίαν. Ἐπεὶ οὖν οὕτω ταῦτα πεπλήρωται, ἡ μὲν βασιλὶς Εἰρήνη μετὰ τοῦ υἱοῦ καὶ τῆς νύμφης τοῖς ἑῴοις χώροις ἐνδιητᾶτο, ἡ δὲ τοῦ Ἀσὰν γαμετὴ ἐν τῇ τῶν Βουλγάρων ὑπέστρεψεν.

Ὁ δέ γε βασιλεὺς Ἰωάννης καὶ ὁ Ἀσὰν τὰ οἰκεῖα ἀναλαβόντες στρατεύματα, τὴν Δυτικὴν κατέδραμον χώραν ὁπόση τοῖς Λατίνοις ὑπέκειτο, καὶ κατὰ τοὺς ὅρκους τὴν χώραν καὶ τὰ κάστρα διεμερίσαντο. Καὶ Καλλιούπολις μὲν ὑπὸ τὸν βασιλέα ἐγένετο, ὁμοίως καὶ Μάδυτα, καὶ πᾶσα ἡ λεγομένη Χερ-

20 ρόνησος· εἷλε δὲ ὁ βασιλεὺς καὶ τὸ τοῦ Κισσοῦ φρούριον |, ὃ μέχρι ποταμοῦ, ὃν Μαρίτζαν κατονομάζομεν, εἶχε τὰ ὅρια· ἐκράτησε δὲ καὶ τοῦ ὄρους τοῦ Γάνου, καὶ πολίχνιον ἐν τούτῳ ἐδείματο, ἔνθα καὶ τὸν Κοτέρτζην Νικόλαον, ἄνδρα ἐν πολέμοις εὐδοκιμηκότα, φυλάττειν ἐξέπεμψε, καὶ πράγματα παρέχειν τοῖς ἐν τῇ Τζουρουλῷ ὅσα ἂν δύνηται.

Ὁ δὲ Ἀσὰν τὰ ὑπεράνω τῶν εἰρημένων χωρίων καὶ πρὸς βορρὰν ὑφ' ἑαυτὸν ἐποιήσατο.

Μέχρι δὲ καὶ αὐτῶν τῶν τῆς Κωνσταντίνου τειχῶν ὅ τε βασιλεὺς καὶ ὁ Ἀσὰν ἔφθασαν, τοῦ ῥηγὸς ἐν φόβῳ πολλῷ ἔσω διάγοντος, καὶ ἐν στενῷ κομιδῇ τὰ κατὰ τοὺς Λατίνους διέθεντο. Ἐπεὶ δὲ καὶ ὁ τοῦ μετοπώρου παρῆλθε καιρὸς, καὶ ὁ χειμὼν ἤγγιζεν, ἀμφότεροι συνταξάμενοι ὅ τε βασιλεὺς Ἰωάννης καὶ ὁ Ἀσὰν, ὁ μὲν εἰς τὴν χώραν τῶν Βουλγάρων χωρεῖ, ὁ δὲ βασιλεὺς εἰς τὴν ἕω διαπερᾷ.

Ἐπεὶ δὲ καὶ ὁ νυμφίος Θεόδωρος καὶ Ἑλένη ἡ νύμφη ἦσαν ἀφήλικες, τὰ μὲν ἐς συνουσίαν αὐτῶν καὶ συνάφειαν ἔμενον ἀτελῆ, ἀνήγοντο δὲ παρὰ τῆς βασιλίδος Εἰρήνης καὶ ἐπαιδεύοντο, οἷα ἐκείνη φύσεως ἀγαθῆς καὶ πρὸς ἅπαν καλὸν τὸ εὐδόκιμον φέρουσα.

Ὁ μὲν οὖν ῥὴξ Ἰωάννης μικρὸν ἐπιβιοὺς, ἐξ ἀνθρώπων ἐγένετο, τῷ γαμβρῷ Βαλδουΐνῳ τὴν ἐξουσίαν τῆς Κωνσταντίνου ὡς κλῆρον καταλιπών. Ὁ δὲ Ἀσὰν μετάμελος ἐπὶ ταῖς μετὰ τοῦ βασιλέως συνθήκαις γενόμενος, τρόπον ἐζήτει δι' οὗ τὴν θυγατέρα ἐπαναλήψεται· σκέπτεται γοῦν αἰτίαν, κἂν οὐκ ἐλάνθανε, καὶ ἀποστέλλει πρέσβεις ἐς βασιλέα καὶ τὴν βασιλίδα, ὡς βούλεται, ἐπεὶ πλησίον τῆς Ἀδριανοῦ μετὰ τῆς γυναικὸς ἦλθε, καὶ τὸ θυγάτριον ἰδεῖν, καὶ πατρικῶς περιπτύξασθαι, καὶ τὰ εἰκότα ἀποπληρῶσαι, καὶ αὖθις ἀποπέμψαι πρὸς τὸν πενθερὸν καὶ τὸν σύζυγον.

Ὁ μὲν οὖν βασιλεὺς Ἰωάννης καὶ ἡ βασιλὶς Εἰρήνη ἐπι-

γνόντες τὴν σκευωρίαν, ὅμως πέμπουσι τὴν θυγατέρα πρὸς τὸν Ἀσὰν, εἰπόντες, ὡς εἰ κρατήσειε καὶ τοῦ νομίμως συναφθέντος διαζεύξειεν, ἔσται θεὸς ὁ τούτων ἔφορος, καὶ μελήσῃ τούτῳ περὶ αὐτοῦ.

Ὁ μὲν οὖν Ἀσὰν τὴν θυγατέρα λαβὼν ᾤχετο, τοὺς ἐπομένους αὐτῇ πάντας ὅθεν ἦλθον ὑποστρέφειν ἐγκελευσάμενος, καὶ τὸν Αἷμον διαβὰς, ἐχώρει περὶ τὸν Τέρνοβον, ὀλοφυρομένης τῆς αὐτοῦ θυγατρὸς, διὰ τῆς πενθερᾶς καὶ τοῦ συζύγου τὸν χωρισμὸν, ὅτε καὶ φασὶ προσλαβόμενον αὐτὴν, τῆς ἐφεστρίδος αὐτοῦ ἔμπροσθεν ἐπικαθίσαι, καὶ κατὰ κόρρης τύψαι τοῖς δακτύλοις, καὶ ἐπαπειλῆσαι δεινῶς, εἰ μὴ σιγῇ φέρει ὅσα τούτῳ διὰ βουλῆς ἐπ' αὐτῇ.

Κατ' ἐκεῖνο καιροῦ καὶ τῶν Ἀτάρων καταδραμόντων τὸ τῶν Σκυθῶν γένος, ὁπόσοι τῶν Σκυθῶν τὸ ξίφος ἐκείνων διέφυγον, ἀσκοῖς τὸν Ἴστρον διαπεράσαντες, καὶ τὸν Αἷμον ὑπερβάντες τέκνοις ἅμα καὶ γυναιξὶ, καὶ ἀκόντων Βουλγάρων, (πολλαὶ γὰρ χιλιάδες ὑπῆρχον), τοὺς τῆς Μακεδονίας χώρους κατέλαβον, οἱ μὲν περὶ τὸν Εὖρον καὶ τὰ ἐκεῖσε πεδία, οἱ δὲ περὶ τὰ κατὰ τὴν Μαρίτζαν ποιούμενοι τὰς νομάς. Ἐλήϊζον γοῦν τὰ ἐν Μακεδονίᾳ πάντα, καὶ ὡς ἐν ὀλίγῳ ἔρημα τῶν οἰκητόρων ἐποίησαν, καὶ πολιχνίων δὲ ὁπόσα εὐχείρωτα κατεστρέφετο, καὶ ἐφονεύοντο πολλοί· ἐσκυλεύοντο δὲ καὶ ᾐχμαλωτίζοντο ἅπαντες καὶ ἀπημπολοῦντο ἔν τε τῇ Ἀδριανουπόλει, τῷ Διδυμοτείχῳ, τῇ Βιζύῃ, τῇ Καλλιουπόλει, καὶ τοῖς λοιποῖς ὅσα διὰ τὴν ὀχυρότητα ἀνάλωτα ἦσαν αὐτοῖς.

Τοῦτο οἱ καθ' ἡμῶν ἀεὶ ἐνεδρεύοντες Φράγγοι εὑρόντες ἱκανὸν ὡς ᾤοντο ἀμύνασθαι Ῥωμαίοις, ἀνθ' ὧν παρ' αὐτῶν καὶ τοῦ Ἀσὰν πρότερον ἔπαθον, πρῶτα μὲν τὸν Ἀσὰν ὑποποιοῦνται, καὶ πρὸς εἰρήνην σπένδονται τούτῳ, ἔπειτα δὲ σὺν αὐτῷ καὶ τοὺς Σκύθας βαρβάρους τε καὶ ἀλήτας χαρίσμασι μικροῖς τισι, μεγάλαις δὲ ὑποσχέσεσι δελεάσαντες, εἰς ἑαυτοὺς ἕλκου-

σι· καὶ συμμαχίαν τοσαύτην ἔκ τε Σκυθῶν καὶ Βουλγάρων συνηθροικότες, κατὰ τῶν τοῦ βασιλέως Ἰωάννου χωροῦσιν. Ἐπεὶ δὲ πλησίον τὸ τῆς Τζουρουλοῦ κάστρον ἐτύγχανε, κατ' ἐκείνου τὴν μάχην ἱστῶσι, παρόντος καὶ τοῦ Ἀσὰν μετὰ τῶν Βουλγαρικῶν στρατευμάτων καὶ τῶν Σκυθῶν. Ἦν δὲ τῆς Τζουρουλοῦ τὴν φρουρὰν ἐμπεπιστευμένος παρὰ τοῦ βασιλέως Ἰωάννου
121. ὁ Ταρχανειώτης Νικηφόρος, ἐπὶ τῆς τραπέζης ἦν τότε |, μέγας δομέστικος τετίμηται ὕστερον, τοῦ Παλαιολόγου Ἀνδρονίκου γαμβρὸς ἐπὶ θυγατρὶ, ἀγαθὸς ἀνὴρ καὶ καλὸς στρατιώτης καὶ στρατηγὸς, καὶ πολλῆς ἀπολαύων τῆς παρὰ θεοῦ ἀντιλήψεως, καὶ εὐτυχίᾳ μᾶλλον δοκῶν κατορθοῦν, ἢ ἀνδρείᾳ καὶ στρατηγίᾳ ἅπερ εἰργάζετο. Ἐπεὶ δὲ τὰ τοσαῦτα στρατεύματα τῇ Τζουρουλῷ παρεκαθίσαντο, τοῖς μὲν Ἰταλοῖς πολλαί τε καὶ ἰσχυραὶ ἑλεπόλεις κατεσκευάσθησαν, ἀντεμηχανᾶτο δὲ ἔνδον ὁ Ταρχανειώτης τοῖς ἔξωθεν μηχανήμασι, καὶ τῇ τοσαύτῃ στρατιᾷ τῶν ἐναντίων τὸ ἀνδρικὸν αὐτοῦ ἀντεπεξῆγεν, ἐν στρατιώταις ἀριθμητοῖς. Ἐν ἀμηχανίᾳ δὲ ἦν ὁ βασιλεὺς Ἰωάννης, οὐ τοσοῦτον τοῦ ἄστεος τούτου ὑπεραγωνιῶν, ἢ ὅσον περὶ τῶν ἄλλων φροντίζων, ὡς, εἰ τοῦτο ἁλῴη, τὰ ἐν τῇ Μακεδονίᾳ πάντα φροῦδα γενήσονται.

Πολιορκουμένου γοῦν τοῦ ἄστεος Τζουρουλοῦ, αἴφνης ἀγγέλλεται τῷ Ἀσὰν, ὡς ἡ ἐξ Οὔγγρων σύζυγος ἐτεθνήκει, καὶ παιδίον αὐτοῦ, καὶ ὁ Τερνόβου ἀρχιερεύς· θεομηνίαν οὖν λογισάμενος ταῦτα, πυρὶ ἐξαφανίσας τὰς ἑλεπόλεις, ὡς εἶχε τρέχει περὶ τὸν Τέρνοβον. Μόνοι γοῦν ἀπολειφθέντες οἱ Ἰταλοὶ, καὶ μὴ εἰς πολιορκίαν ἰσχύοντες, καὶ αὐτοὶ πρὸς τὴν Κωνσταντίνου ὑπέστρεψαν ἄπρακτοι, νικηφόρου τοῦ Ταρχανειώτου κατὰ τὴν κλῆσιν ἀναφανέντος, καὶ δι' αὐτοῦ συνάρσει θεοῦ ἀσινοῦς διατηρηθέντος τοῦ ἄστεος. Ὁ δὲ Ἀσὰν εὐσεβῶς ἡγησάμενος, ὡς διὰ τὰς παραβασίας τῶν ὅρκων ὧν εἶχε μετὰ τοῦ βασιλέως τὰ λυπηρὰ τούτῳ ἐπισυνέβη, πρέσβεις ἐκπέμπει πρὸς βασιλέα,

ἑαυτὸν ἐπιμεμφόμενος τῆς κακίστης πράξεως, καὶ τὰς συνθήκας ἀνανεῶν, καὶ συγγνώμην αἰτούμενος. Ὁ βασιλεὺς τοίνυν Ἰωάννης καὶ ἡ βασιλὶς Εἰρήνη, οἷα πρὸς τὰ θειότερα εὐσεβέστατα νεύοντες, δέχονται τὴν πρεσβείαν, καὶ εἰς λόγους οὐ μακροὺς χωρήσαντες, τούς τε ὅρκους κατεμπεδοῦσι, καὶ τὴν νύμφην Ἑλένην ἀνακαλοῦνται· ἀποστέλλεται γοῦν πρὸς τὸν πενθερὸν καὶ τὸν σύζυγον, καὶ εἰρήνη πάλιν μέσον Ῥωμαίων τε καὶ Βουλγάρων ἐχόρευε καθαρῶς.

Ὁ μέντοι Βαλδουΐνος, ὃν καὶ βασιλέα τῆς Κωνσταντινουπόλεως ὁ λόγος ἐδήλωσεν, ἀπειρηκὼς ταῖς πρὸς τὸν βασιλέα Ἰωάννην ἐναντιότησιν, (εἰς γὰρ ὀλίγον ἡ ἀρχὴ τούτου κατήντησε), πρὸς τὸν ῥῆγα Φραγγίας ἀποδημεῖ, καθ' αἷμα πλησιάζοντα τούτῳ, καὶ ὁμόφυλον, καὶ τοῖς Ῥωμαίοις ἐχθραίνοντα, καὶ συμμαχίαν ζητεῖ· καὶ τοῦ σκοποῦ πρὸς τοῦτο οὐκ ἀστοχεῖ. Οὐ διὰ πολλοῦ καὶ γὰρ χρόνου ἑξήκοντα χιλιάδες Φράγγων ἠθροίσθησαν ἵνα κατὰ Ῥωμαίων χωρήσωσιν. Ἐπεὶ δὲ οὐκ ἦν αὐτοῖς εὔδρομος διὰ νηῶν ἡ ὁδὸς, ἅτε πλείω ἢ κατὰ τὴν αὐτῶν δύναμιν ἀπαιτουμένων αὐτοῖς πρὸς τῶν ἐχόντων τὰς πρὸς τὴν πορείαν ναῦς, διὰ τῆς χέρσου τὴν ὁδὸν ἔθεντο. Καὶ δὴ παραδραμόντες τὰς Γαλλίας, τὴν Ἰταλίαν δὲ διελθόντες, εἰς τὸ Ὀστρίκιον ἔφθασαν, καὶ τὴν Οὐγγρίαν παραμείψαντες, διαπερῶσι τὸν Ἴστρον, καὶ τῇ Βουλγάρων ἐπιδημοῦσι, τοῖς καθ ὁδὸν πᾶσιν ὡς φίλοις καὶ συγγενέσι χρώμενοι, καὶ ἐπιξενούμενοι παρὰ πάντων, οὐχ ἧττον διὰ τὴν εἰς αὐτοὺς φιλίαν ἢ δι' ἔχθραν τὴν καθ' ἡμῶν. Καὶ οἱ Βούλγαροι τὰς μετὰ Ῥωμαίων σπονδὰς παρεωρακότες, ἄδειαν τούτοις δεδώκασι τὰς δυσχωρίας αὐτῶν διελθεῖν, τῷ δοκεῖν βιασθέντες.

Τότε καὶ τὸ ἄστυ τῆς Τζουρουλοῦ ἑάλω, ἐκστρατευσάντων κατ' αὐτοῦ τῶν Λατίνων, συμμαχούντων τούτοις καὶ τῶν Σκυθῶν. Εἰς φυλακὴν τούτου ὁ Πετραλίφας ἦν Ἰωάννης, ὃς μέγας ἑταιρειάρχης πρὸς τοῦ βασιλέως ἐτύγχανε τιμηθεὶς, ἀ-

νὴρ γενναῖος τὴν χεῖρα, καὶ τὰ πολέμια παιδιόθεν ἐξησκημένος. Ἡ δὲ τῶν Λατίνων ὑπερφέρουσα δύναμις, καὶ τὸ ἀπειροπληθὲς τῶν Σκυθῶν, καὶ τὸ τῶν ἑλεπόλεων ἐνεργὸν, παραδοῦναι τὸ ἄστυ τοῖς Ἰταλοῖς κατηνάγκασαν. Φασὶ δέ τινες καὶ προδοσίαν μελετῆσαι τοὺς ἐν αὐτῷ τινας, κἀντεῦθεν πτοηθῆναι τὸ ἀπρόοπτον τῆς ἁλώσεως. Οὕτω μὲν οὖν οἱ Φράγγοι τὴν Τζουρουλὸν ἐχειρώσαντο, καὶ τοὺς ἐν αὐτῷ (sic) Ῥωμαίους συνάμα τῷ Πετραλίφα δεσμώτας ἤγαγον εἰς Κωνσταντινούπολιν, καὶ πρὸς τοὺς οἰκείους ἀπημπόλησαν οὐ μετ' οὐ πολύ.

Ἔτι δὲ τοῦ ἄστεος πολιορκουμένου, ὡς εἴρηται, ὁ βασιλεὺς Ἰωάννης τριήρεις συσκευασάμενος, καὶ στράτευμα οὐκ ὀ-
21 λίγον παραλαβὼν |, κατὰ τῶν ἐναντίων ἐχώρει. Ἀπάρας γὰρ τῆς Νικομήδους, καὶ τὸν Χάρακα παριὼν, ἐπόρθησε τὴν Δακίβυζαν, καὶ κατέσχε προσέτι καὶ τὸ τοῦ Νικητιάτου φρούριον.

Ἐδυστύχησε δὲ τῷ τότε ἐν ταῖς τριήρεσιν, ἀπειροπολέμων ὄντων τῶν ἐν αὐταῖς, καὶ τοῦ Ἀρμενίου Ἰοφρὲ, ὃς εἰς τάξιν ἡγεμόνος ἐν ταύταις ἐτύγχανεν, ὀκνηρότερον διακειμένου περὶ τὸν πόλεμον. Προϋπῆρχε δὲ τὴν τῶν τριήρεων στρατηγίαν ἀνεζωσμένος ὁ Κοντοφρὲ, ἀνὴρ γενναῖος τὴν χεῖρα καὶ πνέων Ἄρην κατά τε χέρσον καὶ θάλατταν, δι' ὃ δὲ εἴρηκε πρὸς τὸν βασιλέα, ὡς οὐκ ἀντωπήσαιεν αἱ Ῥωμαϊκαὶ τριήρεις πρὸς τὰς Λατινικὰς, κἂν ὦσι πολλαπλασίους, παρεστάλη τῆς ἡγεμονίας, καὶ ὁ Ἰοφρὲ αὐτὴν διεδέξατο· καὶ ἡττήθη ὑπὸ τρισκαίδεκα τριήρεων, τριάκοντα ἐξάρχων αὐτὸς, καὶ τοσαύτας ἀπώλεσεν ὁπόσαι ἦσαν αἱ τῶν ἐναντίων· ἑκάστη γὰρ μίαν ἐκέρδησε λάφυρον.

Εἶχε μὲν οὖν οὕτω καὶ ταῦτα. Εἰρήνευον δὲ καὶ ὁ βασιλεὺς Ἰωάννης καὶ ὁ Ἀσὰν, καὶ τῇ συγγενείᾳ συνεδέδεντο, οὐκ ἀκριβῶς τοῦ Ἀσὰν τὰς συμφωνίας τηροῦντος· ἦν γὰρ ὅτε διὰ κέρδος μικρὸν, ταύτας παρέλυε. Τέως ἐν τῷ φανερῷ ἔστεργε τὴν ἀγάπην, καὶ τὰ τῶν φίλων ἔπραττεν. Ἐπεὶ δὲ ἡ

ἐξ Οὔγγρων σύζυγος τούτου ἐξ ἀνθρώπων ἐγένετο, ὥσπερ εἰρήκαμεν, ἠγάγετο εἰς γυναῖκα τὴν θυγατέρα τοῦ Ἀγγέλου Θεοδώρου, τὴν Εἰρήνην, παρ' οὐδὲν τὸ τοῦ αὐταδέλφου τοῦ πατρὸς αὐτῆς κῆδος θέμενος, ὅτι τῇ ἐκ παλλακίδος αὐτοῦ θυγατρὶ σύννευνος ἦν. Εἶχε δὲ ὁ Ἄγγελος Θεόδωρος παῖδας ἄρρενας δύο, Ἰωάννην καὶ Δημήτριον, καὶ θηλείας δύο, Ἄνναν καὶ τὴν ῥηθεῖσαν Εἰρήνην, μεθ' ἧς ὁ Ἀσὰν παῖδας ἐγέννησε τρεῖς, τὸν Μιχαὴλ, τὴν Θεοδώραν καὶ τὴν Μαρίαν.

Ἀπελύθη γοῦν διὰ τὸν τοιοῦτον γάμον ὁ Θεόδωρος τῶν δεσμῶν, καὶ συναινέσει τοῦ Ἀσὰν ἐγκρατὴς γενέσθαι ἧς ἦρχε πρότερον χώρας ἠθέλησε, καὶ τῆς Θεσσαλονίκης αὐτῆς. Καὶ δὴ ὀλίγους τοῦ Ἀσὰν προσλαβόμενος, κρύφα τὴν εἰς Θεσσαλονίκην μηχανᾶται εἴσοδον, εὐτελῆ ἀμφιασάμενος ῥάκια. Ἐπεὶ δὲ καὶ εἴσεισι καὶ ἐπεγνώσθη οἷς ἤθελεν, οὓς ὅτε εὐτυχῶν ἦν ἐφίλει τε καὶ εὐεργεσιῶν ἐνεπίμπλα, μεθ' ὧν καὶ τεθάρρηκε κατὰ τοῦ ἀδελφοῦ, καὶ οὐ πολλοῦ δεηθεὶς χρόνου, ἐγκρατὴς αὖθις τῆς Θεσσαλονίκης καὶ τῶν πέριξ χωρῶν καὶ πόλεων γέγονε· βασιλεὺς δὲ ὀνομάζεσθαι οὐκ ἠθέλησε, διὰ τὸ τῶν ὀφθαλμῶν πάθος, ὠνόμασε δὲ βασιλέα τὸν υἱὸν αὐτοῦ Ἰωάννην, καὶ τὰ βασιλικὰ παράσημα περιέθετο, καὶ ἐρυθροῖς γράμμασιν ὑπογράφειν διώρισεν, αὐτόν τε διέπειν τὰ κοινὰ, καὶ διεξάγειν τὰ τοῦ υἱοῦ. Τὸν δὲ ἀδελφὸν Μανουὴλ εἰς τὴν Ἀττάλου ἐξώρισεν, οὗ τὴν σύζυγον πρὸς τὸν πατέρα Ἀσὰν ἀνέπεμψεν· ὁ γὰρ Ἀσὰν τὸν πενθερὸν μᾶλλον, ἢ τὸν γαμβρὸν ἐφίλει καὶ περιεῖπεν, ὑπεραγαπῶν τὴν σύζυγον Εἰρήνην καὶ ὑπὲρ ὃ ἦν εἰκός.

Ὁ δὲ Μανουὴλ τῇ Ἀττάλου ἐλλιμενίσας, εὗρε τοὺς Πέρσας παρὰ προσδοκίαν χρησαμένους περὶ τοῦτον φιλανθρωπίᾳ. Ἐπεὶ δὲ εἰρήκει πρὸς τὸν βασιλέα Ἰωάννην τυγχάνειν αὐτοῦ τὴν ὁρμὴν, παρεχώρησαν τούτῳ ποιῆσαι κατὰ τὸ βουλητὸν, ἐφοδιασάμενοι προσηκόντως. Ἐκεῖθεν οὖν πρὸς τὸν βασιλέα ἀν-

ἔδραμε, καὶ ὁ βασιλεὺς περιχαρῶς αὐτὸν προσεδέξατο· δοὺς δὲ αὐτῷ χρήματα καὶ τριήρεις ἕξ, περὶ τὴν Μεγάλην Βλαχίαν ἀφῆκεν, ὅρκους φρικώδεις παρὰ τούτου λαβὼν, οἷος ἐκεῖνος συνέσεως πλήρης τυγχάνων καὶ ἀγχινοίας. Καταλαβὼν οὖν τὸν τῆς Δημητριάδος χῶρον ὁ Μανουὴλ, κἀκεῖθεν τοῖς μὲν τὴν ἑαυτοῦ παραδηλώσας ἔφοδον, τοὺς δὲ καὶ ὑποσχέσεσιν ὑποθέλξας, οὐ διὰ μακροῦ στράτευμα ἀθροίζει περὶ αὐτόν· ἦρξέ τε Φαρσάλων καὶ Λαρίσσης, καὶ Πλαταμῶνος. Συνῆλθε καὶ τοῖς ἀδελφοῖς, τῷ τε Κωνσταντίνῳ καὶ τῷ Θεοδώρῳ· ἐπεὶ δὲ συνῆλθον, πείθουσι τοῦτον ἐκστῆναι τοῦ βασιλέως Ἰωάννου, καὶ ἀ-
122.θετῆσαι τοὺς ὅρκους οὓς ἔθετο πρὸς αὐτόν. Ὁ δὲ, καὶ μὴ | βουλόμενος, ὡς ἔφασαν οἱ παρατυχόντες, συνήνεσεν αὐτῶν τῇ βουλῇ. Καὶ ἦσαν τὸ ἀπὸ τοῦδε συνδεδεμένοι οἱ ἀδελφοὶ, ἀρκούμενος ἕκαστος ταῖς μεμερισμέναις χώραις αὐτοῖς, καὶ μετὰ τῶν ἐν Πελοποννήσῳ καὶ Εὐρίπῳ Λατίνων ἔχοντες συμβάσεις εἰρηνικάς. Οὐ πολὺς παρέδραμε χρόνος καὶ ὁ Μανουὴλ ἐξ ἀνθρώπων ἐγένετο, μετάμελος, ὡς ἐλέγετο, τῶν πρὸς βασιλέα παραβασιῶν γεγονώς.

Θνήσκει δὲ καὶ ἡ βασιλὶς Εἰρήνη, γυνὴ σώφρων καὶ ἀρχικὴ, καὶ τὸ βασίλειον μεγαλεῖον ἐπιδεικνυμένη ἐν ἅπασιν· ἔχαιρε δὲ καὶ λόγοις καὶ σοφῶν ἠκροᾶτο μεθ' ἡδονῆς, ἀρετὴν ἐτίμα ὑπερβαλλόντως, ἀρχιερεῖς τε καὶ ἱερεῖς ὡς θεοῦ δεχομένη ἀπεικονίσματα, καὶ τὸ μοναχικὸν τάγμα ἔστεργε. Προηγήσατο δὲ τοῦ θανάτου αὐτῆς ἔκλειψις τοῦ ἡλίου περὶ τὸν Καρκῖνον ὁδεύοντος· ἀλλὰ καὶ κομήτης πρὸ μηνῶν ἓξ περὶ τὸ μέρος τοῦ βορρᾶ ἀνεφάνη, ἦν δὲ πωγωνίας, καὶ διήρκεσε μῆνας τρεῖς, οὐκ ἐν ἑνὶ τόπῳ, ἀλλ' ἐν διαφόροις φαινόμενος.

Μετὰ βραχὺ καὶ ὁ Βουλγάρων ἄρχων Ἀσὰν ἐξ ἀνθρώπων ἐγένετο, ἀνὴρ ἐν βαρβάροις ἄριστος ἀναφανείς· οὐ γὰρ ἐν τοῖς οἰκείοις μόνον, ἀλλὰ κἀν τοῖς ἀλλοτρίοις φιλανθρωπότερον διετίθετο, καὶ μάλιστα τοῖς ξένοις Ῥωμαίοις, φιλοτίμως χορηγῶν

τὰ σιτηρέσια. Ἐπεὶ οὖν ὁ Ἀσὰν ἐτεθνήκει, ὁ υἱὸς αὐτοῦ ὃν Καλλιμάνον ὠνόμαζον (ἐκ δὲ τῆς ἐξ Οὔγγρων αὐτῷ ἐγεννήθη) τὴν ἀρχὴν διετάξατο. Ἦν δὲ τούτῳ καὶ ἀδελφὴ, Θάμαρ ταύτῃ τὸ ὄνομα· ἐκ δὲ τῆς τοῦ Θεοδώρου θυγατρὸς τῷ Ἀσὰν τρεῖς παῖδες ἐγεννήθησαν, ἄρρην ὁ Μανουὴλ, καὶ θήλειαι ἡ Μαρία τε καὶ ἡ Ἄννα (1).

Ὁ μὲν οὖν Καλλιμάνος εἰς τὴν πατρικὴν ἀρχὴν καταστὰς, καὶ τὰς πρὸς τὸν βασιλέα Ἰωάννην συνθήκας ἀνενεώσατο, καὶ εἰρήνη ἦν μέσον αὐτῶν.

Τοῦ δὲ Μανουὴλ, τοῦ ἀδελφοῦ Θεοδώρου, τελευτήσαντος, τὴν ὑπ' αὐτὸν χώραν τῇ ἑαυτοῦ ὁ ἀνεψιὸς αὐτοῦ Μιχαὴλ προσήρμασε· καὶ ἦσαν ὅ τε Θεόδωρος καὶ ὁ ἐν τῇ Θεσσαλονίκῃ ὡς βασιλεὺς φημιζόμενος υἱὸς αὐτοῦ Ἰωάννης, καὶ ὁ θεῖος αὐτοῦ Κωνσταντῖνος, δεσπότης καὶ οὗτος καλούμενος, καὶ ὁ ἀνεψιὸς Μιχαὴλ, εἰρηνεύοντες.

Ὁ μέντοι βασιλεὺς Ἰωάννης, ἐπειδὴ ὁ Ἀσὰν τετελεύτηκε, καὶ μειράκιον ἦρχε τῶν Βουλγάρων, καὶ οὐκ εἶχεν ἐκεῖθεν ἀντίθεσιν, οὐδὲ ἤλπιζεν, ἐπεχείρησεν, ἀδείας δραξάμενος, καταλῦσαι τὴν ἐπιφημιζομένην κλῆσιν τῷ τοῦ Ἀγγέλου υἱῷ· καὶ πρῶτον διὰ μηνυμάτων ὑποποιεῖται τὸν πατέρα αὐτοῦ, καὶ παραυτὰ, οἷος ἐκεῖνος, ἀπροόπτως τοῖς πράγμασι χρώμενος, προσέρχεται τῷ βασιλεῖ Ἰωάννῃ, καὶ ὑποδέχεται αὐτὸν οὗτος ἀσμένως καὶ σὺν τιμῇ, θεῖόν τε τοῦτον ἀποκαλῶν, κἂν τῇ αὐτοῦ τραπέζῃ παραλαμβάνων συγκάθεδρον, καὶ φιλοφρονημάτων μεταδιδούς.

Ἐπεὶ γοῦν τοῦτον ἐν χεροῖν εἶχεν ὁ βασιλεὺς, ἔτυχε δὲ καὶ ταῖς Ῥωμαϊκαῖς τότε δυνάμεσι στράτευμα ἀξιόμαχον καὶ Σκυθῶν προστεθὲν, ὃ πρὸ βραχέος ὁ βασιλεὺς δώροις καὶ δε-

(1) Ὄπισθεν Θεοδώραν καὶ Μαρίαν λέγεις (Σ. περ.).

ξιώσεσι ποικίλαις ὑπεποιήσατο, καὶ τῆς τῶν Μακεδόνων ἀπέσπασε καὶ πρὸς τὰ ἑῷα μέρη γυναιξὶν ἅμα καὶ τέκνοις διαπεράσαι πέπεικεν, ἀπάρας τῆς ἕω ὁ βασιλεὺς, καὶ διαπεραιωθεὶς τὸν Ἑλλήποντον, ἔχων μεθ' ἑαυτοῦ τά τε Ῥωμαϊκὰ στρατεύματα καὶ τὰ Σκυθικὰ, χωρεῖ κατὰ τοῦ ἐν Θεσσαλονίκῃ φημιζομένου βασιλέως. Ἐπεὶ δὲ τὰ τῆς Θρᾴκης καὶ Μακεδονίας παρῆλθε, καὶ τὴν Χριστούπολιν παρέδραμε, καὶ τὸν Στρυμόνα, τῷ φρουρίῳ τῆς Ῥεντίνης προσέσχεν, ὑπό τινων φρουρουμένῳ τῶν Ἰωάννου· οἳ καὶ πρὸ τοῦ ἰδεῖν τὰ στρατεύματα, τῇ ἀκοῇ καταπλαγέντες, καταλιπόντες αὐτὸ πρὸς τὴν Θεσσαλονίκην ἔδραμον. Καὶ οἱ τοῦ βασιλέως ἔρημον ἀνδρῶν τοῦτο εὑρόντες, κατέσχον, καὶ φυλακὴν ἐγκατέστησαν.

Ὁ δὲ βασιλεὺς μετὰ τῆς στρατιᾶς ἐγγύς που τῆς Θεσσαλονίκης, ὡσεὶ σταδίους ὀκτὼ, τὴν σκηνὴν πήγνυσι (κῆπος τοῦ Προβατᾶ ἡ κλῆσις τῷ τόπῳ ἦν). Ἑλεπόλεις μὲν οὖν καὶ τὰ μηχανήματα στῆσαι κατὰ τῆς πόλεως οὐκ ἦν αὐτῷ εὐχερὲς, οὐδὲ ἤθελεν· ἐκδρομὰς δ' ἐποιεῖτο καὶ τὰ πέριξ ἐλήϊζε διὰ τῶν Σκυθῶν, οἳ καὶ πάντα λείαν ἐποίουν. Εἶχε δὲ καὶ τριήρεις, ὧν ἦρχεν ὁ Κοντοφρὲ Μανουήλ· ἔκκριτοι δὲ τῷ βασιλεῖ παρείποντο ἄνδρες, ὁ Τορνίκης Δημήτριος τὰ κοινὰ διέπων καὶ μεσιτεύων ταῖς ὑποθέσεσιν, ὁ Παλαιολόγος Ἀνδρόνικος τὴν τοῦ μεγάλου δομεστίκου περιεζωσμένος ἀξίαν, καὶ τὰ τῶν στρατευμάτων διεξάγων, καὶ ἄλλοι πλείους εἰς ἡγεμόνας ἀποτεταγμένοι, ὅ τε Ῥαοὺλ Ἀλέξιος πρωτοβεστιάριος ὢν, ὁ ἐπὶ τῆς
122 τραπέζης Νικηφόρος ὁ Ταρχανειώτης (1), | ὁ Κοντοστέφανος τὴν

(1) Κάτωθεν τοῦ περιθεωρίου ἀναγινώσκονται οἱ ἑξῆς στίχοι, ἄγνωστον εἰς τίνα ἀναφερόμενοι: Αὐχεῖ τὸ κέντρον ἐκ μέρους τῆς συζύγου,
καὶ θῶκον ἔσχε καὶ πρὸ τοῦ θρόνου θρόνον,
ἀδδηφάγος, πατρὶς δὲ τοῦτον ἐκφέρει,
μέσον τελοῦσα τῶν Νέων πολισμάτων.

τοῦ πρωτοσεβάστου ἔχων ἀξίαν, ὁ Πετραλίφας μέγας χαρτουλάριος, καὶ ἄλλοι τῶν ἐπιφανῶν οὐκ ὀλίγοι. Ὁ μὲν οὖν βασιλεὺς ὅσα ἦν εἰκὸς ἐποίει κατὰ τῆς πόλεως· ἀλλ' οὐδὲ οἱ ἐντὸς ἀπώκνουν ἐργάζεσθαι· καὶ γὰρ ἐκδρομὰς τῶν πυλῶν ἐξιόντες κατὰ τῶν τοῦ βασιλέως εἰργάζοντο.

Οὐ συχναὶ παρῆλθον ἡμέραι, καὶ τὸ τῶν Ἀταρίων ἔθνος κατὰ τῶν Μουσουλμάνων χωρῆσαν, τούτους νενίκηκε· καὶ ὁ περὶ τούτων λόγος φθάνει πρὸς βασιλέα διαμηνυθεὶς πρὸς τοῦ υἱέος αὐτοῦ, τοῦ βασιλέως Θεοδώρου· τοῦτον γὰρ ἀφῆκε περὶ τὰ μέρη τῶν Πηγῶν διατρίβειν, ἀφεὶς μετ' αὐτοῦ καὶ τὸν Μουζάλωνα μοναχὸν, ὃς καὶ μυστικὸς ἦν, ὅτε τοῖς κοσμικοῖς συνετάττετο, ἀνὴρ συνετὸς καὶ δραστήριος, καὶ περὶ τὰ βασιλικὰ πράγματα πολὺς, καὶ τὸν Λιβαδάριον Μιχαὴλ, μέγαν ἑταιρειάρχην τυγχάνοντα. Ὡς οὖν τῆς φήμης ὁ βασιλεὺς ᾔσθετο, σιωπὴν ἐπιτάξας τοῖς εἰς γνῶσιν ἐλθοῦσιν αὐτῆς, εἰς συμβάσεις μετὰ τοῦ Ἰωάννου χωρεῖ, πρέσβιν λαβὼν τὸν πατέρα τούτου, τὸν Ἄγγελον Θεόδωρον.

Δι' ἡμερῶν τοιγαροῦν τεσσαράκοντα συνετελέσθησαν αἱ σπονδαὶ, καὶ οἱ ὅρκοι προέβησαν, κατὰ μὲν βασιλείαν ὁ Ἰωάννης ἅπαντα ἀπεβάλετο, πρὸς δὲ τοῦ βασιλέως τῷ δεσποτικῷ τετίμητο ἀξιώματι. Ταῦτα ὁ βασιλεὺς διαπραξάμενος, καὶ δεσπότην καὶ ὑποχείριον εὔνουν καταστήσας τὸν βασιλέα λεγόμενον, καὶ ὅρκοις συνδήσας καὶ δώροις δεξιωσάμενος, καὶ χρήμασι τοὺς ὑπ' ἐκεῖνον φιλοφρονησάμενος, πρὸς τὴν ἕω παλινοστεῖ, καταλείψας μετὰ τοῦ υἱοῦ καὶ τὸν πατέρα Θεόδωρον.

Ἐπεὶ δὲ καὶ εἰς τὰ ἑῷα μέρη ἀφίκετο, τὴν χειμέριον ὥραν παραμείνας ἐν τῷ Νυμφαίῳ, εἶτα ἐκεῖθεν ἀπάρας ἦλθε περὶ τὴν Λάμψακον, κἀκεῖ τὸ θέρος διαβιβάσας καὶ τὸν τῆς ὀπώρας καιρὸν, ἐπεὶ καὶ ὁ χειμὼν ἤρξατο, μεταβὰς περὶ τὰ τῶν Πηγῶν μέρη ἐχώρει. Μεγίστου δὲ χειμῶνος πεπείραται καθ' ὁδὸν, ἀρξαμένου μὲν ἐπὰν ὁ βασιλεὺς ἐσκήνωσεν εἰς τὴν Σι-

γρηνὴν, ἡμέρας δὲ δύο τῇ τε δριμύτητι τοῦ ψύχους καὶ τῇ φορᾷ τῆς χιόνος τεταλαιπώρηκεν, ἕως καὶ εἰς τὸ τῶν Πηγῶν ἄστυ κατήντησε. Πολλοὶ δὲ καθ' ὁδὸν ἀπέλιπον τὴν ζωήν· ὑπὲρ γὰρ τοὺς τριακοσίους, ὡς οἱ εἰδότες ἔλεγον, κατεχώσθησαν ὑπὸ τῆς χιόνος· καὶ οὐδεὶς τῶν ἰδόντων ἔλεγε τοσοῦτον γινώσκειν χειμῶνα. Ἦγε δὲ τότε ὀκτωκαιδεκάτην μὴν ὁ δεκέμβριος, ἔτος ἦν ἑξακισχιλιοστὸν ἑπτακοσιοστὸν καὶ τεσσαρακοστὸν πρῶτον.

Ὁ μὲν οὖν βασιλεὺς ἐκεῖσε διημερεύσας, ἕως καὶ τὸ πολὺ τοῦ χειμῶνος ἐλώφησεν, ἄπεισιν εἰς τὸ Νύμφαιον, καὶ ἦν αὐτόθι μέχρι καὶ ἔαρος. Τῶν μέντοι Περσῶν ὑπὸ τῶν Ἀταρίων καταλελυμένων, σουλτάνος δὲ ἦρχεν αὐτῶν ᾧ Ἰαθατίνης ἡ κλῆσις, τοῦ Ἀζατίνη υἱὸς, φαῦλος ἐξ ἀγαθοῦ· πότοις γὰρ ἔχαιρε καὶ ἀσελγείαις, καὶ κοίταις ἀλλοκότοις τε καὶ ἀτόποις, καὶ ἀνθρωπίσκοις συνῆν ἀεὶ, οὐδὲ λόγους εἰδόσιν, οὐδὲ φύσιν ἀνθρώπινον τὸ σύνολον. Οὗτος, ἐπεὶ πεπείραται μάχης Ἀταρικῆς, καὶ ἥττηται, καὶ ἐν στενῷ τῶν πραγμάτων ἐγένετο, στέλλει πρέσβεις πρὸς τὸν βασιλέα Ἰωάννην, βουλῆς ἀξιῶν ἀρίστης τυχεῖν, ὅπως ἂν ἀποτρέψαιτο τὸ ἀντίπαλον, σωτηριῶδες τοῦτο φάσκων τυγχάνειν καὶ τοῖς Ρωμαίοις· τῶν γὰρ Μουσουλμάνων ἀπολωλότων, ἄνετος τοῖς ἐναντίοις ἡ κατὰ Ρωμαίων ἔφοδος. Ὁ γοῦν βασιλεὺς Ἰωάννης, δεινὸς καθεστὼς ἐν τοῖς τοιούτοις, δέχεται τοὺς πρέσβεις ἀσμένως, καὶ συνελθεῖν ἡρετίσατο τῷ σουλτάνῳ· ἡνωμένων γὰρ τῶν Τούρκων τε καὶ Ρωμαίων, δύο μεγίστων ἀρχῶν, εἰς δειλίαν εἶναι τοῖς πολεμίοις. Καὶ δὴ συνῆλθον ἄμφω ὅ τε βασιλεὺς Ἰωάννης καὶ ὁ σουλτάνος ἐν τῷ κάστρῳ Τριπόλεως, ὅπου καὶ ὁ Μαίανδρος ρεῖ ποταμός. Γέφυραν οὖν οἱ τοῦ σουλτάνου ἐσκευακότες, εὐχερῆ τοῖς βουλομένοις τὴν περαίωσιν ἐποιήσαντο. Ἀλλήλους οὖν φιλοφρόνως δεξιωσάμενοι ὁ βασιλεύς τε καὶ ὁ σουλτάνος, ἔτι δὲ καὶ τοὺς ὑφ' ἑκάτερον ἑκάτερος προὔχοντας, καὶ τὰς συνθήκας

βεβαιωσάμενοι (1), ἵνα ὁμοῦ τοῖς ἐναντίοις μάχοιντο, ὁ μὲν βασιλεὺς ἀπῆλθεν εἰς Φιλαδέλφειαν, ὁ δὲ σουλτάνος εἰς τὸ Ἰκόνιον, ἔνθα ἐκέκτητο τὰ βασίλεια. Τότε μὲν καὶ ἄμφω ἠρέμησαν· ἡ γὰρ τῶν Ἀταρίων στρατιὰ καθ' ἑαυτὴν ἔμεινεν (ἐν τοῖς ἑαυτῶν καὶ γὰρ ἠσχολοῦντο πράγμασι).

Μετ' οὐ πολὺ δὲ καὶ τὸν ἐν Θεσσαλονίκῃ δεσπότην τὸ χρεὼν εἰλήφει, καὶ ὁ ἀδελφὸς αὐτοῦ Δημήτριος πρεσβείαν στέλλει πρὸς βασιλέα τοῦ τε δεσποτικοῦ ἀξιώματος καὶ τῆς χώρας κληρονόμος εἶναι τοῦ ἀδελφοῦ. Ἀλλ' ἦν οὗτος οὐκ ἀδελφὰ ἐκείνῳ φρονῶν, ἀλλὰ πολὺ ἀπεῖχεν ἐκείνου· ἐκεῖνος γὰρ εὐσεβείᾳ καὶ εὐλαβείᾳ καὶ σωφροσύνῃ διέζη, καὶ οὐκ ἦν ἡμέρα τοῦ ἔτους ὅλου, καθ' ἣν μὴ τῆς θείας ἱεροτελεστίας ἐπηκροάσατο, εἰ μή τις ἐκώλυε νόσος, προσεῖχε δὲ παννυχίσι καὶ ὑμνῳδίαις, ὡμίλει δὲ] καὶ Ναζιραίοις διηνεκῶς, ἐπιποθῶν καὶ αὐτὸς τυχεῖν τούτων φ. 1 τοῦ σχήματος. Ὁ δὲ ἀδελφὸς Δημήτριος, ἐξ ἐναντίας εἶχε τοῦ τρόπου, καὶ ἀνάγωγος ἦν, ἄλλαις τε κακίαις σχολάζων, καὶ μοιχείαις ἐμμολυνόμενος, ὡς καί ποτε ἐπ' αὐτοφώρῳ καταληφθεὶς παρὰ τοῦ συζύγου τῆς μοιχευομένης γυναικὸς, βουληθεὶς ἀποδράσαι, ἐξ ὕψους πεσὼν, ἐπλήγη τε τὸν γλουτὸν, καὶ χωλὸς ἐτύγχανεν ὑποσκάζων καὶ μὴ δυνάμενος βηματίζειν ὀρθῶς· διὰ ταῦτα οὐκ εἰς μακρὸν ἀπώνατο τῆς ἀρχῆς. Ὁ γὰρ βασιλεὺς Ἰωάννης μηδαμόθεν τότε πολέμιον ὑφορώμενος (οἱ γὰρ Ἄταροι τῷ Χαλιφᾷ μάχην ἐπῆγον, ἐάσαντες τὸν τοῦ Ἰκονίου σουλτάνον), θέρους ὥρᾳ τὸν Ἑλλήσποντον διαπεραιοῦται, καταλιπὼν τὸν υἱὸν Θεόδωρον εἰς τὴν ἕω.

Ἔτυχε δὲ πρὸ καιροῦ τὸν πατριάρχην Γερμανὸν τὰ τῇδε καταλιπόντα, πρὸς τὰς θείας ἀπᾶραι σκηνὰς, ὁσίως βιώσαντα καὶ καλῶς τὴν ποίμνην ἐπὶ χρόνους ιέ ποιμάναντα· ἐγένετο

---

(1) Ἐν περιθεωρίῳ δι' ἐρυθρᾶς βαφῆς: « λέγεται δ' ὡς καὶ αὐτοῦ σέβους ἐκοινώνησαν. »

δὲ μετ' αὐτὸν πατριάρχης Μεθόδιός τις μοναχὸς, ἡγούμενος τῆς κατὰ Νίκαιαν τοῦ Ὑακίνθου μονῆς, ἀλλ' οὗτος τρεῖς καὶ μόνους μῆνας ἐπαπολαύσας τοῦ θρόνου, τὸ ζῆν ἐξεμέτρησεν. Ἐστέρετο γοῦν ἀρχιερέως ἡ ἐκκλησία (οὐ γὰρ εἶχεν ὁ βασιλεὺς εὐχερῶς τὸν ἄξιον ἐφευρεῖν, μᾶλλον δὲ τὸν τούτῳ ἀρέσκοντα, οἱ γὰρ κρατοῦντες τοὺς πρὸς ἀρέσκειαν ἐν τούτοις προσίενται), διῆλθε τοίνυν χρόνος συχνὸς, καὶ οὐκ ἦν ὁ διεξάγων τὸ ποίμνιον.

Ὁ μὲν οὖν βασιλεὺς εἰς τὴν Δυτικὴν πεποίητο τὴν πορείαν, τὰς ἐκεῖσε χώρας καὶ πόλεις ἐπισκεπτόμενος· ἕως γὰρ τοῦ Ζίχνα, ὅ πλησίον ἐστὶ τῶν Σερρῶν, τότε ἐδέσποζεν. Ἦρχε δὲ τῶν Βουλγάρων ὁ τοῦ Ἀσὰν υἱὸς, δώδεκα ἐτῶν ὤν, ὁ Καλλιμάνος. Ἐπεὶ γοῦν περὶ τὰ τοῦ Κισσοῦ μέρη ὁ βασιλεὺς γένοιτο διημερεύσας, τῇ ἐπαύριον τῆς ὁδοῦ εἴχετο, φθάνει περὶ τὸν ποταμὸν Εὗρον, ὅν καὶ Μαρίτζαν καλοῦσι, πλησίον τῆς τοῦ Βηρὸς μονῆς, κατὰ τὸ μέσον τοῦ ποταμοῦ γενομένου τοῦ βασιλέως, (ἦν γὰρ ποσὶν ἵππων τῷ τότε βατὸς, ἐπείπερ θέρους τέλος ἐτύγχανε φθίνοντος, τετάρτη τοῦ σεπτεμβρίου) μήνυμα καὶ γραφὴ παρὰ τοῦ τὴν δημόσιον ἀρχὴν διέποντος τῆς Ἀχριδοῦ, ὡς τεθνήκει ὁ Καλλιμάνος· ὡς μέν τινες ἔφασκον, νόσῳ τοῦτο παθὼν, ὡς δ' ἕτεροι, πόματι ἐσκευασμένῳ πρὸς τῶν ἐναντίων πρὸς μόρον διέφθαρται. Ὁ δὲ βασιλεὺς ταῦτα μαθὼν τοῦ πρόσω εἴχετο, καὶ τάχος τὴν Χριστούπολιν παραμείψας, φθάνει πρὸς τὴν Φιλίππου· κἀκεῖσε σκέψιν ποιεῖτο μετὰ τῶν λογάδων, εἰ δεῖ προσβαλεῖν τοῖς τῶν Βουλγάρων καὶ χειρώσασθαί τινα τῶν παρ' αὐτοῖς, καὶ εἰ εὐχερές ἐστιν ἁλῶναι τὸ ἄστυ τὸ τῶν Σερρῶν. Τινὲς μὲν οὖν ἀπηγόρευον τὴν κατὰ τῶν Βουλγάρων μάχην, ὡς μὴ ἀξιόμαχον στρατὸν ἐπαγομένῳ τῷ βασιλεῖ καὶ τὸ ἄστυ τῶν Σερρῶν ἄμαχον, τῆς γῆς ὑπερκείμενον καὶ μηδὲ ἑλεπόλεις πτοούμενον, προσβαλεῖν δὲ καὶ ἀποκρουσθῆναι, αἰδὼς τῇ τῶν Ρωμαίων ἀρχῇ· ἀλλὰ καὶ τὸ πρὸς μάχην παροτρύναι

Βουλγάρους ἐφησυχάζοντας, οὐ συμφέρον. Ὁ δὲ Παλαιολόγος Ἀνδρόνικος ὁ μέγας δομέστικος, τὰ ἐναντία τῷ βασιλεῖ συνεβούλευεν, ἀποπειρᾶσθαι χρὴ τῶν Σερρῶν, καὶ εἰ μὲν κρατήσομεν τούτου, φήσας, μᾶλλον τὰ τῶν Βουλγάρων ταπεινωθήσεται, καὶ εἰς ἀγάπην εὐχερέστερον νεύσειεν, ἐπεὶ ἐκποδῶν ὁ κυριεύων αὐτῶν· μέλλει δὲ καὶ βρέφος ἄρξαι τούτων ὁ ἐκ τῆς τοῦ Ἀγγέλου Εἰρήνης τῷ Ἀσὰν υἱὸς Μιχαήλ· εἰ δὲ μὴ περιγενώμεθα τοῦ ἄστεος, τί τὸ ζημίαν ἐπάγον τῇ τῶν Ῥωμαίων ἀρχῇ; λαβόντες γὰρ διάπειραν, ἠρεμήσομεν, καὶ διαπρεσβευσόμεθα πρὸς Βουλγάρους, κἀκεῖνοι εὖ οἶδα ὅτι δέξονται τὴν πρεσβείαν ὑπὸ βρέφους ἀρχόμενοι, ὃ τῶν πρὸς μάχην οἶδεν οὐδέν, ἕκαστος δὲ τὰ τῆς εἰρήνης φιλεῖ, τῆς ἀναπαύσεως ἐφιέμενος.

Ἄριστα ἔδοξε ταῦτα τῷ βασιλεῖ, καὶ τῆς πρὸς τὰς Σέρρας φερούσης ἥψατο· ἐγγὺς δὲ γενόμενος ἐπήξατο τὰς σκηνάς. Ἐπεὶ δὲ ἀξιομάχου στρατοῦ οὐκ ἦν εὐμοιρῶν, στρατηγίᾳ καὶ μεθοδείᾳ ἀπεπειρᾶτο τοῦ ἄστεος. Ἐπεὶ δὲ ἡ τῶν Σερρῶν πόλις μὲν ἦν πάλαι μεγίστη, ὁ δὲ Βούλγαρος Ἰωάννης ταύτην παραλαβών, μετὰ τῶν λοιπῶν τῆς Μακεδονίας καὶ αὐτὴν κατέστρεψεν, ὡς κώμη τότε ἐτύγχανε, τῆς ἀκροπόλεως τετειχισμένης καὶ ἠυτρεπισμένης δέξασθαι πόλεμον. Ἦρχε δὲ αὐτῆς Βούλγαρος, Δραγωτᾶς τὴν κλῆσιν, εἰς Μελενίκον τὰς οἰκήσεις ποιούμενος. Ἐπεὶ οὖν ἡ κάτω πόλις Σερρῶν ἀτείχιστος ἦν (λίθοις γὰρ μόνοις ἀσβέστου δίχα τὰ τεθραυσμένα μέρη περιεφράττετο), τοὺς ἐπὶ μισθῷ τοῖς στρατιώτας δουλεύοντας συναθροίσας ὁ βασιλεύς, οὓς καὶ τζουλούκωνας ἡ χυδαία καλεῖ γλῶττα, κρατῆσαι ταύτης ἠρέθισεν, ἐπεὶ τῶν ἀναγκαίων ἐσπάνιζον, καὶ οἴκοθεν πρὸς τὸ ἔργον παρεκινεῖτο. Τόξα τοίνυν λαβόντες καὶ σπάθας, καὶ ἄλλως καθὼς ἠδυνήθησαν ὁπλισάμενοι, | κατὰ φ. 123
τῆς χώρας χωροῦσι, καὶ ἐν ὥραις οὐχὶ πολλαῖς ἐντὸς ἐγένοντο, καὶ σκυλεύουσι τὰ παρευρεθέντα. Οἱ δὲ ἐντός, ὅσοι μὴ ἔφθα-

σαν εἰς τὴν ἀκρόπολιν ἀναδραμεῖν, ἱκέται πρὸς τὸν βασιλέα προστρέχουσιν. Ἀλλὰ καὶ ὁ Δραγωτᾶς ὡς εἶδε τὴν κάτω χώραν ἁλοῦσαν, ἔμαθε δὲ καὶ τὸν τοῦ δεσπότου αὐτοῦ θάνατον, οὐκ ἐπὶ πολὺ καρτερήσας, διαπρεσβεύεται πρὸς τὸν βασιλέα, καὶ τὸ ἄστυ εὐθὺς τὸν βασιλέα ἐφήμιζεν· ὁ δὲ Δραγωτᾶς λαμπρὰν ἐνεδύσατο ἐσθῆτα, καὶ πλῆθος χρυσῶν ἐδέξατο, καὶ ὑποσχέσεις ἀγαθὰς ὑπὲρ τοῦ Μελενίκου ἐποίησεν.

Ἄπεισι τοίνυν ἐς Μελενίκον, δέλεαρ ὥς τι προβεβλημένος δι' ὧν τε ἤκουσε καὶ δι' ὧν εὐηργέτητο, καὶ διεγείρει τοὺς ἐκεῖ πάντας προδοῦναι τὸ ἄστυ τῷ βασιλεῖ, ἐν τῷ φανερῷ μὲν οὐ ταῦτα λέγων, κρύφα δὲ τοῖς πλείστοις περὶ τούτου κοινολογούμενος. Ἐπεὶ δὲ ὁ τὴν ἡγεμονίαν τοῦ Μελενίκου πεπιστευμένος, Λιτοβόης ὄνομα, τῇ κλίνῃ κατέκειτο ταῖς τῶν ποδῶν ἀλγηδόσι κατατεινόμενος, ἄδεια ἦν ἑκάστῳ πράττειν τὸ βουλητόν. Ἀλλὰ καὶ ὁ Μαγκλαβίτης Νικόλαος, (εἷς ἦν τῶν περιφανεστέρων ἐν τοῖς τοῦ Μελενίκου οἰκήτορσιν), ἀνὴρ δραστήριος καὶ δεινὸς ἐν ταῖς τῶν πραγμάτων περιπετείαις συμβάλλεσθαι, οὗτος φωράσας τὰ τοῦ Δραγωτᾶ, καὶ γνοὺς ὡς δυνηθείη τὰ ὑπεσχημένα τῷ βασιλεῖ διαπράξασθαι, τὸ πλῆθος ὑπαγαγὼν, τοῦ κρύφα λέγειν ἀποστὰς, εἰς τὸ φανερὸν τοῖς πᾶσιν ὑπέθετο τὰ συνοίσοντα. Εἴρηκε γάρ, « ὡς ἡμῖν ἐγένετο προσταλαιπωρῆσαι τῇ παιδὸς τοῦ Καλλιμάνου ἀρχῇ, ἐλπίζουσιν, εἰς μέτρον φθάσαντος ἡλικίας αὐτοῦ, ἀμοιβὰς εὑρεῖν τῆς κακοπαθείας· ἐπεὶ δὲ ἀπετύχομεν τούτου, βρεφύλλιον δὲ ἄλλο πρόκειται εἰς τὴν τῶν Βυλγάρων ἀρχὴν, ἀνοηταίνοντες ἂν εἴημεν λίαν, εἰ πάλιν πρὸς ἄλλας δυσπραγίας ἑαυτοὺς ἐπιδοίημεν, ἀδέσποτοι διατελεῖν τὸν βίον ὅλον αἱρούμενοι, ὑφ' οὗ πολλὰ καὶ μείζω δεινὰ φύεται. Ἀλλ' ἐπεὶ βασιλεὺς ἡμῖν ὁ τῶν Ῥωμαίων προσήγγισε, δεῖ τούτῳ ἑαυτοὺς ὑποτάξαι, δεσπότῃ πιστῷ, καὶ εἰδότι καὶ τὸν ἀγαθὸν καὶ τὸν μὴ τοιοῦτον, καὶ δίκαιον ἐν ἡμῖν ἔχοντι· τῆς γὰρ τῶν Ῥωμαίων ἡμεῖς ἀρχῆς, εἰ καὶ οἱ Βούλ-

γαροι πρὸς ὀλίγου τοῦ τόπου ἐκράτησαν· ἡμεῖς δὲ ἐκ Φιλιπ-πουπόλεως ὁρμώμεθα, Ῥωμαῖοι τὸ γένος καθαροί· ἀλλὰ καὶ ἀπὸ τῶν Βουλγάρων εἴ τις ἐθέλει σκοπεῖν, ἐν ἡμῖν δικαιοῦται· ὁ γὰρ υἱὸς αὐτοῦ, Θεόδωρος ὁ βασιλεὺς, τοῦ Ἀσὰν ἐπὶ θυγατρὶ γαμβρὸς καὶ ἡμέτερος κατὰ κληρονομίαν δεσπότης. Τούτων οὖν χάριν, τὰ πολλὰ τῶν λεγομένων καταλιπόντες, χρὴ προσδραμεῖν καὶ ὑποκλῖναι τοὺς αὐχένας τῷ τῆς δουλείας τούτου ζυγῷ.»

Ταῦτα εἰρηκὼς, ἔπεισε πάντας γενέσθαι τοῦ βασιλέως· καὶ δὴ πρέσβεις στείλαντες, συμβάσεις μετὰ τοῦ βασιλέως πεποίηνται· χρυσόβουλλος γοῦν τῷ βασιλεῖ τῶν αἰτήσεων περιληπτικὸς γεγενημένος ἐπεδόθη τοῖς ἐκ τοῦ Μελενίκου πρέσβεσιν, ὃν καὶ ἀποσταλῆναι προσέταξε τοῖς οἰκήτορσι Μελενίκου. Καὶ μετ' οὐ πολὺ ὁμοθυμαδὸν ἐκεῖθεν ὑπὲρ τοὺς πεντακοσίους ἄνδρας εὐσταλεῖς τε καὶ ἔντιμοι, αἰδοῦς καὶ τιμῆς κἀκ τῆς θέας μόνης ἄξιοι ἔκ τε Στρατιωτῶν καὶ τῶν ἄλλων κρειττόνων πρὸς βασιλέα ἀφίκοντο, σκηνούμενον περὶ τόπον Βαλαβίσδα ὀνομαζόμενον.

Τότε καὶ τὰ πέριξ ἅπαντα προσῆλθον τῷ βασιλεῖ, Στενίμαχός τε καὶ Τζέπαινα, καὶ ὅσα ἄλλα τῷ τῆς Ῥοδόπης ὄρει παρακείμενα πολίχνιά τε καὶ κωμοπόλεις ὑπόφορα τούτῳ γεγένηνται. Καὶ ὅρος ἦν αὐτῷ καὶ Βουλγάροις, Εὖρος ὁ ποταμὸς, ἐκ δὲ τοῦ πρὸς βορρᾶν μέρους Στούμπιόν τε καὶ Χοτοβὸς, ὀχυρὰ φρούρια, καὶ χῶρος ὁ τοῦ Βελεβουσδίου, Σκόπιά τε καὶ Βελεσὸς, καὶ μέχρι Πριλάπου καὶ τῶν Πελαγονίας ὁρίων, Νευστάπολίς τε καὶ Προύσακος, τὰ πάντα ὑπῆρξε τῷ βασιλεῖ ὑποχείρια. Καὶ σπονδαὶ ἐπὶ τούτοις τῶν Βουλγάρων τῷ βασιλεῖ ἐγεγόνεισαν, ἀρκεῖσθαι τούτοις καὶ μόνοις τοῦτον, καὶ μὴ περαιτέρω κατεπεμβαίνειν.

Τί τὸ ἐπὶ τούτοις; Πρὸς βουλήσεως τῷ βασιλεῖ ἦν πρὸς τὴν Ἕω ἐπαναζεῦξαι· ἀπῄτει γὰρ τοῦτο καὶ ὁ καιρὸς, περὶ τὰ

μέσα τοῦ νοεμβρίου τελῶν· ἀλλά τις λόγος χρηστὸς ἐνεπόδιζε τὴν ὁρμήν. Οἱ γὰρ Θεσσαλονικεῖς μηκέτι στέγειν ἔχοντες τὰς τοῦ δεσπόζοντος αὐτῶν Δημητρίου, τοῦ υἱοῦ τοῦ Ἀγγέλου, ἀδιαφορίας, βουλεύονται κατ' αὐτοῦ, ὧν ὀνομαστοὶ καὶ γνώρι- 4.μοι ὁ Σπαρτηνὸς | ἦσαν καὶ ὁ Καμπανὸς, καὶ ὁ Ἰατρόπουλος, καὶ Κουτζουλάτος, καὶ τῶν ἐπισήμων ὁ Λάσκαρις Μιχαὴλ, καὶ ὁ Τζιρίθων, ὅν καὶ [μέγαν χαρτουλάριον] ὁ βασιλεὺς τετίμηκεν. Ἕνα γοῦν τούτων τὸν Καμπανὸν οἱ πάντες συσκευασάμενοι ἐς τὸν αὐτοκράτορα Ἰωάννην ἐκπέμπ[ουσι, πρό]φασιν μὲν ἔχοντα πραγματείας, τῇ δ' ἀληθείᾳ κοινοῦ χρυσοβούλλου τῶν ἀνέκαθεν προσαρμοσάντων τῇ πόλει ἐθίμων τε καὶ δικαίων περιεκτικὸν, καὶ τῆς τῶν ἐποίκων ἐλευθερίας παρεκτικόν. Ὁ μὲν οὖν βασιλεὺς πάντα τε τούτοις κατὰ σκοπὸν ἐξετέλεσε, καὶ δωρεῶν ὑποσχέσει τοῖς τῇ πράξει ὑπηρετήσουσι καὶ ἐγγράφους τίθησι. Ταῦτα οἰκονομήσας ὁ βασιλεὺς τῶν τοῦ Μελενίκου χωρίων ἀπάρας, πρὸς τὴν Θεσσαλονίκην ἐφέρετο, πρότερον ἐξαποστείλας πρὸς τὸν Δημήτριον πρέσβεις, ὡς ἂν κατὰ τὰς συνθήκας ἀφίκοιτο εἰς αὐτόν. Ὁ δὲ (οὐδὲ γὰρ εἶχε νοεῖν οἴκοθεν) τοῖς ἐπιβούλοις συμβούλοις χρώμενος, οἴκοι μένειν ἐπείθετο· σκευωρίαν γὰρ ἔφασκον τὴν τοῦ βασιλέως μετάκλησιν.

Συνέβη δέ τι ὅπερ ὡς ἥδυσμα παραθήσω τῷ λόγῳ. Τὸν Καμπανὸν (ἕνα δὲ τούτων τῶν συνιστόρων τοῦ δόλου ἡ ἱστορία παρέστησεν) ἀπήγγειλάν τινες ὡς ἐκ βασιλέως ἐπανέζευξε, μὴ ὑπὲρ τοῦ Δημητρίου φρονεῖν· καὶ ὅς παρέστη τῷ Δημητρίῳ, καὶ κατηγορεῖτο ὡς ῥαδιουργεῖ κρύφα, καὶ τοῦ λαοῦ ἀποπειρᾶται, καὶ πρὸς βασιλέα πέμπει γραφὰς, καὶ μυστηριώδεις λόγους διαμηνύεται· καὶ ἦν πρὸς τῇ ἐξετάσει ὁ Καμπανός. Ὁ γοῦν Σπαρτηνὸς, συμμύστης ὢν τούτῳ τῶν πραττομένων, περὶ τῶν τοιούτων ἀκηκοὼς, τρέχει ἐκεῖσε μετὰ σπουδῆς, «καὶ τί, φησί, περὶ τοῦδε τοῦ ἀλιτηρίου κατηγοροῦσί τινες, δέσποτα; ὅς, εἰ ἐλεγχθείη, πολλῶν θανάτων κριθείη ἂν ἄξιος.» Καὶ ὁ

Δημήτριος (ἐθάρρει γὰρ τούτῳ ὡς πιστῷ) «προδότην τοῦτον Σπαρτηνέ, φασὶν εἶναι.» Ὁ δὲ παίει τὸν Καμπανὸν κατὰ τῆς σιαγόνος, καὶ λαβόμενος τοῦτον τῆς γενειάδος «ἐγώ, φησίν, εἰς τὸν ἐμὸν οἶκον ἀπαγαγὼν τοῦτον, δέσποτα, ἐτασμοῖς ἀναγκάσω ἔκφορα ποιῆσαι τὰ κρύφα ῥαδιουργούμενα.» Ταῦτα εἶπε, καὶ τὸν Καμπανὸν παραλαβὼν, εἰς τὴν οἰκίαν ἐβάδισε. Τὸν μὲν οὖν Καμπανὸν κλίνη εἶχε καὶ ἀνάπαυσις· ὡς δέ τινες ἔφασαν, ἀσκὸν διαφυσήσας ὁ Σπαρτηνὸς καὶ πληρώσας πνεύματος, εἶτα δεσμεύσας ὡς ἂν κατέχοι τὸ πνεῦμα ἐντὸς, ἀπαιωρήσας ἔτυπτε ῥάβδοις, τάχα τὸν Καμπανὸν ἐτάζων ἀποκαλύψαι τὰ κρύφια. Ἐπεὶ δὲ ἡ ἀρκοῦσα ὥρα παρῆλθεν ἡ τὸν ἄξιον ἐτασμὸν δεδυνημένη ποιήσασθαι, ὡς εἶχε ποδῶν ὁ Σπαρτηνὸς ἀφίκετο πρὸς τὸν δεσπότην, καί φησι «δέσποτα, ὅρκῳ σὲ πιστώσω τὸ πρᾶγμα· μὰ τὸν σὸν καὶ ἡμῶν ἁπάντων Δημήτριον, τὸν κηδεμόνα Θεσσαλονίκης (οὗτος δὲ ὁ μείζων ὅρκος παρὰ Θεσσαλονικεῦσι), τοιοῦτός ἐστιν ὁ Καμπανὸς, ὁποῖός περ ὁ Σπαρτηνὸς, καὶ οὕτω διάκειται περὶ σὲ καθάπερ δὴ καὶ ὁ Σπαρτηνὸς, ὃν ἀνθρώπων ἁπάντων πλέον σὲ φιλοῦντα ἐπέγνωκας.» Οὕτως ὁ Σπαρτηνὸς τὴν μέλλουσαν φοραθῆναι (sic) ῥαδιουργίαν οἰκονομικῶς διεσκέδασεν.

Ὁ μὲν οὖν βασιλεὺς Ἰωάννης συνηθροικὼς τὸν στρατὸν, ἐξ ὀρθοῦ πρὸς τὴν Θεσσαλονίκην χωρεῖ· πολιορκῆσαι μὲν οὖν οὐκ ἦν αὐτῷ, (οὐ γὰρ εἶχε τὰς δυνάμεις ἐπὶ τούτῳ ἀρκούσας), πρεσβείαν δὲ ἐποίει καὶ ἐζήτει ἐξελθεῖν πρὸς αὐτὸν τὸν Δημήτριον, κατὰ τοὺς ὅρκους, καὶ ἀγορὰν ἔξω τῆς Θεσσαλονίκης ποιῆσαι, ὡς ἂν ἔχοιεν ὠνεῖσθαι τὰ χρειώδη τὰ στρατεύματα. Ὁ δὲ τοῖς ἐπιβούλοις συμβούλοις χρώμενος, οὐδέν τι τούτων ποιῆσαι παρεχωρεῖτο. Ὀλίγων δὲ ἡμερῶν παραδραμουσῶν, ὀλίγου τινὸς στρατεύματος πλησίον ἱσταμένου τῆς παρὰ τῇ θαλάττῃ πύλης Μικρᾶς τῆς καὶ ἐπονομαζομένης, διὰ τὸ μὴ ἀπροόπτως ἐξελθεῖν τινας τῆς πόλεως καὶ λύμην ἐργάσασθαί τι-

σι τῶν ἐκ τοῦ στρατοῦ, βοὴ ἐξαίφνης ἐγένετο, ἤνοικται ἡ πόλις (γρ. πύλη) παρά τινων τῶν ἐντὸς, καὶ τῇ βοῇ συνείπετο ἡ παραφυλάττουσα φάλαγξ, καὶ σύμπαν τὸ στράτευμα μετὰ τοῦ κρατοῦντος ἐφοίτα· καὶ εὐθὺς εἶχε πάντας τοὺς τοῦ βασιλέως Θεσσαλονίκη ἐντός. Ὁ δὲ βασιλεὺς ἔστη παρὰ τὴν πρὸς ἀνατολὰς βλέπουσαν πύλην τῆς πόλεως· καὶ ἡ τοῦ Δημητρίου ἀδελφὴ Εἰρήνη, ἡ τοῦ Βουλγάρων Ἀσὰν γαμετὴ, γονυπετοῦσα μὴ παθεῖν τὸν ἀδελφὸν αὐτῆς τῶν ὀφθαλμῶν στέρησιν, (ὁ δὲ Δημήτριος φθάνει εἰς τὴν ἀκρόπολιν ἀναβὰς), ἀσφάλειαν δὲ λαβοῦσα ὡς οὐκ ἀπολέσει οὗτος τοὺς ὀφθαλμοὺς, τρέχει παρὰ
4r. τὸν ἀδελφὸν καὶ πρὸς τὸν βασιλέα τοῦτον ἤγαγεν. | (Ἦν δὲ φέρων ὁ) Δημήτριος τὴν ἡλικίαν τοῦ μείρακος, μήπω χνοάζων τὸ γένειον, ὡραῖος τὸ εἶδος καὶ τὴν φυήν. Τετίμηκε δὲ [ταύτην] ὁ βασιλεύς· ὡς γὰρ ἀπέβη αὕτη τοῦ ἵππου, καὶ ὁ βασιλεὺς τηνικαῦτα τοῦ οἰκείου ὀχήματος ἀποβὰς, πεζὸς ἵστατο [σὺν] αὐτῇ.

Ἡ μὲν οὖν Θεσσαλονίκη οὕτως ὑπὸ Ρωμαίους ἐγένετο, τῶν ἐναντιοφρόνων ἐκ ταύτης ἀπελαθέντων. Ὀλίγας δὲ πάνυ ἡμέρας ἐν αὐτῇ προσκαρτερήσας ὁ βασιλεὺς, (ὁ γὰρ τοῦ χειμῶνος καιρὸς κατήπειγε, περὶ τὸν δεκέμβριον ὢν), ἀφεὶς ἐν αὐτῇ τὸν μέγαν δομέστικον Ἀνδρόνικον τὸν Παλαιολόγον, νικητὴς ἐπανέζευξεν εἰς τὴν Ἕω, θαυμαζόμενος ὑπὸ πάντων, οὐ τῶν οἰκείων μόνων, ἀλλὰ καὶ τῶν ἀλλοτρίων. Καταλέλοιπε δὲ εἴς τε τοῦ Μελενίκου καὶ τῶν Σερρῶν καὶ τῶν περὶ αὐτὰ φυλακὴν τὸν τοῦ μεγάλου δομεστίκου πρῶτον υἱὸν Μιχαὴλ, ἄλλον τε ἀλλαχοῦ ἐπαφῆκεν εἰς ἀσφάλειαν τῶν χωρῶν τε καὶ πόλεων· ἐπάνω δὲ πάντων τὸν μέγαν δομέστικον, ἐγκελευσάμενος ὑπείκειν αὐτῷ.

Ὁ μὲν οὖν βασιλεὺς εἰς τὰ τῆς Ἕω μέρη διαπεράσας, διῆγε, καὶ τὸν Δημήτριον τὸν Ἄγγελον ἐν τῷ φρουρίῳ τῶν Οὐαλεντινιανῶν καθείρξας ἐτήρει.

Ὁ δὲ μέγας δομέστικος ὀλίγον ἐπιβιώσας χρόνον, καὶ κακῶς διαπρέψας τῇ τῆς Θεσσαλονίκης ἐπιστασίᾳ, νοσήσας, καὶ τὴν τρίχα καρεὶς κατὰ μοναχούς, τελευτᾷ. Ἀπεστάλη δὲ ἀντ' αὐτοῦ ὁ Φιλῆς Θεόδωρος διέπειν τὰ τῆς ἀρχῆς.

Ἡ μὲν οὖν Θεσσαλονίκη καὶ Βέρροια ὑπὸ τὸν βασιλέα ἐτέλουν, τὰ δ' ἐκεῖθεν καὶ πρὸς δυσμὰς ἀπὸ τοῦ Πλαταμῶνος ὁ δεσπότης κατεῖχε Μιχαὴλ, ἔτι τε Πελαγονίαν καὶ Ἀχρίδα καὶ Πρίλαπον, τοὺς δὲ Βοδηνοὺς, καὶ Σταρίδολα, Στροβόν τε καὶ τὰ περὶ ταῦτα ὁ τοῦ Δημητρίου πατὴρ, θεῖος δὲ τοῦ Μιχαὴλ, ὁ Θεόδωρος.

Ὁ μὲν οὖν βασιλεὺς τοῖς τοῦ Νυμφαίου παραχειμάσας, ἔξεισιν ἐκεῖθεν ἦρος φανέντος, καὶ δεῖν ἔγνωκε τοῖς πλησιάζουσι τῇ Κωνσταντίνου ἄστεσι καὶ παρὰ Λατίνων κατεχομένοις ἐπιθέσθαι, τῇ Τζουρουλῷ φημὶ καὶ τῇ Βιζύῃ· ἑώρα γὰρ τὰ τούτων ἐν ἀπορίᾳ τυγχάνοντα. Τὸν γοῦν Ἑλλήσποντον διαβὰς, προσβάλλει πρῶτον τῇ Τζουρουλῷ· ἦν δὲ ἐντὸς ἡ τοῦ βασιλέως γυναικαδέλφη Εὐδοκία, ἣν ὁ Ἀσὲλ Δεκάε εἰς γυναῖκα ἠγάγετο, θελήσει τοῦ βασιλέως καὶ τῆς βασιλίδος Εἰρήνης. Ὁ μὲν οὖν Ἀσὲλ οὐκ ἐνέμεινε τῷ ἄστει, τὴν τοῦ βασιλέως ἐπεγνωκὼς ἔφοδον, εἴασε δὲ τὴν γυναῖκα, φυλακὴν ἱκανὴν ἐπιστήσας· (ἔδοξε γὰρ αὐτῷ ὡς διὰ τὴν τῆς γυναικὸς ἀδελφὴν οὐκ ἂν πολιορκήσειε τοῦτο ὁ βασιλεύς). Ὁ δὲ τὰ πολλὰ τῶν τοιούτων παρορῶν, παρεκάθισέ τε τῷ ἄστει, καὶ ἑλεπόλεις ἔστησε, καὶ δι' ἡμερῶν οὐ πολλῶν ἐχειρώσατο, καὶ τὴν Εὐδοκίαν εἰς Κωνσταντινούπολιν ἐξαπέστειλεν, ἵππον ἕνα ἐπιδοὺς ἵν' ἐποχῆται αὐτή· τοὺς δὲ ἄλλους ὅσοι ἦσαν εἰς φυλακὴν, πεζοὺς πάντας ἀπέλυσεν. Ὁπότε καὶ ὁ βασιλεὺς τοῖς ἐντὸς θελήσας περὶ τοῦ προσελθεῖν αὐτῷ διαλέξασθαι, καὶ πλησιάσας τῷ τείχει, μικροῦ ἂν ἐκινδύνευεν, εἰ μὴ θεὸς ὁ παμβασιλεὺς αὐτὸν διεφύλαττεν· οἱ γὰρ ἐντὸς Ἰταλοὶ τὴν λεγομένην μαγγανότζαγραν ἑτοιμάσαντες, βέλος κατ' αὐτοῦ ἐπαφῆκαν, ὃ καὶ

πρὸ τῶν ποδῶν τοῦ ἵππου αὐτοῦ πέπτωκεν, ἐφ' ᾧ καὶ ὁ βασιλεὺς χαλεπήνας, ὀργῇ μεγάλῃ κατὰ τούτων ἠρέθιστο. Ἀλλ' ὁ θεὸς καὶ ταύτην διεσκέδασε, κλόνῳ συσσείσας τὴν γῆν.

Τότε καὶ τὴν Βιζύην ὑφ' ἑαυτὸν ἐποιήσατο, στρατιὰν πέμψας.

Κατὰ τοὺς καιροὺς τούτους καὶ τὸ τῆς Ῥόδου ἄστυ ἑάλω ὑπὸ Γενουΐτῶν νυκτὸς ἐν κλοπῇ· ὁ γὰρ Ἰωάννης ὁ Γαβαλᾶς ὁ τοῦ καίσαρος Λέοντος ἀδελφὸς, ὁ καὶ μετὰ θάνατον τοῦ καίσαρος δεσπόζων τῆς νήσου ἀποδημῶν ἦν μετὰ τοῦ βασιλέως, κατὰ τῶν ἐν Κωνσταντινουπόλει [Λατίνων] ὡρμημένου, κἀν τοῖς μέρεσι τῆς Νικομηδείας διάγοντος. Εὐθὺς οὖν ὁ πιγκέρνης Ἰωάννης ὁ Καντακουζηνὸς ἐκεῖ στέλλεται παρὰ τοῦ βασιλέως τὴν τῶν Θρακησίων ἀνεζωσμένος τότε ἀρχὴν, καὶ διαπεραιοῦται πρὸς τὴν νῆσον μετὰ μετρίων τινῶν ὁπλιτῶν, καὶ φθάνει κατασχεῖν τὰ ἐν αὐτῇ φρούρια, τήν τε Φιλέρημον καὶ τὴν Λίνδον· ἐμάχετο δὲ καὶ τοῖς Γενουΐταις ὡς εἶχε δυνάμεως, οὐ κατέβλαπτε δὲ αὐτοὺς, τροφῶν γὰρ ηὐπόρουν διαρκῶν. Ἐπισυνέβη δὲ καὶ τοῦτο· ὁ γὰρ τῆς Ἀχαΐας πρίγκιψ καὶ Πελοποννήσου Βιλαρδουῒν εἰς τὴν Συρίαν διαπλωΐζόμενος, καὶ ταῖς τριήρεσιν αὐτοῦ ἄγων ὁπλίτας ἱππεῖς, οὓς εἰς συμμαχίαν τῶν εἰς Συρίαν ἐπεφέρετο Φράγγων, ἐκ τούτων περὶ τοὺς ἑκατὸν καταλέλοιπε παρ' αὐτοῖς· τοῦτο τοὺς Ῥωμαίους ὑποχωρῆσαι τῆς τοῦ ἄστεος πολιορκίας ἠνάγκασε, καὶ διάγειν εἰς τὴν Φι-
25.λέρημον. Οἱ μὲν οὖν | καταλελειμμένοι παρὰ τοῦ πρίγκιπος, τοὺς Γενουΐτας εἰς τὸ ἄστυ καταλιμπάνοντες πεζοὺς, αὐτοὶ μεθ' ἵππων ἐξήρχοντο, καὶ τὴν χώραν πᾶσαν ἐλήϊζον, καὶ τὰ χρειώδη ἑαυτοῖς περιεποιοῦντο· ὡς ἐκ τούτου τοῖς Ῥωμαίοις σπάνιν γενέσθαι τῶν ἀναγκαίων. Ὁ δὲ βασιλεὺς Ἰωάννης τὸ Νύμφαιον καταλαβὼν, καὶ στόλον καταρτίσας ἀξιόμαχον ἐν τῇ Σμύρνῃ, καὶ ἱππαγωγοὺς ὡς μέχρι καὶ τῶν τριακοσίων ἵππων ἐπιφέρεσθαι, καὶ εἰς στρατηγὸν ἀποτάξας τὸν Κοντοστέφανον

Θεόδωρον τὸν πρωτοσεβαστὸν, καὶ ὅπως διαθήσῃ τὸν πόλεμον, ποῦ τε καὶ ὅτε, ἐγγράφως αὐτῷ παραδοὺς, ἐξαπέστειλεν, ἐπευξάμενος αὐτῷ τε καὶ τοῖς μετ' αὐτοῦ τὰ κρείττονα. Ὁ μὲν οὖν πρωτοσεβαστὸς εἰς τὴν Ῥόδον διαπεραιωθεὶς, κατὰ τὰς βασιλικὰς διατάξεις, τοὺς Λατίνους κατετροπώσατο· ληϊζομένοις γὰρ αὐτοῖς ἐντυχόντες οἱ τοῦ βασιλέως, σπάθης ἔργον πάντας πεποίηνται, τοῦ ἐπὶ τοῦ κεράσματος Ἰωάννου τοῦ Κανταχουζηνοῦ ἐπισκεψαμένου, μηδενὸς αὐτῶν φείσασθαι. Οἱ μὲν οὖν ἱππεῖς Φράγγοι οὕτως ἀπώλοντο· οἱ δὲ πεζοὶ Γενουΐται οἱ τὸ ἄστυ κατέχοντες, καὶ οὗτοι μὴ ἐπὶ πλέον ἀντέχειν δυνάμενοι, εἰς συμβάσεις συνῆλθον, καὶ τὸ ἄστυ παραδόντες Ῥωμαίοις, αὐτοὶ πρὸς τὸν βασιλέα ἀφίκοντο, καὶ κατὰ τὰς συνθήκας τῆς βασιλικῆς εὐμενείας ἀπήλαυσαν.

Ὁ δὲ βασιλεὺς καὶ μετὰ τοῦ δεσπότου Μιχαὴλ συνθήκας τε πεποίηκε, καὶ τὸν υἱὸν ἐκείνου γαμβρὸν ἐπὶ τῇ θυγατρὶ τοῦ υἱοῦ αὐτοῦ Θεοδώρου Μαρίᾳ ἠγάγετο· καὶ ἡ τούτου γαμετὴ Θεοδώρα τὸν Νικηφόρον λαβοῦσα μεθ' ἑαυτῆς εἰς τὴν Ἕω διαπεραιοῦται, καὶ τῷ βασιλεῖ, περὶ τὰ μέρη τῶν Πηγῶν διάγοντι, ἐντυγχάνει, καὶ τὴν τῶν παίδων μνηστείαν τελεῖ· καὶ πάλιν ἡ Θεοδώρα τὸν υἱὸν λαβοῦσα, οἴκαδε ὑπεχώρησεν.

Ἀλλὰ τὸ τῆς παροιμίας κἀπὶ τῷ Μιχαὴλ ἐπαληθεύειν ἐφαίνετο· οὔτε γὰρ σκαμβὸν ξύλον ὀρθὸν, οὔτ' Αἰθίοψ οἶδε λευκαίνεσθαι. Ἀποστατεῖ γὰρ τοῦ βασιλέως, συμβούλῳ τῷ θείῳ Θεοδώρῳ χρησάμενος. Ὁ δὲ βασιλεὺς ταῦτα γνοὺς, καὶ τὴν συνωμοσίαν τούτων μεμαθηκὼς, μετὰ τῶν ἄλλων ὅσοι τε καθ' ἕω καὶ ὅσοι κατὰ μέρη τὰ Δυτικὰ τοῖς Ῥωμαϊκοῖς ὁρίοις ἔγγιστα εἰρήνην ἄγων βαθεῖαν, βασιλικῶς παρασκευασάμενος, καὶ τὰς δυνάμεις συντάξας, κατὰ τούτων ὁρμᾷ, πολλοὺς μὲν ἄγων τοὺς στρατηγοὺς, τὸν δ' ἐπὶ τῆς τραπέζης Νικηφόρον τὸν Ταρχανειώτην τὰ τοῦ μεγάλου δομεστίκου διεκπληροῦντα, ἄριστον ἐν στρατηγίαις μετὰ πεῖραν καὶ εὔνουν αὐτῷ λογιζόμενον.

Καταλαβὼν οὖν τὴν Θεσσαλονίκην, κἀκεῖθεν τὰς δυνάμεις ἀπάρας, ἐν τοῖς Βοδηνοῖς ἐστρατοπεδεύσατο. Προέφθασε δὲ ὁ Ἄγγελος Θεόδωρος ἐξ αὐτῶν ἀποδρᾶναι, και εις τον δεσπότην Μιχαὴλ ἀπελθεῖν. Εἰς πολιορκίαν οὖν τῶν Βοδηνῶν ὁ βασιλεὺς καταστὰς, ἐν οὐ πολλῷ χρόνῳ τό τε ἄστυ παρεστήσατο, καὶ τὴν χώραν ὑπέταξε, καὶ ἑξῆς ἔν τινι τῇ τοῦ Ὀστροβοῦ λίμνῃ ἐγγίζοντι τόπῳ, ἔπηξε τὰς σκηνὰς, καὶ στρατηγοὺς κατὰ τῶν τοῦ δεσπότου χώρων ἐξαποστέλλει τόν τε Στρατηγόπουλον Ἀλέξιον, τὸν Παλαιολόγον Μιχαὴλ τὸν τοῦ μεγάλου δομεστίκου υἱὸν, καὶ τὸν Μακρηνὸν Ἰωάννην, καὶ τὸν Γουδέλην Τύραννον, καὶ ἑτέρους, ἵνα τε τὰ πέριξ ληΐζοιντο, καὶ, εἰ στρατεύματι ἐντύχοιεν, εἰς μάχην χωρήσαιεν κατ' αὐτοῦ, καὶ ἄστη δὲ πορθήσαιεν, εἴ περ καὶ τοῦτο γένοιτο αὐτοῖς εὐχερές.

Καὶ οὗτοι μὲν οὕτως ἐποίουν. Ὁ δὲ βασιλεὺς προσεκαρτέρει τῷ τόπῳ, καὶ ἦν βαρυθυμῶν ὅτι μὴ ἄξιόν τι ἔφθασε διαπράξασθαι. Ἠγανάκτει δὲ καὶ τὸ στράτευμα, (χειμῶνος γὰρ ἦν ὁ καιρὸς, καὶ τῶν χρειωδῶν ἐσπάνιζον), καὶ ὁ βασιλεὺς ἀπὸ Βερροίας ἡμιόνοις καὶ καμήλοις τὰ χρειώδη διακομίζεσθαι διετάξατο.

Καὶ ἐν τούτοις ἐπιφοιτᾷ τῷ βασιλεῖ πρόσφυξ ἀπὸ Καττορίας ὁ Γλαβᾶς, καὶ ὁ Πετραλίφας Θεόδωρος ὁ ἐπὶ θυγατρὶ γαμβρὸς τοῦ Τορνίκη Δημητρίου, ὃς τὰ κοινὰ συνδιέπων ἦν τῷ βασιλεῖ Ἰωάννῃ παρ' αὐτοῦ πάνυ φιλούμενος καὶ τιμώμενος, (ἀδελφὸν γὰρ αὐτὸν ἐν τοῖς γράμμασιν ἀπεκάλει). Ὁ μὲν οὖν Πετραλίφας, ἐπεὶ προσέλθοι τῷ βασιλεῖ, γυναικάδελφος ὢν τοῦ Μιχαὴλ, εὐθυμίας αὐτόν τε βασιλέα καὶ τὰ στρατεύματα ἔπλησεν. Εὐθὺς γὰρ ἡ Καστορία, καὶ ἡ περὶ αὐτὴν ἅπασα χώρα, προσερρύη τῷ βασιλεῖ, καὶ αἱ Διαβόλεις δὲ, ἥ τε μικρὰ καὶ μεγάλη, καὶ ὁ ἀπὸ τοῦ Ἀλβάνου (1) Γουλάμος πρὸς τὰ

(1) Περὶ τῶν Ἀλβανιτῶν (Σ. περ.)

μέρη τῆς Καστορίας διάγων μετὰ τοῦ ἐξ Ἀλβάνου στρατοῦ, σύζυγον ἔχων Εἰρήνην, θυγατέρα πρωτεξαδέλφης τῆς βασιλίδος [, λόγοις χρηστοῖς καὶ γράμμασιν ὑποσχέσεων τῶν ὑπὸ τοῦ βασιλέως θελχθείς, πρόσεισι καὶ οὗτος τῷ βασιλεῖ.] Φιλοφρόνως οὖν πάντας ὁ βασιλεὺς δεξάμενος, πρεπόντως ἐφιλοτιμήσατο.

Ὁ δὲ Μιχαὴλ ἑωρακὼς τὰ μὲν τοῦ βασιλέως αὐξάνοντα, τὰ δὲ αὐτοῦ ὑπορρέοντα, στέλλει πρέσβεις ἐς βασιλέα, τόν τε Ναυπάκτου μητροπολίτην, Ἰωάννην τὸν Ξηρὸν, τὸν ἐπ' ἀδελφῇ γαμβρὸν αὐτοῦ τὸν Μαλιασηνὸν, καὶ τὸν Λαμπέτην, οἳ καὶ εἰς λόγους συνελθόντες τῷ βασιλεῖ, συμφωνίας ἐποίησαν, καὶ ἀπέλυσε πρὸς τὸν βασιλέα ὁ Μιχαὴλ τὸν Πρίλαπον, καὶ τὸν Βελεσὸν, καὶ τὸ ἐν τῷ Ἀλβάνῳ φρούριον τὰς Κρόας· καὶ προέβησαν ἔγγραφοι ὅρκοι παρὰ τοῦ βασιλέως, καὶ ἀπεστάλησαν πρέσβεις ὅ τε Φιλαδελφείας ὁ Φωκᾶς, καὶ ὁ πριμικήριος τῆς αὐλῆς Ἰσαάκιος ὁ Δούκας, ὁ λεγόμενος Μούρτζουφλος, καὶ ὁ Ἀκροπολίτης Γεώργιος, καὶ ὁ Ὑαλέας Μιχαήλ. Οὗτοι μὲν οὖν ἀπελθόντες εὗρον τὸν Μιχαὴλ ἐν τῇ Λαρίσσῃ διάγοντα, καὶ πληρώσαντες τὰς σπονδὰς, λαβόντες ἐκεῖθεν τὸν υἱὸν τοῦ Μιχαὴλ Νικηφόρον, ὃν καὶ δεσπότην ὁ βασιλεὺς τετίμηκε διὰ τὴν ἐγγονὴν αὐτοῦ, ἀλλὰ μὴν καὶ τὸν Ἄγγελον Θεόδωρον δεσμώτην, εἰς τὸν βασιλέα ἐπανῆλθον σκηνούμενον ἐν τοῖς Βοδηνοῖς.

Παραχειμάσας οὖν ἐκεῖσε, ἔαρος ὥρᾳ, ἐπεὶ καὶ τὴν ἀναστάσιμον ἡμέραν τοῦ Πάσχα ἑώρτασε, τὰ στρατεύματα αὐτοῦ που διάγειν καταλελοιπὼς, εἰς ἡγεμόνα αὐτῶν τάξας τὸν πρωτοσβεστιάριον Ἀλέξιον τὸν Ραοὺλ, γαμβρὸν ἐπ' ἀδελφόπαιδι ὄντα τοῦ βασιλέως, καὶ τὸν Παλαιολόγον Μιχαὴλ, αὐτὸς μετὰ μετρίου στρατοῦ εἰς θέαν τῶν ἐπιγεγενημένων τούτῳ ἀφίκετο· καὶ ἀπῆλθεν ἐς Ἀχρίδα, καὶ εἰς Διάβολιν, κἀκεῖθεν εἰς Καστορίαν. Καὶ τῇ τῆς ὀπώρας ὥρᾳ τῆς εἰς Ἕω φερούσης ἐφήψατο. Παραμείψας γοῦν τὴν Θεσσαλονίκην, καὶ τὴν Βισαλ-

τίαν διαβὰς, ἐς Φιλίππου ἐπήξατο τὴν σκηνήν· κἀκεῖ τὸν Παλαιολόγον Μιχαὴλ εἰς δικαστήριον ἔστησεν ὑπὲρ ὧν εἶπε κατ' αὐτοῦ ὁ ἐκ τοῦ Μελενίκου Μαγκλαβίτης Νικόλαος.

Εἶχε δὲ τὰ τῆς κατηγορίας οὕτως· ὡς μαθὼν τὸν τοῦ Τορνίκη θάνατον ὁ Παλαιολόγος, (ἦν δὲ ὁ Τορνίκης εἰς γυναῖκα ἔχων πρωτεξαδέλφην τοῦ πατρὸς αὐτοῦ τοῦ μεγάλου δομεστίκου) ἐδυσφόρει καὶ σκυθρωπὸς ἐφαίνετο τοῖς αὐτῷ ἐντυγχάνουσιν· ἠρωτήκει γοῦν τῶν ἐκ Μελενίκου τις ἕτερον, ὅτου χάριν σκυθρωπάζει ὁ Κομνηνὸς Μιχαὴλ, ὁ δὲ ἔφη, ὅτι τέθνηκεν ὁ Τορνίκης, προσγενὴς ὢν αὐτοῦ· ὁ δὲ, οὔ μοι δοκεῖ, φησὶν, ἀλλ' ἐπὶ τῷ κρείττονι ἐκείνου τοῦτο συμβέβηκε (τὸν βασιλέα δηλῶν), καὶ εἰ τοῦτο, φεῦ ἡμῖν, ἐν γὰρ ταραχαῖς αὖθις γενήσονται τὰ ἡμέτερα, μόλις εἰς ἀταραξίαν ἐληλυθότα. Κἀκεῖνος ἔφησεν, ἀλλ' ὦ φίλος, εἰ τοιοῦτόν τι συνέβη, οὐ κακῶς ἕξουσι τὰ ἡμέτερα· ὁ γὰρ μέγας δομέστικος τῆς Θεσσαλονίκης ἡγεμονεύει, καὶ ὁ τούτου υἱὸς Μιχαὴλ τὴν τῶν ἡμετέρων χώρων ἔχει κηδεμονίαν· ὑπὸ τοιούτων γοῦν διακυβερνώμενοι, οὐκ ἂν ἴδοιμεν κλύδωνα κοσμικόν· ἄλλως τε καὶ ἡ τοῦ Καλλιμάνου ἀδελφὴ Θάμαρ, ἄζυξ οὖσα, συνέλθοι τῷ Κομνηνῷ, καὶ σπονδαὶ γενήσονται μέσον ἡμῶν τε καὶ τῶν Βουλγάρων. Ταῦτα ἐλαλήθη παρ' ὧν καὶ ἐρρέθη, μηδὲν εἰδότος τοῦ Κομνηνοῦ· θάτερος δὲ τούτων ἀπελθὼν ἀνήγγειλε τῷ Μαγκλαβίτῃ, ὁ δὲ τῷ βασιλεῖ ἀνήνεγκε. Κατασχεθέντων οὖν καὶ ἀμφοτέρων, ὁ μὲν κατηγόρει, ὁ δὲ ἀπελογεῖτο καὶ μέχρι θανάτου ἐνίστατο, μηδὲν εἰδέναι τῶν εἰρημένων τὸν Κομνηνὸν, ἀλλ' αὐτοὺς πρὸς ἀλλήλους λέγειν ταῦτα ἐξ ἑαυτῶν. Πολλῶν οὖν γενομένων, καὶ μηδόλως εὑρισκομένου ἔχειν εἴδησιν ἐν τούτοις τὸν Κομνηνὸν Μιχαὴλ, τέλος ὁ βασιλεὺς στέλλει αὐτὸν πρὸς τὸν πατριάρχην Μανουὴλ, ἄνδρα εὐλαβοῦς βίου καὶ πολιτείας σεμνῆς, εἰ καὶ γυναικὶ συνεζύγη, καὶ γράφει ἐπιτιμίῳ ἀφορισμοῦ καθυποβαλεῖν τοῦτον καὶ ὅρκοις ἐμπεδῶσαι μὴ ἄν ποτε

βουληθῆναι ἀπιστίαν κατὰ τοῦ βασιλέως μελετῆσαι, ἀλλὰ φυλάττειν καθαρὰν αὐτοῦ τὴν πρὸς τὸν βασιλέα διάθεσιν. Οὗ καὶ γενομένου, τῷ μὲν δοκεῖν ἠθωώθη, ἐν ὑποψίᾳ δὲ διὰ παντὸς ἦν. Εἶπε δὲ πρὸς τοῦτον ὁ βασιλεύς, Αἶ, ἐλεεινὲ, οἵας δόξης ἐξέπεσες! (ἦν γὰρ γαμβρὸν αὐτὸν θέλων ποιῆσαι ἐπὶ τῇ τοῦ υἱοῦ αὐτοῦ θυγατρὶ Εἰρήνῃ.) Ζεύγνυσι δὲ αὐτῷ εἰς γυναῖκα τοῦ ἀδελφοῦ αὐτοῦ τοῦ σεβαστοκράτορος Ἰσαακίου τὴν ἐγγόνην, Θεοδώραν, ἣν μόνην ὁ πατὴρ αὐτῆς καταλελοιπὼς Ἰωάννης ἔτι ἐν μείραξιν ὢν, τὸ βιοῦν ἐξεπλήρωσε, χήραν ἀφεὶς τὴν γαμετὴν Εὐδοκίαν, ἥτις θυγάτηρ τοῦ Ἀγγέλου Ἰωάννου, καὶ ἐν χηρείᾳ ἔζησε νέα οὖσα, ἀρετήν τε ἐφίλει, καὶ θεῷ προσανεῖχε, καὶ ἐλεημοσύναις καὶ εὐποιΐαις πενήτων ἐσχόλαζε, κἀν τοῖς ἀγαθοῖς πᾶσι διέλαμπε, παρὰ πᾶσαν τὴν αὐτῆς βιοτήν.

| Ὁ μέντοι βασιλεὺς τὰ τῆς Ἕω μέρη κατειληφώς, τοῦ ἐ- φ. 12 νιαυτοῦ ἐκείνου παρῳχηκότος, ἀφίκετο περὶ τὴν Νίκαιαν περίπου τὸν φευρουάριον μῆνα, καὶ ἡμέρας διέτριψεν ἐν αὐτῇ, τὴν ἀπὸ τῶν Ἀτάρων ἔχων πτοίαν, καὶ ὅσα εἰς φυλακὴν αὐτῆς καὶ ἀσφάλειαν παντοίως διαπραττόμενος. Ἑσπέρας δὲ ἐπὶ τῆς κλίνης καθήμενος, αἴφνης ἄφωνος γεγονώς, ἔκειτο πρηνὴς καὶ ἄναυδος τὸ καθόλου· χεῖρες δὲ ἰατρῶν ὑπούργουν, καὶ ἀμυχὰς ἐν τοῖς ποσὶν ἐποίουν, καὶ ἐφόλβιον ἐν ταύταις ἐνέβαλον, καὶ τἆλλα ἔπραττον ὅσα ἡ τέχνη ἐδίδασκεν. Ἀλλ' ὁ βασιλεὺς ὅλην τε ταύτην τὴν νύκτα, καὶ τὴν ἐποιοῦσαν ἡμέραν, καὶ αὖθις τὴν ἑτέραν νύκτα ἀκίνητος ἔμεινεν. Ἀποπληξία γὰρ ἦν ἡ νόσος. Μόλις οὖν ἀνέπνευσε καὶ εἰς ἑαυτὸν ἦλθεν, ἠλλοιωμένος δὲ ἦν τὸ χρῶμα. Ἔσπευδεν οὖν καταλαβεῖν τὸ Νύμφαιον πρὸ τῆς Βαϊοφόρου κυριακῆς, καθ' ἣν εἰώθει θριαμβεύειν ὁ βασιλεύς, ὃ καὶ κατὰ σκοπὸν ἐξετέλεσεν ἐκεῖ ἀφικόμενος, καὶ τὸ Πάσχα ἑώρτασε, καὶ τοῖς τοῦ Νυμφαίου ἐπεχωρίαζε μέρεσι, τῇ κατασχούσῃ νόσῳ κατὰ διαστήματα πιεζόμενος· ποτὲ μὲν γὰρ ἐν τῷ παλατίῳ διάγων, ἐπὶ κλίνης ἔπιπτεν ἀ-

φωνος, ποτὲ δὲ ἐφ' ἵππου βαίνων, καὶ βαδίζων, ὑπὸ τῆς νόσου ἐγίνετο κάτοχος, καὶ οἱ συμπαρόντες πρὸς ὥραν παρεφύλαττον, ὥστε μὴ γνωρίζεσθαι τοῖς πολλοῖς· ἐπὰν δὲ εἰς λογισμὸν ἐπανῆκε, σχολῇ πρὸς τὰ βασίλεια ὑπέστρεφεν, ἐνίοτε καὶ ἐπὶ θρόνου ὑπὸ τῶν οἰκείων ἐν τοῖς ἀνακτόροις ἤγετο. Ὅσῳ δὲ ἡ νόσος ἐπηύξανε, τὸ τοῦ βασιλέως σῶμα κατέπιπτε· συνεχέστερον γὰρ ἤρξατο τούτῳ ἐγγίνεσθαι, καὶ τὸ δεινότερον, ἀτροφία τοῦτον ἐπίεζεν. Ἐπεὶ οὖν ἰατρῶν ἀπέκαμε τέχνη, παραμυθίαν βουλόμενος μικρὰν ἐφευρεῖν, ἠθέλησεν ἀπελθεῖν εἰς τὴν Σμύρνην, ὅπως τῇ ἐκεῖ ἁγίᾳ εἰκόνι τοῦ Χριστοῦ προσκυνήσῃ. Ἀφικόμενος οὖν καὶ παρακλήσεις τελέσας, οὐχ εὗρε τοῦ πάθους ἀνακωχήν, ἀλλ' ἐν τοῖς Περικλύστροις τόποις σκηνούμενος (τόπος δὲ οὗτός ἐστιν ἐγγὺς Σμύρνης διὰ τὸ πολλοῖς ὕδασι περικλύζεσθαι οὕτως ὀνομαζόμενος), μείζονός τε καὶ χείρονος τοῦ πάθους ἐπήσθετο. Ἐκεῖθεν οὖν ἀπάρας πονήρως ἔχων τοῦ σώματος, καταλαμβάνει τὸ Νύμφαιον, καὶ ἐν μὲν τοῖς βασιλείοις οὐκ ἀπῆλθεν, ἐν δὲ τοῖς ἐγγύς που τῆς χώρας κήποις βασιλικοῖς τὰς σκηνὰς ἐνιδρύσατο, ἔνθα καὶ τὸ χρεὼν ἐλειτούργησε, τρίτῃ καλανδῶν νοεμβρίων, ἑξήκοντα καὶ δύο ἔτη βιώσας, ἐξ ὧν τριάκοντα πρὸς τοῖς τρισὶ βεβασίλευκε καλῶς τε καὶ ἀγαθῶς.

Πρᾶος γὰρ ἦν, πρὸς τὸ φιλάνθρωπον ἀεὶ ἐπινεύων, δωρεαῖς χρώμενος πρὸς πάντας, οἰκείους τε καὶ ἀλλοτρίους, καὶ πρὸς τούτους γε μάλιστα ὡς πρέσβεις ἀφικομένους δαψιλεστέραν τὴν χεῖρα προέτεινεν, ἐλεημοσύνην ὡς οὐδείς τις ἐπιμελόμενος, καὶ εὐποιΐαις χαίρων τῶν ἀπόρων καὶ ἐνδεῶν ὑπὲρ τοὺς πολλούς. Καρτερικὸς δὲ ἦν ἐν ταῖς μάχαις, καὶ ἐνεαρίζων εἰς τὴν τῶν ἐναντίων γῆν, καὶ τὴν θέρους ὥραν διαβιβάζων, ἔτι δὲ καὶ τὸ φθινόπωρον διανύων, ἐνίοτε καὶ παραχειμάζων, τὴν νικῶσαν εἶχεν, ἐναποκαμνόντων τῶν ἐναντίων τῇ τοῦ βασιλέως ἐνστάσει τε καὶ ὑπομονῇ.

Ἐτεθνήκει μὲν οὖν ὁ βασιλεὺς Ἰωάννης, τῷ υἱῷ αὐτοῦ Θεοδώρῳ τὴν βασιλείαν καταλιπὼν, τριάκοντα καὶ τρία ἔτη διανύοντι· τοσοῦτος γὰρ ὁ χρόνος αὐτῷ ὁπόσος ὁ τῆς πατρικῆς βασιλείας ἐτύγχανε, τῇ γὰρ πατρικῇ ἀναρρήσει ἡ τούτου συνέδραμε γέννησις.

Οὗτος ὁ ἀοίδιμος βασιλεὺς τοῖς τὸ πρωτεῖον ἐσχηκόσιν ἐν τοῖς χρηστοῖς τῶν πρὸ αὐτοῦ βασιλέων ἀνθαμιλλώμενος, καὶ τὸ δευτερεῖον ἔν τισιν ὡς τὸν χρόνον δεύτερος δοκῶν ἔχειν, εἰ καὶ τοῖς πλείοσιν ἐξισούμενος ἀναφανήσεται, τῇ τε περὶ τὰ θεῖα εὐλαβείᾳ, καὶ τῇ περὶ τοὺς ὑπηκόους κηδεμονίᾳ, τὸ πρωτεῖον ἀσύγκριτον ἀπηνέγκατο· τοὺς γὰρ τοῦ τῶν μοναστῶν τάγματος οὐ τοὺς διαφέροντας καὶ ὅσοι διαφανεῖς ἐξ ἀρετῆς, πολλῆς τῆς αἰδοῦς ἠξίου, καὶ τούτοις ὡς ἀνθρώποις θεοῦ προσεφέρετο, ἀλλὰ καὶ πᾶσιν ἁπλῶς ὅσοι τὸ σχῆμα καὶ τὴν περιβολὴν ἐνεδέδυντο κατὰ μοναχοὺς |, τοῖς ἀρχιερεῦσι δὲ καὶ φ. 126 ἱερωμένοις μικροῦ καὶ ὡς τῷ θεῷ συγγινόμενος ὁμιλῶν αὐτοῖς διετίθετο, καὶ ἐνθουσιῶν καθεωρᾶτο, ὡς πρὸς θεὸν μεσίταις, ὅπερ καὶ ἦν, ἐντυγχάνων, καὶ δι' αὐτῶν ὃν οὐχ ἑώρακε καθορῶν. Τίς δ' ἂν ἀριθμήσαιτο ὅσα τῶν ὑπ' αὐτὸν προνοούμενος καθ' ἑκάστην πόλιν, οὐχ ὅσαι μέγισται καὶ περιφανεῖς, ἀλλ' ἤδη καὶ ὅσαι τῇ σμικρότητι καὶ ἀφανείᾳ μὴ πόλεις ἀλλὰ φρούρια εἰκότως κατονομάζονται, ὅσαι τε ἀνὰ τὴν Ἕω καὶ τὴν Δυσμικὴν χώραν, πρὸς σύστασιν αὐτῶν καὶ ἀσφάλειαν διεπράξατο κτίσμασι κατοχυρώσας, ὡς πύργον ἐπὶ πύργῳ ἑδράσαι, καὶ στεφάνην ἐπὶ στεφάνῃ, καὶ ἐπὶ περιβόλῳ ἀνεγεῖραι περίβολον, ἔτι τε ὅπλα ἀποθέσθαι παντοῖα, καὶ τόξα, καὶ βέλη, καὶ θυρεούς τε καὶ θώρακας, ὄργανά τε πετροβόλα καὶ ἄλλα μηχανήματα ὅσα πρὸς ἄμυναν ἐπερχομένων ἐχθρῶν; κατὰ δὲ τὰς μεγάλας τῶν πόλεων καὶ ἄνθρωποι ἦσαν τεχνῖται τῶν διαφόρων ὅπλων ἐπὶ μισθῷ, τόσα μὲν τόξα, τόσα δὲ βέλη, καὶ ἄλλα ὅσα κατ' ἔτος ἐργαζόμενοι ὅπλα, καὶ εἰς δημοσίους οἴ-

κους ἀποτιθέντες καὶ ἀριθμὸν ὑπερβαίνοντα, ἵν' ὅτε τούτων χρεία ἀνενδεῶς οἱ ἀμυνόμενοι ἔχοιεν; τὸ δὲ καὶ χωρία ἀναθεῖναι ὡς ἂν τοὺς ἐκεῖθεν καρποὺς εἰσκομίζεσθαι καὶ εἰς σιτοβολῶνας, εἴτουν ὡρεῖα, ἐνθησαυρίζεσθαι εἰς χιλιάδας καὶ μυριάδας μεδίμνων ἀριθμουμένους οὐ κριθῆς μόνον καὶ σίτου, ἀλλὰ καὶ τῶν ἄλλων σπορίμων καὶ τῶν χρειωδῶν ἄλλως ἐν ἀφορίας καὶ ἐνδείας καιρῷ φυλαττόμενα, καὶ τοῖς μὴ ἔχουσι τὸ ἐνδέον ἀναπληροῦντα βασιλικῇ πλουσίᾳ χειρί, τίνος ἔργον ἄλλου, ἢ τοῦ αὐτοκράτορος τούτου κατόρθωμα; ἐφ' ᾧ καὶ ἦν ὁρᾷν οἴκους ὅλους πεπληρωμένους κατὰ τὸ εἰρημένον, ἀπὸ σίτου, οἴνου τε καὶ ἐλαίου, καὶ τῶν ἄλλων ἐκ γῆς χρειωδῶν, ἀλλὰ καὶ τοὺς τῶν πόλεων πύργους σίτῳ καὶ κριθῇ καὶ κέγχρου σπέρματι βρίθοντας. Ἐν δὲ τῇ κατὰ Λυδίαν Μαγνησίᾳ, ὅπου καὶ τὰ πλείω τῶν χρημάτων ἀπέθετο, τί τίς ἂν ἐζήτησεν ἀφ' ὧν ἄνθρωποι χρήζομεν, καὶ οὐχ εὑρὼν, ἐκληρώσατο τὴν ἀπόλαυσιν, οὐ τῶν ἐν τοῖς ἡμετέροις τόποις εὑρισκομένων, ἀλλὰ καὶ ὅσα ἐνιαχοῦ τῆς οἰκουμένης, κατ' Αἴγυπτόν φημι, καὶ Ἰνδίαν καὶ ἀλλαχοῦ;

Ἀλλὰ καὶ βιβλιοθήκας κατὰ πόλεις συνήθροισεν ἐκ βίβλων πασῶν τεχνῶν καὶ ἐπιστημῶν.

Ἀπογραφὴν δὲ καὶ ἐξίσωσιν ἐν ταῖς χώραις ἅπαξ γενέσθαι προστάξας παρ' ἀνθρώπων φοβεῖσθαι τὸν θεὸν ἐπεγνωσμένων αὐτῷ, ἀφ' οὗ καὶ τῆς τῶν ἐναντίων χειρὸς αὐτὰς ἠλευθέρωσε, παρ' ὅλην αὐτοῦ τὴν ζωὴν ταύτην ἔστερξε. Κἀκ τούτου τοῖς τε ὑποτελέσιν ἐπεγένετο πᾶσι πλουτῆσαι, καὶ οἱ τῶν στρατιωτικῶν καταλόγων καὶ τῶν μεγιστάνων τὸ σύστημα πολλαπλασίους τὰς ἐκ τῶν προνοιῶν καὶ τῶν κτημάτων εἶχον εἰσόδους, καὶ τὰ εἰς διατροφὰς κεχορηγημένα τούτοις πληθύνοντα. Ἵππων δ' ἀγέλας καὶ βοῶν καὶ προβάτων τοσαύτας ἐκτήσατο καὶ καμήλων, ὡς μικροῦ καὶ στενὴν τὴν γῆν ἀπελέγχεσθαι ἐπὶ ταῖς τούτων νομαῖς. Θησαυρούς τε συνῆξε μεγίστους καὶ

πολλούς, καὶ σωρείας χρημάτων ἐπισυνήγαγε πολλοὺς ἐπὶ πολλῶν τούτους θησαυρίσας καὶ ἀποθέμενος· καὶ δόξαν ἡγεῖτο καὶ μέγα καύχημα ἐλογίζετο τὸ τοὺς ὑπηκόους πλουτοῦντας ἔχειν καὶ εὐθηνοῦντας ἐν ἅπασιν. Ἔνθεν τοι καὶ πανταχοῦ τῆς Ρωμαϊκῆς ἐπικρατείας ἔρις ἦν πᾶσιν, ὅστις ἂν ἐκ πόρων ἀκατακρίτων καὶ ἀμέμπτων πλείονα κτήσαιτο κτήματα καὶ βοσκήματα. Εἴ τις εἶδε τὰς ἐκείνου σκηνὰς καὶ τῶν ὑπ᾽ αὐτὸν ὅτε καὶ ὁδὸν ἐποιεῖτό τινα ἐκστρατεύων καὶ διερχόμενος, καὶ τὰ ἱπποστάσια, ὅπως μὲν μέγιστα, ὅπως δὲ καὶ πολλοὺς ἁμιλλητηρίους ἔτρεφον ἵππους, καὶ πρὸς τὴν τῶν βρωτῶν καὶ ποτῶν ἀφθονίαν ἐπέβλεψεν, οὐκ οἶδά τις ἂν οὗτος ἐτύγχανεν, ὃς μὴ θάμβει συνεσχέθη, εἰ καὶ πολλὰ ἐθεάσατο βασιλέων στρατόπεδα, καὶ τοῦτο μέγιστον καὶ ἀπαράμιλλον ἰδεῖν διεβεβαιώσατο.

Ποία πόλις καὶ χώρα, καὶ δῆμός τις τῶν ἐκείνου εὐεργεσιῶν οὐκ ἠμοίρησε καὶ κοινῇ καὶ καθέκαστον; Νεὼς δὲ | θεῖος φ. 128. (1) ἀπὸ τῶν μικρῶν ἕως καὶ τῶν μεγάλων, καὶ αὐτῶν δὲ τῶν σεμνείων καὶ τῶν μονῶν ἔστιν ὅστις ἄμοιρος τῶν αὐτοῦ φιλοτιμιῶν; Ἦν γὰρ ἁπάντων ὡς οἰκονόμος κοινὸς προμηθούμενος, οὐ μόνων τῶν ὑπὸ τὴν ἀρχὴν αὐτοῦ, ἀλλὰ καὶ τῶν ὑπ᾽ ἄλλους ταττομένων. Συμμαρτυρεῖ μοι τῷ λόγῳ ἥ τε τοῦ Σινᾶ σεβασμία μονή, καὶ ὅσαι κατὰ τὴν Σιών, καὶ αὐτὰ δὲ τὰ πατριαρχεῖα, τό τε τῆς μητρὸς τῶν ἐκκλησιῶν Ἱερουσαλήμ, καὶ τῆς Ἀλεξανδρείας, καὶ μέντοι καὶ τὸ τῆς Ἀντιόχου, καὶ μοναί, ἃς διὰ τὸ πλῆθος κατ᾽ ὄνομα λέγειν ἐῶ. Ἀλλὰ καὶ ἐν τῇ Κωνσταντινουπόλει, τῶν τότε αὐτῆς ἀρχόντων Ἰταλῶν πολλὰς τῶν ἐν αὐτῇ ἐκκλησιῶν βουλευσαμένων καταστρέψαι πρὸς

---

(1) Τὸ φύλλον 127 ἀπεκόπη, περιέχον τοῦ κτήτορος Παναρέτου ἐξήγησιν, καὶ ὡς σημειοῖ ὁ μετ᾽ αὐτὸν κτήτωρ οὐ λείπει τι, ἡ γὰρ συνέχεια ἐν τῷ μεθεπομένῳ φύλλῳ μετὰ τὴν Παναρέτου « ἐξήγησιν κατὰ ψευδοῦς ἱστορίας. »

θεραπείαν τῆς ἐνούσης ἐνδείας αὐτοῖς, αὐτὸς χρήμασιν ἐξωνησάμενος, σώους διαμένειν περιεποιήσατο, ἡ τῶν Βλαχερνῶν αὗται, ἡ τῶν Ρουφινιανῶν, καὶ ἡ ἐν τῷ Ἀνάπλῳ τοῦ Ταξιάρχου τῶν ἄνω δυνάμεων. Τὸν δὲ τῶν θεοκηρύκων Ἀποστόλων ναὸν ἁγιώτατον ὑπὸ σεισμοῦ κινδυνεύσαντα, βασιλικῶς ἐπεσκέψατο, καὶ χρήμασιν ἱκανοῖς ἀνακτισθῆναι πεποίηκε. Ἐπὶ τούτοις καὶ αἱ ἐν τῷ Ἄθωνι, ὃ καὶ Ἅγιον Ὄρος λέγεται, θεῖαι μοναί, καὶ ὅσαι κατὰ τὴν Θεσσαλονίκην, καὶ αὐτὴν δὲ τὴν Ἀττικήν, καὶ ἄλλαι ἃς καὶ ἀριθμεῖσθαι οὔκουν ἔμοιγε ῥᾴδιον, τὴν αὐτοῦ πλουτοδότιν χεῖρα συναντιλαμβανομένην ἐγνώρισαν, εἰς σύστασιν καὶ βοήθειαν.

Τοιοῦτος ἦν ὁ βασιλεὺς Ἰωάννης, τῶν δεομένων κοινὸς ἀντιλήπτωρ, καὶ οὕτω τὴν βασιλείαν θεαρέστως διῴκησεν.

Οὕτω μὲν ὁ βασιλεὺς Θεόδωρος τῶν βασιλείων ἐπελάβετο σκήπτρων· τὴν νενομισμένην οὖν ὁσίαν μεγαλοπρεπῶς ἀποδοὺς τῷ βασιλεῖ καὶ πατρί, καὶ ἐν τῇ παρ' ἐκείνου νεουργηθείσῃ τῶν Σωτάνδρων ἐνσοριάσας πολυόλβῳ μονῇ, καὶ καθεσθεὶς ἐπ' ἀσπίδος ὡς ἔθος, καὶ ὑπὸ πάντων φημισθεὶς αὐτοκράτωρ, τοῦ Νυμφαίου ἀπάρας, ἐπὶ τὴν Φιλαδέλφου ἀφίκετο. Ἐκεῖσε οὖν διακαρτερήσας μικρὸν ὅσον πρεσβείαν στεῖλαι πρὸς τὸν σουλτάνον, πρὸς τὴν προκαθημένην τῶν Βιθυνῶν Νίκαιαν ἐχώρησεν.

Ἐπεὶ δὲ τοῦ πατριαρχοῦντος ἡ ἐκκλησία ἐχήρευεν, (ἔφθασε γὰρ ὁ πατριάρχης Μανουὴλ μικρόν τι προτελευτῆσαι τοῦ βασιλέως Ἰωάννου), ἔδει δὲ πρῶτον προβληθῆναι πατριάρχην, ἵν' ἐπὶ τῷ βασιλεῖ τὴν στεφηφορίαν ἐν τῷ ἱερῷ τελεσιουργήσῃ τεμένει, ἐζητεῖτο μὲν ὁ τοῦ θρόνου ἄξιος, ἡ δέ τινων δόξα, τοῦ βασιλέως καὶ μάλιστα, ἐπὶ τῷ Βλεμμύδῃ ἐτύγχανε Νικηφόρῳ. Ἦν δ' οὗτος μέγας ἐπὶ σοφίᾳ, φιλόσοφος καὶ ὢν καὶ ὀνομαζόμενος, καὶ τοῦ βασιλέως ἐπὶ φιλοσοφίᾳ διδάσκαλος· οἱ πλείους δὲ πρὸς τὴν ἐκλογὴν ἀπηρέσκοντο, καὶ ἐπὶ

μᾶλλον ὁ τῶν ἀρχιερέων σύλλογος. Ἠδημόνει οὖν ὁ βασιλεύς, οἷα τῶν πάντων μὴ συμφωνούντων ἐπί τινι, ἀλλὰ τῶν μέν, τόνδε, τῶν δέ, ἕτερον προκρινόντων, καὶ ἀλλήλοις βουλευομένων ἀντίφωνα· διὸ καὶ ἔφησε πρὸς αὐτούς, « εἰ μὲν ἦν ἡμῖν κλήρους βαλεῖν, τάχ' ἂν οὕτω τὸ τῷ θεῷ ἀρεστὸν διεκρίνομεν· ἐπεὶ δὲ τοῦτο οὐκ ἔνεστιν, ὅπερ ἔξεστι μετὰ πίστεως καὶ τῆς εἰς θεὸν ἐλπίδος ποιῆσαι ἡμᾶς χρή. Ἀνοίξωμεν τοιγαροῦν εὐλαβῶς τὴν τῶν ἁγίων Εὐαγγελίων βίβλον ἐφ' ἑκάστου τῶν λεγομένων τούτων ἀνδρῶν, καὶ ὅσπερ ἂν ἡμῖν ἐκεῖθεν ἐκκαλυφθείη, ἔστω οὗτος ὡς θεοπρόβλητος. » Ἔδοξε τοῦτο τοῖς πᾶσι καὶ μετὰ τῆς πρὸς θεὸν δεήσεως ἐν συντετριμμένῃ καρδίᾳ ἐγίνετο τὸ δόξαν καλόν. Ἀνεῴγνυτο τοίνυν ἡ θεία βίβλος ἐπ' ὀνόματι τοῦ φιλοσόφου Βλεμμίδου, ἀλλ' ἦν ἄγραφος διόλου ὁ χάρτης καὶ διὰ τοῦτο οὗτος ἠμέλητο. Γέγονε καὶ εἰς τὸν ἕτερον τὸ αὐτὸ (ὁ τῆς Ἐφέσου δὲ ἦν ἀρχιερατικῶς προϊστάμενος Νικηφόρος), καὶ εὕρηται, οὐ τελεσφοροῦσιν, ὄπισθεν προσκειμένου εἰς τὴν τοῦ λόγου συνέπειαν τοῦ, συμπνίγονται, μετὰ καὶ τοῦ συνδέσμου τοῦ, καί. Ἀνεῴχθη τοίνυν κἀπὶ τῷ τρίτῳ, (παρεώραται γὰρ ἐκ τῶν γραφομένων καὶ ὁ δεύτερος, ὥσπερ ὁ πρῶτος διὰ τὸ ἄγραφον ὡς εἴρηται), ἐπεὶ δὲ ἀνέῳκται, ὄνον καὶ τὸν πῶλον ἐνέτυχον ἔχουσαν τὴν Γραφήν, καὶ ἀπεδοκιμάσθη καὶ οὗτος, (ὁ τῆς τῶν Σωσάνδρων δὲ μονῆς καθηγούμενος ἐτύγχανεν Ἰωαννίκιος ὁ Κυδώνης), θλίψις ἐπὶ τούτοις εἷλε πάντας καὶ συνοχή, καὶ αὐτὸν δὲ τὸν βασιλέα Θεόδωρον, ὅς καὶ πρὸς τοὺς παρόντας εἰρήκει « τίς ἐξ ὑμῶν γινώσκει ἕτερον, | εἰπάτω τοῦτον ἡμῖν. » φ.128

Καί τις ἔφη περὶ τοῦ Αὐτωρειανοῦ Ἀρσενίου. Τότε ζητοῦσι καὶ περὶ τούτου ἀπὸ τῆς βίβλου μαθεῖν τὸ δοκοῦν τῷ θεῷ, μετὰ συντριβῆς μείζονος τῆς καρδίας καὶ θείας τῆς ἐπικλήσεως· ἀνοίξαντες οὖν τὴν τῶν Εὐαγγελίων καὶ πάλιν βίβλον, εὑρίσκουσιν « αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ », ἐφ' ᾧ καὶ πάντες

ἐδόξασαν τὸν θεὸν, καὶ μηδὲ ἰδόντες, αὐτοῦ ἐξεκρέμαντο, καὶ ὡς ἐκ θεοῦ ποιμένα καὶ διδάσκαλον κατωνόμαζον. Ἦν δὲ οὗτος πατρὸς μὲν Ἀλεξίου τοῦ Αὐτωρειανοῦ, ὅς καὶ κριτὴς ἦν τοῦ βήλου καὶ θεῖος δικαστὴς πρὸ τοῦ ἁλῶναι παρ' Ἰταλῶν τὴν βασιλίδα τῶν πόλεων, ἡ δέ γε μήτηρ αὐτῷ ἐκ τοῦ τῶν Καματηρῶν γένους κατήγετο, Γεώργιος δὲ εἶχεν ὄνομα, καὶ μοναχὸς ἀποκαρεὶς ἔτι σωζομένης τῆς ἐν τῇ Ὀξείᾳ μονῆς, Γεννάδιος μετωνόμασται, διὰ δὲ τὸν πατέρα Ἀρσένιον ἐξ Ἀλεξίου ὅτε τὰ μοναχικὰ ἐνεδύσατο ἐπικληθέντα, ἄνδρα θεοῦ δοῦλον καὶ τοῖς πᾶσιν ἐπέραστον, Ἀρσένιος ὠνομάζετο, ὅ καὶ ἐπεκράτησε τούτῳ εἰς ὄνομα. Ἐχρημάτισε δὲ καὶ τῆς Ὀξείας ἡγούμενος, καὶ ἐπὶ τοῦ βασιλέως Ἰωάννου τοῦ Δούκα πρέσβις ἐξελέγη πρὸς τὸν Πάπαν σταλῆναι μετὰ τῶν ἀρχιερέων, τοῦ τότε Κυζίκου καὶ τοῦ Σάρδεων· τὰ πάντα δὲ παριδὼν, τῷ ἐν τῇ τῆς Ἀπολλωνιάδος λίμνῃ σεμνείῳ ἑαυτὸν καθεῖρξε, θεῷ μόνῳ ζῆν καὶ γινώσκεσθαι προελόμενος, καὶ ξένια παρασχὼν ὡς ἂν ἐκφυγεῖν δυνηθείη τὸ τῆς Ὀξείας προΐστασθαι· ὅτε καὶ ὁ πατριάρχης Μανουὴλ, ἐπεὶ μὴ ἐπείθετο τὴν τῆς Ὀξείας ἐπικρατεῖν, οὕτως εἴρηκε πρὸς αὐτὸν, « πατριαρχεῖον ζητεῖς », ἐντρέψαι τοῦτον βουλόμενος τοῦ κατὰ σκοπόν.

Τοῦτον μαθὼν ὁ βασιλεὺς ἔν τινι τῶν κατὰ τὴν Ἀπολλωνιάδα λίμνην νησιδίων διάγειν, γραμμάτων ἔχοντα εἴδησιν (ἐφήψατο καὶ γὰρ τῆς γραμματικῆς παιδείας, καὶ τῶν ἐγκυκλίων μαθημάτων ἐν πείρᾳ γέγονεν ὅσον ἃ ἀναγινώσκει γινώσκειν, καὶ μὴ κλονεῖσθαι τοῖς περὶ ταῦτα κομψοῖς), ἐκ νεότητος τὸν ζυγὸν τοῦ μονήρους βίου ἀράμενον καὶ μαρτυρούμενον ὑπὲρ πολλοὺς καὶ τῶν δοκούντων προκόπτειν ἐν ἀρεταῖς, ὡς εἶχε τάχους στέλλει τοὺς αὐτὸν ἄξοντας. Καὶ ὅς ἀφίκετο. Ἐπεὶ δὲ τὴν ἀπὸ τῆς Νικαίας ὁ βασιλεὺς ἔξοδον ἔσπευδε, τῇ τῶν ἀρχιερέων ὁμηγύρει κοινωσάμενος, καὶ συμφωνοῦντας εὑρὼν, διὰ τάχους χειροτονῆσαι προστάττει πατριάρχην αὐτὸν,

οἵ καὶ οὑτωσὶ διεπράξαντο, ἐν μιᾷ ἑβδομάδι διάκονον καὶ ἱερέα καὶ πατριάρχην αὐτὸν ἐκτελέσαντες.

Τότε καὶ τὸν τοῦ χριστομάρτυρος ἤρξατο Τρύφωνος κτίσαι ναὸν, καὶ εἰς ὅ νῦν ὁρᾶται κάλλος καὶ μέγεθος ἤγαγε, καὶ σχολεῖα γραμματικῶν καὶ ῥητόρων ἔταξεν ἐν αὐτῷ, διδασκάλους ἐπιστήσας, καὶ μαθητὰς ἀποτάξας, ἐκ βασιλικῶν θησαυρῶν τὰ σιτηρέσια τούτους ἔχειν διορισάμενος φιλοτίμως. Ἦν δὲ ὁ τοῦ μάρτυρος Τρύφωνος ναὸς πρότερον ἐκ χωματίνων πλίνθων ἐσεσκευασμένος, καὶ κάτω που τῆς γῆς κείμενος ὑπόγεως, ὡς ἐλλιμνάζειν ἐν τῷ ἐδάφει τούτου καὶ ὕδωρ, καὶ διὰ τοῦτο ἀποτρέπεσθαι τοὺς πολλοὺς καὶ τὴν ἐς αὐτὸν εἴσοδον.

Ἡ δὲ τοῦ τάχιον τῆς Νικαίας τὸν βασιλέα ἐξελθεῖν αἰτία ἦν αὕτη. Ὁ Βούλγαρος Μιχαὴλ, ὅς καὶ γυναικάδελφος τοῦ βασιλέως Θεοδώρου ἐτύγχανε, τῷ Ἀσὰν γεννηθεὶς ἐκ τῆς τοῦ Ἀγγέλου θυγατρὸς Θεοδώρου, τὸν τοῦ βασιλέως Ἰωάννου ἐνωτισάμενος θάνατον, ἐπεὶ τὰ Δυτικὰ μέρη ἄνευ στρατευμάτων εἶδε Ῥωμαϊκῶν τυγχάνοντα, βουληθεὶς ἀνακαλέσασθαι ὅσα πρὸς τοῦ βασιλέως Ἰωάννου ἀφῄρηται τῆς Βουλγάρων ἀρχῆς, τὸν καιρὸν ἐπιτήδειον κατιδὼν, ἔξεισι τοῦ Αἵμου, καὶ τὸν Εὗρον διαπεράσας, ἐν οὐ πολλῷ χρόνῳ πολλὴν χώραν ὑφ' ἑαυτὸν ἐποιήσατο, πολλά τε ἄστη τῶν Ῥωμαίων ἀπέσπασε. Βούλγαροι γὰρ οἱ τούτων ὄντες οἰκήτορες, ῥᾳδίως τοῖς ὁμοφύλοις προσέτρεχον, τοὺς ἀλλογλώσσους Ῥωμαίους ἀποσειόμενοι· οἱ δὲ εἰς φρουρὰν τῶν ἄστεων ἀπολελειμμένοι μόνοι οὐκ ἦσαν ἱκανοὶ ταῦτα τηρεῖν· διὸ καὶ εὐχείρωτα ἦσαν, τῶν μὲν φόβῳ προδιδόντων αὐτὰ |φ. 12
καὶ τὴν πρὸς τὰ οἴκοι λαμβανόντων ἐλευθερίαν, τῶν δὲ πρὸς τὴν ἐξαίφνης ἔφοδον τῶν Βουλγάρων μηδὲν ἐχόντων ἐπινοῆσαι, καὶ ἀποδιδρασκόντων καὶ ἔρημα καταλιμπανόντων ἅπερ ἐφύλαττον, ἄλλων δὲ καὶ χρόνῳ ἀποκαμόντων, ὡς παραταθέντος αὐτοῖς τοῦ καιροῦ, τὰ πλείω δὲ τῶν ἄστεων καὶ ἀπεριποίητα ἦν, καὶ τῶν χρειωδῶν ὅπλων ἄμοιρα. Κατεσχέθη μὲν οὖν Στενίμαχος,

Περιτρίτζα, Κρυτζιμὸς, Τζέπαινα, καὶ τὰ ἐν τῇ Ἀχριδῷ σύμπαντα, πλὴν Μνειάκου, Οὖστρα δὲ καὶ Περπεράκιον, καὶ Κρυβοῦς, καὶ τὸ τῇ Ἀδριανοῦ παρακείμενον, Ἐφραίμ τε κεκλημένον, τοῖς Βουλγάροις κεχείρωται.

Τούτων οὖν οὕτω συμβάντων, καὶ τὰ περὶ τούτων τοῦ βασιλέως ἀναμαθόντος, ἀλλὰ καὶ περὶ τῶν λοιπῶν ἀποδειλιάσαντος, καὶ τὴν πρὸς τὴν Δυτικὴν χώραν βουλομένου ποιῆσαι περαίωσιν, συνεκαλοῦντο πάντες οἱ ἐν τέλει, καὶ οἱ τεταγμένοι εἰς στρατειὰς, ἀλλὰ καὶ οἱ πρὸς τοῦ πάππου αὐτοῦ θεῖοι, ὅ τε Μανουὴλ καὶ ὁ Μιχαὴλ, καὶ βουλὴ προετίθετο τί ἂν ἔχοι πρὸς τὰ γεγενημένα διαπράξασθαι. Οἱ μὲν οὖν πλείονες, διαπεράσαι τὸν βασιλέα τὸν Ἑλλήσποντον συμφέρον ἔλεγον εἶναι, καὶ στῆσαι τὴν τῶν Βουλγάρων φοράν· τοῦτο δὲ τοῖς τοῦ βασιλέως θείοις οὐκ ἤρεσκεν, οἷς καὶ μᾶλλον προσεῖχεν ὁ βασιλεὺς, διά τε τὴν τοῦ γένους γνησιότητα, καὶ τὸ τῆς ἡλικίας πολύετες, οὐχ ἧττον δὲ καὶ τὸ τῶν πολλῶν ἴδρεις εἶναι πραγμάτων. Φυγάδες γὰρ οὗτοι γεγονότες τῆς τοῦ βασιλέως Ἰωάννου διακρατήσεως, πολλοῖς προσωμίλησαν δεσπόταις, καὶ εἰς διαφόρους τόπους πεπλάνηνται, καὶ ἦσαν ὡς ἀληθῶς νοήμονες· οὐκ ὀρθὰ δὲ ἐφρόνουν τοῖς τῶν Ῥωμαίων πράγμασιν, αἰτίαν ἔχοντες τὸ μήτε παρὰ τοῦ ἀδελφοῦ βασιλέως εἰς τιμὴν ἀναχθῆναι βασιλέως ἀδελφοῖς πρέπουσαν, ἀλλὰ καὶ παρὰ τοῦ γαμβροῦ βασιλέως καὶ φυγαδίαι τῆς Ῥωμαίων γενέσθαι· τὸ δὲ πλέον, τὰ ἤθη τούτων ἀβέβαια ὄντα καὶ ἄστατα, τοιούτους αὐτοὺς ἐποίουν καθίστασθαι· ἅπερ οὐδὲ τὸν βασιλέα Θεόδωρον διελάνθανον, τέως ὡς οἰκείους καθ' αἷμα, καὶ τῷ τιμᾷν αὐτοὺς βούλεσθαι, ἐχρῆτο πρὸς συμβουλήν. Εἰσηγοῦντο γοῦν οὗτοι, ὡς οὐ χρὴ διαπεράσαι τὸν βασιλέα, ὅτι κακῶς ἔχει τὰ Δυτικὰ, καὶ ὅτι στράτευμα οὐκ ἔστι τῷ βασιλεῖ, προσῆκον πράξει βασιλικῇ· ὁ γὰρ χειμὼν ἐκώλυε τὴν συνδρομὴν τοῦ στρατοῦ. Τὸ δ' ἐπιδημῆσαι τὸν βασιλέα κατὰ χώραν, καὶ μὴ ποιῆσαι

τοῦ ὀνόματος ἀξίως, καὶ τὰ ἡμέτερα ἐλαττοῖ, καὶ τῶν ἐναντίων ἐστὶν εἰς ὕψωμα.

Καὶ οὗτοι μὲν ταῦτα· ὁ δὲ πεποθημένος τῷ βασιλεῖ Μουζάλων, τὴν τοῦ μεγάλου δομεστίκου δύναμιν περιεζωσμένος, τὴν βασιλικὴν περαίωσιν συνεβούλευε, καὶ ἄλλοι δὲ τῶν ἐπιφανῶν τῇ τούτου γνώμῃ συνήνουν. Καὶ ἴσχυσεν ἡ τῶν πλειόνων βουλὴ, μάλιστα δὲ τοῦ βασιλέως τὸ πρόθυμον, καὶ ὁ τῆς καρδίας αὐτοῦ ζῆλος διαθερμανθεὶς πρὸς τὴν κίνησιν, ἡνίκα καὶ τὸν μάρτυρα Τρύφωνα, ὡς ἔλεγε, καθ' ὕπνους τεθέαται προτρέποντα τὴν περαίωσιν, ὃν κἀν ταῖς δυσχωρίαις, ὡς διεβεβαιοῦτο, ὕπαρ οὐκ ὄναρ πολλάκις ἑώρακε τῶν δυνάμεων προηγούμενον.

Τοίνυν καὶ προσλαβὼν ὅσοι ἕπεσθαι ἔτυχον, καὶ τοὺς καθ' ὁδὸν συνερχομένους, διαπεραιοῦται τὸν Ἑλλήσποντον, καταλιπὼν εἰς τὴν Ἕω τὸν μέγαν δομέστικον.

Φθάνει γοῦν εἰς Ἀδριανούπολιν, καὶ μίαν προσκαρτερήσας ἡμέραν ἐκεῖ, τῇ ἑξῆς ἔξεισι. Καί τις τῶν ἐκ Βουλγάρων κατοπτήρων πρὸς τὸν Βούλγαρον τρέχει, καὶ διασαφεῖ τοῦ βασιλέως τὴν ἔφοδον· περὶ τὸν Εὗρον γὰρ ἐστρατοπεδεύετο· τοῦτο συνέχεε μὲν τοὺς περὶ τὸν Βούλγαρον, οὐ μὴν τοῦ τόπου ἀπέστησαν, ἀλλ' ἐκεῖ ἔμενον ἔτι βεβαιότερον τὰ τῆς φήμης μαθεῖν θέλοντες. Ἀλλ' οὐδὲ τὸν βασιλέα τὰ τοῦ Βουλγάρου διέλαθε, διὸ καὶ τὴν πορείαν ἐπέτεινε τῷ Βουλγαρικῷ συντυχεῖν στρατεύματι ἐπισπεύδων. Ἀλλ' ἔτυχε σφαλεὶς τοῦ βουλεύματος· οἱ γὰρ τῶν Ῥωμαϊκῶν προάγοντες στρατευμάτων, τοῖς εἰς φυλακὴν τῶν Βουλγάρων συμπεπτώκασι, καὶ πολλοὺς μὲν ξίφους ἔργον ἐποίησαν, ἄλλους δὲ ζωγρίας εἷλον, σὺν αὐτοῖς καὶ τὸν ἡγεμόνα τῆς στρατιᾶς, οἱ δ' ἕτεροι φυγῇ χρησάμενοι, τοῖς οἰκείοις διηγοῦντο ἃ ἔπαθον, καὶ ὅτι πλησίον ὁ βασιλεὺς διεσάφησαν. Ὡς γοῦν ἕκαστος ἔτυχε, καὶ αὐτὸς δὲ ὁ ἄρχων αὐτῶν, πρὸς τὰ ἐνδότερα τῶν Βουλγαρικῶν χώρων ἐφέ-

129*ροντο, [ὡς καὶ τὰ πρόσωπα τούτων συντρίβεσθαι τοῖς κλάδοις τῶν δένδρων, συνηρεφέσιν οὖσι, καὶ ἀχρειοῦσθαι· ὃ δὴ καὶ ὁ ἄρχων αὐτὸς ἔπαθεν· οἱ πλείους δὲ καὶ γυμνοῖς ἐφεστρίδων τοῖς ἵπποις ἐπεκάθισαν.

Οὕτω τὴν Ῥωμαϊκὴν οἱ Βούλγαροι σπάθην ἀπέφυγον. Ἕωθεν δ' ἐπιστὰς τῷ τόπῳ ὁ βασιλεύς, καὶ τὴν φυγὴν ἐκείνων μαθών, λελύπηται μέν, οὐκ εἶχε δὲ ὅ τι καὶ δράσειε· διὸ καὶ πρὸς τὴν Βερόην χωρεῖ, καὶ τὸ φρούριον εἶλε, καὶ τροφῶν ηὐμοίρησε τὰ στρατεύματα, αὐτοί τε καὶ οἱ τούτων ἵπποι. Καὶ ἐνδοτέρω τοῦ Αἵμου ἐχώρει ἂν ὁ βασιλεύς, καὶ τοῖς ἐκεῖ φρουρίοις τὴν ἔφοδον ἐποιήσατο, ὅτι μηδὲ εἶχε τὸν ἀνθιστάμενον, εἰ μὴ χειμὼν βαρύτατος ἐπεισπεσὼν ἐκώλυσε τῆς ὁρμῆς.

Ἡμέρας οὖν ἓξ ἐκεῖ διακαρτερήσας ὁ βασιλεύς, ἐπεὶ διὰ τὸν χειμῶνα οὐκ εἶχέ τι ἕτερον δρᾶσαι, ληϊσάμενος τὰ Βερόης, ἄνδρας, γυναῖκας, νήπια, πρόβατα βόας, καὶ ἄλλο εἴ τι κινεῖσθαι δυνάμενον ἦν, ὑπέστρεψεν εἰς τὴν Ἀδριανοῦ. Ἐκεῖθεν οὖν ἐπιλεξάμενος στράτευμα, στέλλει πρὸς τὰ ἐν Ἀχριδῷ φρούρια, ἃ πρὸ μικροῦ οἱ Βούλγαροι ἐχειρώσαντο, καὶ ῥᾷον τούτων καὶ πάλιν οἱ Ῥωμαῖοι ἐκράτησαν, τῶν φυλάκων Βουλγάρων ἀποφυγόντων. Καὶ ὁ βασιλεὺς περὶ τὰ ἐν Ῥοδόπῃ ἄστη κεχώρηκε, καὶ εἶλε Περιστρίτζαν, Στενίμαχον, καὶ Κρυτζιμόν· ἀφίκετο δὲ καὶ εἰς Τζέπαιναν, ἡ δὲ ἀκμὴ τοῦ χειμῶνος καὶ ἡ τοῦ τόπου δυσχωρία οὐδὲ μικρὸν προσκαρτερῆσαι συνεχώρησαν.

Ἐπεὶ δὲ τὸ ἔαρ ἐπέλαμψε, γράφει πρὸς τὸν Στρατηγόπουλον Ἀλέξιον, καὶ τὸν Τορνίκην Κωνσταντῖνον, ὃν μέγαν πριμικήριον ὁ βασιλεὺς Ἰωάννης ἐτίμησεν, ἵνα τὴν στρατιὰν συναγαγόντες ἧς καὶ ἦρχον, κατὰ τὴν (γρ. τῆς) Τζεπαίνης ἀφίκοντο· ὃ δὴ καὶ ἐποίησαν· οὐκ ἀγαθοὶ δὲ ἐφάνησαν ἐν τῷ ἐπιχειρήματι τῷδε στρατηγοί· μήτε γὰρ πολεμίαις ἐγκύρσαντες στρατιαῖς, κτύπων δὲ καὶ μόνων καὶ ἤχων κερατίνων ἀκροασάμενοι, ἀκόσμως ἔφυγον, πᾶσαν ἀποσκευὴν καὶ πολλοὺς τῶν

ἵππων τοῖς ποιμέσι τῶν Βουλγάρων καταλιπόντες, καὶ γυμνοὶ τῶν ἵππων καὶ ὅπλων τὰς Σέρρας κατέλαβον.

Ὁ δὲ βασιλεὺς διὰ ταῦτα θυμοῦ ἐπέπληστο, καὶ προσέταξεν αὐτοὺς ἐκείνους ὅπως ἂν ἔχοιεν περὶ τὴν αὐτὴν μάχην χωρῆσαι· οἱ δὲ ἀδυνάτως εἶχον τῆς πράξεως.

Συνέβη δὲ καί τι βαρύτερον ἕτερον· ὁ γὰρ τοῦ Μελενικιωτικοῦ ἐξάρχων στρατοῦ Δραγωτᾶς, καὶ φύσει μὲν ὡς Βούλγαρος τρέφων τὸ δύσνουν κατὰ Ῥωμαίων, καὶ ἀπεχθῶς ἔχων πρὸς τὸν βασιλέα, ὅτι μὴ μεγάλων ἐπέτυχεν, οὐ γὰρ ἄξια τὰ παρὰ τοῦ βασιλέως ἔκρινεν Ἰωάννου αὐτῷ κεχορηγημένα, καὶ ταῦτα πλεῖστα τυγχάνοντα, ἀποστασίαν φανερὰν μεμελέτηκε, καὶ πάντας τοὺς ἐν τῷ Μελενίκῳ καὶ τοὺς ἐν ταῖς πέριξ χώραις στρατιώτας συναγαγών, παρεκάθισε τὸ ἄστυ καὶ ἐφιλονείκει πορθεῖν. Ἦσαν δὲ ἐν τούτῳ προτεταγμένοι τῶν φυλασσόντων ὁ Νεστόγγος Θεόδωρος, καὶ ὁ Ἄγγελος Ἰωάννης, ἄνδρες δεξιοὶ ἄστυ φυλάξαι, καὶ πολεμίους ἐκτρέψασθαι. Ἐστενοχώρει δὲ τοὺς ἔνδον ἡ τοῦ ὕδατος σπάνις ἐν ὥρᾳ θέρους καὶ μόνη, τῶν γὰρ ἄλλων χρειωδῶν εἶχον ἀρκούντως. Οὗτοι γοῦν καρτερῶς τοῖς ἐναντίοις ἀνθίσταντο, καὶ ἔβαλλον λίθοις καὶ οἰστοῖς, καὶ πᾶσιν ὅπλοις ἐμάχοντο. Ὁ δὲ βασιλεὺς τούτων ἀκηκοώς, ὡς εἶχε τάχους τὸ στράτευμα συναγηοχώς, δωδεκαταῖος τὰς Σέρρας κατέλαβεν, ἐν ὀλίγῳ τοσαύτην διανύσας ὁδόν, τοσοῦτον ἐπαγόμενος στράτευμα ὡπλισμένον καὶ ἵπποις φορταγωγοῖς διοικούμενον, καὶ πάσαις ἄλλαις ἀποσκευαῖς. Ἐπεὶ δὲ μέχρι Σερρῶν ἔφθασε, διανυκτερεύσας, ἅμα πρωῒ τὰ στρατεύματα συνταξάμενος, καὶ τοὺς πεζαιτέρους καὶ τοξοφόρους ἔμπροσθεν βαίνειν ἐγκελευσάμενος· ἤκουσε γὰρ τὴν τοῦ Ῥοπελίου κλεισούραν, καθ' ἣν ὁ ποταμὸς Στρυμὼν διαρρεῖ δυσὶ συγκλειόμενος ὄρεσιν, ὡς μόλις ἅμαξαν διὰ ταύτης διέρχεσθαι, Βουλγαρικῇ μεγάλῃ φυλάττεσθαι στρατιᾷ, καὶ πύλας δὲ κατεσκεύασαν ἐν αὐτῇ, μοχλοῖς καὶ κλείθροις ἠσφαλισμένας, ὡς ἄμαχα τούτοις

τυγχάνειν ἔκ τε τῆς τοῦ τόπου δυσχωρίας, ἔκ τε τῆς αὐτῶν ὀχυρώσεως τὰ ἐκεῖ· ταῦτα ἐπεὶ μάθοι βασιλεύς, σπουδῇ περὶ τὸν ἐκεῖσε χῶρον ἀφίκετο· εὗρε δέ τὰ ἐν αὐτῷ καθάπερ καὶ ἤκουσεν.

Ἀποκόψας οὖν τῆς τῶν πεζῶν στρατιᾶς ὅσον ἦν εἰκὸς σύν-
30 ταγμα, ὑπὲρ κεφαλῆς τῶν | Βουλγάρων εἰς τὸ ὄρος βαδίζειν ἐκελεύσατο. Οἱ δὲ θᾶττον ἐποίουν τὰ προσταττόμενα. Τοῖς ἱππεῦσι δὲ κατ' εὐθὺ τῶν πυλῶν τὴν μάχην ποιεῖν διετάξατο. Ἐπεὶ οὖν κατεῖδον οἱ Βούλγαροι ἄνωθεν μὲν οἰστοῖς ἑαυτοὺς βαλλομένους ἐκ τῶν ὀρῶν, κάτωθεν δὲ σταδιαίαν κεκτημένους τὴν μάχην, εἰς φυγὴν ἐτράποντο· καὶ τὸ βασιλικὸν αὐτοῖς ἐφείπετο στράτευμα. Πολλοὶ μὲν οὖν τῶν Βουλγάρων ἐκεῖσε σπάθης ἔργον γεγένηνται, οἱ δ' ἄλλοι διασωθέντες ἀπήγγειλαν ὅσα ἔπαθον τοῖς οἰκείοις· οἱ δὲ, διαταραχθέντες ἐν οἷς ἤκουσαν, ἕκαστος ὡς εἶχεν, ἵππου τοῦ ἐφευρεθέντος αὐτῷ σχεδὸν ἐπιβὰς, φεύγειν ὥρμησαν. Ἐπεὶ δὲ ἡ νὺξ ἦν ἀσέληνος, καθ' ἣν ἡ φυγὴ, καὶ δυσχερὴς ὁ τόπος, καὶ τὰ τῶν ὁδῶν δυσδιάγνωστα, ἔπιπτον ἐξ ἵππων μὲν ἔνιοι, ἕτεροι δὲ αὐτοὺς κατεπάτουν, ἄλλοι ὠθοῦντο κατὰ κρημνῶν, ἄλλοι δὲ ἄλλως τέλος δύστηνον ἀπελάμβανον, ὡς ὀλίγους διασωθέντας πρὸς τὴν τῶν Βουλγάρων χωρῆσαι. Τότε δὴ καὶ ὁ Δραγωτᾶς ἵππων ποσὶ τὸ σῶμα συντέθλασται, καὶ τριταῖος ἀπέρρηξε τὴν ψυχήν.

Ὁ δὲ βασιλεὺς τῆς νυκτὸς ἐκείνης τὸ ἄστυ καταλαβὼν, τοῖς ἐκεῖσε φυλάττουσι συνωμίλησε, κἀκεῖνοι ἀσπασίως τὸν αὐτοκράτορα ὑπεδέξαντο, καὶ κρότοις ἐπῄνουν, καὶ λόγοις ἐκύδαινον, καὶ ἀετὸν ταχὺν κατωνόμαζον.

Τὰ γοῦν ἐν τῷ Μελενίκῳ ὡς ἔδει διαταξάμενος, καὶ τὰς γυναῖκας καὶ παῖδας τῶν ἀπιστησάντων ἐξορίσας ἐκεῖθεν, καὶ τὰ αὐτῶν δημοσιευθῆναι κελεύσας, ἀπάρας εἰς τὴν Θεσσαλονίκην ἀφίκετο, καὶ τὸν Βαρδάριον διαπεράσας, καὶ τὰ Βοδηνὰ παραμείψας, τὰς σκηνὰς ἔπηξεν.

Ἐνόσησε δὲ νόσημα ἑδρικὸν, τοῦτο καὶ ἐπιδήμιον τοῖς ἐκεῖσε στρατεύμασιν ἐγεγόνει. Διακαρτερήσας οὖν ὅσον τῆς νόσου ῥαῖσαι, φθάνει περὶ τὸν Πρίλαπον, κἀκεῖθεν ἑλεπόλεις καὶ μηχανήματα συγκομισάμενος, ἐς τὸν Βελεσὸν ἐχώρει, πολιορκῆσαι τοῦτον καὶ τῆς τῶν ἐχθρῶν χειρὸς ἐξελεῖν. Οἱ δ' εἰς φυλακὴν τούτου τῇ τοῦ βασιλέως ἐφόδῳ καὶ μόνῃ καταβροντηθέντες, εἰς συμβάσεις ἐλθόντες, ἐφ' ᾧ μή τι παθεῖν δεινὸν, αὐτοῖς δὲ ὅπλοις καὶ πράγμασι τοῦ ἄστεος ἐξελθεῖν, ὅρκους πρὸς τοῦ βασιλέως λαβόντες, ἐξῆλθον. Οὓς ὡς ἐθεάσατο πολλοὺς μὲν ὄντας τὸν ἀριθμὸν, (εἰς γὰρ πεντακοσίους ἐποσοῦντο), εὐμεγέθη δὲ κεκτημένους τὰ σώματα καὶ ἀγαθὰς τὰς μορφὰς, μετάμελον ἔσχεν, εἰ τοιούτους καὶ τοσούτους ἐάσει πρὸς τὴν τῶν ἐχθρῶν ἀφικέσθαι, καὶ ἐναντίους γενέσθαι Ῥωμαίοις· ὑπὸ δὲ τῶν ὅρκων ἀναγκασθεὶς, ἀπέλυσεν, ἀποδοὺς τὴν ἐλευθερίαν.

Ἐκεῖθεν οὖν μετὰ τῆς στρατιᾶς διὰ τῆς Νευσταπόλεως ἐπορεύετο, (ἄνυδρος δέ ἐστιν ὁ τόπος καὶ ἄοικος, καὶ πλήθει στρατευμάτων δυσβάδιστος)· ἄρτου γοῦν ἐνδείᾳ ἐν οὐ μετρίαις ἡμέραις διῆγεν ἡ στρατιὰ, καὶ δυσὶν ἡμέραις οἱ πλείους τῶν ἵππων ὕδατος ἔμειναν ἄγευστοι. Τὸ γοῦν τῆς Στρουμμίτζης παραμείψαντες ἄστυ, καὶ διὰ τῶν τοῦ Μελενίκου χωρῶν βαδίσαντες, αὖθις εἰς τὰς Σέρρας κατήντησαν· ἔνθα καὶ γραφὰς ὁ αὐτοκράτωρ δεξάμενος ἐκ τῶν τῆς Ἀνατολῆς μερῶν παρὰ τοῦ μεγάλου δομεστίκου τοῦ Μουζάλωνος σταλείσας, ὡς ἡ τῶν Μουσουλμάνων πρὸ τῶν Ἀτάρων κυμαίνεται, ἐπέτεινε τὴν ὁδὸν, μακροτέρας τὰς ἡμερησίους ὁδοὺς ποιούμενος. Ἐπεὶ δὲ περὶ τὴν Μαρίτζαν ἐπεφθάκει, καὶ μὴ οὕτως ἔχειν μάθοι τὰ πράγματα, τῆς ταχυτῆτος ἀνεὶς σχολαιότερον ἐπορεύετο, παρεγκλίνας δὲ ἐς τὸ Διδυμότειχον ἀφίκετο, κἀκεῖθεν εἰς τὴν Ἀδριανοῦ.

Καὶ ἐπειδὴ δύο τῶν παρὰ τῶν Βουλγάρων κατασχεθέντων φρουρίων ἐναπελείφθησαν ἃ μὴ ἠλευθέρωσεν ὁ βασιλεὺς, ἐν τοῖς βουνοῖς τῆς Ἀχριδοῦ κείμενα, ὁ Πάτμος τε καὶ ἡ Τζέ-

παινα, ἐν δεινῷ ἐποιεῖτο, ὅτι μὴ καὶ αὐτῶν ὡς τῶν ἑτέρων ἐκράτησεν· ἀλλὰ τὸν μὲν Πάτμον ὁ Φιλανθρ[ωπ]ηνὸς Δούκας Ἀλέξιος εἷλεν, εἰς φυλακὴν τῶν ἐν τῇ Ἀχριδῷ καταστάς, τοῦ δὲ τῆς Τζεπαίνης λίαν τυγχάνοντος ὀχυροῦ καὶ περὶ τὴν συμβολὴν τελοῦντος τοῦ Αἵμου τε καὶ τῆς Ροδόπης, δύο μεγίστων ὀρῶν καθ' ὧν μέσον ὁ Εὗρος ῥεῖ ποταμός, περὶ τούτου καὶ ἐ-
130 δυσφόρει καὶ ἠγωνία. | Ἔσπευσε μὲν οὖν καὶ κατὰ ταύτης στρατεῦσαι, ἡ δέ γε ὥρα τοῦ θέρους παρῆλθε, καὶ τὸ μετόπωρον ἐγγὺς τοῦ παραδραμεῖν. Ὁ δὲ μηδέν τι τοῦ καιροῦ φροντίσας, μηδὲ τὸ τοῦ χειμῶνος προδιασκοπήσας δριμύ, καὶ μάλιστα ἐν χώρῳ τοιούτῳ, μόνου δὲ τοῦ τὸ οἰκεῖον τελέσαι βούλημα ὅλος γενόμενος, τὴν στρατιὰν κινήσας ἐκ τῆς Ἀδριανοῦ, ἁμάξας πολλὰς ἐκ τῆς τῶν Μακεδόνων συλλεγῆναι προστάξας, ἅμα μὲν καὶ ἐπὶ τῷ τὰς ἑλεπόλεις φέρειν, ἅμα δὲ καὶ ἐπὶ τῷ διακομίζειν τὰ ζωαρκῆ τοῦ στρατεύματος, πεζῶν τε πληθὺν οὐκ εὐαρίθμητον συνηθροικώς, τῆς Ἀδριανοῦ ἀπάρας, κατὰ τῆς Τζεπαίνης ἐχώρει· καὶ κατὰ τὴν Μακρολιβάδα καταλύσαντος, δεινὸς συμπίπτει χειμών· ἐξ ἑσπέρας γὰρ ἀρξάμενος καὶ δι' ὅλης τῆς νυκτὸς τὴν σφοδρότητα τοῦ ψύχους καὶ τοῦ ἀνέμου προσεπιτείνας τὸ βίαιον, πολλὴν ἐνεποίησε τὴν δυσχέρειαν· ὅ τε γὰρ τόπος ἄοικος, καὶ ἐγγὺς οἱ πολέμιοι, καὶ ἡ προσδοκωμένη τῶν ἀναγκαίων σπάνις ἐκύμαινε τὰς πάντων ψυχάς· εἰς τοσαύτην γοῦν δυσφορίαν συνελαθείς, τοὺς ἡγεμόνας τῶν στρατευμάτων οὐ μόνον Ῥωμαίων, ἀλλὰ καὶ Σκυθῶν καὶ Λατίνων μετακαλεῖται, καὶ ἐρωτᾷ τί δεῖ ποιεῖν. Καὶ πάντες σχεδὸν ἐβουλεύσαντο, ἐς τὴν Ἀδριανούπολιν ὑποστρέφειν. Ὁ δὲ πρὸς αὐτοὺς εἴρηκεν ὡς «ὑμεῖς μὲν ὅπερ συμφέρον ἔδοξε καλῶς ἐβουλεύσασθε, εἰ δὲ καὶ αὐτὸς ἕτερόν τι σὺν θεῷ νοήσαιμι, οὐκ ἂν δέξησθε τοῦτο, ὡς ἀπὸ δεσπότου νουνεχοῦς εἰρημένον, καὶ ὑμῶν ὡς δέον προνοουμένου;» Καὶ πάντες συνέφησαν, «ὅπερ ἂν τῷ σῷ δόξειε κράτει, στερκτὸν

καὶ ἀσπαστὸν λογιούμεθα.» Τούτους μὲν οὖν ἀπέλυσεν ὁ βασιλεὺς εἰς τὰς ἑαυτῶν σκηνὰς ἀπελθεῖν· αὐτὸς δὲ εἰς τὸν αὐτοῦ κοιτῶνα εἰσιὼν, μετὰ τῶν περὶ αὐτὸν ἐβουλεύετο· τινὲς οὖν τὴν τῶν ἔξωθεν βουλευσαμένων βουλὴν ἐνεργηθῆναι ἤθελον, ἄλλοι δὲ, οἷς καὶ κρεῖττον διανοηθῆναι τῷ βασιλεῖ ἔδοξε, τὰ ἐναντία εἰρήκασιν· ἔφησαν γὰρ, ὡς μέσον ἐσμὲν κατὰ τὴν ὁδὸν, τοῦ τε Στενιμάχου καὶ τῆς Ἀδριανοῦ, καὶ ὥσπερ ἐκεῖ, οὕτω δὴ καὶ εἰς τὸν Στενίμαχον τὰ χρειώδη ἕξομεν· εἰ μὲν οὖν εἰς τὴν Ἀδριανούπολιν ὑποστρέψομεν, δειλίᾳ ἢ τῇ τοῦ χειμῶνος δυσχερείᾳ δόξαιμεν ν τοῖς ἐχθροῖς τοῦτο ποιῆσαι· εἰ δὲ πρὸς τὸν Στενίμαχον ἀπίωμεν, καὶ ἀμφοτέρων ὑπέρτεροι τῶν ὑπονοιῶν φυλαχθείημεν. Ἀρεστὸν οὖν ἔδοξε τοῦτο τῷ βασιλεῖ, καὶ ἐπεὶ τῆς δριμύτητος τὸ πολὺ ἔληγε, καὶ ἡ τῆς χιόνος ἔστη φορὰ, ἐκεῖθεν τὰς συντάξεις τῶν στρατευμάτων λαβὼν, ἄπεισιν εἰς τὸν Στενίμαχον, κἀντεῦθεν χορτάσματα λαβεῖν τὸ πᾶν παρακελευσάμενος στράτευμα, κατὰ τῆς Τζεπαίνης ἔθετο τὴν ὁρμήν. Καταντᾷ οὖν εἰς τὸ ἄστυ ὃ Βακτούνιον λέγεται, ἱκανὸν εἰς πολλὰς ἡμέρας ἐξαρκέσαι τὰ εἰς ζωάρκειαν τῷ στρατῷ· ὅθεν ἀπεστάλκει τὸν θεῖον αὐτοῦ Μανουὴλ τὸν Λάσκαριν, μοναχὸν ὄντα καὶ Μάξιμον ὀνομαζόμενον, καὶ τὸν τοῦ ἀλλαγίου αὐτοῦ ἄρχοντα Κωνσταντῖνον τὸν Μαργαρίτην, κατοπτεῦσαι τὸν τόπον καὶ εἰ εὐχερεστέραν τὴν πρὸς αὐτὸν πορείαν σχοίη τὸ στράτευμα. Οἱ δὲ ἀπιόντες εὐχερῆ τὴν ἄνοδον κατήγγελλον ὡς ὑπέστρεψαν, καὶ μάλιστα ὁ Μαργαρίτης, καίτοι γε πολλῶν τῶν εἰδότων ἀντιλεγόντων· ἀλλὰ τοῖς τούτων λόγοις πεισθεὶς ὁ βασιλεὺς, μετὰ πάσης τῆς στρατιᾶς ἄνεισι. Καὶ ἦν μὲν πάντη ἀνάντης ὁ χῶρος, καὶ παγετὸς δὲ παχύτερός τε καὶ λεῖος ἐπέτεινε τὴν δυσκολίαν εἰς βάδισμα. Ἡ μὲν οὖν στρατιὰ τὴν νύκτα πᾶσαν ἐκείνην, πυρκαϊὰς ἀνάψαντες, ἐθερμαίνετο· οἱ γὰρ τῶν πλειόνων ὑπηρέται μετὰ καὶ τῶν σκηνῶν αὐτῶν, οὐκ ἠδυνήθησαν τοὺς κυρίους εὑρεῖν· ἔ-

κλαιόν δὲ κλαυθμὸν μικροῦ δεῖν ἄπαυστον, εἰ καὶ ἄλυπον· ὁ γὰρ ἐκ τῶν πυρκαϊῶν καπνὸς ὑπὸ τῆς τῶν δένδρων πυκνότητος συνεχόμενος, καὶ διέξοδον μὴ εὑρίσκων εἰς τὸν ἀέρα, κά-
131 τω ὑπενόστει καὶ τοὺς ὀφθαλμοὺς ἔδακνε, | καὶ δάκρυον ἐκβλύζειν ἠνάγκαζε· τοῦτο καὶ ὁ βασιλεὺς ἐπεπόνθει. Ὡς δὲ ἡ νὺξ παρερρύη, καὶ ἡμέρα ἐπέλαμψεν, ἀνεπιχείρητον εἰς πολιορκίαν τὸ ἄστυ κατανοήσας, εἰς τὸ πεδίον κατιέναι τὴν στρατιὰν διωρίσατο. Καὶ οἱ μὲν ἔβαινον, ὁ δὲ φύλαξ ὄπισθεν μετὰ μετρίων ἐναπελείφθη, κατόπισθεν δὲ καὶ αὐτὸς κάτεισι πεζὸς, ὡς καὶ οἱ λοιποί, οὐδὲ γὰρ δυνατὸν ἱππότην βαδίσαι. Ἐκεῖσε γοῦν ἡμέρας διανύσας δύο, καὶ λείαν τὴν κώμην πεποιηκὼς τὸ Βατκούνιον, ἐς τὴν Ἀδριανοῦ καὶ αὖθις ὑπέστρεψε, κἀκεῖθεν εἰς τὸ Διδυμότειχον ἦλθεν.

Αὐτόθι γοῦν εἰς ἡγεμόνας τάξας τὸν Λάσκαριν Μανουὴλ, ὃν καὶ πρωτοσεβαστὸν ἐπωνόμασε, καὶ τὸν Μαργαρίτην Κωνσταντῖνον, ὃν καὶ ἄρχοντα τῆς αὐτοῦ τάξεως κατωνόμασεν, οὔπω μέχρις αὐτοῦ τὸ τοιοῦτον ἔν τινι γεγονὼς, (αὐτὸς δὲ καὶ τὸ, μ έ γ α ς, προσεπέγραφε τῷ ὀνόματι), τούτους εἰς φυλακὴν τῆς χώρας εἴασε, καὶ ἑτέρους ἡγεμόνας, καὶ μετ' αὐτῶν στράτευμα ἀξιόλογον· προσέταξε δὲ αὐτοῖς, μηδόλως εἰς μάχην ἐγκαταστῆναι τοῖς πολεμίοις, εἴπερ κατὰ τούτων ὁρμήσαιεν, Σκύθας προσλαβόντες εἰς συμμαχίαν (τοῦτο γὰρ ἡ φήμη προέλεγε), κἂν εἰς σκύλευσιν δὲ κινηθεῖεν τῆς χώρας, αὐτοὺς ἠρεμεῖν, τὴν ἀσφάλειαν ἔχοντας ἔκ τε τοῦ ποταμοῦ Εὔρου καὶ τοῦ κάστρου Διδυμοτείχου, μέχρι γὰρ τούτων διατρίβειν τούτους ἐκέλευσεν.

Οὕτω τὰ Δυτικὰ καταστήσας ὁ βασιλεὺς τὸν Ἑλλήσποντον διαπεραιωθεὶς, περὶ τὴν Λάμψακον ἔπηξε τὴν σκηνήν· ἔνθα τὸν μὲν Μουζάλωνα Γεώργιον, ὄντα μέγαν δομέστικον, πρωτοσεβαστόν τε καὶ πρωτοβεστιάριον καὶ μέγαν στρατοπεδάρχην τετίμηκε, τὸν δὲ ἀδελφὸν τούτου Ἀνδρόνικον, πρωτοβε-

στιαρίτην ὄντα, μέγαν δομέστικον κατωνόμασε, τὸν δὲ Ἄγγελον Ἰωάννην, μέγαν πριμμικήριον τελοῦντα, πρωτοστράτορα προεβάλλετο, πρωτοβεστιαρίτην δὲ τὸν Καρυανίτην. Ἐν τῇ Λαμψάκῳ γοῦν διακαρτερήσας καὶ τὰς τοῦ Χριστοῦ πανηγύρεις τῆς τε Γέννας καὶ τῶν Φώτων ἀποπληρώσας, διὰ μετρίων ἡμερῶν ἐπιφθάνει τὸ Νύμφαιον· κἀκεῖ παραχειμάσας, ἐπεὶ τὸ ἔαρ ἐπέλαμψε, πολλὴν συλλεξάμενος στρατιὰν, (οὐ γὰρ μόνον τοὺς τεταγμένους, ἀλλὰ καὶ τοὺς μηδόλως ἐν στρατιώταις τελοῦντας), ἀκολουθεῖν τούτῳ προσέταξε, κυνηγούς τε καὶ ἱερακαρίους, καὶ ἦν τὸ συνηγμένον πλῆθος πολύ. Ὡς δὲ καὶ καὶ τὸν σουλτάνον μὴ παρὰ τῶν Ἀταρίων ὄχλησίν τινα ἔχειν πρεσβείαν ἀποστείλας ἐγνώρισε, κατ' εὐθὺ πρὸς τὴν Δυσμὴν ἐκ τῆς Ἕω ἐχώρει.

Ὃ δὲ περὶ τὰ τῶν Πηγῶν μέρη ἐν τόπῳ ὃς τοῦ Μάμαντος λέγεται, σκηνουμένῳ συμβέβηκε τῷ βασιλεῖ, ἄξιον παραδοῦναι γραφῇ. Ἡμέρα ἦν ἡ πρώτη τῶν ἡμερῶν, ἡ τοῦ ὄρθρου δὲ ἀκολουθία ἐτελεῖτο παρὰ τοῦ κλήρου, καὶ πρὸς τέλος ἦν, ὅτε καὶ τῶν ἀρχόντων ἔθος πρὸς βασιλέα τοὺς πλείους εἰσέρχεσθαι· καὶ εἰσῆλθον, καὶ προσκυνήσαντες ἔστησαν. Ἐπεὶ δὲ καὶ πρὸς τὸ εἰπεῖν τὸ Εὐαγγέλιον ὁ πρεσβύτερος ἦν, τότε πέρδιξ διωκόμενος παρὰ ἱέρακος, τῆς σκηνῆς ἔνδον εἴσεισι, καὶ τοὺς πάντας παραδραμὼν, ὑπὸ τοὺς πόδας τοῦ βασιλέως εἰσῆλθεν, ὁ δὲ διώκων αὐτὸν ἱέραξ, τῆς σκηνῆς ἄνω ἐκάθισε. Καὶ ὁ βασιλεὺς « βλέπετε τὸν πέρδικα, ἔφη, τοῦτον, οὗτος ὁ τῶν Περσῶν σουλτάνος ἐστὶ, καὶ μέλλει καταφυγεῖν πρὸς ἡμᾶς, ὃν καὶ ἀποκαταστήσομεν εἰς τὰ ἴδια· ὁ δὲ διώκων αὐτὸν ἱέραξ εἰσὶν οἱ Ἄταροι· ἄφετε τοίνυν τὸν πέρδικα εἰς τὰς οἰκείας βαδίσαι νομὰς, τὴν δὲ τοῦ ἱέρακος κεφαλὴν ἀποτμηθῆναι κελεύω. » Ὃ καὶ ἐγένετο, καὶ εἰς ἔργον ἐκβέβηκε τὸ ῥηθέν.

Οὕτω μὲν οὖν τὴν εἰς τὰ τῆς Δύσεως μέρη ὁ βασιλεὺς ἔτρεχε μετὰ πολλῆς στρατιᾶς, ἐλπίζων καὶ τοὺς κατὰ τὸ Δι-

δυμότειχον καταλελειμμένους σῴους εὑρεῖν, καὶ οὐ μικρὰν προσθήκην ταῖς περὶ αὐτὸν ἐμποιήσασθαι παρατάξεσι· τοὺς δὲ ἀβουλία καὶ παρακοὴ τῆς βασιλικῆς κελεύσεως ἔσφηλε. Τῶν γὰρ Βουλγάρων ὁ ἄρχων μακρὰν ἐγνωκὼς τὸν βασιλέα διάγειν, Σκυθικὸν εἰς συμμαχίαν προσκαλεσάμενος, κατὰ τῆς Μακεδονίας ἀπέλυσε, κέρδους χάριν καὶ ἐκφοβήσεως τῶν Ῥωμαίων· ἠρίθμηντο δὲ εἰς χιλιάδας τέσσαρας, ὡς ἐλέγετο. Οἱ μὲν οὖν Σκύθαι τὴν Ἀδριανοῦ παραμείψαντες, τὰ περὶ τὸν ποταμόν, οὗ Ῥηγίνα τοὔνομα, λείαν ἐποιοῦντο, καὶ τὰ πέριξ τοῦ Διδυμοτείχου χωρία ἐσκύλευον.

131* | Οἱ δὲ προδηλωθέντες στρατάρχαι, τῶν βασιλικῶν ἐπιλελησμένοι διαταγῶν, καθοπλισθέντες ὥρμησαν κατὰ τῶν Σκυθῶν.

Οἱ μὲν οὖν Ῥωμαῖοι, δυσαχθεῖς τοῖς ἵπποις, ὡς ὅπλοις κατάφρακτοι ἦσαν, οἱ δὲ Σκύθαι κοῦφοι ὁπλῖται καὶ τόξοις χρώμενοι· ἔβαλλον οὖν οὗτοι μακρόθεν τοὺς Ῥωμαίους τοῖς βέλεσι, καὶ τοὺς ἵππους ἐτίτρωσκον, καὶ πεζοὺς τοὺς ἱππότας ἐποίουν, καὶ τέλος τρέπουσιν. Ὁ μὲν οὖν Λάσκαρις ταχύτατον ἔχων τὸν ἵππον, ὃν καὶ Χρυσοπόδην ὠνόμασε, φυγὰς εἰς Ἀδριανούπολιν ᾤχετο· ὁ δὲ Μαργαρίτης ἑάλω, καὶ ἄλλοι πολλοὶ τῶν εἰς κεφαλὰς τεταγμένων τῆς στρατιᾶς, οὓς καὶ ἀπημπόλησαν τοῖς Βουλγάροις οἱ Σκύθαι. Εἴασε μὲν γὰρ τούτους ὁ βασιλεὺς διάγειν ὅπου καὶ ἔταξεν, ὡς δεδήλωται, αὐτοὶ δὲ περὶ τὰ Θρακῷα μέρη τῆς Ἀδριανοῦ ἀπελθόντες, εἰς τόπον ὃν Βαρσακινὰς οἱ ἐπιχώριοι λέγουσιν, ἐκεῖ κατὰ κράτος ἡττήθησαν.

Ταῦτα ὁ βασιλεὺς μαθών, ἠνιάθη, ἔσπευδε δὲ διὰ τάχους εἰς τὸ Βουλγαρόφυγον ἐλθεῖν, καὶ ὀξυτέραν ἐποιεῖτο τὴν κίνησιν. Ἐπεὶ δὲ καὶ οἱ σκοποὶ ἐγγὺς τυγχάνειν τὸ Σκυθικὸν ἔφασκον, (καὶ γὰρ οἱ βάρβαροι διελθόντες τὴν τῆς Ῥαιδεστοῦ χώραν, τῆς Ἡρακλείας τε καὶ Βιζύης καὶ τῶν πέριξ, πολλοὺς μὲν αἰχμαλωτίσαντες, πολλὴν δὲ καὶ λείαν συναγαγόντες, νόστου ἐμέμνηντο), ἐκεῖσε καὶ πᾶσαν ἐκίνει τὴν στρατιάν, καὶ

μιᾶς ἡμέρας πλείους τῶν τετρακοσίων σταδίων διήνυσεν. Οὐκ ἐνέτυχε δὲ τούτοις, ἔμαθον γὰρ τὴν ταχεῖαν τοῦ βασιλέως ἔφοδον, καὶ ὡς ποδῶν εἶχον ἔφυγον· οἱ πλείους δὲ καὶ περιφανέστεροι τοῦ ἔθνους περί που τὰ μέρη τῆς Βιζύης ξίφους ἔργον ἀπετελέσθησαν. Ἀλλὰ καὶ μοῖραν τῆς στρατιᾶς παραδοὺς τῷ τε ἐπὶ τοῦ κεράσματος Γεωργίῳ τῷ Νεστόγγῳ, καὶ τῷ Σκύθῃ Κλεόπᾳ ἔπεμψε κατ' αὐτῶν· οἳ καὶ περὶ ποταμὸν τούτοις συμμίξαντες, τοὺς πλείους τούτων διεχειρίσαντο, οὐκ ὀλίγοις δὲ καὶ τὸ τοῦ ποταμοῦ ὕδωρ τάφος ἐγένετο· οἱ δ' αἰχμάλωτοι λυτρωθέντες, οἴκοι ἐβάδισαν, ἀράμενοι καὶ ὅ ἦσαν ἀφῃρημένοι· οἱ γὰρ Σκύθαι τὴν πᾶσαν λείαν ἀπέλιπον.

Οὕτω γοῦν διανύσας ταῦτα ὁ βασιλεύς, περὶ τὸν ποταμόν, ὅς Ρηγίνα καλεῖται, τὴν σκηνὴν ἔπηξε, καὶ πᾶσαν ἐκεῖσε συνῆξε τὴν στρατιάν, εἰς πλῆθος οὖσαν πολύ. [Ἐπεὶ δὲ καὶ ὁ Βούλγαρος οὐδέν] τι ἠδύνατο διαπράξασθαι, τοῦ βασιλέως ἐπιδημήσαντος, ἀλλὰ καὶ φόβον οὐ μικρὸν ἔσχε, παθεῖν ὑπονοῶν δεινὰ μέγιστα, εἰς σπονδὰς ἔβλεψε, καὶ τὸν πενθερὸν αὐτοῦ τὸν Ρῶσον Οὖρον, ὅς γαμβρὸς ἦν ἐπὶ θυγατρὶ τοῦ ρηγὸς Οὐγγρίας, μεσίτην τῶν εἰς εἰρήνην ἀπέστειλεν, ὅς πέμψας, ἐν τῷ πλησίον εἶναι, καὶ οἰκονομήσας ἔξω φόβου πρὸς τὸν βασιλέα ἐλθεῖν, ἀφίκετο, καὶ ἐδέχθη παρὰ τοῦ αὐτοκράτορος μετὰ τῆς προσηκούσης δεξιώσεως αὐτός τε καὶ οἱ μετ' αὐτοῦ, καὶ τὴν εἰρήνην ἐπλήρωσεν, ἐπομοσάμενος δικαίῳ τοῦ γαμβροῦ αὐτοῦ, τοῦ τῶν Βουλγάρων ἄρχοντος, ἀπολυθῆναι μὲν πρὸς τὸν βασιλέα τὸ τῆς Τζεπαίνης ἄστυ (τοῦτο γὰρ καὶ μόνον κατείχετο ὑπὸ τῶν Βουλγάρων ἀφ' ὧν ὁ βασιλεὺς Ἰωάννης ἐδέσποζεν), εἰρήνην τε πρὸς Βουλγάρους ἔχειν τὸν βασιλέα καὶ ἑκάτερα τὰ μέρη τοῖς παλαιτέροις ὁρίοις ἀρκεῖσθαι.

Ἐπεὶ οὖν ταῦτα κατὰ γνώμην τῷ κρατοῦντι πεπλήρωται, ἄπεισιν οἴκοι ὁ Οὖρος, βασιλικῶν χαρισμάτων τυχών, εἰς εἴκοσι δὲ χιλιάδας ταῦτα διὰ πάντων ἀπηριθμοῦντο. Διεκαρτέρει δὲ

ὁ βασιλεὺς ἐν τῷ τῆς Ρεγίνης τόπῳ τὴν τῆς Τζεπαίνης ἀπόλυσιν, ἀφ' οὗ καὶ τὴν τῶν βαρβάρων δίωξιν ἐποιεῖτο· ἡμέρα δὲ ἦν καθ' ἥν τὴν μνήμην τελοῦμεν τῶν κορυφαίων ἀποστόλων Χριστοῦ, Πέτρου καὶ Παύλου κατὰ τὸ τέλος τοῦ Ἰουνίου μηνὸς, ἕως καὶ ὁ αὔγουστος ἤδη παρέδραμε.

Συμβέβηκε δέ τι καὶ ἐν τούτοις ἱστορίας ἄξιον· ἡμέρα ἦν τῶν ἐπιφανῶν, καθ' ἥν τὴν τοῦ σωτῆρος Χριστοῦ Μεταμόρφωσιν οἱ εὐσεβεῖς ἑορτάζομεν, καὶ ἐπεὶ ἔδει πρὸς τὴν ἱερὰν μυσταγωγίαν κατὰ τὸ εἰωθὸς παρεῖναι τὸν βασιλέα, εἰς ἀργίαν ὁ τοῦ ἀρίστου παρετάθη καιρός· ἠρίστησε τοίνυν ὁ βασιλεὺς, καὶ μικρόν τε καθευδήσας, ἀνέστη τοῦ ὕπνου, ὁ δὲ ἥλιος ἤγγισε τῷ ὁρίζοντι τῆς δυσμῆς, ἔθος δὲ ἦν τῷ βασιλεῖ περὶ δείλην ἑσπέραν ἵππῳ τε ἐποχεῖσθαι καὶ σύμπαν διέρχεσθαι τὸ στρατόπεδον, καὶ ἀμφὶ τὸ τέρμα εἰς ἀγχώμαλον καὶ τῆς πεδιάδος
132. ὑπερανεστηκότα μικρὸν τόπον ἀνέρχεσθαι | καὶ τὴν ὅλην στρατιὰν καθορᾷν, ἥν καὶ πόλιν κινουμένην ὠνόμαζε πάσας τὰς Ρωμαϊκὰς πόλεις φυλάττουσαν, σοφῶς τοῦτο λέγων καὶ ἀληθῶς ὁ σοφώτατος βασιλεύς. Τοῦτο δ' ἐποίει διηνεκῶς, κἂν ὁ φωσφόρος εἰσδύναι τὸν ὁρίζοντα ἤμελλε· τὸ δὲ τοῦ στρατοπέδου διάστημα ἀμφί που τὰ τεσσαράκοντα στάδια ἦν, εἰ μή γε καὶ πλέον. Τότε τοίνυν ὁ βασιλεὺς ἔφησε πρὸς τοὺς ἀμφ' αὐτὸν λογάδας «μεμαθήκατέ τι τῶν προσφάτως ἀπηγγελμένων;» Καὶ οἱ ἄρχοντες «οὐδαμῶς». Ὁ δὲ καὶ πάλιν «ἄνθρωπός τις πρὸ ὥρας ἐλθὼν, ἐξεῖπεν ὡς ὁ Οὖρος ἠπάτησεν ἐν οἷς ἐπωμόσατο, ἀπολογίαν λέγων, ὡς ὁ τῶν Βουλγάρων ἄρχων, ὁ καὶ γαμβρὸς αὐτοῦ, τὰ συμπεφωνημένα οὐ καταδέχεται· τί οὖν ὑμῖν δοκεῖ;» Πολλῶν δὲ παρὰ τῶν μεγιστάνων εἰρημένων, καὶ μὴ παραδεχομένων τὴν ἀγγελίαν ὡς ἀληθῆ, ὁ μέγας λογοθέτης Γεώργιος ὁ Ἀκροπολίτης εἰρηκέναι τι πλέον ἀπῃτεῖτο. Τοῦ δὲ μὴ ἔχειν ἐν τοῖς ἀδήλοις ἀποφαίνεσθαι προσθέντος, ὁ βασιλεὺς «ἀλλ' ἐπὶ τοῖς δήλοις καὶ οἱ ἀείδαροι λέγουσιν, ἐν

δὲ τοῖς ἀδήλοις ἐστὶ χάρις βεβαίως καὶ ἀκριβῶς ἀποφαίνεσθαι». Ἐπὶ δὲ τούτοις ὁ μέγας λογοθέτης ἀντέφησεν «ἰδοὺ καὶ ἡμεῖς μετὰ τῶν ἀειδάρων συντετάγμεθα.» Καὶ ὁ βασιλεὺς χόλου πλησθεὶς, μωρὸν αὐτὸν ἀπεκάλεσε, κἀκεῖνος «εἰ μωρός εἰμι, λέξας, ἵνα σιωπῶ, καὶ λαλείτωσαν οἱ φρονοῦντες», ὀργῆς ἀπλέτου τὸν βασιλέα ἔπλησεν, ὡς καὶ τὴν σπάθην ἐθέλειν ἑλκύσαι, τῆς κώπης ἐπιλαβόμενον. Ἀλλὰ τοῦτο μὲν κατέσχε, τοῦ δὲ ἵππου τοῦτον κατέβαλλον, καὶ ἄλλα γεγόνασιν ἐπ' αὐτῷ λυπηρὰ, πλὴν πρὸς ἡμέραν· αὖθις δὲ αὐτὸς ἦν ὁ μέγας λογοθέτης, τιμώμενος ὑπὲρ τοὺς πολλοὺς διὰ τοῦ θείου αὐτοῦ τοῦ Λάσκαρι Μανουὴλ καὶ τοῦ πρωτοβεστιαρίου τοῦ Μουζάλωνος, εἰς ὄψιν αὐτὸν ἀγαγὼν μετὰ τὰ ἀνιαρὰ, καὶ ἐκμειλιξάμενος.

Ἐγένετό τι τῷ τότε καὶ τέρας θαυμάσιον· τοῦ γὰρ βασιλέως διερχομένου τὸ στρατόπεδον, ἡλίου ἐπιλάμποντος, ἡ μικρὰ τοῦ βασιλέως σημαία, ἥν ἔθος ἐν ταῖς ἐκστρατείαις τῆς βασιλικῆς προόδου ἔμπροσθεν μετὰ καὶ τοῦ θυρεοῦ φέρεσθαι, αἴφνης ὑπὸ τοῦ πνεύματος ἐκ τοῦ δόρατος ἀποσπασθεῖσα, καὶ ταῦτα πεπεδημένη καλῶς, εἰς ὕψος ἤρθη πολὺ, ὅσον μόλις που φαίνεσθαι· καὶ μετὰ βραχὺ πίπτει πρὸς γῆν, καὶ ἐπὶ τῇ θέᾳ ταύτῃ πολλοὶ πολλὰ ἔλεγον.

Ἐπεὶ δὲ καὶ ἡ τοῦ σεπτεμβρίου μηνὸς ἐφειστήκει ἀρχὴ, (ἡμέρα δὲ ἦν σάββατον), τῆς Ρηγίνης κινήσας ὁ βασιλεὺς τῆς εἰς τὴν Θεσσαλονίκην ἥπτετο, ἤκουσε γὰρ ἔρχεσθαι πρὸς αὐτὸν τὴν βασίλισσαν Θεοδώραν, τὴν τοῦ δεσπότου Μιχαὴλ σύζυγον· ᾗ καὶ καθ' ὁδὸν τούτῳ ὑπήντησε περὶ τὸ Βολερὸν ἐν τῇ χώρᾳ τοῦ Λεντζᾶ, ὅπου καὶ τὴν ὕψωσιν τοῦ ζωοποιοῦ Σταυροῦ ἑωρτάσαμεν, ἐκεῖσε τρεῖς ἡμέρας ἐγκαρτερήσαντες. Καθ' ὁδὸν δὲ μετὰ τῆς βασιλίσσης τὰς συμβάσεις ἐποίει· καὶ γὰρ καὶ ἄκουσα τοῖς τοῦ βασιλέως λόγοις συνήρχετο, οἷα ὡς ἐν εἱρκτῇ τῶν ἐκείνου χειρῶν ἐντὸς οὖσα, καὶ μὴ ἔχουσα ἄλλο

δράσαι. Συνεφώνησε γοῦν δοῦναι τὰ Σέρβια, καὶ τὸ Δυρράχιον, ἐπὶ τούτοις καὶ ὅρκοι προέβησαν, καὶ πρὸς τὸν δεσπότην Μιχαὴλ ἀπεστάλησαν, ὁ δὲ τοῖς ὀμωμοσμένοις συνέθετο.

Ἐπεὶ δὲ ὁ βασιλεὺς τὴν Θεσσαλονίκην κατείληφε, τοὺς ἐπὶ τῇ θυγατρὶ Μαρίᾳ γάμους μετὰ τοῦ δεσπότου Νικηφόρου πεπλήρωκε, τοῦ πατριάρχου Ἀρσενίου ἐπιδημήσαντος καὶ τούτους τελέσαντος.

Ἐν τούτοις ὄντος τοῦ βασιλέως, γραφὴ πρὸς αὐτὸν ἐξεπέμφθη παρὰ τῶν εἰς φυλακὴν τῶν ἐν τοῖς τῆς Βιθυνίας μέρεσιν, ὡς ὁ μέγας κονοσταῦλος ὁ Παλαιολόγος Μιχαήλ, ὅς καὶ τὴν τῆς χώρας ἁπάσης ἡγεμονίαν πεπίστευτο, περὶ τὸν τῶν Μουσουλμάνων χῶρον ἀπῴχετο. Ἐταράχθη οὖν ἐπὶ τούτοις ὁ βασιλεύς· καὶ μετ' ὀλίγας ἡμέρας ἐπέμφθησαν τοῦ Παλαιολόγου γραφαὶ πρὸς τὸν βασιλέα, ἅς οὗτος πρὸς τοὺς εἰς κεφαλὰς τῶν ἐν Μεσοθινίᾳ τυγχάνοντας ἔγραψεν· εἶχον δὲ περιλήψεως οὕτως: Ἐγὼ μὲν τὸν ἐκ τοῦ βασιλέως φόβον ἐν καρδίᾳ μου σχών, καὶ δεδιὼς μή τι πάθω δεινὸν, φυγῇ ἐχρησάμην· ὑμεῖς δὲ φρονίμως καὶ ἀνδρικῶς τῶν στρατιωτικῶν ὑμῖν πραγμάτων ἀντέχεσθαι, καὶ αἱ φυλακαὶ τῶν πολιχνίων καὶ ἄστεων ἔστωσαν ἀσφαλεῖς, καὶ τῆς χώρας συντήρησις ὡς ἔθος γενέσθω, καὶ καθὼς ἐπράττετε μετ' ἐμοῦ, καὶ αὖθις ποιεῖτε. Καὶ ἡ ἐπιγραφὴ τὸν μέγαν κονοσταῦλον ἐσήμαινε. Ταύτας ὁ βασιλεὺς θεασάμενος, ἱλαρῶς διετέθη. Ἐν γοῦν τῷ ἀποδιδράσκειν τὸν μέγαν τοῦτον κονοσταῦλον, οἱ ἀεὶ κατὰ Ρωμαίων ἀσπόνδῳ
132* χρώμενοι | μίσει Μουσουλμάνοι, ἐντυχόντες τούτῳ ὡς ἑρμαίῳ τινί, πάντα διήρπασαν τὰ αὐτοῦ, χρυσὸν, ἄργυρον, ἵππους, ὑφάσματα, καὶ αὐτὰ δὲ τὰ ἐνδύματα τῶν αὐτοῦ, διαμερίσαντες καὶ τοὺς ἐφεπομένους αὐτῷ εἰς οἰκείαν δουλείαν. Αὐτὸς δὲ θεοῦ προνοίᾳ διασωθεὶς, γυμνὸς ἁπάντων, παρὰ τὸν σουλτάνον ἀφίκετο, καὶ ἀσμένως προσεδέχθη, καὶ παρὰ τῶν αὐτοῦ ἐθαυμάζετο διά τε τὸ εἶδος, καὶ τὴν φρόνησιν καὶ τὴν στρατιω-

τικὴν τέχνην, καὶ τὴν ἐν πολέμοις ἀκρίβειαν. Περὶ μέντοι τῶν ἐσκυλευμένων αὐτοῦ πραγμάτων, γραφαὶ τοῦ σουλτάνου γεγένηνται, ἤνυσαν δὲ οὐδὲν, τῶν ἐν τοῖς Πέρσαις πραγμάτων τεταραγμένων ὥσπερ οὐδέποτε παρὰ τῶν ἐπελθόντων αὐτοῖς Ἀταρίων.

Ἐπεὶ τοίνυν περὶ τὰ Ἄξαρα οἱ Ἄταροι, τὴν Περσικὴν ληϊσάμενοι χώραν, ἐστρατοπεδεύσαντο, καὶ ἀνάγκη ἦν καὶ τοὺς Πέρσας πρὸς μάχην τοῖς ἐχθροῖς ἀντιστῆναι, ἐκρίθη εἰς ἡγεμόνα τῶν ἐν Πέρσαις χριστιανικῶν στρατευμάτων ὁ Μιχαήλ. Ο' δὲ συμμαχεῖν μὲν ἀπηρέσκετο τὰ πρῶτα τοῖς Μουσουλμάνοις ὡς ἔλεγε, χάριτι δὲ θείᾳ γενναῖον ἀναλαβὼν φρόνημα πρὸς τὴν μάχην ἐξώρμησε, καὶ κατὰ κράτος μετὰ τῶν σὺν αὐτῷ χριστιανῶν τοὺς ἀντιτεταγμένους νενίκηκε, τοῦ Μιχαὴλ αὐτοῦ πρώτως βαλόντος τὸν τοῦ στρατοῦ προηγούμενον δόρατι, ὅς καὶ ἐτεθνήκει· καὶ ἦσαν νενικημένοι οἱ Ἄταροι. Ἀλλ' ὁ ἐν Πέρσαις Ἀμιραχούρης (μέγα δὲ τοῦτο παρὰ Πέρσαις), δύσνους ὢν περὶ τὸ ὁμόφυλον, τὸ ὑφ' ἑαυτὸν ἀναλαβὼν στράτευμα, τοῖς Ἀταρίοις προσώρμησε, κἀντεῦθεν τὰ ἐναντία συμβέβηκε, καὶ οἱ πρὸ μικροῦ διώκοντες ἔφευγον, καὶ νῶτα ἐδίδουν τοῖς ἐναντίοις πλήττεσθαι. Ὁ δὲ Κομνηνὸς Μιχαὴλ, τῷ μεγάλῳ στρατοπεδάρχῃ τῶν Περσικῶν στρατευμάτων, ὅν Πεκλάρπακιν οἴδασιν οὗτοι καλεῖν, ἐνέτυχε κατὰ τὴν ὁδὸν, καὶ συνεπορεύοντο πλείους ἡμέρας, ἑπομένους τοὺς πολεμίους ἔχοντες, καὶ καθ' ὥραν μαχόμενοι· ἐπεὶ δὲ ἡ τοῦ Πεκλάρπακι οἰκία περὶ τὴν Κασταμόνα ἐτύγχανεν οὖσα, ἐκεῖ ἐγένοντο σπεύσαντες. Τὸ δὲ Ἀτάρων γένος, πᾶσαν τὴν ὑπὸ τοὺς Μουσουλμάνους χώραν κατέδραμε.

Ταῦτα ὁ βασιλεὺς Θεόδωρας ὡς ἐπύθετο, ἐν Θεσσαλονίκῃ ἔτι διάγων, οὐ περὶ τούτων μᾶλλον ἔχων φροντίδα, ἢ περὶ τῶν αὐτοῦ, (κίνδυνον γὰρ οὐ μικρὸν ὑπετόπασε τῇ τῶν Ρωμαίων ἐπισυμβαίνειν), ἔσπευσε πρὸς τὰ τῆς Ἕω παλινοστῆσαι,

καταλείψας ἐν μὲν τῇ Δυτικῇ χώρα πρὸς φύλαξιν τὸν θεῖον αὐτοῦ Μανουὴλ τὸν Λάσκαριν, ἐπιδοὺς αὐτῷ στράτευμα ἐκ Παφλαγόνων κἀκ τῶν Σκυθῶν ὡς τριακοσίους, τοῦ Πριλάπου καὶ τῶν περὶ αὐτὸν τὸν ὅν εἶχε σκουτέριον, τὸν Ξυλέαν, εἰς δὲ τὸν Βελεσὸν καὶ τὰ περὶ αὐτὸν τὸν Καλαμπάκην Θεόδωρον, ὅν καὶ τατᾶν τῆς αὐλῆς κατωνόμαζον, τὸν δὲ Χαβάρωνα Κωνσταντῖνον εἰς ἡγεμόνα τοῦ Ἀλβάνου κατέστησε, τὸν δὲ Ἀκροπολίτην μέγαν λογοθέτην Γεώργιον, πραίτωρα χειροτονήσας, πάντων αὐτῶν ἀφῆκε προΐστασθαι. Οὕτω μὲν τῆς ὁδοῦ ἥψατο κατὰ τὴν εἰκοστὴν τρίτην τοῦ ὀκτωβρίου μηνός.

Ὁ δὲ πραίτωρ καὶ μέγας λογοθέτης τῆς Θεσσαλονίκης ἐξιὼν ἀφίκετο πρὸς τὴν Βέρροιαν, ἀπεκβαλεῖν ἐκεῖθεν τοὺς τοῦ Πάπα Ῥώμης πρέσβεις κατὰ τὴν βασιλικὴν προσταγὴν βουλόμενος, οἵ πρὸς τὸν βασιλέα ἦλθον ἔτι ἐν Θεσσαλονίκῃ ποιοῦντα τὰς διατριβάς· οὓς καὶ ἀπεκβαλὼν, καὶ ἄλλα ὅσα ἤθελεν ἐκεῖσε διηνυκὼς, τῆς πρὸς τὸ Ἄλβανον ἥψατο. Καὶ δῆτα τὰ Σέρβια παρελθὼν, καὶ παραμείψας τὴν Καστορίαν, παραγγείλας δὲ καὶ τὰ περὶ τὴν Ἀχρίδα, ἔφθασε πρὸς τὸ Ἄλβανον, κἀκ τούτου μετὰ τῶν τῆς χώρας ἐκκρίτων κατείληφε τὸ Δυρράχιον· κἀκεῖσε διακαρτερήσας ἡμέρας ὀκτὼ, ἔξεισι, πάντα οἰκονομήσας τά τε καθ' ὁδὸν, καὶ τὰ κατὰ τὸ Δυρράχιον, ὥς γε ἐδόκει ἐκείνῳ καλῶς· καὶ τὰ τῆς Χουναβίας διελθὼν (μέρος δὲ τοῦτο τοῦ Ἀλβάνου), τὸ ὄρος τε ὑπερβὰς ὅ Κακὴν Πέτραν κατονομάζουσιν, εἰς τὰ περὶ τὴν Μάττιν ἄπεισι, κἀντεῦθεν περὶ τὴν Δεύρην κατέλαβε. Πᾶσι δὲ τοῖς καθ' ὁδὸν συντυχὼν, τοῖς τε περὶ τὰ ἄστη, καὶ περὶ τὰ τοπικὰ στρατεύματα, καὶ τοῖς τὰ δημόσια ἐνεργοῦσι πράγματα, διὰ τῆς Κιτζάβεως παριὼν, τρίτῳ μηνὶ ἀφ' οὗ τῆς Θεσσαλονίκης ἐξῆλθε, περὶ τὸν Πρίλαπον ἐγένετο, περὶ τὸ τέλος τοῦ φευρουαρίου μηνὸς. Κἀκεῖ ἐπύθετο ὡς ὁ τοῦ Ἀλβάνου ἔχων τὴν ἡγεμο-
133. νίαν Χαβάρων | ἑάλω πρὸς τοῦ δεσπότου Μιχαὴλ, μηχαναῖς

τῆς γυναικαδέλφης αὐτοῦ Μαρίας, ἥτις προεῖχε μὲν ἄνδρα τὸν Σφραντζῆν, τότε δὲ χήρα ὑπῆρχε, καὶ ἐρωτικοῖς γράμμασι τὸν Χαβάρωνα δελεάσασα, ταῖς πάγαις αὐτῆς ἁλώσιμον ἔθετο. [Καὶ ὁ δεσπό]της Μιχαὴλ ἐντεῦθεν εἰς φανερὰν ἀποστασίαν ἐχώρησε· τὰ δ' ἑξῆς, τὸ Ἄλβανον αὐτοῦ ἐγεγόνει, καὶ τὰ ἄστη καὶ αἱ χῶραι αὐτῷ προσερρύησαν, καὶ αὐτὸς ὁ μέγας λογοθέτης καὶ πραίτωρ ἐντὸς τοῦ Πριλάπου τυχὼν συνελήφθη, προδοθέντος καὶ τούτου, καὶ ἀπήχθη δέσμιος εἰς φυλακὴν, καὶ ταῦτα τοῦ δεσπότου ἐπομοσαμένου καὶ αὐτὸν καὶ τοὺς μετ' αὐτοῦ ἀπολύσαι πρὸς τὰ οἴκοι πορεύεσθαι· ἀλλ' ἔφθη καὶ τοῦτον παραβὰς τὸν ὅρκον, ὡς καὶ ἄλλους πολλούς.

Ὁ δὲ βασιλεὺς περὶ τὴν τοῦ δεκεμβρίου ἀρχὴν διαπεραιωθεὶς τὸν Ἑλλήσποντον, τὴν μὲν ἑορτὴν τῆς Χριστοῦ γέννας ἑώρτασε κατὰ τὰ Σύρροια, ὡς εἶχε τάχους κατὰ τὰ τῆς Λυδίας μέρη καὶ τὰς Σάρδεις τὴν πορείαν ποιούμενος, συχνὰ μηνύματα πρὸς τοῦ Περσάρχου δεχόμενος, ὡς ἔρχεται πρὸς αὐτὸν, καὶ ἤθελεν ἑνωθῆναι τούτῳ ἐκεῖ. Ὅτε οὖν εἰς τὸν Κάλαμον ἤλθομεν, ἔνθα καὶ φρούριον ὁ Καβαλλάρης λεγόμενον, ἀμηρᾶς ἔφθασε βεβαιῶν τὴν τοῦ σουλτάνου ἐπιδημίαν περὶ τὴν Τρίπολίν· εἰς τὴν τοῦ Ἀπολλωνίου τοιγαροῦν καταλύσαντες χώραν, καὶ τῇ ἑξῆς τὴν τῶν Φώτων τελέσαντες δεσποτικὴν ἑορτὴν, τῇ μετ' αὐτὴν τὸ τοῦ στρατοῦ πλῆθος καὶ τὴν ἀποσκευὴν εἰς τὸν κάμπον τῆς Μαγνησίας ἀποπέμψας ὁ βασιλεὺς, ὀλίγους παραλαβὼν αὐτὸς εἰς τὰς Σάρδεις ἀφίκετο· κἀκεῖ τὸν σουλτάνον ἐλθόντα φιλοφρόνως καὶ ἀσμένως ὡς ἦν δέον ἀποδεξάμενος, μετ' αὐτοῦ εἰς τὴν Μαγνησίαν, ὅπου καὶ τὰ στρατεύματα, ἦλθε. Τοσοῦτον δὲ τὸ τῶν στρατευμάτων πλῆθος, ὡς ἀπὸ τοῦ τόπου ὅς δὴ Χλέρα λέγεται, μέχρι καὶ τῶν Στενῶν τοῦ ποταμοῦ ἐκτείνεσθαι τὸ στρατόπεδον. Ἐκεῖ γοῦν τὸν φυγάδα σουλτάνον καὶ τοὺς περὶ αὐτὸν ἐφ' ἡμέραις διαναπαύσας, καὶ φιλοτίμως δεξιωσάμενος, καὶ πρὸς τὴν αὐτῶν

ἐπαναζεῦξαι πεποίηκε, στράτευμα μέτριον δοὺς εἰς τριακοσίους ἠριθμημένον, ἡγεμόνα καταστήσας τὸν Δούκαν Ἰσαάκιον τὸν Μούρτζουφλον, πριμμικήριον τῆς αὐλῆς τότε τυγχάνοντα.

Ὁ δὲ Περσάρχης χάριν ἀντιδοῦναι θέλων τῷ βασιλεῖ, τὸ κάστρον τῆς Λαοδικείας ἀπεχαρίσατο, καὶ τὸ τῶν Χωνῶν, καὶ δύο περὶ αὐτὰ φρούρια, τήν τε Σάκαιναν ὀνομαζομένην, καὶ τὴν Ὑψηλήν. Καὶ εἰσῆλθεν ἐν αὐτοῖς καὶ Ρωμαϊκὴ φυλακή· ἐπ' ὀλίγον δὲ καὶ πάλιν ὑπὸ τοὺς Μουσουλμάνους γεγόνασι, τοῦ βασιλέως ἀντιχαρισαμένου τῷ δόντι ταῦτα αὐτῷ. Ἀλλὰ τὴν οἰκείαν ἀρχὴν ὁ σουλτάνος ἀναλαβόμενος, ἐπεὶ μὴ δυνατῶς εἶχε τοῖς Ἀταρίοις ἀνθίστασθαι, μετὰ τῶν λογάδων ἑαυτοῦ βουλευσάμενος, εἰς συμφωνίας μετ' αὐτῶν ἦλθε, φόρους τάξας ἀποδιδόναι αὐτοῖς. Καὶ ἔκτοτε τυγχάνουσιν οἱ Μουσουλμάνοι παρὰ τῶν Ἀτάρων φορολογούμενοι.

Ὁ δὲ Παλαιολόγος Μιχαὴλ ὅρκον λαβὼν πρὸς τοῦ βασιλέως εἰς ἀσφάλειαν, πρὸς αὐτὸν ἐπανέζευξε, καὶ τοῖς οἰκείοις ἀποκατέστη, καὶ τῶν ἰδίων ἀπήλαυσε. Μετ' οὐ πολὺ δὲ καὶ εἰς τὰ Δυτικὰ μέρη ἀπῆλθε, παρὰ τοῦ βασιλέως μετὰ στρατεύματος ἀποσταλείς, εἰς ἀντιπαράταξιν τοῦ δεσπότου Μιχαήλ· καὶ τὴν Θεσσαλονίκην καταλαβών, κἀκεῖθεν διαβὰς τὸν Βαρδάριον, καὶ τῷ Λάσκαρι Μιχαὴλ ἑνωθείς, ἄμφω κατὰ τῆς Βερροίας ἀπῆλθον, οὐχ ἵνα μαχέσωνται, ἀλλ' ἵνα λείαν τὰ περὶ ταύτην ποιήσωνται, καὶ ἐσκύλευσαν πολλά, ζώων γὰρ πληθὺν οὐκ εὐαρίθμητον οἱ περὶ αὐτοὺς ἐληΐσαντο.

Ἐν τούτοις ὁ τῶν Σέρβων ἄρχων Κράλης, τὴν τοῦ δεσπότου ἀνταρσίαν μαθών, (γένος ἔκσπονδον καὶ μηδέποτε χάριν εἰδὸς τοῖς περὶ αὐτὸ διαπραξαμένοις χρηστόν, ὅλον τοῦ κέρδους, καὶ ὅρκον διὰ μικρὸν ἀργύριον ἅπαντα παραβαῖνον), στράτευμα συναθροίσας, κατὰ τῶν Ρωμαϊκῶν χώρων ἐξέπεμψεν. Οὗτοι μὲν οὖν τὴν Κίτζαβιν παραμείψαντες, τὰ πέριξ τοῦ Πριλάπου ἐσκύλευον. Ὁ δὲ σκουτέριος ὁ Ξυλέας μετὰ τοῦ ὑπ'

αὐτὸν στρατεύματος, ἐγγύς που τοῦ ἄστεος ἐνσκηνούμενος, ὡς εἶδε τοὺς Σέρβους τὴν χώραν ληΐζοντας, ἀπέλυσεν ἕκαστον κατὰ τῶν Σέρβων ὁρμᾶν ὡς ἐβούλετο· διαλυθέντες γοῦν, ἡλίσκοντο | τοῖς Σέρβοις, ὀλίγοι πλείοσι συμπλεκόμενοι. Ὁ δὲ Ξυ- φ. 1: λέας μόλις διεσώθη μετὰ τῶν ἐναπολειφθέντων στρατιωτῶν. Οὕτω καὶ τὸ περὶ τὸν Πρίλαπον καταλέλυται στράτευμα.

Οἱ δὲ περὶ τὸν Παλαιολόγον Μιχαὴλ καὶ τὸν Λάσκαριν Μιχαὴλ, ἐπεὶ τὴν ἐν τῇ Βερροίᾳ λείαν ἐποίησαν, περὶ τὸν ἐν Βοδηνοῖς χῶρον ἐσκήνωσαν, ὁμαλόν τε ὄντα καὶ εἰς τροφὴν ἵππων χρήσιμον.

Ὁ δὲ ἀποστάτης δεσπότης ἐκλογὴν ποιησάμενος τοῦ στρατοῦ αὐτοῦ, καὶ ὡς εἰς πεντακοσίους αὐτοὺς ἀριθμήσας, καὶ στρατηγὸν τάξας τὸν νόθον αὐτοῦ υἱὸν Θεόδωρον, κατὰ τοῦ Ρωμαΐκοῦ στρατεύματος ἔπεμψεν. Ἔτυχε δὲ τότε καὶ ὁ Λαπαρδᾶς Μανουὴλ μετὰ στρατιωτῶν τινων ἀδοκίμων πρὸς τοῦ βασιλέως ἀποσταλεὶς πρὸς τοὺς εἰρημένους στρατηγοὺς, τὸν Λάσκαριν καὶ τὸν Παλαιολόγον, ὃς καὶ κατεμέμφετο αὐτοὺς ὡς προλαβόντας περὶ τὴν λείαν, κἀκεῖνον οὕτω τοῦ κέρδους ἀποτυχεῖν. Ἐν ᾧ γοῦν περὶ τούτων ὡμίλουν, τὸ ὑπὸ τὸν Λαπαρδᾶν στράτευμα, ὧν οἱ πλεῖστοι φορβάσιν ἐπωχοῦντο τὰ χρειώδη πεφορτισμέναις, μὴ τῶν ἡγεμόνων εἰδότων εἴχοντο τῆς ἐπέκεινα τῶν Βοδηνῶν ὁδοῦ, ἵνα πρότεροι διελθόντες, λείαν ποιήσαιντο· ἀλλὰ συναντᾷ τούτοις ἐν τῇ κλεισούρᾳ ὁ τοῦ ἀποστάτου στρατὸς, ἄνδρες γενναῖοι, ἵπποις ὑψαύχεσιν ἔποχοι, καὶ ὅπλοις κατάφρακτοι, καὶ πάντας τούτους ἐτρέψαντο. Φυγάδες οὖν τινες τούτων πρὸς τὸν Παλαιολόγον φθάσαντες, τὸ συμβὰν ἀπήγγειλαν. Ὁ δὲ ὁπλισθεὶς καὶ δόρυ λαβὼν, μετὰ τῶν ὑπὸ τὸν Λάσκαριν Παφλαγόνων στρατιωτῶν πεντήκοντα, κατὰ τῶν ἐναντίων ὁρμᾷ, καὶ τῷ πρώτως ἐπερχομένῳ συναντήσας, βάλλει τῷ δόρατι καὶ ῥίπτει τοῦ ἵππου· ἦν δὲ ὁ τοῦ ἀποστάτου νόθος υἱὸς ὁ Θεόδωρος, ὃς καὶ τοῦ πτώματος ἀ-

ναστάς, ἐδυσώπει μὴ φονευθῆναι. Ἠγνόει δὲ τοῦτον ὁ Κομνηνός· παραδίδωσι γοῦν αὐτὸν Τούρκῳ τινί, ὁ δὲ τοῦτον ἐφόνευσε. Καὶ οἱ Παφλαγόνες δὲ τοῖς λοιποῖς συμπλακέντες, ἄλλος ἄλλον ἔβαλλε, καὶ εἰς τροπὴν οἱ τοῦ ἀποστάτου ἀπεῖδον. Οἱ δ' ἀμφὶ τὸν Παλαιολόγον πλείους ἢ εἴκοσι τῶν ἐκκρίτων ζωγρήσαντες, καὶ πολλοῖς τὸν διὰ ξίφους ἐπάγοντες θάνατον, ἔστησαν, οὐδὲ γὰρ εἶχον διώκειν, ὀλίγοι πολλούς.

Ὁ δὲ τῶν Βουλγάρων ἄρχων, ὁ γυναικάδελφος τοῦ βασιλέως Θεοδώρου, ὃς καὶ πολλὴν ἔτρεφεν ἔχθραν κατά τε αὐτοῦ βασιλέως καὶ γαμβροῦ καὶ τῶν Ρωμαίων, πρὸς τοῦ πρωτεξαδέλφου αὐτοῦ τοῦ Καλλιμάνου καιρίαν πληγείς, εἰδήσει καί τινων οἰκητόρων τοῦ Τερνόβου, ἔξω τοῦ τοιούτου ἄστεος τέθνηκε, καὶ τὴν ἐκείνου γαμετὴν λαβὼν ὁ Καλλιμάνος, ἔδοξε καὶ τὴν τῶν Βουλγάρων ἀρχὴν σφετερίσασθαι. Ἀλλ' ὁ Ρῶσος Οὖρος μετὰ στρατοῦ ἐπελθών, τὴν θυγατέρα εἴληφε τὴν τοῦ Καλλιμάνου δηλονότι γυναῖκα· καὶ ὁ Καλλιμάνος δὲ εἰς τόπον ἐκ τόπου φεύγων, πεφόνευται πρός τινος. Ἐπεὶ δ' ἔρημος ἐναπελείφθη κληρονόμου γνησίου ἡ τῶν Βουλγάρων ἀρχή, συνελθόντες οἱ τούτων προέχοντες εἰς βουλήν, τὸν τοῦ Τοίχου υἱὸν Κωνσταντῖνον ἄρχειν αὐτὸν ἐξελέξαντο, καὶ πρὸς τὸν βασιλέα Θεόδωρον πρεσβείαν ἐξέπεμψαν, ἵνα τὴν αὐτοῦ πρώτην θυγατέρα Εἰρήνην εἰς συζυγίαν τῷ Τοίχῳ ἐκπέμψειε, καὶ νομίμως αὐτῷ συζευχθῇ, ἐγγόνη οὖσα τοῦ Ἀσάν, καὶ κληρονόμος τῆς τούτων ἀρχῆς· ὃ καὶ ἐτελέσθη.

Καὶ ὁ βασιλεὺς Θεόδωρος τὴν ἐκ Βουλγάρων ἔσχεν εἰρήνην, καὶ ἠρέμησαν ἐν ἀμφοτέροις τὰ πράγματα.

Μετὰ ταῦτα νόσῳ δεινῇ ὁ βασιλεὺς Θεόδωρος περιέπεσεν· ἀπέκαμνον οὖν ἰατρῶν χεῖρες, καὶ πᾶσά τις ἄλλη θεραπεία ἀπείρηκεν. Ἐν οὐκ ὀλίγῳ οὖν χρόνῳ ἐξετασθεὶς τῇ νόσῳ, καὶ ἅπαν τὸ σῶμα δαπανηθείς, προσκαλεῖται τὸν πατριάρχην Ἀρσένιον, καὶ φησιν « ὦ δέσποτα, ἐγὼ μὲν ἐπὶ τῆς σῆς ἁγιότη-

τος εὐλαβοῦμαι θριαμβεύειν ἀμέσως τὴν αἰσχύνην τῶν ἔργων μου· εἴπερ οὖν δοκεῖ σοι, διὰ προτροπῆς σου ἑνὶ τῶν ἀρχιερέων ἀνακαλύψω τὰ πεπραγμένα μοι, καὶ ὁ ἀρχιερεὺς οὗτος ἀναγγελεῖ σοι ταῦτα, καὶ οὕτως ποιήσεις μοι τὴν συγχώρησιν. » « Καὶ τίνι βούλει προτρέψω ; ὁ πατριάρχης ἀντέφησε· τοῦτο γὰρ τῆς σῆς θελήσεως ἤρτηται, καὶ ὃν ἂν βούλοιο, εἰπέ. » Καὶ ὁ βασιλεὺς, τὸν τῆς Μιτυλήνης, ἄνδρα σεμνοῦ βίου, καὶ ἀρετῆς ἐργάτην, ἀρχιερέα, προέκρινεν, οἷα συνήθη αὐτῷ. Τοῦτον οὖν μετακαλεσάμενος, ἐξομολόγησιν ψυχῆς γενναίας ἀξίαν καὶ μεγαλόφρονος ἐποιήσατο· τὴν γὰρ εὐαγγελικὴν μιμησάμενος πόρνην, πίπτει πρὸ τῶν ἐκείνου ποδῶν | φ. 1, καὶ δακρύων ρεύμασι τὴν γῆν ἐν ᾗ ἔκειτο ἔπλυνεν, ὡς καὶ πηλὸν γενέσθαι ἐκ τούτων. Καὶ οὕτω τὴν τῶν ἐσφαλμένων αὐτῷ ἐξαγορείαν πεποίηκε, τὸ, Ἐγκατέλιπόν σε, Χριστὲ, συχνάκις ἐπιφωνῶν. Ἐπεὶ δὲ καὶ ἐξωμολογήσατο πρὸς τὸν πατριάρχην τὸν Μιτυλήνης ἔπεμψεν ἀνακαλύψαι τὰ αὐτοῦ σφάλματα· καὶ μετὰ τοῦτο καὶ αὐτὸν καὶ τὸν πατριάρχην ἐλθεῖν πρὸς αὐτὸν κέκληκε κατὰ τὴν ἑξῆς, οὗ καὶ γενομένου, ὡς ὁ πατριάρχης μοὶ διηγήσατο, τὰ ὅμοια πρὸς αὐτὸν δράσας, καὶ τῶν ποδῶν τούτου ἐπιλαβόμενος, πλέον ἢ πρότερον τὴν γῆν τοῖς ἑαυτοῦ δάκρυσιν ἔβρεξεν. Οὕτω τε λαβὼν ἀφέσιμον γράμμα, ὀλίγον ἐπιβιοὺς, τὸ μοναχικὸν σχῆμα ἐδέξατο, καὶ τὴν ἐπὶ γῆς παρερχομένην βασιλείαν καταλιπὼν πρὸς τὴν ἐν οὐρανοῖς μετέστη, τὴν ἀΐδιον καὶ ἀθάνατον, μήπω τέσσαρας ὅλους ἐνιαυτοὺς αὐτοκρατορήσας· νοέμβριον γὰρ ἄρξας, ἐν αὐγούστῳ μηνὶ τὸ τέλος ἔσχηκε τῆς ζωῆς. Καὶ ὁ νεκρὸς αὐτοῦ ἐν τῇ τῶν Σωσάνδρων ἀπεκομίσθη μονῇ, καὶ ἐτάφη ἐκεῖσε ὅπου καὶ ὁ πατὴρ αὐτοῦ.

Κατέλειψε δὲ παιδία τρία, ἓν μὲν ἄρρεν, ὄνομα Ἰωάννην, δύο δὲ θήλεα, Θεοδώραν καὶ Εὐδοκίαν, τὰς γὰρ ἑτέρας θυγατέρας αὐτοῦ ἀνδράσι συνέζευξε, τὴν μὲν πρώτην Εἰρήνην τῷ Τοίχῳ Κωνσταντίνῳ, τὴν δὲ δευτέραν, ἥ τις καὶ Μαρία ἐκα-

λεῖτο, τῷ δεσπότῃ Νικηφόρῳ, ἥτις καὶ ἐν τῷ καιρῷ τῆς τοῦ πενθεροῦ ἀποστασίας τὸ κοινὸν ἀπέδοτο χρέος, ὡς μέν τινες ἔφασκον, ὑπὸ τοῦ συζύγου τυφθεῖσα πολλάς, ὡς δ' ἔνιοι ἔλεγον, νοσήματι φυσικῷ.

Τούτου τοῦ βασιλέως Θεοδώρου οἱ πολλοὶ μὲν θαυμάζουσι τὸ κατὰ φιλοσοφίαν ἀσύγκριτον, καὶ τὸ τῆς φρονήσεως ὡς ἀληθῶς ἀπαράμιλλον, ἄλλοι τὸ περὶ τὰς στρατηγίας δόκιμον καὶ θερμουργὸν καὶ τὸ ὅλον ἀρεϊκὸν, δι' οὗ τοὺς ἐναντιουμένους ἐπτόησεν ἀπαξάπαντας καὶ κατετροπώσατο, καὶ οὐ μόνον τοὺς γείτονας Πέρσας σὺν τῷ αὐτῶν ἄρχοντι εἰς προσκύνησιν ἤγαγεν ἑαυτοῦ, πᾶν ὃ ἦν αὐτοῖς ὕλης τιμίας μικροῦ δουλικῶς προσκομίζοντας, ἀλλὰ καὶ Ἄρραβας καὶ τῆς Αἰγύπτου τὸν δυναστεύοντα δῶρα τούτῳ μέγιστα στέλλειν ἐκ φήμης μόνης παρέπεισεν. Εἰσὶ δ' οἳ καὶ τὸ φιλότιμον καὶ μεγαλόδωρον, καὶ πλουτοποιὸν τῆς αὐτοῦ δεξιᾶς ἐκθειάζουσιν. Ἕτεροι δὲ ἕτερα τῶν αὐτοῦ θεοσδότων πλεονεκτημάτων, πολλῶν ὄντων καὶ μεγάλων, ἐκπλήττονται καὶ ὑπεξαίρουσι· τοὺς γὰρ τοῦ πατρὸς καὶ βασιλέως διατηρήσας τύπους ἐν πᾶσιν ὅσοις τὸ προμηθὲς ἐκείνου ἐδείκνυτο, ἐν πολλοῖς ἐπὶ πλέον τὸ κηδεμονικὸν καὶ φιλότιμον ὑπερηύξησεν. Ἐγὼ δὲ τὴν περὶ τὴν ἐπίδοσιν τοῦ λόγου καὶ τῶν ἐπιστημῶν τῆς σοφίας σπουδὴν αὐτοῦ ἀνυμνῶν, καὶ ὅπως ἐφίλει τοὺς λογίους, καὶ μεθ' ὅσης φιλοφροσύνης ἐνδιαθέσεως ἔστεργεν ἐννοούμενος, οὐκ ἔχω τίνι τῶν περὶ τοῦτο ἐσπουδακότων παραλληλίσω· ἑνὸς γὰρ σοφοῦ συνουσίαν ἀνδρὸς, οὐδ' αὐτὴν τὴν βασιλείαν ἔκρινεν ἰσοστάσιον. Καὶ βίβλους δὲ συνηγάγετο, οὐδ' ὅσας ὁ ἐπὶ τούτῳ μεγαλυνόμενος Πτολεμαῖος, παντοίων τεχνῶν τε καὶ ἐπιστημῶν, καὶ ταύτας ταῖς πόλεσιν ἐναποτιθεὶς, τοῖς βουλομένοις εἰς ἀνάγνωσιν καὶ τῶν ἐν αὐταῖς σπουδασμάτων ἀνάπτυξιν ἐθέσπισε μεταδίδοσθαι, ἐφ' ᾧ καὶ τὰ τοῦ λόγου εἰς τὸ μηδὲν σχεδὸν καταντήσαντα ἐκ τῆς καταστροφῆς τῆς βασιλίδος τῶν πόλεων,

ἐπὶ τούτου αὔξεσθαι ἤρξατο, καὶ ἐπὶ μείζω προέκοψεν, ὡς ἑκασταχῆ τῶν Ρωμαϊκῶν χωρῶν τε καὶ πόλεων χορείας σοφῶν καθορᾶσθαι, καὶ Μουσῶν συνίστασθαι θέατρα, καὶ πάντα σχεδὸν τόπον, ἀγοραῖς πλήθει ἐλλογίμων ἀνδρῶν ἐπιστημονικῶν ζητημάτων παραθέσεις καὶ ἀντιθέσεις ἀσχολουμένων, καὶ πονουμένων ἐπὶ λογικὰς προτάσεις καὶ συμπεράσματα. Ἀλλ' ὢ τῆς κοινῆς δυστυχίας, ὁ τοιοῦτος βασιλεὺς οὐδ' ὅλα τέσσαρα ἔτη ὁλόκληρα ἐπιβεβιωκὼς τῇ αὐτοκρατορίᾳ, ὡς εἴρηται, τὸ φυσικὸν χρέος ἀπέτισε· πλὴν πόθον αὐτοῦ καὶ μετὰ τὴν ἀπὸ τοῦ γεηροῦ σκήνους ἐκδημίαν, ἅπασι καταλελοιπώς, καὶ μάλισθ' ὅσοις τῶν αὐτοῦ χαρίτων γεύσασθαι ὅπως δήποτε συμβεβήκει ἢ τῶν κατ' αὐτὸν ἀκροάσασθαι, ὥσπερ δῆτα κἀμοί.

Ὁ μὲν οὖν τοῦ βασιλέως Θεοδώρου υἱὸς Ἰωάννης ὀκτὼ ἦν ἐτῶν· ὁ δὲ πατὴρ αὐτοῦ βασιλεὺς διαθήκην ἐξέθετο, τάχα μὲν ὡς ἐπὶ τῷ παιδὶ, τῇ δ' ἀληθείᾳ ἐπὶ τῷ πρωτοβεστιαρίῳ τῷ Μουζάλωνι Γεωργίῳ, τοῦτον γὰρ ἡ διαθήκη ἐποίει τῶν Ρωμαϊκῶν ἁπάντων πραγμάτων κύριον, μέχρις ἂν ὁ υἱὸς αὐτοῦ καὶ βασιλεὺς Ἰωάννης εἰς τελείαν τὴν ἡλικίαν ἀφίκοιτο |, καὶ φ. 1
ὅρκοι περὶ τούτου προέβησαν παρὰ τῶν ἐντυχόντων τῷ τότε προστάξει τοῦ βασιλέως Θεοδώρου. Ἀλλ' οὔπω τρίτην εἶχεν ἐν τάφῳ κείμενος ὁ τοῦ βασιλέως νεκρὸς, καὶ συνδραμόντες οἱ ἐκεῖσε Ρωμαῖοι, (στράτευμα δὲ ἦν ἱκανὸν συνηγμένον), ἀλλὰ καὶ οἱ παρὰ τοῦ βασιλέως κεκακωμένοι ἄνδρες εὐγενεῖς, ὁ Στρατηγόπουλος δηλαδὴ Ἀλέξιος, οὗ τὸν υἱὸν Κωνσταντῖνον τετύφλωκεν, αὐτὸν δὲ καθεῖρξεν, ὁ Τορνίκης Κωνσταντῖνος, ὃν μέγαν πριμμικήριον εἶχεν ὁ βασιλεὺς Ἰωάννης, καὶ καθωσίωτο, ὁ Φιλῆς Θεόδωρος, τῶν ὀφθαλμῶν στερηθεὶς, ὁ Ζαγαρομμάτης Γεώργιος (1), ὃν ὁ βασιλεὺς Ἰωάννης πρωτοβεστιαρίτην ὠνό-

(1) Κάτω τοῦ περιθεωρίου τοῦ φύλλου 120 ἀναγινώσκονται « ἅγιε . . . . . . Ζαγαρομμάτην σκέποις », πιθανῶς ἐκ μολυβδοβούλλου.

μασεν, ὁ δὲ βασιλεὺς Θεόδωρος παρακοιμώμενον πρῶτον τιμήσας, ὕστερον καθωσίωσε, Νικηφόρος ὁ Ἀλυάττης, ὃν πρὸ βραχέος ἔχων κανικλείου, ὕστερον τὴν γλῶτταν ἐκτεμὼν, τῶν ὑπαρχόντων ἐγύμνωσεν, ἄλλοι τε πολλοὶ τῶν χρησίμων καὶ ὀνομαστῶν, οἳ τοῖς στρατιώταις ἐπὶ τῇ τῶν Σωσάνδρων συναπιόντες μονῇ, κατὰ τοῦ πρωτοβεστιαρίου καὶ τῶν ἀδελφῶν αὐτοῦ ὥρμησαν· ἐκεῖσε γὰρ ἦν, τὴν ὁσίαν τοῦ βασιλέως πληρῶν.

Γνοὺς οὖν ὁ πρωτοβεστιάριος τὴν ἔφοδον τοῦ λαοῦ, ὥρμησε τοῦ ναοῦ ἐξιέναι, (ἔνδον γὰρ ἦν τῆς θείας μυσταγωγίας τελουμένης ἐπακροώμενος), ἀλλά τινες τῶν τῆς βουλῆς ἐκείνης συμπαρόντες αὐτῷ, δείσαντες μὴ ἐξιὼν καὶ ἐποχηθεὶς ἐντρέψῃ καὶ πρὸς ἑαυτὸν ἐφελκύσηται τὸν λαὸν, κἀντεῦθεν καὶ αὐτοὶ φωραθεῖεν, πρὸς ὁρκωμοσίας ἑτέρας ἐχώρουν· ἤδη γὰρ τοῦ βασιλέως πρὸς ἐσχάτας ἀναπνοὰς ὄντος, τῆς αὐτοῦ διαθήκης εἰς ἐπήκοον πάντων ἀναγνωσθείσης, ὀμνύουσιν ἅπαντες φυλάξαι τὰ διατεταγμένα ἀπαραποίητα, εἶτα καὶ μετὰ τὸ ἀποβιῶναι ὀμνύουσιν ἐπὶ τοῖς αὐτοῖς· τρίτον οὖν ὅρκοις καὶ συνθήκαις ἐμπεδωθέντες, πείθουσι τὸν πρωτοβεστιάριον ἔνδον ἵστασθαι τοῦ ναοῦ συνάμα τῷ ἀδελφῷ Ἀνδρονίκῳ, τῷ μεγάλῳ δομεστίκῳ, καὶ τῷ πρώτῳ αὐτῶν ἀδελφῷ, τῷ πρωτοκυνηγῷ. Ὡς δὲ τὸ πλῆθος εἶδον γυμνοῖς ξίφεσι κατ' αὐτῶν χωροῦντας, ἐντὸς τοῦ ἱεροῦ προσέφυγον βήματος, καὶ τὴν παναγῆ περιπτυξάμενοι τράπεζαν, ἐκεῖσε ξίφους ἔργον γεγένηνται, μηδὲ μετὰ φόνον οἶκτον λαβόντων τῶν φονευτῶν, καὶ μεληδὸν διατεμόντες, μᾶλλον δὲ κατὰ ἄρθρα, ἢ καὶ σμικρὰ τῶν σαρκῶν διελόντες τεμμάχια, τὸ οἰκεῖον τμῆμα κρατῶν ἕκαστος, τῆς ἐπιθυμίας ἐνεφορήθησαν.

Οἱ δὲ τοῦ Ρωμαϊκοῦ πλήθους μετ' οὐ πολὺ, οἵ τε τῶν ἐν τέλει καὶ τῶν στρατιωτικῶν ταγμάτων, ἀλλὰ καὶ οἱ τοῦ ἱερατικοῦ καταλόγου, (συμπαρῆν γὰρ αὐτοῖς καὶ ὁ πατριάρχης ἐκ τῆς Νικαίας ἐλθὼν), καὶ τῶν ἐπιφανεστέρων ἀρχιερέων τι-

νές, σκέψιν ἔθεντο περὶ τῶν κοινῶν πραγμάτων, τίς ἂν ἄξιος τὴν οἰκονομίαν αὐτῶν ἀναδέξασθαι· οὐ γὰρ καθῆκον ἔκριναν ὑπὸ βρεφυλλίου ἰθύνεσθαι, ἀλλ' ἔφασαν χρεὼν εἶναι τὸν δυνάμενον τὴν τῶν Ῥωμαίων σώζειν ὁλκάδα ἐπὶ τῶν οἰάκων καθῆσθαι τῶν βασιλείων ἐπὶ μεγάλου τυγχάνουσαν κλύδωνος καὶ κυβερνήτου δεομένην γενναίου.

Αὐτίκα γὰρ τὰ σύνεγγυς Περσῶν ἐθορυβοῦντο ταῖς ἐφόδοις τῶν ἐπελθόντων κατὰ Περσῶν Ἀταρίων, καὶ τὰ ἐν Δυσμῇ μέχρι καὶ αὐτοῦ Βαρδαρίου ὑφ' ἑαυτὸν ὁ ἀποστάτης Μιχαὴλ ἐποιήσατο, ἀλλὰ καὶ αἱ ἐπιγαμβρίαι ἃς οὗτος ἐποιήσατο μετά τε τοῦ ῥηγὸς Σικελίας ἐπὶ τῇ θυγατρὶ αὐτοῦ τῇ Ἑλένῃ, καὶ μετὰ τοῦ πρίγκιπος Ἀχαΐας ἐπὶ τῇ θυγατρὶ αὐτοῦ Ἄννῃ οὐ μικρὰ τοὺς ἐχέφρονας ἔθραττον. Ἦν δὲ καὶ ἐν τῇ Κωνσταντινουπόλει τὸ τῶν Λατίνων γένος, ὧν ὁ Βαλδουΐνος ὠνομάζετο βασιλεύς. Ἐπὶ δὲ τούτοις ἐζήτουν τὸν καλῶς προστησόμενον, καὶ πάντων οἱ ὀφθαλμοὶ εἰς τὸν Κομνηνὸν ἔβλεπον Μιχαήλ.

Ἐπεὶ δὲ ἔδει καὶ τὸν λαὸν περὶ τούτου ἐρωτηθῆναι, κατὰ γένη καὶ τάξεις ἅπαντες ἠρωτῶντο, καὶ ἀπαξάπαντες ὁμοθυμαδὸν, οὐ μόνον Ῥωμαῖοι, ἀλλὰ καὶ οἱ Λατῖνοι, καὶ ὅσοι τοῦ γένους τῶν Σκυθῶν, τὸν Κομνηνὸν Μιχαὴλ ἐθέλειν ἔλεγον εἶναι τῶν Ῥωμαϊκῶν πραγμάτων κηδεμόνα καὶ φροντιστήν. Οὐ μὴν ἀλλὰ καὶ ὁ ἱερὸς κατάλογος, ἐπεὶ ἑώρα τὸν Μιχαὴλ δυσχεραίνοντα πρὸς τοῦτο καὶ ὀκνοῦντα, καὶ ἀναβαλλόμενον, διὰ τὸν προβάντα ὅρκον ἐπὶ τῷ τοῦ βασιλέως Θεοδώρου παιδί, οὐ μόνον ἀγράφως αὐτῷ συνεχώρουν τῆς πράξεως, ἀλλὰ καὶ ἔγγραφον ἐξέθετο τόμον |, ἐν ᾧ σὺν τῷ πατριάρχῃ 135. οἱ ἀρχιερεῖς πάντες ὑπέγραψαν.

Οὕτω μὲν ὁ Μιχαὴλ τὸν ἀγῶνα τῆς βασιλείου ἀρχῆς ὑπεισέδυ· καὶ πρῶτα μὲν ἐν τῷ δεσποτικῷ τοῦτον ἀνήγαγον ἀξιώματι, καὶ μετὰ μικρὸν εἰς τὴν βασίλειον ἀνήχθη περιω-

πὴν, καὶ ἐπὶ τῆς βασιλικῆς ἀσπίδος οἱ τῶν ἐν τέλει καὶ τοῦ στρατοῦ κρείττους καθίσαντες, ἐπευφήμησαν· μετ' οὐ πολὺ δὲ καὶ ἐπὶ τὴν Νίκαιαν ἀφίκετο, ἔνθα καὶ παρὰ τοῦ πατριάρχου Ἀρσενίου τὸ βασιλικὸν ἐταινιώθη διάδημα.

Ἐπεὶ δὲ ἀπὸ τῶν ἐκκρίτων τοῦ βασιλέως Θεοδώρου ὁ πρωτοβεστιαρίτης ὁ Καριανίτης ἐσώζετο, ὅς καὶ τοῦ πρωτοβεστιαρίου τοῦ Μουζάλωνος καὶ τῶν αὐταδέλφων αὐτοῦ τοὺς φόνους εἰργάσατο, (ἐκεῖνος γὰρ τὴν Ῥωμαϊκὴν στρατιὰν ἐπεκράτει τότε), τοῦτον ἵνα μή τι νεωτερίσῃ, ὁ βασιλεὺς Μιχαὴλ ἔθετο ἐν εἱρκτῇ. Ὁ δὲ ἀποδρὰς, περὶ τὰ τῶν Περσῶν ᾤχετο, καὶ κατασχεθεὶς ὑπό τινων Μουσουλμάνων, τά τε προσόντα ἐσκυλεύθη, καὶ τέλος πεφόνευται. Ἐναπελείφθη δὲ ὁ Ἄγγελος Ἰωάννης, ὅς καὶ πρωτοστράτωρ ἐχρημάτισε, καὶ εἰς ἀγάπην τοῦ βασιλέως Θεοδώρου τὰ δευτερεῖα, μετὰ τὸν Μουζάλωνα, ἔφερε, διῆγε δὲ κατὰ τὴν Δυσμὴν οὐ μικρὰν ἔχων μεθ' ἑαυτοῦ στρατιάν· εἰς ὃν ὁ βασιλεὺς Μιχαὴλ τοὺς ἄξοντας πρὸς αὐτὸν ἐξαπέστειλε· καθ' ὁδὸν δὲ δειλίας βέλει τρωθεὶς, ἐτεθνήκει. Οὗτοι μὲν οὖν ἦσαν οἱ πρώτιστοι τότε ἐν ἀξιώμασιν, οἱ δ' ἄλλοι, ὡς ἀνθρώπια οὐ πολλοῦ λόγου ἄξια, οὕτως διάγειν εἰάθησαν.

Ὁ δὲ βασιλεὺς Μιχαὴλ προτοῦ στεφθῆναι, τὸν αὐτάδελφον αὐτοῦ Ἰωάννην μέγαν δομέστικον προβαλλόμενος, καὶ τὰ Ῥωμαϊκὰ τούτῳ παραδοὺς στρατεύματα, κατὰ τοῦ ἀποστάτου ἐξέπεμψε Μιχαὴλ, σὺν αὐτῷ δὲ καὶ τὸν Στρατηγόπουλον Ἀλέξιον, τὸν Ῥαοὺλ Ἰωάννην, καὶ ἄλλους στρατηγεῖν εἰδότας· καὶ τοῖς ἐναντίοις ἀντιφέρεσθαι καθὼς δέον. Ἐπεὶ δὲ καὶ τὴν στεφηφορίαν ἐδέξατο, τὸν μὲν αὐτάδελφον αὐτοῦ Ἰωάννην σεβαστοκράτορα ἐτίμησεν, ἐν τῇ Δυτικῇ χώρᾳ διάγοντα, τὰ παράσημα ἐξαποστείλας τοῦ ἀξιώματος, τὸν δὲ Στρατηγόπουλον Ἀλέξιον εἰς τὸ τοῦ μεγάλου δομεστίκου ὀφφίκιον προεβίβασε, τὸν δὲ Κωνσταντῖνον, ἀδελφὸν αὐτοῦ ὄντα ἐξ ἑτέρας μητρὸς,

καίσαρα ἐπωνόμασε, καὶ εἰς τὰ τῆς Παφλαγονίας ἔστειλε μέρη, τὰς ἐκεῖσε πόλεις καὶ τὸν στρατὸν ἐπισκεψόμενον καὶ τὰ φρούρια.

Τοὺς μέντοι κατασχέτους ὄντας ὑπὸ τοῦ βασιλέως Θεοδώρου, ἢ καὶ παρεωραμένους, πάντας ἀνερρύσατό τε καὶ ἀνεκαλέσατο, καὶ δωρήμασιν ἁδροῖς ἐδεξιώσατο, ἁπαξαπλῶς πρὸς πάντας φιλοτιμότερον ἐχρήσατο τῇ ἀρχῇ, ἀφειδῶς ἐπιχέων τὰ χρήματα· καὶ ἦν ἰδεῖν ἁπαξάπαντας τοὺς Ρωμαίους ἐν ἡδονῇ διατελοῦντας καὶ ἐπιχαίροντας.

Οἱ δὲ ἐν τῇ Κωνσταντινουπόλει Λατῖνοι καὶ ὁ βασιλεύων αὐτῶν Βαλδουῖνος πρεσβείαν πρὸς τὸν βασιλέα Μιχαὴλ στείλαντες, βαρείας τὰς ζητήσεις προέτεινον· καὶ πρῶτα μὲν ἤρξαντο ἀπὸ τῆς Θεσσαλονίκης ποιεῖσθαι τὴν ζήτησιν, ἵνα παράσχῃ ταύτην αὐτοῖς, καὶ πᾶσαν ἄλλην χώραν ἄχρι τῆς Κωσταντινουπόλεως. Ὁ δὲ βασιλεὺς ἀστειότερον πρὸς αὐτοὺς τὸν ἀπόλογον ἐποιήσατο «ἡ πόλις αὕτη οἷον πατρίς μου ὑπάρχει,» φάμενος «ὁ γὰρ ἐμὸς πατὴρ αὐτῆς ἡγεμόνευε, καὶ ἐν αὐτῇ τὸ ζῆν ἐξεμέτρησε, καὶ τὸ σῶμα αὐτοῦ ἐκεῖ τέθαπται· πῶς οὖν δέον ἔξω τυγχάνειν ταύτην τῆς ἀρχῆς τῆς ἐμῆς;» Ταύτῃ τῇ ἀπολογίᾳ οἱ Λατίνων πρέσβεις κνηθόμενοι τὴν ἀκοήν, ὡς τάχα τινὰ τῶν ζητουμένων παράσχῃ τούτοις ὁ βασιλεὺς «οὐκοῦν, ἔφησαν, παραχώρησον ἡμῖν τὰ ἀπὸ τῶν Σερρῶν κατασχεῖν», καὶ ὁ βασιλεὺς «οὐδ' αὐτήν, ἔφη, προσήκουσαν ποιεῖσθε τὴν αἴτησιν· πρώτως γὰρ αὐτῆς ἠρξάμην ἡγεμονεύειν ἐγὼ παρὰ τοῦ μακαρίτου βασιλέως Ἰωάννου τοῦ θείου μου, καὶ ἐν αὐτῇ ἐστρατήγησα, καὶ φιλῶ τὸν τόπον ὡς σύνηθες ἔδαφος, καὶ οὐ χρεὼν ταύτην καταλιπεῖν». Εἶτα «ἀλλὰ δὸς ἡμῖν, εἰρήκασι, τὰ ἀπὸ τοῦ Βολεροῦ ἄχρις ἡμῶν.» Καὶ ὁ βασιλεὺς «ἐν τούτοις τοῖς τόποις πολλάκις ἐθήρευσα, καὶ οὐκ ἄξιον τοῦτον ἀφεῖναι τὸν χῶρον, ἔνθα καὶ πάλιν ἀγαπῶ θηρεύειν καὶ ἄγραις ζώων ἐφήδεσθαι.» «Τί γοῦν ἡμῖν δίδως;» ἀντέφησαν οἱ πρέσβεις

τῷ βασιλεῖ. «Ἐγὼ μὲν, ἔφη ὁ βασιλεὺς, οὐδέν· ἀλλ' εἴπερ ἐθέλετε τὴν ἐξ ἐμοῦ εἰρήνην λαβεῖν (γινώσκετε γὰρ τὴν ἀπ' ἐμοῦ μάχην, ἡνίκα τὰ τῆς Βιθυνίας καὶ Ταρσίας διεῖπον), θέλω τοὺς ἐν Κωνσταντινουπόλει Λατίνους τελεῖν τῇ τῶν Ρωμαίων ἀρχῇ τὴν ἡμίσειαν μερίδα τοῦ κομμερκίου αὐτῶν, ὡσαύτως καὶ τὴν ἀνάλογον εἴσοδον τοῦ χρυσεψητείου. Εἰ ταῦτα παρέχειν ὑπισχνεῖσθε, συνέρχομαι εἰς εἰρήνην· εἰ δ' οὖν, ἀλλ' ἔστω μάχη, ἥτις σὺν θεῷ φάναι μᾶλλον λυσιτελήσει Ρωμαίοις.» Οὕτω γοῦν καταισχυνθέντες οἱ πρέσβεις, ὑπέστρεψαν ἄπρακτοι.

135ᵛ. | Καὶ πρὸς τὸν ἀποστάτην δὲ Μιχαὴλ, πρεσβείαν ὁ βασιλεὺς ἔστειλε διὰ τοῦ Φιλῆ Θεοδώρου τοῦ τυφλοῦ, καὶ ἡ πρεσβεία, πρᾳεῖα· παρεχώρει γὰρ τούτῳ πολλὰ τῶν ἄστεων καὶ χωρῶν, πρὸς ἀγάπην ἐφέλκων· ὀλίγα δέ τινα καὶ ἃ οὐκ ἦν εἰκὸς παριδεῖν, ἀνεκαλεῖτο. Ἀλλ' ὁ ἀποστάτης σκληρὸς ἦν καὶ ἀπόκροτος, καὶ τὰς ἀποκρίσεις οὐ προσηκούσας ἐποιεῖτο· ἐφύσα γὰρ αὐτὸν ὅ τε τῆς Σικελίας ῥὴξ ὁ Μαμφρὲ, καὶ ὁ τῆς Ἀχαΐας πρίγκιψ, οἱ ἐπὶ θυγατράσι γαμβροὶ αὐτοῦ, καὶ ὑπέρογκα διελέγετο· ἐφ' ᾧ καὶ ὁ Φιλῆς Θεόδωρος, βαρυαλγήσας ταῖς ἀποκρίσεσι, πρὸς τὸν βασιλέα ὑπέστρεφε, τοῦτο πρὸς τὸν ἀποστάτην εἰπὼν «οἶδα ὡς ἀνοηταίνεις, καὶ διὰ τοῦτο φθέγγῃ τὰ μὴ καθήκοντα, ἀλλ' ἴσθι ὡς τάχος πειραθήσῃ βασιλικῆς καὶ Ρωμαϊκῆς δυνάμεως, καὶ γενήσῃ μετάμελος, ὅτε οὐδέν σου τὸ ὄφελος.» Ταῦτα εἰπὼν, πρὸς τὸν βασιλέα ἀφίκετο, καταγνοὺς τοῦ ἀποστάτου πολλὰ, ὅτι μὴ ἠβουλήθη βασιλέως ἀξίωσιν ἐκπληρῶσαι, καὶ τὸν μέγαν λογοθέτην τὸν Ἀκροπολίτην Γεώργιον καὶ τὸν Χαβάρωνα Κωνσταντῖνον ἀπολῦσαι, καὶ ταῦτα πλείους τῶν εἴκοσι τοῦ βασιλέως τῆς εἱρκτῆς ἀπολύσαντος τῶν αὐτοῦ, οὓς ἐν τῷ κατὰ τὰ Βοδηνὰ πολέμῳ ἐζώγρησεν, ὧν ἔνιοι καὶ προσγενεῖς ὑπῆρχον τῷ ἀποστάτῃ, οἱ δ' ἄλλοι κρείττους καὶ τῶν ἐν γένει περιφανῶν.

Ἔστειλε πρέσβιν ὁ βασιλεὺς καὶ πρὸς τὸν ῥῆγα Σικελίας τὸν Μαφρὲ, τὸν ἐπὶ τοῦ κανικλείου Νικηφόρον τὸν Ἀλυάτην, ὅν καὶ κατεῖχε μεθ' ἑαυτοῦ ἐγγύς που δύο ἐτῶν· ὡσαύτως καὶ πρὸς τὸν πρίγγιπα Ἀχαΐας διεπρεσβεύσατο. Ἀλλὰ πρὸς τὸν ἀποστάτην καὶ οὗτοι τεθαρρηκότες, τὸν κηδεστὴν αὐτῶν, εἰς οὐδὲν τοὺς λόγους ἐτίθεντο.

Ὁ μὲν οὖν βασιλεὺς κατὰ τοῦ ἀποστάτου ἐκπέμψας τὸν ἀδελφὸν αὐτοῦ Ἰωάννην τὸν σεβαστοκράτορα, καὶ τούτῳ τὰς δυνάμεις ἐγχειρίσας, καὶ τοὺς στρατηγοὺς, προσέταξε κατ' εὐθὺ τὴν πορείαν ποιήσασθαι μέχρις ἂν τῷ τοῦ ἀποστάτου ἐντύχῃ στρατεύματι. Ὁ δὲ κατὰ τὸ προσταχθὲν ἐποίει. Ὁ ἀποστάτης δὲ περὶ τὴν Καστορίαν μετά τε τῆς συζύγου καὶ τῶν οἰκείων ἐστρατοπεδεύετο· καὶ ἄφνω ἐπῆλθε τούτῳ βοὴ, ὡς τὰ Ρωμαϊκὰ στρατεύματα τὴν τῶν Βοδηνῶν κλεισούραν διαβάντα, κατὰ τούτων χωροῦσι. Πτοίαν οὖν οὐ μικρὰν ἐντεῦθεν λαβόντες ἐν τῇ ψυχῇ, πρὸς δρασμὸν ἔβλεψαν· ἐπεὶ δὲ νὺξ ἦν, καὶ οὐχ ἑώρα τις ὅπῃ φέρεται, πολλοὶ ἐν τοῖς κρημνώδεσι τόποις ἀπώλοντο· αὐτίκα ὁ Πετραλίφας Θεόδωρος, ὁ τῆς γυναικὸς τοῦ ἀποστάτου ὅμαιμων, θρασυτέρου ἐπιβὰς ἵππου, ἐν κρημνῷ σὺν αὐτῷ ἵππῳ καταβληθεὶς, ἀπέρρηξε τὴν ψυχήν. Συνεστάλησαν οὖν μέχρι τῶν οἰκείων ὁρίων, εἴτουν τῶν Πυρηναίων ὀρῶν, ἃ διορίζει τὴν Παλαιάν τε καὶ Νέαν Ἤπειρον τῆς Ἑλληνίδος καὶ ἡμετέρας. [Ὁ δὲ σε]βαστοκράτωρ ἀδείας δραξάμενος, ἔρημον τοῦ βοηθοῦντος τὴν χώραν εὑρὼν, κατὰ τῶν ἐν αὐτῇ ἄστεων τὰς ὁρμὰς ἐποιεῖτο· καὶ πρῶτον μὲν περὶ τὴν Ἀχρίδα ἄπεισι, τὴν ἀρχιεπισκοπὴν Βουλγαρίας, ἔχων μεθ' ἑαυτοῦ καὶ τὸν ἀρχιεπίσκοπον Καβάσιλαν, ὅν ὁ βασιλεὺς Θεόδωρος ἐν τῇ Ἕῳ εἶχεν· ὑφωρᾶτο γὰρ μὴ ὀρθὸς εἶναι περὶ τὴν ἀρχὴν τὴν βασίλειον, ὅτι καὶ οἱ ἀδελφοὶ αὐτοῦ Ἰωάννης καὶ Θεόδωρος, μετὰ τοῦ ἀποστάτου ἐτύγχανον Μιχαὴλ, ὁ μὲν τοῖς ἐκκρίτοις αὐτοῦ συγκατειλεγμένος, ὁ δ' Ἰωάννης τῶν αὐ-

τοῦ πραγμάτων πᾶσαν τὴν δεσποτείαν ἔφερε, τά τ' ἐκτὸς πάντα συνδιέπων αὐτῷ καὶ τὰ κατ' οἶκον· ὁ δὲ βασιλεὺς Μιχαὴλ εἰς τὴν αὐτοῦ ἀφικέσθαι ἐκκλησίαν ἀπέλυσε, καὶ συνείπετο τῷ σεβαστοκράτορι. Ἐλθόντες οὖν εἰς τὴν Ἀχρίδα, καὶ τοῦ μὲν σεβαστοκράτορος πολεμικὰς μηχανὰς εἰς ἅλωσιν ἐπιτεχνωμένου, τοῦ δὲ ἀρχιεπισκόπου λόγοις ὑπενδοῦναι πείθοντος, ἐν οὐ πολλῷ χρόνῳ ἑάλω ἡ Ἀχρίδα.

Μετὰ ταῦτα πρὸς τὴν Δεάβολιν ὥρμησεν ὁ σεβαστοκράτωρ, καὶ οἱ ἐντὸς αὐτοῦ, μετὰ μάχην καὶ φόνους πολλῶν, προσῆλθον μετὰ τῶν πέριξ χωρῶν, ἥ τε Πρέσπα, καὶ ἡ Πελαγονία, Σωσκός τε καὶ Μολισκὸς, ὑπὸ τὴν ἐπικράτειαν τῆς βασιλείας ἐγένοντο.

Τοιοῦτοι γὰρ εἰσιν οἱ τῶν Δυτικῶν χωρῶν οἰκήτορες, ῥᾳδίως πᾶσι τοῖς δυναστεύουσιν ὑποπίπτοντες, ἐντεῦθεν καὶ τοὺς ὀλέθρους ἐκφεύγουσι, καὶ τὰ πλείω τῶν περιουσιῶν διασώζουσι.

136. | Ταῦτα μὲν οὖν ἔαρος ἱσταμένου ἐγένετο. Ὁ δὲ ἀποστάτης ἐβουλεύσατο ταῖς βασιλικαῖς δυνάμεσιν ἀντιστῆναι, καὶ συνήθροισε μὲν τοὺς οἰκείους ἅπαντας, προσελάβετο δὲ καὶ παρὰ τοῦ ῥηγὸς Σικελίας τοῦ Μαφρὲ συμμαχίαν οὐ μικρὰν, ἱππότας ὡπλισμένους τετρακοσίους. Ὁ μέντοι τῆς Ἀχαΐας πρίγκιψ τὴν αὐτοῦ στρατιὰν συλλεξάμενος, δι' ἑαυτοῦ συνῆλθε βοηθῆσαι τῷ πενθερῷ, ἦγε δὲ οὗτος πολὺ τὸ ὁπλιτικὸν, ἔκ τε τοῦ Φραγγικοῦ γένους καὶ τῶν οἰκητόρων Ῥωμαίων Ἀχαΐας τε καὶ Πελοποννήσου, οἱ πλείους δὲ τοῦ τῶν Λακώνων (γρ. Λατίνων) ὑπῆρχον γένους, πάντες οὗτοι κατὰ τοῦ σεβαστοκράτορος Ἰωάννου τὴν ὁρμὴν ἐποιοῦντο. Ὁ δὲ (καὶ γὰρ εἶχε τὰς βουλὰς ἀγαθὰς ἐκ τοῦ αὐταδέλφου βασιλέως), στρατηγικῶς τοὺς ἀντιπάλους μετήρχετο. Αὐτὸς μὲν οὖν μετὰ τῶν ὡπλισμένων δυνάμεων, τὰ ἐχυρότερα τῶν τόπων ἐκράτει, τοῖς δ' ἐλαφροτέροις τῶν ὁπλιτῶν καὶ οἷς τὸ κινεῖσθαι ῥᾴδιον, τὴν κατὰ τὰς πεδιάδας ποιεῖσθαι μάχην πρὸς τοὺς ἀντιπάλους προσέταξεν. Ἦσαν δὲ οὐ-

τοι οἱ μὲν ἐκ Σκυθῶν, οἱ δ' ἐκ Τούρκων, πολλοὶ δὲ καὶ ἐκ τοῦ Ῥωμαϊκοῦ στρατεύματος, οἷς ἡ τοξεία τὸ ἐπιτήδευμα· οὗτοι μὲν τοῖς ἐναντίοις προσιόντες, τοῖς βέλεσιν ἔπληττον. Ἤρξαντο μὲν οὖν ἐκ τοῦ τόπου, οὗ Βορίλα Λόγγος ὄνομα, ἐμπίπτειν τοῖς ἐναντίοις· οὔτε γοῦν ἡμέρας οὔτε νυκτὸς ἀνέτως βαδίζειν αὐτοῖς παρεχώρουν, ἡμέρας μὲν ἐν τοῖς τῶν ἵππων πότοις ἐπιτιθέμενοι, εἴ πού τις μακρότερον διὰ πότον ἀπήρχετο, συνέβαλον δὲ καὶ καθ' ὁδὸν· ταῖς ἁμάξαις δὲ καὶ τοῖς φορταγωγοῖς ὑποζυγίοις ἐφεδρεύοντες, ἐσκύλευον ἐκ τῶν παρ' αὐτοῖς φορτίων, ὑποχωρούντων τῶν φυλαττόντων. Τοῦτο δὲ πολλάκις πεποιηκότες, θάρσος κατὰ τῶν ἐναντίων ἐσχήκασιν, ὥστε καὶ χειρὶ χεῖρας ἐμβάλλειν, καὶ ἀφαρπάζειν τὰ προστυχόντα. Οὕτω μὲν τὸ τοῦ ἀποστάτου στράτευμα συνεστάλη καὶ λίαν πεφόβηται, καὶ τὴν σωτηρίαν πᾶσαν σχεδὸν ἀπηγόρευε· βίᾳ γοῦν Στανὸν, καὶ Σωσκὸν, καὶ Μολισκὸν παραμείψαντες, σκοπὸν εἶχον εἰς τὸ τοῦ Πριλάπου ἄστυ γενέσθαι, ὅπως αὐτὸ διασώσειεν. Ἐκεῖσε γοῦν γεγονότες καὶ διασκεδασθέντες, τὸν περὶ ψυχῆς τρέχειν ἕκαστος ὅπως ἂν εἶχεν ἰσχύος βεβούλευται. Καὶ ὁ μὲν ἀποστάτης Μιχαὴλ μετὰ τοῦ υἱοῦ αὐτοῦ Νικηφόρου καί τινων μετρίων, νυκτὸς τοῖς ἵπποις ἐποχηθέντες, ἀπέδρασαν. Ἡμέρας δὲ γενομένης, ὡς οἱ τοῦ στρατοῦ ἐγνώκασι τὸν Μιχαὴλ ἀποδράντα, ἤδη καὶ αὐτοὶ πρὸς φυγὴν ἔβλεψαν. Τὸ μὲν οὖν Ῥωμαίων στράτευμα, καὶ οἱ κρείττους τῶν ἐπικρατούντων αὐτοὺς, καὶ ὁ νόθος τοῦ ἀποστάτου υἱὸς Ἰωάννης, τῷ σεβαστοκράτορι Ἰωάννῃ προσέδραμον, καὶ τῷ βασιλεῖ τοὺς ὅρκους ἀποδεδώκασιν. Οἱ δὲ πρίγκιψ Ἀχαΐας καὶ οἱ μετ' αὐτοῦ, ἄλλος ἀλλαχοῦ διεσπάρησαν. Καὶ ὁ μὲν πρίγκιψ κατὰ τὴν Καστορίαν ἑάλω, ὑπὸ ἀχυρμιᾷ κρυπτόμενος, κἀκ τῶν ὀδόντων τινὶ στρατιώτῃ γνωρισθείς· εἶχε γὰρ τοὺς ἐμπροσθίους εὐμεγέθεις, καὶ προβεβλημένους τῶν φατνωμάτων, καὶ δέσμιος ἀπήχθη τῷ βασιλεῖ· οἱ δὲ κρείττους τῶν αὐτοῦ καὶ προσγενεῖς, ὅτε Ἀσὲλ Δετουσὶ, ὁ

τῆς Καριτάνης Ἰεφρὲ, καὶ ἄλλοι τῶν ὀνομαστῶν, οἱ μὲν κατὰ μέρος ἄλλο ἑάλωσαν, καὶ δεσμῶται τῷ βασιλεῖ ἀπεπέμφθησαν. Τὸ δὲ συμμαχικὸν τοῦ ῥηγὸς Μαφρὲ ἅπαν ὑπὸ τεσσάρων ἀνδρῶν κατεσχέθη, τοῦ μεγάλου δομεστίκου τοῦ Στρατηγοπούλου Ἀλεξίου, τοῦ Ῥιμψᾶ Νικηφόρου, ὃς ἐκ Τούρκων ἕλκων τὸ γένος, ὀρθότατος ἐγεγόνει χριστιανὸς, καὶ δύο τινῶν ἄλλων ἀνωνύμων· καὶ τούτους γοῦν δεσμώτας πρὸς τὸν βασιλέα ἐξέπεμψαν.

Τοιαύτην νίκην οἱ Ῥωμαῖοι ταῖς βασιλικαῖς συμβουλαῖς κατωρθώσαντο, ὥστε τὴν αὐτῆς φήμην εἰς πάντα περιϊέναι τῆς γῆς τὰ πέρατα, ὀλίγας γὰρ τοιαύτας νίκας εἶδεν ὁ ἥλιος. Ἐντεῦθεν καὶ πάντα τὰ ἄστη καὶ πᾶσαν χώραν ὑφ' ἑαυτοὺς ἐποίησαν οἱ ἡμέτεροι.

Ὁ μὲν οὖν σεβαστοκράτωρ τὴν Θετταλίαν παραμείψας, καὶ τὰ ἐν αὐτῇ ἄστη τε καὶ φρούρια ὀχυρωσάμενος, περὶ τὴν Νέαν Πάτραν ἐστρατοπεδεύσατο, ἔχων μεθ' ἑαυτοῦ καὶ τὸν νόθον υἱὸν τοῦ ἀποστάτου, Ἰωάννην, ὁ δὲ μέγας δομέστικος ὁ Στρατηγόπουλος Ἀλέξιος, καὶ ὁ Ῥαοὺλ Ἰωάννης, τὰ Πυρηναῖα ὑπερβάντες ὄρη, περὶ τὴν Ἄρταν ἐχώρουν, καταλιπόντες εἰς πολιορκίαν τῶν Ἰαννίνων στρατόν. Κατέλαβον οὖν οὗτοι τὴν Ἄρταν.

Ἐπεὶ δὲ οἱ τῶν στρατευμάτων οὐ καλῶς ἐχρήσαντο τοῖς τῶν χωρῶν ἐποίκοις, ἐν οὐ πολλῷ χρόνῳ πρὸς τὸ ἐναντίον με-
136ʳ τῆλθε τὰ πράγματα |, καὶ ὁ τοῦ ἀποστάτου υἱὸς νόθος μετὰ καί τινων ἄλλων ἀποστασίαν ἐμελέτα. Καὶ ἐπεὶ ὁ σεβαστοκράτωρ τὴν Λεβαδίαν παραμείψας, τὰς Θήβας ἐσκύλευσε, καὶ οὗτος μετὰ τῶν συνωμοτῶν πρὸς τὸν αὐτοῦ πατέρα Μιχαὴλ ἐχώρησεν. Ἐκεῖνος δὲ, ὥς μοι καὶ εἴρηται, τοῦ στρατοῦ ἀποδρὰς, οὐκ εἶχεν ὅπου καὶ στῇ ἐπὶ γῆς. Εἰς πλοῖα τοίνυν ἐμβὰς μετά τε τῆς συζύγου καὶ τοῦ υἱοῦ Νικηφόρου, καί τινων τῶν αὐτοῦ, τῇ θαλάσσῃ διέτριβον, καὶ τὰς πέριξ νήσους καταγώγιον εἶχον, τήν τε Λευκάδα καὶ τὴν τῶν Κεφαλλήνων φη-

μί. Ἐπεὶ δὲ ὁ νόθος αὐτοῦ παῖς Ἰωάννης πρὸς αὐτὸν ἔφθασεν, ἀνερρώσθη, καὶ περὶ τὴν Ἄρταν ἐβάδισε, καὶ τοὺς οἰκήτορας προσκειμένους εὑρὼν αὐτῷ, ἔχων δὲ καὶ τὸ Βονδίτζης ἄστυ παρὰ τῶν αὐτοῦ κατεχόμενον, συναγαγὼν τοὺς ἐκεῖσε τοὺς τοῦ βασιλικοῦ στρατοῦ ὅσους εὗρε, τῶν τῆς Ἄρτης ὁρίων ἀπήλασεν, ἀλλὰ καὶ τοὺς κατὰ τῶν Ἰωαννίνων μακρὰν ἐδίωξεν.

Οὕτω μὲν ἀρχὴν κακῶν εἴληφε τὰ πράγματα, καὶ τὴν περιφανῆ νίκην ἡ τῶν στρατηγούντων ἀπροσεξία εἰς τὸ μηδὲν σχεδὸν καταντῆσαι παρεσκεύασεν.

Ὁ δὲ σεβαστοκράτωρ Ἰωάννης, καὶ ὁ πενθερὸς αὐτοῦ Κωνσταντῖνος ὁ Τορνίκης εἰς τὸν βασιλέα ἦλθον περὶ τὴν Λάμψακον διατρίβοντα· καὶ τὸν μὲν σεβαστοκράτορα, δεσπότην ὁ βασιλεὺς τετίμηκε, τῆς νίκης ἀντίχαριν τούτῳ δούς, καὶ ἵνα δεσπότης πρὸς δεσπότην εἴη μαχόμενος, τὸν δὲ πενθερὸν αὐτοῦ, σεβαστοκράτορα κατωνόμασε· ναὶ μέντοι καὶ τὸν Ἄγγελον Κωνσταντῖνον σεβαστοκράτορα προεβάλετο. Ἐν τούτοις δὲ διέφερον οἱ σεβαστοκράτορες οὗτοι, ἐν οἷς ὁ μὲν τοῦ βασιλέως ἀδελφὸς, καὶ χρυσοϋφεῖς ἀετοὺς εἶχεν ἐγκεκολαμένους τοῖς κυανοῖς πεδίλοις αὐτοῦ, ὁ δὲ Τορνίκης, ἀετῶν ἄνευ, αὐτὰ ὑπεδέδετο. Τὸν δὲ Στρατηγόπουλον Ἀλέξιον προεχειρίσατο καίσαρα, δι' ἀποστολῆς ἐν τοῖς Δυτικοῖς μέρεσι διατρίβοντα, ἡγεμόνα τῶν ἐκεῖσε κάστρων τε καὶ χωρῶν.

Ὁ δὲ βασιλεὺς ἐκ τῆς Λαμψάκου διαπεράσας, ἔτι τοῦ χειμῶνος ἐπικρατοῦντος ἐν τῷ ἰανουαρίῳ μηνὶ, κατὰ τῶν ἐν Κωνσταντινουπόλει Φράγγων ἐξώρμησε· σκοπὸς γὰρ ἦν ἐξῶσαι τούτους ἐκεῖθεν, καὶ τῆς δουλείας αὐτὴν ἀναρρύσασθαι, οὐχ οἷς ἦγε στρατεύμασι τεθαρρηκώς, (οὐ γὰρ ἦν ἀξιόμαχος πρὸς τοιαύτης μεγαλοπόλεως πολιορκίαν), ἀλλὰ λόγοις τοῦ ἐξαδέλφου Ἀ'σὲλ ἐξηπατημένος, ὃς καὶ ἔλεγεν ὡς ἐν τῷ τείχει τῆς Πόλεως τὴν οἰκίαν ἔχων καὶ πύλας δεσποζομένας παρ' αὐτοῦ κε-

κτημένος, δύναται τὸν τοῦ βασιλέως στρατὸν διὰ τούτων εἰσαγαγεῖν δίχα μάχης. Καὶ ἐπιστεύετο, διά τε τὸ συγγενὲς, καὶ τὸ πλῆθος τῶν δωρημάτων ὧν ἀπέλαβε, καὶ ὧν ἦν ἐν ὑποσχέσει λαβεῖν, καὶ ἐπὶ τούτοις, δέσμιος ὅτι τῷ βασιλεῖ προσαχθεὶς, ἐν τῇ τοῦ πρίγκιπος Ἀχαΐας κατασχέσει, οὐ μόνον οὐδὲν δεινὸν ἔπαθεν, ἀλλὰ καὶ πολλῶν ἀπήλαυσεν ἀγαθῶν. Τούτοις ἐλπίσας ὁ βασιλεὺς, κατὰ τῆς Κωνσταντίνου ἐστράτευσε, καὶ ἀντιπέραν τοῦ βορείου μέρους, ἐν ᾧ καὶ τὸ τοῦ Γαλατᾶ φρούριον, ἐστρατοπεδεύσατο, καὶ τῷ μὲν δοκεῖν τὸ τοῦ Γαλατᾶ ἐμάχετο, τῇ δ' ἀληθείᾳ πρὸς τὸν Ἀσὲλ ἔπεμπεν, ὡς ἂν τὰ ὑπεσχημένα πληρώσειεν. Ὁ δὲ πρὸς κέρδος ἑώρα, οὐ πρὸς ἀλήθειαν. Ἐπεὶ γοῦν ἐπ' οὐδενὶ ἔργῳ ἐτρίβετο ὁ καιρὸς (ἔφθασε γὰρ ὁ ἀπρίλιος μὴν), ἀλλὰ καὶ τῆς στρατιᾶς ὁπλισθείσης καὶ νυκτὸς ἀπιούσης καὶ τῇ οἰκίᾳ τούτου προσεγγισάσης, (τοῦτο γὰρ ἐκεῖνος γενέσθαι διεμηνύσατο), οὐδὲ τότε τι πλέον ἐγένετο, τὸν Βαλδουΐνον, ὃς ἦν ἐν τῇ Πόλει βασιλεύων, εἰπὼν τὰς κλεῖς τῶν πυλῶν τῆς Πόλεως λαβεῖν. Ἐπεὶ γοῦν οὕτως πεφώρακε τοῦτον ψευδόμενον καθαρῶς ἀπανίσταται τοῦ τόπου ὁ βασιλεύς. Καθ' ὁδὸν δὲ τρεῖς πρέσβεις οἱ Λατῖνοι ἀπέστειλαν, εἰρήνην αἰτοῦντες· ὁ δὲ βασιλεὺς πεποίηκε ταύτην, εἰς ἐνιαυτὸν ἕνα καὶ μόνον περιστήσας, καὶ περισφίγξας τούτοις τὰ πράγματα. Διαπεράσας γοῦν τὸν Ἑλλήποντον, τὰ τῶν Πηγῶν κατέλαβε μέρη, κἀκεῖσε τὰς διατριβὰς ἐποιεῖτο.

Ἐπεὶ δὲ καὶ ὁ τοῦ θέρους παρῄει καιρὸς, ἀλλὰ δὴ καὶ ὁ τῆς ὀπώρας, τῶν τοιούτων χώρων ἀπάρας, κατήντησεν εἰς τὸ Νύμφαιον. Τότε δὲ καὶ πρὸς τὸν ἄρχοντα Βουλγάρων τὸν Κωνσταντῖνον πρέσβιν ἀπέστειλε τὸν μέγαν λογοθέτην τὸν Ἀκροπολίτην· κἀκεῖσε οὗτος καὶ τὰς ἑορτὰς τοῦ Χριστοῦ διαβιβάσας, τήν τε τῆς Γεννήσεως καὶ τοῦ Φωτίσματος, καθ' ἣν οἱ τῶν Βουλγάρων ἄρχοντες μάλιστα λαμπρύνονται, τὰ βασιλικὰ

σημεῖα ἅπερ τοῦ βασιλέως Ἰσαακίου ἀπεκέρδησαν εἰς τὸν θρίαμβον προσφερόμενοι, καὶ τὰ δὶ ἃ καὶ ἐπέμφθη τελέσας, πρὸς τὸν βασιλέα ὑπέστρεψεν ἐν τῷ Νυμφαίῳ διάγοντα, ὅπου καὶ παρεχείμασε. Καὶ τὴν Λαμπρὰν τῆς ἀναστάσεως τοῦ Κυρίου ἑορτάσας ἡμέραν ἐν τῷ Νυμφαίῳ, μετά τινας ἡμέρας ἐν τοῖς Φλεβίοις ὁ βασιλεὺς ἔξεισι, καὶ περὶ τὴν Κλυζομενὴν ἐπελθὼν, ἐπήξατο τὰς σκηνάς· ἐκεῖσε γὰρ εἰώθασι χρονοτριβεῖν οἱ βασιλεῖς, καὶ τὸ πλέον τοῦ ἐαρινοῦ παραμείβειν καιροῦ· | ὅ τε γὰρ φ. 137. τόπος πεδιὰς ἅπας, καὶ χόρτου προβεβλημένη πολλοῖς ἵπποις ἀρκοῦντα, καὶ κατάρρυτος ὕδασιν, ἐγγὺς δὲ καὶ κώμας ἔχει καὶ πόλεις, ἐξ ὧν καὶ τὰ ζωαρκῆ δαψιλῆ.

Ἐκεῖσε γοῦν τοῦ βασιλέως διάγοντος, καὶ ὁ σεβαστοκράτωρ ὁ Τορνίκης ἐκ τῆς Νικαέων ἐπεδήμησε, καὶ δὶ ὄχλου τῷ βασιλεῖ γέγονε διὰ τὸν πατριάρχην Ἀρσένιον, τοῦ μετὰ τὴν ἐκβολὴν αὐτοῦ Νικηφόρου τοῦ ἀπὸ Ἐφέσου μετατεθέντος τὴν ζωὴν ἐκμετρήσαντος, μηδὲ εἰς ὅλον ἐνιαυτὸν τοῦ θρόνου ἀπολαύσαντος. Ὁ δὲ Ἀρσένιος οὗτος ἦν πρὸς τοῦ βασιλέως Θεοδώρου εἰς τὸν πατριαρχικὸν θρόνον προβεβλημένος, ὡς λέλεκται, ἀνὴρ καὶ εἰς λόγον καὶ εἰς πρᾶξιν πανευφυέστατος, καὶ μάλιστα τὸν ἐκ φύσεως πῶς προβαλλόμενος, τοῦ γὰρ ἐκ παιδείας μικρόν τι μετέσχεν, ὀλίγα τινὰ τῶν ἐγκυκλίων φιλοσοφήσας τοῦ μὴ δοκεῖν ἀπείρως τῶν τοιούτων ἔχειν, μηδὲ ἀγνοεῖν ὧν ὑπεριδεῖν ἐδοκίμασε, τῷ δὲ βέλει τοῦ πρὸς θεὸν ἔρωτος τρωθεὶς ἐκ νεότητος τὴν ψυχὴν, πᾶσι χαίρειν εἰπὼν τοῖς κατὰ κόσμον, ὧν οὐκ εὐχερῶς ἔχουσιν οἱ πλείους ἀφίστασθαι, τὸν μονήρη βίον προείλετο. Οὗτος τὴν αὐτοκρατορικὴν τῷ Μιχαὴλ ἀπεπλήρου στεφηφορίαν· ἐπεὶ δ' οὐχ ἑώρα τοῦτον ταῖς ἑαυτοῦ συμβουλαῖς καθυπείκοντα, πρὸς διαφορὰς μετ' αὐτοῦ ἦλθε, καὶ δύσνους εἶναι περὶ τὸν βασιλέα αἰτίαν γραφεὶς, τοῦ θρόνου ἀπηλάθη· σὺν αὐτῷ δὲ καὶ ὁ Σάρδεων Ἀνδρόνικος καὶ ὁ Θεσσαλονίκης Μανουὴλ, διὰ τὴν αὐτὴν αἰτίαν τὰ αὐτὰ καὶ

αὐτοὶ πεπονθότες, καὶ τῶν ἐκκλησιῶν αὐτῶν ἐξωστρακίσθησαν· ἀλλ' ὁ μὲν Σάρδεων, ὅτε ὁ βασιλεὺς κατὰ τῶν ἐν τῇ Κωνσταντίνου ἐστράτευε, καὶ ἐγγὺς αὐτῆς τὰς ἐπαύλεις ἐποιεῖτο, τότε τὰ τῶν μοναχῶν ἐνεδύσατο παρὰ τοῦ Φιλαδελφείας Ἰωαννικίου· ὡς γὰρ διηνώχλει τὸν βασιλέα ἐπιδημῆσαι τῇ τῶν Παφλαγόνων (ἐκεῖθεν καὶ γὰρ ὥρμητο), ὁ βασιλεὺς τὸ στρεβλόνουν αὐτοῦ ἐπιστάμενος, οὐκ εἴα τοῦτον ἐκεῖσε ἀφῖχθαι· σκοπὸς γὰρ ἦν αὐτῷ τὰ τῶν Παφλαγόνων διαταράξαι τῇ περὶ τὸν βασιλέα δυσνοίᾳ· ὁ δὲ βασιλεὺς ἔλεγε πρὸς αὐτὸν « μητροπολίτης Σάρδεων κεχειροτόνησαι, καὶ δεῖ σε τοῖς τῶν Σάρδεων μέρεσιν ἐμφιλοχωρεῖν » Τότε οὖν μὴ ἔχων ὅ, τι καὶ δράσειεν, τὸν μονήρη βίον προείλετο· ὁ δὲ Θεσσαλονίκης ἐξιὼν τῆς Νικαίας, περὶ τὰ ἐγγύς που διέτριβε. Καὶ ὁ πατριάρχης Ἀρσένιος, ἐξελθὼν καὶ αὐτὸς τῆς Νικαίας, ἔν τινι σεμνείῳ ἑαυτὸν ἐγκαθεῖρξεν. Ἐντεῦθεν συνελθόντες πάντες οἱ ἀρχιερεῖς περὶ τὴν Λάμψακον, ψήφῳ αὐτῶν καὶ προσταγῇ βασιλέως, τὸν τῆς Ἐφέσου Νικηφόρον εἰς τὸν πατριαρχικὸν θρόνον μετήνεγκαν· ἐπεὶ δὲ οὗτος οὐδ' ἐν ἐνιαυτῷ τούτῳ προσμείνας, τῶν τῇδε ἀπῆλθεν, ὁ σεβαστοκράτωρ ὁ Τορνίκης τὸν βασιλέα ἠνάγκαζε, τὸν Ἀρσένιον εἰς τὸν πατριαρχικὸν θρόνον καὶ αὖθις ἀναγαγεῖν, θαύματά τινα καὶ τεράστια ἐνεργούμενα παρὰ τοῦ Ἀρσενίου διηγούμενος.

Ἀνήχθη οὖν καὶ αὖθις εἰς τὸν θρόνον τὸν πατριαρχικὸν ὁ Ἀρσένιος. Ἐνταῦθα δὲ τοῦ λόγου γενόμενος, ἐρῶ τι περὶ τοῦ πατριάρχου Ἀρσενίου βραχύ· οἱ τοῦτον δύσνοιαν περὶ τὸν βασιλέα ἔχειν αἰτιασάμενοι, ἢ ἀγνόημα ἠγνόησαν μέγιστον, ἢ διαβολεῖς ἀπελέγχονται, τῶν γὰρ δύο πάντως ἦσαν νοσοῦντες τὸ ἕτερον. Ἐγὼ γὰρ ἐπὶ χρόνοις τούτῳ παρηκολουθηκώς, καὶ τῶν πρακτέων καὶ πρὸς βουλῆς κεκοινωνηκώς, καὶ νύκτα καὶ καθ' ἡμέραν συνών, ὡς ὁμόστεγός τε καὶ ὁμωρόφιος, οὐδὲ ποτέ τι τοιοῦτον ἐνόησα, ὡς οἶδεν ὁ ἐν οὐρανοῖς μάρτυς πιστός,

ἀλλ' ἀρχιερεὺς καὶ διδάσκαλος τυγχάνων κατὰ θεὸν, καὶ ποιμὴν ἀληθῶς, ἐβούλετο τοὺς τοῦ ποιμνίου πάντας εὐλαβεῖς εἶναι, καὶ παρεκάλει πρὸς τοῦτο. Ἐπεὶ δὲ οὐ προκόπτον κατ' ἀρετὴν, ἀλλὰ καὶ τὴν θείαν μῆνιν ἐπεσπῶντο διὰ τῆς παραβάσεως τῶν συχνῶν καὶ φρικτῶν ὁρκωμοσιῶν, αἳ τῷ τότε προέβησαν, καὶ μετάμελος οὐκ ἦν ὥσπερ ἔδει, παθαινόμενος τὴν ψυχὴν, βαρὺς ἐδόκει, μετάνοιαν εἰς σωτηρίαν δὶ ὧν ἐποίει καὶ ἔλεγεν ἀπαιτῶν· ζηλῶν γὰρ ἦν ὑπὲρ τοῦ καλοῦ, καὶ ἐλέγχων τοὺς ἁμαρτάνοντας πρὸς διόρθωσιν. Διὰ τοῦτο καὶ βουλόμενος πολλάκις παραιτήσασθαι τὸ « ἐν λαῷ ἀπειθεῖ, λέγων, σῶζε τὴν σαυτοῦ ψυχὴν », καὶ ὅλος τούτου γινόμενος, ἐκωλύετο πρὸς τῶν τότε πνευματικῶν ἀνδρῶν, ἀντιτιθέντων τὸ « οὐδεὶς βαλὼν τὴν χεῖρα ἐπ' ἄροτρον καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τοῦ θεοῦ », καὶ τὸ ἀποστολικὸν « οὔπω μέχρις αἵματος ἀντικατέστησε πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενος. »

Ὁ δὲ βασιλεὺς τὸν Στρατηγόπουλον Ἀλέξιον τὸν καίσαρα μετὰ στρατευμάτων τινῶν οἰκονομήσας, ἐπὶ τοῖς Δυτικοῖς ἐξέπεμψε μέρεσι, τοῖς ἐκεῖσε τῶν Ῥωμαίων ὑπεναντίοις εἰς μάχην ἐλθεῖν, παραγγείλας ὡς ἐν τῷ διέρχεσθαι, ἐπεὶ τὰ τῆς ὁδοῦ τῆς ἐκεῖσε φερούσης ἐγγὺς ὑπάρχει τῆς Κωνσταντινουπόλεως, ἔφοδόν τινα κατὰ ταύτην ποιήσασθαι, καὶ μέχρι τῶν πυλῶν αὐτῆς ἐπιδραμεῖν τὰ στρατεύματα, καὶ πτοίαν τοῖς ἐντὸς οὖσιν ἐπαγαγεῖν.

Συνέβη δὲ καί τι γενέσθαι τοιοῦτον προνοίᾳ θεοῦ. Ναῦςφ. 1 μεγίστη κοίλη ἐκ τῆς Βενετίας πρὸς τὴν Κωνσταντίνου ἀφίκετο, καὶ νέος ἐξουσιαστὴς τῶν Βενετίκων, ὅν ποτεστάτον φασί, παρεγένετο· οὗτος ἀνὴρ ὤν, ὡς ἐφάνη, δραστήριός τε καὶ μάχιμος, παροτρύνει τοὺς ἐν τῇ Κωνσταντινουπόλει πρὸς μάχην, συμβουλεύσας ὡς δεῖ καὶ αὐτοὺς μὴ μόνον ἐντὸς καθῆσθαι τῆς Πόλεως, ἀλλὰ καὶ δρᾶν τι κατὰ Ῥωμαίων. Ἔπεισεν

οὖν αὐτούς, καὶ εἰσιόντες ἐν ὅσαις εἶχον τριήρεσι, καί τισι πλοίοις ἑτέροις, κατὰ τῆς Δαφνουσίας ἐχώρησαν, εἴ πως δυνηθεῖεν αὐτὴν παραστήσασθαι καὶ σκῦλα ποιῆσαι τὰ ἐν αὐτῇ. Κεκένωται οὖν οὕτως ἡ Πόλις ἀνδρῶν, γυναιξὶ καὶ νηπίοις καὶ τῷ κατάρχοντι Βαλδουΐνῳ μετὰ καί τινων μετρίων ἀνδρῶν διεξαγομένη. Αἴφνης οὖν ὁ καῖσαρ νυκτὸς ἐπιὼν, τῇ Κωνσταντινουπόλει προσήγγισεν. Ἐπεὶ δὲ μεθ' ἑαυτοῦ εἶχε καὶ ἄνδρας τινὰς ἐξωρμημένους τῆς Πόλεως καὶ ἀκριβῶς εἰδότας τὰ κατ' αὐτὴν, καὶ ἐξ αὐτῶν ἔμαθεν ὀπήν τινα εἶναι περὶ τὰ τείχη τῆς Πόλεως, δι ἧς ἀνὴρ ὁπλίτης δύναται ἐντὸς τῆς Πόλεως εἰσελθεῖν, μηδόλως μελήσας, τοῦ ἔργου εἴχετο, καὶ εἰσῆλθε διὰ ταύτης ἀνὴρ, καὶ ἐπηκολούθησεν αὐτῷ ἕτερος, κἀκείνῳ ἄλλος, καὶ οὕτω μέχρι τῶν πεντεκαίδεκα, καὶ πλείους τούτων εἰσῆλθον τῆς Πόλεως· ἐπεὶ δὲ περὶ τὸ τεῖχος ἕνα εὗρον ποιούμενον φυλακὴν, τινὲς ἐξ αὐτῶν ἀναβάντες, τῶν ποδῶν λαβόντες ἔξω τῆς Πόλεως ἔρριψαν, οἱ δὲ ἄλλοι ἀξίναις τοὺς μοχλοὺς τῶν πυλῶν διαρρήξαντες, ἐλευθέραν ἐποίησαν τὴν εἰς τὴν Πόλιν εἴσοδον τῷ στρατεύματι. Καὶ οὕτως ὁ καῖσαρ καὶ οἱ σὺν αὐτῷ πάντες Ρωμαῖοι καὶ Σκύθαι, (ἐκ τῶν τοιούτων γὰρ τὸ στράτευμα συγκεκρότητο), τῆς Πόλεως ἐντὸς ἐγεγόνεισαν, Οἱ δ' ἐντὸς ὡς εἶχε ἕκαστος τὴν σωτηρίαν ἐπραγματεύετο, καὶ οἱ μὲν περὶ τὰ σεμνεῖα ἐβάδιζον, καὶ μοναχικὰ ἐνεδύοντο, ὅπως μὴ φόνου γένωνται παρανάλωμα, γυναῖκες δὲ εἰς ὀπὰς συνεστέλλοντο καὶ εἰς στοὰς σκοτεινὰς ἀπεκρύπτοντο. Ὁ δὲ Βαλδουΐνος περὶ τὸ Μέγα παλάτιον ὥρμησεν.

Οἱ δὲ περὶ τὴν Δαφνουσίαν ἀπιόντες, καὶ ὁ ποτεστάτος, μηδέν τι τῶν γινομένων γνωρίσαντες, ἐπεὶ μὴ κατὰ τῆς Δαφνουσίας ποιῆσαί τι ἴσχυσαν, (ἀντελάβετο γὰρ κἀκείνης θεὸς), πρὸς τὴν Πόλιν ὑπέστρεφον. Μέχρι μὲν τοῦ ναοῦ τοῦ Ἀσωμάτου Μιχαὴλ τοῦ κατὰ τὸν Ἀνάπλουν διακειμένου, ἀμαθεῖς

ἦσαν πάντη τῶν γινομένον, ἐκεῖσε δὲ ἀφιγμένοι, καὶ ταῦτα ἀναμαθόντες, ὥρμησαν ἐς τὴν Πόλιν ἐπελθεῖν. Ἀλλ' οἱ τῶν στρατευμάτων τοῦτο γνωρίσαντες, πῦρ ταῖς οἰκίαις τῶν Λατίνων ἐνέϐαλον, καὶ ἐνέπρησαν ταύτας, ἀναμαθόντες, πρῶτα μὲν τὰς τῶν Βενετίκων, εἶτα δὲ καὶ τὰς τῶν ἄλλων γενῶν, ἅς καὶ κάμπους ὠνόμαζον. Ἐπεὶ δὲ τὸ πῦρ εἶδον οἱ Λατῖνοι, τὰς παρειὰς χερσὶ τύψαντες, καὶ λαϐόντες ἐντὸς τῶν τριήρεων ὅσους ἠδύναντο καὶ τῶν ἄλλων πλοίων, ὑπεχώρησαν, μιᾶς εἰς τὸ Μέγα παλάτιον ἀπελθούσης καὶ ἀναδεξαμένης τὸν Βαλδουῖνον, ἐγγὺς τοῦ ἁλῶναι γενόμενον.

Οὕτως ἡ Κωνσταντίνου, θεοῦ προνοίᾳ ὑπὸ χεῖρα τοῦ βασιλέως Ῥωμαίων ἐγένετο, πέμπτην ἐπὶ εἰκάδι τοῦ ἰουλίου μηνὸς ἄγοντος, τετάρτης οὔσης ἐπινεμήσεως, ἔτους ἀπὸ γενέσεως κόσμου ἑξακισχιλιστοῦ ἑπτακοσιοστοῦ ἑξηκοστοῦ ἐνάτου, ὑπὸ τῶν ἐχθρῶν κρατουμένη ἔτη πεντήκοντα καὶ ὀκτώ.

Περὶ γοῦν τὸ Μετεώριον σκηνουμένου τοῦ βασιλέως, φήμη νύκτωρ τὰς τῶν πολλῶν περιεϐόμϐησεν ἀκοάς, παρὰ παιδαρίου μέν τινος τῆς τοῦ βασιλέως αὐταδέλφης Εὐλογίας, ἐκ τῶν μερῶν τῆς Βιθυνίας ἐλθόντος λεχθεῖσα, μαθόντος παρά τινος στρατιώτου καθ' ὁδὸν ἁλῶναι τὴν Κωνσταντινούπολιν παρὰ τῶν Ῥωμαϊκῶν στρατευμάτων. Ἡ δέ, ὡς εἶχε τάχους, παρὰ τὸν αὐτάδελφον βασιλέα δραμοῦσα, εὗρε τοῦτον ὑπνώττοντα, καί ἠρέμα πως ἐκίνει αὐτὸν τῇ χειρί, ὑπολέγουσα « ὦ βασιλεῦ, κατέσχες τὴν βασιλίδα τῶν πόλεων », καὶ πολλάκις τοῦτο εἰρήκει. Καὶ ὁ βασιλεὺς ἐπέμενε μηδέν τι ἀποκρινόμενος· ὡς δὲ τὸν λόγον μετέϐαλε, καὶ εἰρήκει « ἀνάστηθι, βασιλεῦ, ὁ γὰρ Χριστὸς ἀπεχαρίσατό σοι τὴν Κωνσταντινούπολιν », τῆς κλίνης ἀναστάς, καὶ τὰς χεῖρας εἰς οὐρανὸν ἀνατείνας « τοῦτον μέν, ἔφη, τὸν λόγον, ὦ ἀδελφή, καὶ αὐτὸς δέχομαι· ὅν δὲ πρῶτον εἶπας, οὐδαμῶς ἀποδέχομαι· πῶς γὰρ ἐκ τοῦ Μετεωρίου, τῆς Κωνσταντίνου ἐγκρατὴς γενοίμην; ἀλλ'

οὐδὲ ἀξιόλογον στράτευμα ἔπεμψα κατ' αὐτῆς· τὸ δὲ τῷ θεῷ ῥᾴδια ταῦτα εἶναι καὶ αὐτὸς συνομολογῶ.» Ταῦτα εἰπών, τοὺς ἐν τέλει τότε συνόντας ἐκεῖσε συνήθροισε, καὶ ἐπυνθάνετο, εἰ ἀληθῆ τὰ τῆς φήμης δοκεῖ. Καὶ οἱ μὲν συνετίθεντο, καὶ 138. μάλιστα οἷς ἡ τῶν Λατίνων ἔξοδος ἐπεγνώσθη |, ἔνιοι δὲ ἐν ἀμφιβόλοις ἦγον τὸν λόγον· καὶ οὕτως ἡ νὺξ παρέδραμεν. Ἐπεὶ δὲ ἡμέρα ἐπέφωσκεν, ἐλπὶς ἦν πᾶσι τὸν τελεώτερόν τε περὶ τούτου διακομίζοντα ἀφικέσθαι, ἀλλὰ καὶ τὸ τῆς ἡμέρας ἐκείνης παρῆλθε διάστημα, καὶ οὐδεὶς τοιοῦτος ἐλήλυθεν. Ἤσχαλλον οὖν καὶ ἠδημόνουν οἱ πάντες, καὶ μάλιστα ὁ βασιλεύς· ἀλλὰ νυκτὸς ἐπιούσης ἔφθασεν ὁ τὴν ἀγαθὴν ἀγγελίαν διακομίζων, καὶ σαφῶς εἰρήκει περὶ τοῦ ἔργου, ὅτι τὰ τῶν Ρωμαίων στρατεύματα μετὰ καὶ τοῦ καίσαρος τοῦ Στρατηγοπούλου ἐντὸς τῆς Κωνσταντινουπόλεως διάγουσι, καὶ πάντα ὡς ἔσχεν ἀπήγγειλεν.

Ἀπάρας γοῦν ὁ βασιλεὺς τοῦ Μετεωρίου τὴν Κωνσταντίνου φθάσαι διὰ τάχους ἐπέσπευδεν. Ἐπεὶ δὲ καὶ τοὺς τοῦ Καλάμου βουνοὺς παρήμειψε, καὶ τῶν Ὀχυρῶν ἐγγὺς ἐπήξατο τὴν σκηνήν, τότε δὴ καὶ τὰ τοῦ Βαλδουΐνου βασιλικὰ διεκομίσθησαν σύμβολα, ταῦτα δὲ ἦν, τῆς κεφαλῆς καλύπτρα Λατινικὴ τὸ σχῆμα καὶ μαργάροις πεποικιλμένη, καὶ ὑπὲρ κεφαλῆς λιθιδίῳ κοκκίνῳ, καὶ κοκκοβαφῆ πέδιλα, καὶ σπάθη σηρικὸν κοκκοβαφὲς ἐνδεδυμένη προκάλυμμα. Τότε δὲ πάντες τὴν ἐλευθερίαν τῆς Πόλεως ἐπιστώθησαν. Ἐτάχυνε γοῦν ὁ βασιλεὺς πρὸς τὴν κίνησιν, καὶ μακροτέρας ἐποιεῖτο τὰς μεταβάσεις.

Ἐγγίσαντι γοῦν τῇ βασιλίδι πόλει τῷ βασιλεῖ, κατὰ νοῦν ἔπεισι θεοπρεπεστέραν μᾶλλον ἢ βασιλικωτέραν τὴν εἰς τὴν Πόλιν ποιήσασθαι εἴσοδον, καὶ τὸν τρόπον ἐσκέψατο ὅπως ἂν γένοιτο, διὰ λόγων δηλονότι εὐχαριστηρίων πρὸς τὸν θεόν, καὶ φωνῶν εὐκτηρίων ὑπέρ τε βασιλείας καὶ ἱεραρχείας, ὑπέρ τε τῆς

Πόλεως καὶ τῶν αὐτῆς οἰκητόρων, καὶ τοῦ ταύτης πληρώματος. Ἐπεὶ δὲ καὶ τὸν φιλόσοφον Βλεμμύδην ἤθελε συγγράψασθαι τὰς εὐχάς, (ἀπῆν δ' ἐκεῖνος περὶ τὰ τῆς Ἐφέσου), καὶ εἰς ἀργίαν τὰ τοῦ πράγματος ἔπιπτεν, ὁ δὲ βασιλεὺς μελήσειν οὐκ ἤθελε πρὸς τὴν εἴσοδον, ἐτάχθη ὁ μέγας λογοθέτης ὁ Ἀκροπολίτης συνθεῖναι αὐτάς· καὶ δέκα πρὸς τρισὶν εὐχὰς συνεγράψατο, ἑκάστης οἰκείαν (γρ. οἰκεῖον) ἔχουσαν τὸν σκοπόν, ὡς βασιλεὺς διετάξατο.

Κατέλαβε γοῦν ὁ αὐτοκράτωρ τὴν Κωνσταντίνου, τεσσαρεσκαιδεκάτην τοῦ αὐγούστου μηνὸς ἄγοντος· εἰσελθεῖν μὲν τότε οὐκ ἠθέλησεν, ἀλλ' ἐν τῇ τοῦ Κοσμιδίου μονῇ τὰς σκηνὰς ἐπήξατο, ἄγχιστα διακειμένῃ τῶν Βλαχερνῶν. Ἐκεῖσε δὲ διανυκτερεύσας, ἕωθεν ἀναστάς, τὴν εἰς τὴν Κωνσταντινούπολιν εἴσοδον ἀπειργάσατο, τρόπον ὃν ἤθελεν. Ἐπεὶ δὲ ὁ μὲν πατριάρχης Ἀρσένιος οὐ παρῆν, ἔδει δὲ τῶν τινα ἀρχιερέων τὰς εὐχὰς εἰς ἐπήκοον ἐξειπεῖν, ὁ τῆς Κυζίκου μητροπολίτης Γεώργιος ἐπλήρου τὴν χρείαν, καὶ εἰς ἕνα τῶν πύργων τῆς Χρεισείας (sic) ἀναβάς, ἔχων μεθ' ἑαυτοῦ καὶ τὸ τῆς Θεοτόκου ἐκτύπωμα, ὅπερ ἐκ τῆς μονῆς τῶν Ὁδηγῶν παρωνόμασται, ἀπεστομάτισε τὰς εὐχάς· ὁ δὲ αὐτοκράτωρ τὴν τῆς κεφαλῆς καλύπτραν ἀποβαλών, καὶ τὸ γόνυ κλίνας, ἔπεσε χαμαί, καὶ πάντες δὲ οἱ σὺν αὐτῷ ὄπισθεν αὐτοῦ κατέπεσον ἐπὶ γόνυ. Ἐπεὶ δὲ ἡ πρώτη τῶν εὐχῶν ἐτελέσθη, καὶ ὁ διάκονος ἐσήμηνε τὴν ἀνέγερσιν, πάντες ἀναστάντες τό, Κύριε ἐλέησον, εἰς ἑκατὸν ἀριθμήσαντες ἐπεβόησαν. Καὶ τούτων τετελεσμένων πρὸς τοῦ ἀρχιερέως, ἑτέρα αὖθις ἐξεφωνήθη εὐχή· ὡς ἐν τῇ πρώτῃ γοῦν καὶ ἐν τῇ δευτέρᾳ γεγένηται, καὶ οὕτως διαπέπρακται μέχρι συμπληρώσεως τῶν ὅλων εὐχῶν.

Ἐπεὶ δὲ καὶ ταῦτα οὕτω γεγένηνται, τὴν τῆς Χρυσείας πύλην εἰσῆλθεν ὁ βασιλεὺς πεζός, προήρχετο δὲ τούτου τῆς Θεομήτορος ἡ εἰκών· μέχρι μὲν οὖν τῆς τοῦ Στουδίου μονῆς

ἀπελθὼν, ἐκεῖσε τὴν εἰκόνα καταλιπὼν τῆς ὑπεράγνου μητρὸς τοῦ Θεοῦ, ἐπιβὰς τοῦ ἵππου, περὶ τὸ τῆς Σοφίας ἀφίκετο τέμενος, κἀκεῖσε προσκυνήσας τῷ δεσπότῃ Χριστῷ, καὶ τὰ εἰκότα εὐχαριστήσας, περὶ τὸ Μέγα φθάνει παλάτιον.

Ἐν εὐφροσύνῃ γοῦν, καὶ θυμηδίᾳ καὶ χαρᾷ ἀπλέτῳ, τὸ Ρωμαϊκὸν ἅπαν καθίστατο πλήρωμα, καὶ οὐδεὶς ἦν ὁ μὴ σκιρτῶν τε καὶ ἀγαλλόμενος.

Ἐπεὶ δὲ καὶ τὸν πατριάρχην ἐντὸς ἔδει γενέσθαι τῆς Κωνσταντίνου, μετὰ παραδρομὴν ἡμερῶν εἰσῆλθε, καὶ ὁ βασιλεὺς εἰς τὸ ἱερὸν ἀπῆλθεν ἀνάκτορον, τὸ τῆς Μεγάλης Σοφίας τέμενος, ἵν' ἐγχειρίσῃ τὴν καθέδραν τῷ ἀρχιερεῖ, καὶ συνήθροιστο μετὰ τοῦ βασιλέως καὶ τῶν ἐν τέλει πάντες, καὶ τῶν ἀρχόντων οἱ πρόκριτοι, καὶ πᾶσα πληθύς· καὶ ὁ βασιλεὺς τῆς χειρὸς τοῦ ἀρχιερέως ἐπιλαβόμενος, « ἔχεις, φησὶ, τὸν θρόνον σου, δέσποτα, καὶ οὗτινος ἐκ μακροῦ ἐστέρησαι, νυνὶ τῆς καθέδρας ἀπόλαυε. »

Τότε καὶ ὁ μέγας λογοθέτης ὁ Ἀκροπολίτης λόγον συγγραψάμενος, ἀνέγνω, οὗ κατὰ τὰς ἀρχὰς εὐχαριστία ἦν πρὸς θεὸν τῆς πρὸς Ρωμαίους τούτου ἀγαθοεργίας, καὶ εὐσπλάγ- 8 χνου κηδεμονίας καὶ ἀντιλήψεως, συνακεράννυτο δὲ τῷ λόγῳ | καὶ εὐφημία πρὸς τὸν βασιλέα εὐχαριστήριος, ἡ δ' ἐπὶ τέλει ἀξίωσις συναναγορευθῆναι τῷ πατρὶ καὶ βασιλεῖ τὸν πρωτογενῆ παῖδα τοῦ βασιλέως, τὸν Κομνηνὸν Ἀνδρόνικον. Καὶ ταῦτα μὲν ἐτελέσθησαν οὑτωσί.

Ἡμῖν δὲ καιρὸς ἤδη καταπαῦσαι τὰ τῆς ἀφηγήσεως ἐνταυθοῖ· τὰ γὰρ ἑξῆς, μεγάλα καὶ πολλὰ ὄντα, οὔμενουν καὶ τὸν καιρὸν ἔχουσι συνᾴδοντα πρὸς διήγησιν, πέλαγος γὰρ αὐτίκα μέγα ἐξήπλωται κομιδῇ ὑποθέσεων ὅσαι τε κοσμικαὶ καὶ ὅσαι τῆς ἐκκλησίας ἐξήρτηνται· ἐμοὶ δὲ καὶ διὰ τὸ γῆρας, καὶ τὴν ἐφεστῶσαν τοῦ χρόνου κατάστασιν, ἔτι δὲ καὶ τῶν ῥηθησομένων τὸ μέγεθος ὅ τε νοῦς ἀμηχανεῖ, καὶ τὸ σῶμα ναρ-

κᾷ, ταῖς ἀλλεπαλήλοις πολιορκούμενον νόσοις, ἀλλὰ καὶ ἡ χεὶρ πρὸς τῇ ἐμφύτῳ ψυχρότητι καὶ τὴν καιρικὴν ἐπιτιθεμένην εὑρίσκουσα, ἀκινητίζει πρὸς τὴν γραφήν.

Διὸ καὶ τῷ Θεῷ εὐχαριστοῦντες ὑπὲρ ὧν διεξήλθομεν, τὴν ἐπὶ πλέον ὁρμὴν ἀναστέλλομεν, εἴπερ ἐν τοῖς ζῶσιν εὑρεθῶμεν, τοῦ ἔαρος ἐπιλάμψαντος, καὶ τὸν καιρὸν οὐκ ἔχομεν ἀνθιστάμενον, καὶ τοῖς πρόσω βαδίσαι καθυπισχνούμενοι.

ΑΝΩΝΥΜΟΥ

ΕΚΘΕΣΙΣ ΧΡΟΝΙΚΗ (1)

0. Ἔκθεσις Χρονικὴ συντομωτέρα συντεθεῖσα ἐν ἁπλότητι λέξεων, κοινῶς διηγουμένη τὰ γεγονότα ἐν ταῖς ἡμέραις ἡμῶν, ἃ μὲν οἰκείοις ὀφθαλμοῖς εἴδομεν, ἃ δὲ ἀκηκόαμεν ἐκ τῶν πρὸ ἡμῶν οὐκ ὀκνοῦμεν (2) γράψαι.

Βασιλεύων κὺρ Μανουὴλ ὁ Παλαιολόγος ἔσχεν καὶ ἀδελφὸν τὸν κῦριν Ἀνδρόνικον, ὅνπερ ἐτύφλωσεν ὁ πατὴρ αὐτοῦ διὰ τὸ νεωτερῆσαι αὐτὸν μετὰ τὸν υἱὸν τοῦ αὐθεντὸς ὀνόματι Μουσὶ τζελεπῆ· ἀποδράσαντες γὰρ ἀμφότεροι ἐκ τῶν πατέρων αὐτῶν ἐλεηλάτουν τὰς χώρας. Ὅθεν ποιήσαντες βουλὴν οἱ πατέρες αὐτῶν ἐπίασαν αὐτούς, καὶ ὁ μὲν Τοῦρκος ἀπέκτεινε τὸν

(1) Ἀντεγράφη ἐκ τοῦ ὑπ' ἀριθμὸν 10 ἑλληνικοῦ κώδικος τῆς ἐν Ὀξωνίᾳ βιβλιοθήκης τοῦ Lincoln College.

(2) χ. ὀκνύωμεν.

ἑαυτοῦ υἱὸν, ὁ δὲ βασιλεὺς τυφλώσας τὸν Ἀνδρόνικον ἔβαλεν αὐτὸν ἐν τοῖς πύργοις τοῖς λεγομένοις Ἀνεμάδες πλησίον Βλαχέρνας.

Ἔσχε δὲ ὁ αὐτὸς Ἀνδρόνικος υἱὸν ὀνόματι Ἰωάννην, ὃν καὶ καταλείψας ἐν τῇ Πόλει φυλάττειν αὐτὴν ὁ βασιλεὺς ὁ θεῖος αὐτοῦ, αὐτὸς ἐπορεύθη ἐν τῇ Ἰταλίᾳ ὅπως δώσωσιν αὐτῷ δύναμιν κατὰ τῶν ἀσεβῶν καὶ ἴδωσι καὶ περὶ ἑνώσεως τῶν ἐκκλησιῶν. Ἦν δὲ ὁ ἀνεψιὸς αὐτοῦ ἐν πᾶσιν ἐπιτηδειότατος καὶ εὐλαβὴς, ὃν καὶ μετὰ τὸ ἐπανελθεῖν τὸν βασιλέα ἐξ Ἰταλίας δέδωκεν αὐτῷ τὴν Θεσσαλονίκην, ἦν γὰρ ἄκρος τὴν ἀρετὴν, | φ. ὡς καὶ ὁ τάφος αὐτοῦ νῦν ἰᾶται ἀσθενείας παντοίας.

Πορευθεὶς οὖν ὁ βασιλεὺς ἐν Ἰταλίᾳ, ὑπέσχοντο δοῦναι αὐτῷ βοήθειαν, γράψας ὁ Πάπας εἰς πάντας ῥηγάδες καὶ ἄρχοντες ὅπως συνάζωνται χρήματα καὶ δώσουσι πρὸς αὐτόν· ὄντος δὲ τοῦ βασιλέως ἐκεῖσε, γέγονε πάνδημος ἑορτὴ, ἔθος γὰρ ἦν τοῖς Λατίνοις ἀσπάζεσθαι τὸ ὑπομάνικον τῆς δεξιᾶς τοῦ ἐπισκόπου ἔχον τὴν τοῦ Χριστοῦ εἰκόνα καὶ δίδειν δῶρα εὐλογῶν αὐτούς· προσκληθεὶς οὖν καὶ ὁ βασιλεὺς ἐν τῷ ἀσπασμῷ, ἐβουλεύσαντο αὐτῷ οἱ μετ' αὐτοῦ λέγοντες ὅτι οὐκ ἔστιν εὔλογον ἀσπάσασθαι τὴν τοῦ λατινοεπισκόπου χεῖρα. Ἰδὼν γὰρ ὁ ἐπίσκοπος ὅτι οὐ κατεδέξατο ἀσπάσασθαι τὸ ὑπομάνικον αὐτοῦ ἔχον τὴν τοῦ Χριστοῦ εἰκόνα, διεμηνύσατο τὸν Πάπαν περὶ τούτου· ἀντέγραψεν οὖν ὁ Πάπας οὕτως: Βασιλεῖ τῶν Ῥωμαίων τῷ μὴ θελήσαντι προσκυνῆσαι τὴν εἰκόνα Χριστοῦ εἴ τις ἐκ τοῦ ἡμετέρου γένους ἐλεήσει αὐτὸν, ἔστω ἀσυγχώρητος. Ταῦτα ἐποίησεν ἡ κακὴ συμβουλία· αἰσχυνθεὶς οὖν ὑπέστρεψεν ἐλθὼν ἐν τῇ Βενετίᾳ κενὸς μηδὲν διαπραξάμενος.

Ἐτελεύτησε δὲ τῷ καιρῷ ἐκείνῳ ὁ σουλτὰν Μεχεμέτης, υἱὸς τοῦ σουλτὰν Μπαϊαζήτη τοῦ Ἰλτηρὶμ, καὶ ἔλαβε τὴν ἡγεμονίαν ὁ υἱὸς αὐτοῦ ὁ σουλτὰν Μουράτης ἔχων καὶ ἕτερον ἀδελφὸν ὀνόματι Μουσταφᾶν, ὃς | καὶ φυγὼν εἰσῆλθεν ἐντὸς φ.

τῆς Πόλεως, ὅνπερ ὑπεδέξαντο οἱ Πολῖται ὥςπέρ τι μέγα θήραμα, δέδωκαν δὲ πρὸς αὐτὸν εἰς γυναῖκα τὴν θυγατέρα τοῦ Τόρια εὐγενοῦς Γενουβίτου· ὁ γὰρ βασιλεὺς κύρις Μανουὴλ ἔχων θυγατέρα ἐκ πορνείας ὀνόματι Ζαμπία Παλαιολογίνα δέδωκεν αὐτὴν πρὸς τὸν Τόριαν· τὴν θυγατέρα δὲ αὐτῆς πάλιν δέδωκαν τῷ σουλτὰν Μουσταφᾷ εἰς γυναῖκα ὀνομάσαντες αὐτὴν Κυρὰν τῆς Ἀνατολῆς κενῷ ὀνόματι. Περαιώσαντες γὰρ αὐτὸν οἱ Πολῖται μετὰ στρατιωτῶν καὶ δορυφορίας ἐν τῇ Ἀνατολῇ, ὑπέκυψαν αὐτῷ ἅπαντες, ἔλαβε δὲ κάστρη καὶ χώρας σχεδὸν εἰπεῖν πάσης Ἀνατολῆς καθεζόμενος ἐν τῇ Προύσᾳ.

Ὁ δὲ σουλτὰν Μουράτης περαιωθεὶς ἐκ τῆς Καλλιουπόλεως κρυφίως μετὰ φουσάτου μερικοῦ ἦλθεν ἐν τῇ Προύσῃ· ὁ Μουσταφᾶς γὰρ ἦν σπαταλῶν ἐν μέθαις καὶ βαλανείοις, καὶ μὴ νοήσας τὸ δρᾶμα εὑρέθη ἐν βαλανείῳ λουόμενος· εἰσπηδήσαντες οὖν αἰφνιδίως ἀπέπνιξαν αὐτὸν, καὶ διελύθη ἡ πανήγυρις, καὶ ἐκυρίευσε πᾶσαν τὴν ἡγεμονίαν Δύσεως καὶ Ἀνατολῆς. Ὀργισθεὶς οὖν τοὺς Πολίτας ἐποίησεν αὐτοῖς πᾶν δεινὸν, καθ' ἑκάστην ἁρπάζων καὶ ληλατῶν τὰ πέριξ τῆς Πόλεως· καὶ παρακαθήμενος τῇ Πόλει ἐγγὺς τριετίας οὐκ ἴσχυ- 41v σε λαβεῖν αὐτήν· ἐπιέζετο οὖν ἡ Πόλις ὑπὸ τοῦ λιμοῦ [, ὅμως ὀψέποτε παρῃτήσατο αὐτὴν ἀπῆλθεν· ἐποίησεν οὖν εἰρήνην καὶ ὅρκους τοῦ μὴ ἄλλοτε πορευθῆναι κατὰ τῆς Πόλεως.

Ἐτελεύτησε δὲ ὁ κὺρ Μανουὴλ ὁ Παλαιολόγος καταλείψας τὴν βασιλείαν πρὸς τὸν υἱὸν αὐτοῦ κῦρ Ἰωάννην τὸν Παλαιολόγον· στεφθεὶς γοῦν οὗτος μετὰ γυναικὸς, ἥνπερ ἔφερον αὐτῷ ἐκ Λουμπαρδίας μετὰ πλούτου πολλοῦ, καὶ λαβὼν αὐτὴν οὐκ ἠγάπησε τὸ σύνολον· ὀλίγου οὖν καιροῦ προσδραμόντος λαβοῦσα τὰ ὑπάρχοντα αὐτῆς ἐπορεύθη πρὸς τὸν πατέρα αὐτῆς· φασὶ γὰρ ὡς ὁ πατὴρ αὐτῆς οὐκ ἠθέλησε κἂν ἰδεῖν αὐτὴν ὅπως ἔφυγεν ἐκ τοῦ βασιλέως· ἦν γὰρ ὁ βασιλεὺς πόρνος λίαν, καὶ διὰ τοῦτο οὐκ ἠγάπα αὐτήν.

Βασιλεύων γὰρ ὁ σουλτὰν Μουράτης ἐν τῇ Ἀδριανουπόλει φιλικῶς διέκειτο μετὰ τοῦ βασιλέως· ὅθεν καὶ βουληθεὶς στρατεῦσαι κατὰ Θεσσαλονίκης τοῦ πολιορκῆσαι αὐτὴν διεμηνύσατο αὐτῷ ὁ βασιλεὺς, ὡς οὐκ ἔστι δίκαιον, μενούσης τῆς φιλίας ἡμῶν, στρατεύεσθαι, κατὰ Θεσσαλονίκης· καὶ ἀπηλογήσατο ὅτι, εἰ μὲν σὴ ἦν, οὐκ ἂν ἐπορευόμην κατ' αὐτῆς, ἀλλ' ἔστι τῶν Βενετίκων καὶ διὰ τοῦτο πορεύομαι, κἂν θεοῦ θέλοντος λαβεῖν αὐτήν. Πρὸ καιροῦ γὰρ ὑπῆρχε τῶν Φραγκῶν, πωλήσας αὐτὴν ὁ Ἀνδρόνικος ὁ υἱὸς Μανουὴλ τοῦ Παλαιολόγου.

Ἔσχε γὰρ ὁ αὐτὸς βασιλεὺς υἱοὺς ἓξ Ἰωάννην, Θεόδωρον, Κωνσταντῖνον, Ἀνδρόνικον, Δημήτριον καὶ Θωμᾶν |, ἔδωκε δὲ φ. 4 αὐτοῖς ἅπαντας τόπους εἰς διατροφήν· δέδωκε δὲ καὶ τὸν Ἀνδρόνικον τὴν Θεσσαλονίκην· οὗτος οὖν ὁ Ἀνδρόνικος περιέπεσεν ἐν τῷ πάθει τῆς ἐλεφαντιώσεως, ἐβουλεύσατο γὰρ μετὰ τῶν συνηλικιωτῶν αὐτοῦ ὅπως πωλήσῃ αὐτὴν, εἰπόντων αὐτῷ, ὡς ὁ πατήρ σου ταύτην τὴν πόλιν δέδωκέ σοι κληρονομίαν ὡς καὶ τοῖς ἄλλοις σοῖς ἀδελφοῖς, πώλησον οὖν αὐτὴν, καὶ λαβὼν τὰ φλωρία πορεύθητι ἐν μοναστηρίῳ. Ἐποίησεν οὖν οὕτως καὶ ἐπώλησεν αὐτὴν τοὺς Βενετίκους διὰ φλωρία χιλιάδας πεντήκοντα ταύτην τὴν περίφημον καὶ λαμπρὰν πόλιν, καὶ λαβὼν τὰ φλωρία τὰ μὲν ἔφθειρε κακὴν κακῶς, τὰ δὲ ἐχαρίσατο τοῖς δαιτυμόσιν αὐτοῦ, καὶ τὰ καταλειφθέντα ἄρας ἀπῆλθεν ἐν τῷ Ἁγίῳ Ὄρει εἰς ἓν τῶν ἐκεῖσε μοναστηρίων, καὶ ἐτελεύτησε.

Πορευθεὶς οὖν ὁ σουλτὰν Μουράτης κατὰ Θεσσαλονίκης ἐκυρίευσεν αὐτὴν καὶ ἐλεηλάτησε καὶ ἀπέκτεινε πλῆθος χριστιανῶν, οἵ οὐκ ἠθέλησαν προσκυνῆσαι αὐτῷ· οἱ γὰρ Φράγγοι ὀλίγοι ὄντες ἔφυγον, μόνοι δὲ οἱ ἐντόπιοι ἔπαθον ἃ οὐκ ἔστι δυνατὸν διηγήσασθαι, τοὺς φόνους, τὴν αἰχμαλωσίαν, τὴν ἐκ τόπου εἰς τόπον ἄφιξιν ἔν τε τῇ Ἀνατολῇ καὶ Δύσει. Ὁμοίως καὶ τὰς πέριξ χώρας καὶ κάστρη λεηλατήσας ὑπέστρεψεν ἐν ἔ-

42ᵛ τει ͵ςϡλγʹ· ἐκυρίευσε δὲ | κάστρη καὶ χώρας τῆς Δύσεως ἐν τῇ ζωῇ αὐτοῦ ἔκ τε Σερβίας καὶ Βουλγαρίας καὶ ἐπαρχιῶν ἀναριθμήτων, Θεοῦ παραχωροῦντος ἐκ τῶν ἁμαρτιῶν ἡμῶν καὶ οὐδενὸς κωλύοντος.

Ὁ βασιλεὺς γὰρ μὴ ἔχων τί καὶ δράσειεν, ὁρῶν τοὺς ἀσεβεῖς πληθυνομένους καθ' ἑκάστην καὶ λαμβάνοντας τὰς πόλεις καὶ χώρας, πιθανῶς τὰς μὲν τάχα μετὰ εὐλόγου προφάσεως, τὰς δὲ καὶ ἐξ ἁρπαγῆς, σχηματιζόμενος ὅτι οὐκ ἔστι μετὰ τοῦ θελήματος αὐτοῦ, ἐβολεύσατο (sic) ὅπως πορεύσηται ἐν Ἰταλίᾳ καὶ γένηται ἕνωσις μετὰ τῶν Λατίνων καὶ δώσουσι μερικὴν βοήθειαν εἰς βοήθειαν τῶν Χριστιανῶν. Γράψας οὖν πρὸς τὸν Πάπαν, ὑπεδέξατο τὸν λόγον μετὰ χαρᾶς ὅτι πλείστης στείλαντες καὶ τὰς ἐξόδους καὶ καράβια οἵ τε γαρδινάλιοι καὶ αὐτὸς ὁ Πάπας, ἔσχον γὰρ ἐπιθυμίαν ὅπως γένηται ἕνωσις τῶν ἐκκλησιῶν διὰ τὸ πολλάκις τοῦτο βουληθέντες κατορθῶσαι οὐκ ἠδυνήθησαν πολλῶν σκανδάλων γενομένων ἐξ ἑκατέρων μερῶν. Ὁ δὲ πάπας Εὐγένιος ἦν ἰθύνων τὸν θρόνον τῆς Ῥώμης, καὶ γνοὺς καὶ τὴν ἀδυναμίαν τῶν Ἀνατολικῶν Ῥωμαίων ἤλπισεν εὐκόλως ποιῆσαι τὴν ἕνωσιν καὶ στέρξωσι τὰς δόξας τῶν Λατίνων.

Διεμηνύσατο οὖν ὁ βασιλεὺς τοῖς ἀρχιερεῦσι πᾶσιν Ἀνατολῆς τε καὶ Δύσεως, ὁμοίως καὶ τοὺς μετέχοντας ἐν λόγοις,
43. καὶ ἦλθον ἅ|παντες ἐν Κωνσταντινουπόλει ὅ τε Τραπεζοῦντος ἔχων καὶ τὸν φιλόσοφον Ἀμηρούτζην, ὁ Νικαίας Βησσαρίων, ὁ Ῥωσσίας, ὁ φιλόσοφος Γεμιστὸς, καὶ ἄλλοι ἐκ τῶν ἀρχιερέων οὐκ ὀλίγοι· ἦν γὰρ πατριάρχης ὁ κῦρ Ἰωσὴφ ὃς ἐτελεύτησεν ἐν Φλωρεντίᾳ.

Ἐν δὲ τοῖς καιροῖς ἐκείνοις ἔφερον ἐκ τῆς Τραπεζοῦντος τῷ βασιλεῖ εἰς γυναῖκα Μαρίαν τὴν Καντακουζηνὴν, ἐγγόνην οὖσαν τοῦ πρωτοστάτορος· τὴν γὰρ θυγατέρα τοῦ αὐτοῦ πρωτοστάτορος δέδωκαν εἰς γυναῖκα πρὸς τὸν πρωτοβεστιάριον τοῦ

βασιλέως τῆς Τραπεζοῦντος· ἡ γὰρ Μαρία ἦν ὡραία τῷ κάλλει οἵα οὐχ εὑρίσκετο ἐν τοῖς καιροῖς ἐκείνοις· λαβὼν γὰρ αὐτὴν ὁ βασιλεὺς ἠγάπα ἐξαισίως ἐκ τοῦ κάλλους καὶ τῆς γνώσεως αὐτῆς.

Συνάξεως οὖν γενομένης καὶ λειτουργήσαντες ἀρχιερεῖς τε καὶ κληρικοὶ τὸν ἀριθμὸν τριακόσιοι ἐν τῷ μεγίστῳ ναῷ τῆς τοῦ Θεοῦ λόγου Σοφίας ἀπέπλευσαν, χειροτονήσαντες ὅ τε βασιλεὺς καὶ ὁ πατριάρχης τὸν Ἐφέσου κῦρ Μάρκον τὸν Εὐγενικὸν ἔξαρχον τῆς συνόδου. Ὁ βασιλεὺς γὰρ μετὰ ἰδίου κατέργου λαβὼν καὶ τὸν κῦρ Δημήτριον τὸν δεσπότην ὡς κακότροπον, φοβούμενος αὐτὸν μὴ ποιήσῃ σκάνδαλον ὡς καὶ ἄλλοτε· πορευθέντες γὰρ ἐποίησαν διετίαν ὅλην μηδὲν κατορθώσαντες· ποιήσαντες γὰρ ἕνωσιν οἱ μέν, οἱ δέ, (ἐναντιούμενος γὰρ ὁ Ἐφέσου οὐκ ἤθελεν ὑπογράψαι), ἄνευ γὰρ ἐκείνου | οἱ φ. 4 πάντες ἔστερξαν καὶ ὑπέγραψαν.

Ἐλθόντες γὰρ ἐν τῇ Πόλει μετὰ παραδρομὴν ἐτῶν δύο εὗρε τὴν δέσποιναν Μαρίαν τελευτήσασαν, ὁμοίως καὶ ὁ Δεσπότης τὴν ἑαυτοῦ γυναῖκα τὴν τοῦ Καταλούζου θυγατέρα αὐθεντὸς τῆς Αἴνου. Οἱ γὰρ ἐν τῇ Πόλει ὄντες κληρικοί τε καὶ μοναχοὶ καὶ ἡγούμενοι οὐκ ἤθελον συλλειτουργῆσαι ἢ μνημονεῦσαι τοὺς ἐλθόντας ἐκεῖθεν, ἀλλ' ἐπεσείοντο αὐτοὺς ὡς ἀσεβεῖς, οἱ πλείονες δὲ παρῃτοῦντο καὶ τὴν ἱερωσύνην, καὶ γέγονεν ἡ ἕνωσις οὐχ ἕνωσις, ἀλλὰ διαίρεσις.

Ταῦτα γέγονεν ἐν τοῖς καιροῖς ἐκείνοις· μὴ ὄντος δὲ πατριάρχου οὐδεὶς ἠθέλησε γενέσθαι ἕνεκεν τῶν σκανδάλων· ὁ Νικαίας δὲ Βησσαρίων ὁμοίως καὶ ὁ Ρωσσίας ἔμειναν ἐν τῇ Ῥώμῃ, ὁ γὰρ Βησσαρίων ἦν πολὺς ἐν τῷ λέγειν καὶ ἄκρος φιλόσοφος, γέγονε γὰρ καὶ γαρδινάλιος ἔχων τιμὴν καὶ δόξαν οὐ τὴν τυχοῦσαν· ἠγάπησε γὰρ τὴν δόξαν τῶν ἀνθρώπων ἢ τοῦ θεοῦ.

Ἦν δέ τις πνευματικὸς ἀνὴρ ἁγιώτατος ἐν τῇ Πόλει ὀνόματι Γρηγόριος, ᾧ τὸ ἐπίκλην Μαμή, ὑπῆρχε δὲ σύντεκνος τοῦ

μεγάλου δουκός· ἄρας οὖν αὐτὸν καὶ μὴ θέλοντα ἐποίησε πα-
τριάρχην· ὀλίγου δὲ καιροῦ παρελθόντος καὶ τῶν σκανδάλων
πληθυνομένων, ἐποίησε παραίτησιν, προεῖπε δὲ καὶ τῷ μεγά-
λῳ δουκὶ ὡς τὴν Πόλιν ἐν ὀλίγοις καιροῖς λήψονται οἱ Ἰσμα-
44. ηλῖται καὶ σὲ καὶ τοὺς υἱούς σου σφάξουσιν ἔμπροσθέν σου, |
ὃ καὶ γέγονεν.

Ὁ δὲ βασιλεὺς πεσὼν ἐν νόσῳ τῆς ἀθρήτιδος (sic) ἐκυρίευσεν αὐτὸν ἐν ὅλῳ τῷ σώματι· ὁ δὲ σουλτὰν Μουράτης ὑποκριθεὶς ὡς ἐκορέσθη πλούτου καὶ δόξης, καταλιπὼν τὴν ἡγεμονίαν πρὸς τὸν υἱὸν αὐτοῦ τὸν σουλτὰν Μεχεμέτη ὄντα ἐν τῇ Μαγνησίᾳ, ἐξῆλθε καὶ παρέδωκε πᾶσαν τὴν ἡγεμονίαν αὐτῷ, καὶ πορευθεὶς ἐν τῇ Μαγνησίᾳ καὶ κτίσας ἀνάκτορον ἰδίαζεν ἐντὸς τούτου.

Ὁ σουλτὰν Μεχεμέτης δὲ νέος ὢν εἰς ἡλικίαν τοῦ μείρακος ἔσχε καὶ βεζήριδες τόν τε Χαλοὺλ πασιᾶ καὶ Μπραΐμ πασιᾶ ἄνδρας φρονιμωτάτους, καὶ ἤκουεν αὐτῶν ἐν οὐδενί, ἀλλὰ σχολάζων ἦν ἐν κυνηγεσίοις καὶ πότοις. Ἀκούσαντες δὲ οἱ τῶν Οὐγκρῶν ἀρχηγοὶ ὅτι βασιλεύει νέος καὶ ἄπειρος πολέμων ὥρμησαν κατὰ τῶν Τουρκῶν, τὸ πλέον ἐκ μηνυμάτων τοῦ βασιλέως πρὸς τὸν κράλην καὶ τὸν Ἴαγκον· ἦν γὰρ ὁ Ἴαγκος στρατηγὸς μέγας, καὶ διεμηνύσατο πρὸς αὐτὸν ὁ βασιλεὺς μεθ' ὅρκου ὡς ἐὰν δυνηθῇς ἐκβαλεῖν τὸν ἐχθρὸν ἡμῶν ἐκ τῆς Δύσεως τὸ στέμμα τῆς ἐμῆς βασιλείας θήσω ἐν τῇ σῇ κορυφῇ, ὡς ἐλευθερωτὴν τῶν Χριστιανῶν καὶ τῆς πίστεως ἡμῶν, καὶ ἕτερα ῥήματα πιθανὰ διεμηνύσατο πρὸς αὐτόν.

Ἦλθον οὖν περαιωθέντες ἐκ τοῦ ποταμοῦ Δανούβεως μετὰ
δυνάμεως πλείστης, λεηλατοῦντες τὰς χώρας καὶ κάστρη τῆς
4' Βουλγαρίας· ὑπέκυψαν οὖν αὐτοῖς ἅπαντα | κατελθόντες μέ-
χρι Βάρνης αὐτῆς· παρέλαβον γὰρ αὐτὴν καθεζόμενοι ἐν μέθῃ καὶ ἀκολασίᾳ ἁρπάζοντες καὶ ἀφανίζοντες τοὺς χριστιανοὺς καθ' ἑκάστην. Ἰδόντες δὲ οἱ βεζήριδες ὅτι μέλλουσι καταπα-

τῆσαι πᾶσαν τὴν Δύσιν μετὰ μεγάλης ὁρμῆς διεμηνύσαντο τὸν σουλτὰν Μουράτην ὄντα ἐν τῇ Μαγνησίᾳ γράψαντες πρὸς αὐτὸν οὕτως: ὅπως ὁ υἱός σου ἐστὶ νέος καὶ ἄπειρος πολέμου, καὶ οὐκ ἀκούει ἡμῶν, ἐλθὲ οὖν διασυντόμως ὅτι κινδυνεύει ἀφανισθῆναι τὸ ἡμέτερον γένος, καὶ ἔστιν ἡ ἁμαρτία ἐν τῇ σῇ ψυχῇ. Ἀκούσας οὖν τοὺς τοιούτους λόγους ἦλθε μέχρι Πόλεως ἀντικρὺ ἐν τῷ λεγομένῳ Σκουταρίῳ, φοβούμενος δὲ περᾶσαι ἦλθεν ὁ Χαλοὺλ πασιᾶς μετὰ φουσάτου ἄντικρυ ἐκ τοῦ δυτικοῦ μέρους τοῦ Ἀσωμάτου καὶ διεμηνύσατο πρὸς τὸν βασιλέα ὅπως περάσῃ αὐτόν. Ἔστειλαν οὖν κάτεργον καὶ ἐπέρασεν αὐτὸν, φοβούμενος μήπως πορευθῇ περάσει ἐκ τῆς Καλλιουπόλεως καὶ ποιήσει μάχην μετὰ τῆς Πόλεως· ἐκράτει γὰρ καὶ ἐκ τῶν δύο μερῶν ἡ θαυμαστὴ γνῶσις τοῦ βασιλέως!

Πορευθεὶς οὖν ἐν τῇ Βάρνῃ συνάπτει πόλεμον μετὰ τῶν Οὐγκρῶν καὶ νικῶσιν αὐτὸν κατὰ κράτος, ἀφανίσαντες τὰ φουσάτα Δύσεως καὶ Ἀνατολῆς· ἔπεσε δὲ καὶ ὁ Καρατζᾶ πασιᾶς μεγλερμπεῒς ὢν τῆς Ἀνατολῆς |, καὶ ἐγένετο ἀφανισμὸς μέγας· κατελείφθη δὲ ὁ αὐθέντης μετὰ τῆς πόρτας αὐτοῦ μόνης. (φ. 4) Ἐκάθησαν οὖν εἰς βουλὴν οἱ Οὔγκροι ὅπως δώσωσι καὶ τὴν πόρταν· ὑπῆρχε γὰρ ὁ Ἴαγκος ἐμπειρότατος ἐν πολέμοις, λέγει δὲ ἔμπροσθεν τοῦ κράλη καὶ τῶν ἀρχόντων ὅτι φαίνεταί μοι καλὸν ἵνα πορευθῶ ἐγὼ μετὰ τῶν ἐκλεκτῶν στρατιωτῶν ὧν ἐγὼ οἶδα, καὶ εἰ μὲν εὐδοκοῦντος θεοῦ εὐτυχήσω, τῷ Θεῷ χάρις, εἰ δὲ γένηται τὸ ἐναντίον, πάλιν ὁ κράλης ἵσταται μετὰ τοῦ λαοῦ αὐτοῦ· εἰ δὲ πορευθῇ ὁ κράλης καὶ γενῇ ἀλλεοτρόπως, τί μέλλομεν γενέσθαι;

Ἤρεσεν οὖν ἡ βουλὴ πᾶσι, ὁ κράλης δὲ νέος ὢν οὐκ ἤκουσε τὴν τοῦ στρατηγοῦ βουλὴν, ἀλλ' ἤκουσε βουλὰς νέων εἰπόντων αὐτῷ, ὡς ἡ νίκη ἕως τοῦ νῦν σὴ ἔστι· τί γὰρ ἀπέμεινε; μόνον τοῦ πιᾶσαι τὸν αὐθέντην ἰδίαις χερσίν! εἰ δὲ πορευθῇ ὁ Ἴαγκος, μέλλει γενέσθαι φήμη ὅτι αὐτὸς ἐποίησε

τὴν νίκην. Ἀκούσας οὖν τοὺς λόγους τῶν νέων, εὐθέως ἔδωκαν τὰς σάλπιγγας ἐξ ἑκατέρου μέρους· καβαλλικεύσας γὰρ ἐκ τῆς χαρᾶς καὶ τῆς μέθης (ἔθος γάρ ἐστιν αὐτοῖς πίνειν οἶνον καὶ μεθύσκεσθαι) ὥρμησε γὰρ ἐκ τῆς μέθης θαρρῶν ἔχειν αὐτὸν εὔκολον θήραμα ἔμπροσθεν παντὸς τοῦ λαοῦ· ἀνοίξαντες γὰρ καὶ δόντες αὐτῷ δρόμον οἱ στρατηγοί. Βουληθεὶς
45v γὰρ ὁ σουλτὰν Μουράτης | φυγεῖν, οὐκ εἴασαν αὐτὸν οἱ γενίτζαροι αὐτοῦ, εἰπόντες ὅτι χρεία ἐστὶν ἵνα ἀποθάνῃς μεθ' ἡμῶν.

Ὁ δὲ κράλης εὑρὼν δρόμον εἰσῆλθε πλησιάσας ἀτάκτως τῷ αὐθέντῃ· εἷς δὲ τῶν γενιτζάρων ὀνόματι Χαμουζᾶς κρούσας τοὺς ἐμπροσθίους πόδας τοῦ ἵππου μετὰ ἀξίνης μικρᾶς εὑρεθείσης ἐν ταῖς χερσὶν αὐτοῦ ἀπέκοψεν αὐτούς, καὶ πεσὼν ὁ ἵππος πλησίον τοῦ αὐθεντὸς ἔρριψε τὸν κράλην, καὶ πιάσαντες αὐτὸν ἀπέτεμον τὴν κεφαλὴν αὐτοῦ καὶ θέντες ἐν δόρυ ἠλάλαξαν, καὶ εὐθέως ἐστράφη ὁ λαὸς τοῦ κράλη ὄπισθεν, καὶ διώξαντες αὐτούς, τοὺς μὲν ἀπέκτειναν, τοὺς δὲ ἔλαβον αἰχμαλώτους· οἱ πλείονες δὲ αὐτῶν διωκόμενοι ἀπεπνίγησαν ἐν τῇ λίμνῃ τῇ πλησίον Βάρνης.

Ταῦτα ἐποίησεν ἡ κακοσυμβουλία· ὁ δὲ Ἴαγκος προϊδὼν τὸ ἐσόμενον, ὡς Στρατιώτης δὶ ἄλλης ὁδοῦ ἀνεχώρησεν ἐν τῇ ἰδίᾳ πατρίδι. Ὁ δὲ σουλτὰν Μουράτης ἐπιστρέψας νικητὴς τροπαιοῦχος ἐποίησε τὸν γενίτζαριν τὸν Χαμουζᾶν σατζάκμπεϊ τῆς Φιλαδελφείας.

Τὸν υἱὸν δὲ αὐτοῦ τὸν σουλτὰν Μεχεμέτι ἔστειλε πάλιν ἐν τῇ Μαγνησίᾳ ἐν τῇ πρώτῃ ἡγεμονίᾳ, αὐτὸς δὲ παραλαβὼν πᾶσαν τὴν βασιλείαν ὢν ἐν τῇ Ἀδριανουπόλει, μετὰ παραδρομὴν ἐτῶν τριῶν ἐτελεύτησε ταφεὶς ἐν τῇ Προύσῃ, καὶ πάλιν ἔλαβε κατὰ ἀλήθειαν ὁ υἱὸς αὐτοῦ τὴν πᾶσαν βασιλείαν τοῦ πατρὸς αὐτοῦ.

46. | Ὡς ἐν ὀλίγῳ δὲ ἐτελεύτησε καὶ ὁ βασιλεὺς κὺρ Ἰωάννης ὁ Παλαιολόγος· ἦλθον οὖν οἱ ἀδελφοὶ αὐτοῦ ὅ τε Κωνσταν-

τῖνος ὁ Δράγασις καὶ Δημήτριος καὶ Θωμᾶς ἐν τῇ Πόλει· παραδόντες τὴν βασιλείαν πρὸς Κωνσταντῖνον τὸν υἱὸν αὐτοῦ, αὐτοὶ οὖν μερίσαντες τὴν Πελοπόννησον ἐπορεύθησαν.

Ὁ δὲ σουλτὰν Μεχεμέτις παραλαβὼν τὴν ἡγεμονίαν Δύσεως καὶ Ἀνατολῆς βουλὴν ἐβουλεύσατο πικροτάτην κατὰ τῆς Πόλεως καὶ τῶν χριστιανῶν· καὶ πρῶτον μὲν ὑπεκρίθη φιλίαν ἄκραν μετὰ τῶν Πολιτῶν γέμουσαν δόλου καὶ πικρίας· κτίζει οὖν ἄνωθεν τοῦ Φάρου εἰς τόπον λεγόμενον Φονέαν ὅπερ νῦν ἵσταται τὸ Νεόκαστρον μετὰ πύργων ἰσχυρῶν καὶ στερεῶν· ἐδίδουν γὰρ καὶ οἱ Πολῖται τροφὰς καὶ λίθους εἰς τὴν κτίσιν αὐτοῦ, φοβούμενοι αὐτὸν μή πως ἄρῃ μάχην μετ' αὐτῶν· ἐδύνοντο γὰρ αὐτὸν κωλῦσαι, ἀλλ' ἐθάρρουν εἰς τοὺς ὅρκους οὕς περ εἶχον μετὰ τοῦ πατρὸς αὐτοῦ, οὓς ἔστερξε καὶ ἐβεβαίωσε καὶ αὐτός. ἐδείκνυε γὰρ ἄκραν φιλίαν ἕως οὗ τελειώσῃ τὸ κάστρον. Μετὰ δὲ τὸ τελειῶσαι καὶ ἀπαρτίσαι αὐτὸ ἔθετο σκῆπτρα καὶ φύλακας καὶ σκευάς· εἶχον γὰρ δόξαν οἱ Πολῖται ὅπως λάβωσιν αὐτὸ ἐὰν ποιήσῃ μάχην μετ' αὐτῶν, ἔχοντες ἐλπίδα κενήν· πῶς γὰρ εἶχον λαβεῖν αὐτὸ, τοσοῦτον ὂν στερεόν; κεναὶ γὰρ ἐλπίδαι τρέφουσι τοὺς ἀνοήτους.

Τελειώσας οὖν αὐτὸ | ἐπορεύετο ἐν Ἀδριανουπόλει εἰπὼν, φ. 4
ὅτι τὸν Ἀπρίλλιον ἔρχομαι πάλιν καὶ γνώτωσαν οἱ ἐν τῇ Πόλει. Ἅμα δὲ τῷ πορευθῆναι τὸν αὐθέντην οὐ μακρὰν, ἐποίησαν πηλάλημα καὶ τοὺς εὑρεθέντας ἐν ἀγροῖς τοῦ μέρους τοῦ Ἀσωμάτου καὶ τοῦ Ἁγίου Φωκᾶ ἁρπάσαντες αἰφνιδίως ἀπῆλθον. Διεμηνύσαντο δὲ οἱ Πολῖται, ὡς οὐκ ἔστι δίκαιον, μενούσης τῆς ἀγάπης, ἵνα ἁρπάσῃ τοὺς ἡμετέρους ἀνθρώπους. Τοὺς μὲν γὰρ ἁρπάσαντες, τοὺς δὲ ἀποκτείναντες, εἶπον οὖν εἰς τοὺς σταλέντας, ὅτι ὁ αὐθέντης οὐκ οἶδε τὸ γενόμενον, ὥρισεν οὖν ὅπως ἐξετάσαντες εὕρωμεν τούτους καὶ στείλωμεν πάλιν εἰς τὰ ἴδια. Εἰρηνευόμενοι (γρ. εἰρωνευόμενοι) καὶ γελῶντες αὐτοὺς, γέγονε φανερὰ ἡ μάχη.

Τῷ αὐτῷ δὲ ἔτει ὥρμησεν ὥσπερ θὴρ ἄγριος κατὰ τῆς Πόλεως μετὰ πλήθους ἀναριθμήτου ἔκ τε γῆς καὶ θαλάσσης· καὶ τὴν μὲν γῆν ἐπλήρωσεν ἀνθρώπων καὶ ἵππων, τὴν δὲ θάλασσαν διὰ τῶν μακρῶν νηῶν ὅτι πλείστων· γεμίσαντες γὰρ τὰς νῆας ἐκ τῶν χωρῶν τοῦ βασιλέως τοῦ μέρους τῆς Μαύρης θαλάσσης βίᾳ ἀνθρώπους ἔβαλλον εἰς αὐτάς· ἐλθόντων γὰρ τῶν νηῶν ἐκωλύοντο διὰ τῆς ἁλύσου τοῦ εἰσελθεῖν ἐντὸς τοῦ λιμένος· ἐποίησαν οὖν κατασκευὴν οἷα εἰκὸς θαυμάσαι καὶ ἐκπλαγῆναι· πετάσαντες γὰρ αὐτῶν τὰ ἱστία καὶ θέντες 47. τὰς κώπας | ἐν τοῖς τόποις αὐτῶν, ἔσυρον αὐτὰ ἐν τῇ χέρσῳ, πλῆθος λαοῦ ἀναριθμήτου ἀναβιβάσαντες αὐτὰ ἐν τοῖς ὑψηλοτάτοις ὄρεσι τοῦ Γαλατᾶ μετὰ τυμπάνων καὶ σαλπίγγων καὶ σύροντες κατεβίβασαν ἐν τοῖς Γλυκέσι Νεροῖς, καὶ ἐκυρίευσαν τὸν λιμένα ποιήσαντες σκάλας μετὰ βουτζίων καὶ σανίδων ἐκ τῆς ἁγίας Γαλατινῆς ἕως Ξυλοπόρτου καὶ ἔδωσαν τὰ τείχη τῆς Πόλεως μηδενὸς κωλύοντος.

Παρακαθημένου οὖν αὐτὴν ἐκ στερεᾶς καὶ θαλάσσης ἐχάλασε τὸ τεῖχος μετὰ τῆς μεγάλης σκευῆς ἀπὸ τῆς πύλης τῆς λεγομένης Χαρσοῦς ἕως τῆς πύλης τοῦ ἁγίου Ρωμανοῦ, ῥίψας τείχη οὐκ ὀλίγα. Ἐφύλαττον οὖν αὐτὸ ποιοῦντες ξυλοσκευὰς μετὰ κληματίδων καὶ βαμπάκων. Εὑρέθη γὰρ ἐν ταῖς ἡμέραις ἐκείναις τὶς ἄρχων Γενουβίτης ὀνόματι Τουστουνίας μετὰ καραβίων μεγάλων δύο, καὶ ἰδὼν τὴν ἀδυναμίαν αὐτῶν ὅτι οὐδεὶς τῶν ἀρχόντων ἠθέλησε σταθῆναι ἐν τῇ χαλαστρίᾳ, ἀλλ' ἐσυνερίζοντο, σταθεὶς ἐν μέσῳ τοῦ βασιλέως καὶ τῶν ἀρχόντων ἔφη: δύναμαι ἐγὼ μετὰ τοῦ λαοῦ μου σταθῆναι καὶ ἀντιμαχήσασθαι καὶ βαστάσαι τὴν χαλάστριαν ἕνεκεν τοῦ ὀνόματος τοῦ Χριστοῦ μετὰ βρώσεως καὶ πόσεως τῆς ἐμῆς. Εὐχαρίστησαν οὖν αὐτὸν ἅπαντες. Ἐδιέμεινεν οὖν ὁ ἄρχων ἐκεῖνος 47' | φυλάττων καὶ ἀντιμαχῶν ἐπὶ ἡμέρας πλείστας καὶ οὐκ εἴα τοῦ εἰσελθεῖν αὐτοὺς ἐντὸς τοῦ κάστρου. Ἀλλ' ὅρα τὴν ἁμαρ-

τίαν καὶ τὴν τοῦ θεοῦ ἐγκατάλειψιν! ἱσταμένου γὰρ αὐτοῦ καὶ ἀντιμαχοῦντος, ἐλθοῦσα βολὶς ἐκ σκλόπου δέδωκεν αὐτὸν εἰς τὸν δεξιὸν πόδα, καὶ πεσὼν χαμαὶ ὥσπερ τεθνηκὼς, ἄραντες αὐτὸν οἱ ἴδιοι ἄνθρωποι ἀπῆλθον ἐν τοῖς πλοίοις καὶ ποιήσαντες ἱστία ἀπέδρασαν ἕως τῆς Χίου νήσου, κἀκεῖ ἐτελεύτησεν· ἐφημίσθη οὖν ὅτι ἔνδοθεν τοῦ κάστρου δέδωκαν αὐτὸν, ἀλλὰ οὐκ οἶδέ τις ὅπως γέγονεν.

Ἔτι δὲ ζῶντος τοῦ ἄρχοντος, ἐποίησαν βουλὴν οἱ Πολῖται στείλαντες νυκτὸς μετὰ τζιβούδας νέους τεσσαράκοντα ὅπως πυρπολήσωσι τὴν ἀρμάδα κρυφίως· ἐξῆλθον γὰρ ἐκ τῆς πύλης τοῦ Κυνηγοῦ περάσαντες ἄντικρυ· μαθόντες γὰρ οἱ ἐκ τοῦ Γαλάτου Φράγγοι φιλευόμενοι μετὰ τῶν Τουρκῶν καὶ ποιήσαντες φῶτα ἄνωθεν τοῦ μεγάλου πύργου, ἔσυρον σκευὰς ἐκ τῶν κατέργων καὶ ἐβούλισαν τὴν τζιβούδαν καὶ ἀπεπνίγησαν οἱ θαυμαστοὶ νέοι ἐκεῖνοι.

Ἀπορήσαντες γὰρ οἱ Πολῖται οὐκ ἔχον τί διαπράξασθαι εἰς τοσοῦτον ἀναρίθμητον πλῆθος σχεδὸν εἰπεῖν ἕνα εἰς χιλίους ὄντα· μενούσης οὖν τῆς χαλάστριας ἄτερ ὄχλου, γνόντες οἱ Πολῖται ὅτι βούλεται συνάψαι πόλεμον ἰσχυρὸν ἐπὶ τὴν αὔριον, ἐξῆλθον εἰς τὸ ἐξώκαστρον φοβούμενοι μὴ ἐλθόντες πλησιάσωσιν | ἐν φ. 4 τοῖς μεγάλοις τείχεσι. Οἱ γὰρ Τοῦρκοι ποιήσαντες πιλάλημα εἰσίεσαν ἐκ τῆς χαλαστρίας καὶ ἔλαβον τὰ μεγάλα τείχη βάλλοντες σκῆπτρον ἐν τοῖς πύργοις. Ὁ δὲ λαὸς τῆς πόλεως ἦν ἔξω· ἀκούσαντες γὰρ τὸν ἀλαλαγμὸν καὶ ἰδόντες καὶ τὰ σκῆπτρα ἐν τοῖς πύργοις ὥρμησαν εἰσελθεῖν ἐκ τῆς πύλης τῆς τε Χαρσοῦς ὅπως ἐξέλωσι τοὺς Τούρκους, καὶ ἀπεπνίγησαν ἐκ τῆς πλησμονῆς μὴ δυνηθέντες εἰσελθεῖν ἐκ τῶν νεκρῶν σωμάτων γεμισθέντων τῶν πυλῶν τῆς τε Χαρσοῦς καὶ τοῦ ἁγίου Ρωμανοῦ μέχρις ἀψίδων αὐτῶν, ὡς καὶ τοὺς αἰχμαλώτους γυναῖκας τε καὶ παῖδας μὴ δυναμένους ἐξελθεῖν, ἀλλ᾽ ἐκ τῶν τοίχων σχοινίοις χαλνῶντες αὐτούς.

(1) Οὕτως γέγονεν ἡ ἅλωσις τῆς περιφήμου Πόλεως ἐν ἔτει ,ςϡξά μηνὶ μαΐῳ κθ', ἡμέρᾳ τρίτῃ πρωΐ, τῆς ἀνοχῆς σου, δέσποτα παντοκράτωρ! τίς γάρ φησιν ἔγνω νοῦν Κυρίου, ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο; Ἀλλὰ τίς μὴ κλαύσῃ καὶ θρηνήσῃ τὸν λεηλατισμὸν ταύτης τῆς εὐδαίμονος πασῶν τῶν πόλεων καὶ ὑπερκειμένης; ποία καρδία λιθώδης ἥτις οὐ μὴ λάβῃ πόνων τῆς συμφορᾶς ἐκείνης; Καὶ ἦν ἰδεῖν, φεῦ, ἁρπαζόμενα ἐκ τῶν μοναστηρίων σκεύη ἱερὰ καὶ ναοὺς πατουμένους καὶ λεηλατοῦντες ἅπαντα· τὶ δὲ γυναικῶν μοναζουσῶν ἁρπαγάς, αἵ θεῷ ἔζων καὶ παρθενίαν ἤσκουν; ἀρχόντων θυγατέρες αἵ τῷ μοναχικῷ σχήματι ὑπέκλιναν τὸν ἑαυτῶν αὐχένα δούλας γενομένας
48* καὶ ἑλκομένας ἐπ' ἀγορᾷ καὶ ὑβριζομένας | καὶ μιαινομένας ὑπὸ τῶν ἀσεβῶν· ἱερεῖς τε καὶ μοναχοὺς μετὰ σχοινίων δεδεμένους καὶ ἑλκομένους, καὶ τὶς ἱκανὸς φράσαι τὴν τότε γεναμένην συμφορὰν καὶ θεήλατον ὀργήν; φοβερὸν γὰρ τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος! Τὶ δὲ καὶ τὰ τῶν βασιλέων μνήματα ἀνοιγόμενα καὶ περιπαιζόμενα τὰ ὀστᾶ αὐτῶν, ἐλπίζοντες εὑρεῖν ἐν αὐτοῖς τὸν ἐξ ὑφασμάτων χρυσόν· τοῦ τε βασιλέως Κωνσταντίνου καὶ τῶν λοιπῶν βασιλέων τὰ λείψανα κείμενα ἐν μέσῳ κοπρίας καταπατοῦντες αὐτά. Φθέγξομαι γὰρ καὶ τὸ τοῦ Δαβὶδ θρηνῶν ἐπὶ τῇ Ἱερουσαλὴμ, ὡς ὀπωροφυλάκιον ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου, βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ τὰς σάρκας τῶν ὁσίων σου, τοῖς θηρίοις τῆς γῆς ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡσεὶ ὕδωρ κύκλῳ Ἱερουσαλὴμ καὶ οὐκ ἦν ὁ θάπτων· ἐγενήθημεν ὄνειδος τοῖς γείτοσιν ἡμῖν, μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν· ἕως πότε, Κύριε, ὀργισθήσῃ εἰς τέλος; ἢ καὶ τὴν τῶν Παίδων ᾠδὴν ὄντων ἐν μέσῳ τῆς καιομένης φλογὸς, ὅτι δίκαιος

(1) Ἐν τῷ περιθεωρίῳ δι' ἐρυθρῶν γραμμάτων: Ἅλωσις τῆς Κωνσταντινουπόλεως.

εἶ ἐπὶ πᾶσιν οἷς ἐποίησας ἡμῖν· καὶ παρεδόθημεν εἰς χεῖρας ἐχθρῶν ἀνόμων ἐχθίστων ἀποστατῶν καὶ βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν διὰ τὰς ἁμαρτίας ἡμῶν. Πῶς κατεδέξατο ἡ ἐπ' ὀνόματι τοῦ θεοῦ λόγου κτισθεῖσα Σοφία ὁ ἐπίγειος οὐρανός, ἡ νέα Σιών, τὸ καύχημα | πάσης τῆς φ. οἰκουμένης, τὸ ἄγαλμα τῶν ἐκκλησιῶν, ἡ ὑπερέχουσα πάντων τῶν τῆς γῆς κτισμάτων· ὢ τοῦ θαύματος, ὁ τοῦ θεοῦ περιώνυμος ναὸς γέγονε νῦν ναὸς τῶν Ἰσμαηλιτῶν, φρίξον ἥλιε, στέναξον ἡ γῆ καὶ κλονουμένη βόησον, ἀνεξίκακε Κύριε δόξα σοι!

Τούτῳ τῷ τρόπῳ ἠχμαλώτιστο ἡ Κωνσταντινούπολις! ὁ ταλαίπωρος δὲ βασιλεὺς Κωνσταντῖνος ἅμα τοῦ εἰσελθεῖν τοὺς Τούρκους ἐν τοῖς μέρεσι τοῦ ἁγίου Ρωμανοῦ περιπατῶν μετὰ καὶ ἑτέρων ἀρχόντων θεωροῦντες τὰ τείχη ὑπήντησαν αὐτῷ μερικοὶ Τοῦρκοι καὶ πολεμήσαντες οὐ κατεδέξαντο δουλωθῆναι αὐτοῖς, ὅθεν ἀπέτεμον τὴν κεφαλὴν αὐτοῦ μετὰ καὶ τῶν εὑρεθέντων μετ' αὐτοῦ, μὴ εἰδότες ὅτι ἐστὶ βασιλεύς· ὕστερον δὲ πολλῆς ζητήσεως γεναμένης περὶ αὐτοῦ, φοβούμενος ὁ αὐθέντης μήπως ἐν τοῖς ζῶσιν ἐστὶ καὶ πορευθεὶς φέρῃ ἐκ τῆς Φραγγίας λαὸν κατ' αὐτοῦ, εὗρον γὰρ τὴν κεφαλὴν αὐτοῦ καὶ ἀνεγνώρισαν αὐτὴν ὅ τε Μάμαλις καὶ οἱ ἕτεροι ἄρχοντες, καὶ οὕτως ἡσύχασεν.

Τὴν δὲ χαρὰν ἥνπερ ἔσχεν ὁ αὐθέντης τίς διηγήσεται, ὅτι γέγονε κύριος τοιούτου κάστρου ἐκλεκτοῦ; Μετὰ δὲ παραδρομὴν ἡμερῶν πέντε γέγονε ζήτησις τῶν μεγάλων ἀρχόντων, τόν τε μέγαν δοῦκα καὶ τὸν μέγαν δομέστικον καὶ τὸν πρωτοστάτορα υἱὸν Καντακουζηνοῦ τοῦ μεσάζοντος καὶ ἑτέρους τοὺς ἐκλεκτοτέρους, καὶ ἀπεκεφάλισεν ἅπαντας· τὸν δὲ | μέγαν φ. 4 δοῦκα ἔσφαξε τοὺς υἱοὺς αὐτοῦ ἔμπροσθεν αὐτοῦ· τὸν δὲ νεώτερον υἱὸν αὐτοῦ τὸν Ἰσαάκιον ἔβαλεν ἐν τῷ σαραγίῳ, καὶ ὡς ἐν ὀλίγῳ ἀπέδρασεν ἐκ τοῦ σαραγίου ἐν τῇ Ἀδριανουπόλει

καὶ ἐγένετο ἀφανής· ὕστερον δὲ εὑρέθη ἐν Ῥώμῃ ἐν τῇ ἀδελφῇ αὐτοῦ σταλεῖσα ὑπὸ τοῦ πατρὸς αὐτῆς πρὸ τῆς ἁλώσεως μετὰ πλούτου ἀπείρου. Ἀπέτεμε δὲ πάντας ἐν μιᾷ ἡμέρᾳ, τὰ δὲ σώματα πάντα ὅσα ἦν ἐν ταῖς πύλαις ἐντὸς καὶ ἐκτὸς ἀνάψαντες πυρκαϊὰν ἐν μέσῳ τῆς σούδας κατέφλεξαν ἅπαντα.

Ὡς ἐν ὀλίγῳ δὲ ἀπέκτεινε καὶ τὸν Χαλοὺλ πασιᾶ ἔχων αὐτὸν ἐν κακίᾳ, ὅπως ἐμήνυσε τὸν πατέρα αὐτοῦ ἐν τῷ καιρῷ τῶν Οὐγκρῶν καὶ ὅτι ἔσκωπτεν αὐτὸν τοῦ πολιορκῆσαι τὴν Πόλιν λέγων αὐτῷ, ὅτι θέλει γένηται ἀνακάτωμα ἐκ τῶν Φραγκῶν καὶ ἐλθόντες ἐξέλωσιν ἡμᾶς ἐκ τῆς Δύσεως· ὅμως ἀπέκτεινεν αὐτόν. Ἐγκαταστήσας δὲ τῇ Πόλει φύλακας καὶ καδδῆν ἐπορεύθη ἐν τῇ Ἀδριανουπόλει μετὰ χαρᾶς καὶ δόξης πολλῆς· ἀοίκου δὲ οὔσης τῆς Πόλεως ὥρισεν ὅπως φέρωσι σεργούνιδες· ἔφερον γὰρ ἔκ τε Μηδείας καὶ τῶν χωρίων αὐτῆς· ὑπέκυψαν γὰρ αὐτῷ ἅπαντα ἡ Μήδεια, ἡ Μεσήμβρια· καὶ ἄραντες πλήθη ἀνδρῶν τε καὶ γυναικῶν ἔφερον αὐτοὺς ἔκ τε Σηλυβρείας καὶ Ἡρακλείας καὶ Ὀρεστιάδος καὶ Πανίδου, οἰκή- p. 50. σαντες αὐτοὺς ἐν τῇ ἐρήμῳ Πόλει, δόντες αὐτοῖς οἴκους | οἵους ἂν ἤθελον.

Καὶ ἐλθὼν ὁ αὐθέντης πάλιν ἐν τῇ Πόλει ἤρξατο κτίζειν τὸ παλαιὸν σαράγιον· εἶτα πορευθεὶς ἔλαβε τὴν Αἶνον, εἶτα τὴν Ἀθήναν, τὴν Θήβαν, τὴν Θάσον, τὴν Σαμοθρᾴκην, τὸ Ἄργος, (τὸ γὰρ Ἑξαμίλιον εἶχον αὐτὸ ἐκ παλαιοῦ καιροῦ) τὴν Λῆμνον, τὴν Ἴμπρον, καὶ ἁπλῶς εἰπεῖν ἅπασαν τὴν Δύσιν ἄνευ τῆς Εὐρίπου· ἔφερον γὰρ ἅπαντας ἐν τῇ Πόλει ἄνδρας τε καὶ γυναῖκας.

Οὗτος ὁ ἀλιτήριος καὶ φθορεὺς τῶν Χριστιανῶν οὐκ ἐκάθισε γὰρ τὸ σύνολον εἰρηνεῦσαι κἂν ἔτος ἕν, ἔπειτα περαιωθεὶς ἐν τῇ Ἀνατολῇ μετὰ καὶ στόλου ἐκ θαλάσσης καὶ στερεᾶς ἔλαβε τὴν Μιτυλήνην, τὰς δύο Φώκαιας ἄνευ πολέμου τινός, ὑπέκυψαν γὰρ αὐτῷ ἅπαντα· καὶ ἄρας πλήθη ἀνδρῶν

τε καὶ γυναικῶν ἔφερον μετὰ τῶν ἀρχηγῶν αὐτῶν ἐν τῇ Πόλει· ἐπιστρέψας γὰρ ἔλαβε καὶ τὴν Κασταμόνην καὶ τὴν Σινώπην ἐκ χειρὸς τοῦ Κυζὶλ Ἀχουμάτι· ἔσχον γὰρ οἱ γονεῖς αὐτοῦ ταῦτα ἐκ τοῦ σουλτὰν Ἀλατὶν ὥσπερ κληρονομίαν· μαθὼν δὲ τὴν ἄφιξιν τοῦ αὐθεντὸς ἐν τῇ Κασταμόνῃ φυγὼν ἐπορεύθη ἐν τῷ Οὐζοὺν Χασάνῃ ἐν τῇ Περσίᾳ· ἔλαβε δὲ καὶ ταῦτα ἀπονητὶ μετὰ καὶ πασῶν τῶν χωρῶν αὐτῶν· ἡ γὰρ Ἄμαστρις μόνη ἦν τῶν Γενουβήτων, εἶχον γὰρ καὶ τὸν Καφᾶν· ἔλαβε γὰρ καὶ αὐτὸν μετὰ τὴν τῆς Πόλεως ἅλωσιν ὡς ἐν ὀλίγῳ καιρῷ· ἔφερε γὰρ τὸν λαὸν ἅπαντα ἐν τῇ Πόλει ἐάσας αὐτὴν ἄοικον [χαλάσας καὶ τὰ τείχη αὐτῆς. φ. 50

(1) Ἐλθὼν δὲ πάλιν ἐν τῇ Πόλει ἠρώτησε περὶ πατριάρχου· ὥρισεν οὖν ὅπως ποιήσωσι πατριάρχην οἷον ἂν ἐκλέξωνται ἐκ τοῦ μέσου αὐτῶν· ἐποίησε δὲ τοῦτο τεχνηέντως ὡς ἀλώπηξ ὅπως ἀκούσαντες οἱ ἁπανταχοῦ ὄντες χριστιανοὶ συνάζωνται ἐν τῇ Πόλει. Ἐξελέξαντο οὖν τὸν φιλόσοφον κῦρ Γεώργιον τὸν Σχολάριον κριτὴν ὄντα τῆς βασιλικῆς κρίσεως, ἄνδρα ἁγιώτατον καὶ εὐλαβέστατον, καὶ μὴ θέλοντα ποιήσαντες αὐτὸν πατριάρχην, ὠνόμασαν αὐτὸν Γεννάδιον· ᾧ δέδωκεν ὁ αὐθέντης ἰδίαις χερσὶ τὸ δεκανίκιον, ἀσμένως δὲ ὑποδεχθεὶς ἔσχεν αὐτὸν φιλίως· Δέδωκε δὲ πρὸς αὐτὸν καὶ τὸν περιώνυμον καὶ μέγαν ναὸν τῶν ἁγίων Ἀποστόλων εἰς πατριαρχεῖον· ὄντος δὲ ἐκεῖσε τοῦ πατριάρχου εὑρέθη τις πεφονευμένος μέσον τῆς αὐλῆς τοῦ ναοῦ, ὅθεν φοβηθεὶς ὁ πατριάρχης καὶ οἱ μετ' αὐτοῦ μήπως πάθωσι καὶ αὐτοὶ τὰ ὅμοια ἀνεχώρησαν ἐκεῖθεν καταλείψαντες τὸν θαυμαστὸν ἐκεῖνον ναόν· ἦν γὰρ τῷ καιρῷ ἐκείνῳ ὁ τόπος ὁ πέριξ τοῦ ναοῦ ἄοικος, οὐ γὰρ ἦσαν πλησίον οἱ γειτονοῦντες τινές· ὑπῆρχε γὰρ ὁ ναὸς ἐκεῖνος ὃς νῦν

(1) Ἐν τῷ περιθεωρίῳ δι' ἐρυθρῶν γραμμάτων: Πρῶτος πατριάρχης μετὰ τὴν ἅλωσιν Γεννάδιος ὁ Σχολάριος.

ἐστιν ἡμαράτιον τοῦ σουλτὰν Μεχεμέτι ἐν τῷ νοτιαίῳ μέρει, ἵστανται γὰρ καὶ ἐκ τῶν κτισμάτων αὐτοῦ ἕως τοῦ νῦν. Παρῃτήσαντο γὰρ τὰ ἐκεῖσε καὶ αἰτήσαντες τὴν μονὴν τῆς Παμμακαρίστου ὅπως ἔχωσιν αὐτὴν εἰς πατριαρχεῖον, δέδωκεν αὐ-
51. τὴν ἐν ἑνὶ λόγῳ |· ᾐτήσαντο δὲ τὸν ναὸν αὐτὸν διὰ τὸ εἶναι οἰκούμενον τὸ μέρος ἐκεῖνο ἐκ τῶν ὧνπερ ἔφερον χριστιανῶν σεργούνιδων ἐκ πασῶν τῶν πόλεων. Ὅτε δὲ αὐτὸς ὁ αὐθέντης ἐλθὼν ἐντὸς τοῦ παρακλησίου τοῦ ἐν τῷ σκευοφυλακείῳ διαλεχθεὶς μετὰ τοῦ πατριάρχου κυροῦ Γενναδίου ὑποδείξας τὴν ἀλήθειαν τῆς πίστεως ἡμῶν ἀνεπαισχύντως καὶ μετὰ παρρησίας ὑποδείξας καθαρῶς τὸ μυστήριον τῆς ἁγίας Τριάδος, καὶ ὅτι αὐτὸς ὁ σαρκωθεὶς ἐκ τῆς πανάγνου καὶ ἀειπαρθένου Μαρίας, ὁ εἷς ἐστι τῆς Τριάδος ὁ υἱὸς καὶ λόγος τοῦ ἀγεννήτου πατρὸς, καὶ ὅπως ἀπέθανε καὶ ὅπως ἀνέστη καὶ ἐν τῇ δόξῃ τοῦ Πατρὸς κάθηται, τοῦτο γὰρ σημαίνει τὸ ἐκ δεξιῶν, ἀναληφθείς τε εἰς οὐρανοὺς πάντων ὁρώντων, καὶ ὅτι αὐτὸς ἐστιν ὁ μέλλων πάλιν ἔρχεσθαι τοῦ κρῖναι ζῶντας καὶ νεκρούς· καὶ ἕτερα μυστήρια ἐρωτήσας αὐτὸν ἀκριβῶς, εὐσεβῶς ταῦτα διεσάφησε· καὶ πληροφορηθεὶς κατὰ ἀκρίβειαν ὅτι ἀληθὴς ἐστιν ἡ πίστις τῶν χριστιανῶν καλῶς ἐθεώρει τὸ ἡμέτερον γένος· χαίρων γὰρ ἦν ὅτι τοιούτου γένους γέγονεν ἀρχηγὸς σοφῶν καὶ διδασκάλων.

Μέσον δὲ τοῦ καιροῦ ὡς ἐν ὀλίγῳ στρατεύει κατὰ Πελοποννήσου· ἦσαν γὰρ οἱ δύο δεσπόται, ὅ τε Δημήτριος καὶ Θωμᾶς, μὴ δυνάμενοι δὲ ἀντιμαχήσασθαι αὐτῷ ἔπεσον εἰς συμβιβάσεις ὅπως δώσωσιν αὐτῷ χαράτζιον ἀνὰ δισχιλίων φλωρίων ὁ καθεὶς κατ' ἔτος καὶ τὸ μέρος ὅσον ἐπεριπάτησεν ὁ ἵππος
51'. αὐτοῦ· δέδωκαν δὲ αὐτῷ τὰ Καλάβρυτα, τὴν Πάτραν | καὶ ἕτερα κάστρη καὶ χώρας, καὶ ὑπέστρεψεν.

Εἴπωμεν καὶ τὰ τῆς ἐκκλησίας· (1) ὁ γὰρ κῦρ Γεννάδιος

---

(1) Περιθ. Περὶ τοῦ πατριάρχου.

πατριαρχεύσας ἔτη πέντε ἢ καὶ πλέον, καλέσας σύνοδον ἀρχιερέων ἐποίησε παραίτησιν, καὶ γέγονε πατριάρχης ὁ κῦρις Ἰσίδωρος, ἁγιώτατος πνευματικὸς πατὴρ πάσης τῆς Πόλεως. Τελευτήσαντος οὖν ἐκείνου γέγονεν ὁ Ἰωάσαφ οὗ τὸ ἐπίκλην Κόκας· μὴ δυνηθεὶς γὰρ τὰ τῶν κληρικῶν καθ' ἑκάστην γενόμενα σκάνδαλα, πεσὼν ἐν φρέατι, ἐξέβαλον αὐτὸν ἡμίθνητον. Ὁ δὲ κῦρ Γεννάδιος ἀναχωρήσας τῆς Πόλεως καὶ τῶν σκανδάλων πάντων ἀνῆλθεν ἐν τῇ μονῇ τοῦ τιμίου Προδρόμου πλησίον Σερρῶν, κἀκεῖ ἐτελεύτησεν.

Μαθὼν γὰρ ὁ αὐθέντης (1) ὡς οἱ δύο δεσπόται οὐ συμβιβάζονται ἀλλὰ καθ' ἑκάστην ἔχουσι σκάνδαλα, ἀλλ' οὐδὲ τὸ χαράτζιον δοῦναι ὅπερ ὑπέσχοντο, διεμηνύσατο γὰρ καὶ ὁ κῦρ Δημήτριος ὡς ὁ ἀδελφὸς αὐτοῦ ὁ κῦρ Θωμᾶς οὐκ ἵσταται εἰς τὰς συμβιβάσεις ἅσπερ εἴχομεν μετὰ τοῦ αὐθεντὸς, ἀλλ' ἐπόρθησεν χώρας καὶ κάστρη, ὑποκύψαντες αὐτῷ ἥ τε παλαιὰ Πάτρα καὶ τὰ Καλάβρυτα καὶ ἕτερα ἅπερ δεδώκαμεν πρὸς σὲ, καὶ οὐ μόνον ἐκεῖνα, ἀλλὰ καὶ ἐκ τῶν ἐμῶν χωρῶν ἁρπάζων οὐ παύεται· ἐλθὲ οὖν καὶ λάβε τὸν τόπον ἡμῶν, ὅπως εἰρηνεύσῃς ἡμᾶς. Ταῦτα οὖν διεμηνύσατο ὁ δεσπότης πρὸς τὸν σουλτὰν Μεχεμέτην, ὁ δὲ θυμοῦ πλησθεὶς ὥρμησεν εὐθὺς κατὰ Πελοποννήσου· ἦν δὲ ὁ τοῦ δεσπότου γυναικάδελφος, Ματθαῖος ὁ Ἀσάνης |, εὑρεθεὶς ἐν Κορίνθῳ καὶ οὐκ ἔχων ὅ, τι καὶ φ. 52 δράσειεν, καὶ ἄκων προσεκύνησεν καὶ παρέδωκεν αὐτῷ τὸ θαυμαστὸν ἐκεῖνο πολίχνιον· ἄρας δὲ τὸν Ἀσὰν καὶ τοὺς μετ' αὐτὸν στρατιώτας ἐπορεύθη ὅπου ἦν ὁ δεσπότης ἐν τῷ Μιζηθρᾷ· τί γὰρ εἶχεν ποιῆσαι ὁ ταλαίπωρος δεσπότης, ἐπειδὴ αὐτὸς διεμηνύσατο αὐτόν; αἰτήσας οὖν τινα ζητήματα παρὰ τοῦ αὐθεντὸς, ὅπως λάβῃ τὴν θυγατέρα αὐτοῦ εἰς γυναῖκα καὶ ἴ-

(1) Περιθ. Περὶ βασιλέως.

να δώσῃ καὶ αὐτῷ τὰ πρὸς διατροφὴν καὶ τοῖς μετ' αὐτοῦ οὖσι, ἔστερξε οὖν ὅσα ᾐτήσατο· τὴν γὰρ θυγατέρα αὐτοῦ ἀρραβωνήσας αὐτὴν κατὰ τὴν τάξιν τοῦ σεβάσματος αὐτῶν, καὶ παρέδωκεν αὐτοῖς εὐνούχοις μετὰ δορυφορίας ὅτι πλείστης ἕως Ἀδριανουπόλεως, ἀλλ' οὐκ ἐσυνεγένετο μετ' αὐτῆς ὅλως φοβούμενος μήπως γένηται ἐξ αὐτῆς φαρμακεία ἤ τις δόλος, ὕποπτος γὰρ ὢν οὐκ ἠθέλησε γενέσθαι αὐτῇ. Ἔφερον οὖν ἅπαντας ἐν τῇ Ἀδριανουπόλει τόν τε δεσπότην καὶ τὴν βασίλισσαν τὴν αὐτοῦ γαμετήν· ἦν γὰρ θυγάτηρ κυροῦ Παύλου τοῦ Ἀσάν· προϋπῆρχε γὰρ τεθνηκώς, ὁ δὲ υἱὸς αὐτοῦ Ματθαῖος Ἀσὰν ἔσχε γυναῖκα τὴν τοῦ Εὐδαίμονος Ἰωάννου θυγατέρα· ἔφερον δὲ ἅπαντας ἄρχοντας τοὺς τοῦ δεσπότου μικρούς τε καὶ μεγάλους, ἦλθον γὰρ καὶ ἄρχοντες ἐν τῇ Ἀδριανουπόλει, οὐ γὰρ εἶχον τί ζωοτροφεῖσθαι. Ὁ δὲ κῦρ Θωμᾶς ὁ δεσπότης 52r μαθὼν τὴν ἄφιξιν τοῦ αὐθεντὸς | ἐν τοῖς ὄρεσι τῆς Πελοποννήσου φυγὼν ἐπορεύθη ἐν Ῥώμῃ μετὰ γυναικὸς καὶ τῶν δύο υἱῶν αὐτοῦ Ἀνδρέου καὶ Μανουὴλ καὶ ἀρχόντων μερικῶν ἐκ τῶν ἰδίων αὐτοῦ, ἀσμένως δὲ ὑπεδέξαντο αὐτὸν οἱ Λατῖνοι ποιήσαντες αὐτῷ σιτηρέσια μετὰ τῶν υἱῶν αὐτοῦ, πλὴν ὡς ἐν ὀλίγῳ ἐτελεύτησεν· ἔσχε γὰρ καὶ θυγατέρας δύο, καὶ ἡ μὲν μία ἦν ἐν τῇ Σερβίᾳ πρὸς τὸν κράλην, ἡ δὲ ἑτέρα ἦν ἐν τῇ Ῥουσίᾳ πρὸς τὸν τοῦ Μοσκόβου αὐθέντην· ἡ γὰρ ἐν τῇ Σερβίᾳ θυγάτηρ αὐτοῦ ἔσχε θυγατέρα καὶ δέδωκαν αὐτὴν πρὸς τὸν τῆς Μπόσνας κράλην, ἣν ὕστερον πορευθεὶς ὁ σουλτὰν Μεχεμέτης ἔλαβε κυριεύσας τὴν Πόσναν καὶ πᾶσαν τὴν περιοχὴν αὐτῆς· καὶ τὸν μὲν ἄνδρα αὐτῆς ἀπέκτεινε, τὴν δὲ κράλητζαν ἔφερεν ἐν Κωνσταντινουπόλει ποιήσας αὐτῇ σιτηρέσιον ἕως τέλους ζωῆς αὐτῆς· ἔχουσα δὲ ἡ αὐτὴ κράλητζα τὴν τοῦ πατρὸς αὐτῆς ἀδελφὴν τὴν κυρὰν Μάρων, ἥ ὑπῆρχε γυνὴ τοῦ σουλτὰν Μουράτη, μητέρα οὖσα τοῦ σουλτὰν Μεχεμέτι, δέδωκε δὲ αὐτῇ χώρας ὅτι πλείστας εἰς διατροφὴν ἐγγὺς τῶν Σερ-

ρῶν τήν τε Ἐζοβὰν καὶ τὰ πλησιάζοντα χωρία, ζῶν ἐν ἐξουσίᾳ ἡ βασίλισσα μέχρι τέλους ζωῆς αὐτῆς. Τοῦ γὰρ δεσπότου κῦρ Θωμᾶ ὡς προέφημεν ὑπῆρχον δύο υἱοί, ὁ νεώτερος οὖν υἱὸς αὐτοῦ Μανουὴλ ἀποδράσας ἐκ Ῥώμης ἦλθεν ἐν Κωνσταντινουπόλει, πλανήσαντες αὐτὸν ὅ τε Μαγκαφᾶς | καὶ Κόν- φ. 5 τος καὶ Νικόλαος, ὄντες οἰκεῖοι αὐτοῦ, καὶ οἷα νέος ὢν ἤκουσε τοὺς λόγους αὐτῶν, ὡς ὁ αὐθέντης, ἐὰν πορευθῶμεν ἐν τῇ Πόλει, ἐν πολλῇ τιμῇ ποιήσει σε ὡς ὅτι οὐκ ἀπέμεινας ἐν τῇ Φραγγίᾳ· ἀπατήσαντες οὖν αὐτὸν ἔφερον ἐν τῇ Πόλει· ὅθεν ὁ αὐθέντης χαριέντως αὐτὸν ὑποδεξάμενος, δέδωκεν αὐτῷ χώρας εἰς διατροφὴν, τό τε Σιρέτζιον καὶ τὸ Ἀμπελίτζιν καὶ ἕτερα χωρία δύο, καὶ ῥόγαν ἐξόχως ἀνὰ ἄσπρα ἑκατὸν τὴν καθ' ἣν ἡμέραν, δοὺς αὐτῷ καὶ δούλας δύο. Ἐποίησε δὲ ἐξ αὐτῶν δύο υἱοὺς, καὶ τὸν μὲν ὠνόμασεν Ἰωάννην Παλαιολόγον τὸν δὲ ἕτερον Ἀνδρέαν· ἔζη δὲ καλῶς μετὰ τιμῆς καὶ ἀρχόντων οὐκ ὀλίγων ὄντων μετ' αὐτοῦ· ἀλλ' οὖν δέδωκε καὶ αὐτὸς τὸ κοινὸν χρέος ταφεὶς ἐν τῇ χώρᾳ τοῦ Σιρετζίου ἐντὸς τοῦ ναοῦ, ὁμοίως καὶ ἡ ἀνεψιὰ αὐτοῦ ἡ κράλητζα.

Ὡς ἐν ὀλίγῳ δὲ μετὰ τὸ ἀποθανεῖν τὸν πατέρα αὐτῶν, βασιλεύσας ὁ σουλτὰν Σελήμης ἔλαβεν Ἀνδρέαν τὸν ὕστερον υἱὸν αὐτοῦ καὶ ἔβαλεν αὐτὸν ἐν τῷ σαραγίῳ ποιήσας αὐτὸν Ἰσμαηλίτην, ὀνομάσας αὐτὸν Μεχεμέτην· ὁ δὲ ἕτερος υἱὸς αὐτοῦ ὁ Ἰωάννης περιπεσὼν ἐν νόσῳ ἀνιάτῳ ἐτελεύτησεν ταφεὶς ἐν τῇ Παμμακαρίστῳ.

Ὁ δὲ δεσπότης Δημήτριος ὢν ἐν τῇ Ἀδριανουπόλει δέδωκεν αὐτῷ ὁ αὐθέντης τὴν τῆς Αἴνου ἁλυκὴν τὴν ἥμισυ, ἔζη δὲ ἐν σπατάλῃ καὶ τιμῇ καὶ κυνηγεσίοις | πλέον ἢ ἐν τῇ φ. 53 Πελοποννήσῳ· ὁ δὲ Ματθαῖος ὁ Ἀσὰν ἐπορεύετο μετὰ τοῦ αὐθέντος ἐν τοῖς πολέμοις· ἦν γὰρ οὗτος φρονιμώτατος λίαν· φθονήσας γὰρ ὁ ἐχθρὸς διάβολος ἐμβάλλει λογισμὸν ἐν τοῖς Ἀμαλδαρίοις τοῖς κρατήσασι τότε τὴν ἁλυκὴν ὡς ἵνα κλέψω-

σιν ἄσπρα ἐκ τῆς ἁλυκῆς· εἶπον οὖν τὴν βουλὴν πρὸς τὸν Ἀ-
σάνην, ὁ δὲ ἀναισχυντίσας ἀπεδίωξεν αὐτοὺς, μηδόλως παρα-
δεξάμενος τὸν λόγον αὐτῶν· πορευθεὶς οὖν ἐπαρήγγειλε τὸν
δεσπότην ὅτι, ἐὰν σοὶ εἴπωσιν οἱ Ἀμαλδάριοι τὸν λόγον ὅν-
περ εἶπον καὶ ἐμοὶ, μὴ ἀκούσης αὐτῶν, ὅτι ἐὰν βουληθῇς ποιῆ-
σαι ὡς λέγουσι, μέλλομεν ἐμπεσεῖν ἐν κινδύνῳ μεγάλῳ, ὅ καὶ
γέγογεν. Ὁ γὰρ Ἀσὰν ἐπορεύθη μετὰ τοῦ αὐθεντὸς ἐν τῇ
Μπόσνᾳ οὐ πολὺ τὸ ἐν μέσῳ· ἅμα γὰρ τοῦ ἐξελθεῖν τὸν Ἀ-
σὰν, πορευθέντες οἱ Ἀμαλδαρέοι ἐπλάνησαν αὐτὸν, καὶ ἔστερξεν
ὅπως κλέψωσι τὰ ἄσπρα. Ὅρα γὰρ γνῶσιν δούλου καὶ αὐθεν-
τός· οὕτως ἐποίησεν ὁ ἀσύνετος δεσπότης. Ὡς ἐν ὀλίγῳ δὲ
ἐλθὼν ὁ αὐθέντης ἐκ τῆς Μπόσνας, ἠκούσθη ὅτι οἱ Ἀμαλδα-
ρέοι ἔκλεψαν ἄσπρα ἐκ τῆς ἁλυκῆς, δέδωκε δὲ αὐτοῖς σκάκους
καὶ ὡμολόγησαν ὅτι καὶ μετὰ βουλῆς τοῦ δεσπότου ἐκλέψα-
μεν μοιράσαντες αὐτὰ ὁμοῦ· ἀκούσας δὲ ὁ αὐθέντης ἠβουλή-
θη ἀποκτεῖναι αὐτὸν, εἰ μὴ ὁ Μαχομοὺτ πασιᾶς ἔσκοψε τοῦ
μὴ ἀποκτεῖναι αὐτόν· ἐκράτησεν οὖν τὴν ἁλυκὴν καὶ εἴ τι ἄλ-
54. λον εἰσόδημα |· οἱ γὰρ ἄρχοντες οἱ ὄντες μετ' αὐτοῦ ἐπορεύ-
θησαν ἕκαστος, ὁ μὲν ἔνθεν, ὁ δὲ ἔνθεν, οὐ γὰρ εἶχόν τι εἰς
διατροφήν. Καθήμενος δὲ ὁ ταλαίπωρος ἐν Ἀδριανουπόλει ἐ-
ποίησεν αὐτὸν τοῦ μὴ ἱππεῦσαι ὅλως. Ὁ δὲ Ἀσὰν ἐλθὼν ἐκ
τῆς Μπόσνας καὶ ἀκούσας τὸ δρᾶμα, ἐκ τῆς χολῆς πεσὼν ἐν
ἀσθενείᾳ ἐτελεύτησεν· ὡς ἐν ὀλίγῳ δὲ ἀπέθανε καὶ ἡ θυγά-
τηρ αὐτοῦ. Ὀλίγου δὲ καιροῦ παρελθόντος ὑποστρέψας ὁ αὐθέν-
της ἦλθεν ἐν Ἀδριανουπόλει, καὶ ἐξελθὼν ὁ ταλαίπωρος πεζο-
πορῶν ὑπήντησεν αὐτόν· ἰδὼν δὲ αὐτὸν ἠλέησεν αὐτὸν, ὥρισε
γοῦν καὶ δέδωκαν πρὸς αὐτὸν ἵππον ἐκ τῶν ἐκλεκτῶν καὶ ἐ-
καθέσθη περιπατῶν ἔμπροσθεν αὐτοῦ· δέδωκε δὲ αὐτῷ καὶ σι-
τηρέσιον μερικὸν εἰς διατροφὴν μόνον. Ὡς ἐν ὀλίγῳ δὲ ἐτε-
λεύτησε καὶ ἡ Βασίλισσα καὶ αὐτὸς ὁ δεσπότης ἐν τῇ Ἀδρια-
νουπόλει, τῆς δὲ θυγατρὸς αὐτοῦ τὰ εἴδη ἐδόθησαν ἐν τῷ πα-

τριαρχείῳ, ἐξ ὧν ἐστι καὶ ὁ σάκκος ὁ ἀρχαῖος ἕως τοῦ νῦν, ταφέντες ἅπαντες ἐν Ἀδριανουπόλει.

Ἐν δὲ τῇ πατριαρχείᾳ τοῦ Ἰωάσαφ ἐπορεύθη ὁ αὐθέντης ὁ σουλτὰν Μεχεμέτης κατὰ τῆς Τραπεζοῦντας μετὰ δυνάμεως πλείστης ἔκ τε γῆς καὶ θαλάττης πλήθους ἀναριθμήτου· βασιλεύων γὰρ ἦν ὁ κῦρις Δαβὶδ ὁρμώμενος ἐκ τοῦ γένους τῶν Κομνηνῶν· ὡς γὰρ τὴν ἀθρόαν ἔλευσιν εἶδε καὶ τὸ πλῆθος τοῦ τοσούτου λαοῦ, οὐκ ἔχων τι διαπράξασθαι καὶ ἄκων προσεκύνησεν· ἐζήτησεν οὖν τινὰ |, ὅπως λάβῃ τὴν θυ- φ. γατέραν αὐτοῦ εἰς γυναῖκα, καὶ ὑπέσχετο λαβεῖν αὐτήν. Ἔσχε γὰρ ὁ αὐτὸς βασιλεὺς καὶ ἑτέραν θυγατέρα τὴν δέσποινα Χάτουν ἔχουσαν τὸν Οὐζοὺν Χασὰν ἐν τῷ Τευρίζι, ἔχουσα μετ' αὐτοῦ υἱοὺς τρεῖς· ἤλπιζε γὰρ τοῦ εὑρεῖν βοήθειαν ἐξ αὐτοῦ, ἀλλ' οὐκ ἠδυνήθη βοηθῆσαι αὐτῷ τὸ σύνολον, φοβούμενος μήπως πορευθῇ κατ' αὐτοῦ· ἐκ γὰρ τοῦ φόβου αὐτοῦ ἔστειλε πρέσβυν τὴν μητέρα πρὸς τὸν αὐθέντην μετὰ δώρων πολλῶν· προϋπαντήσας αὐτῷ ἐν τῇ ὁδῷ φήσασα οὕτως: γνωστὸν ἔστω τῇ σῇ βασιλείᾳ ὅτι οὐκ εἰμὶ ἐναντίος σοί, ἀλλὰ πορευθεὶς ποίησον ὡς βούλῃ. Ἀποδεξάμενος δὲ αὐτὴν ἀσμένως καὶ φιλοφρονήσας ἀπέστειλεν οἴκαδε. Ἐζήτησε δὲ ὁ ταλαίπωρος βασιλεὺς ὅπως δῴη αὐτῷ τόπον εἰς διατροφὴν καὶ τοῖς οὖσι μετ' αὐτοῦ, ἔστερξε δὲ καὶ αὐτὸ, καὶ ἀπέστειλε τὰς κλεῖς τοῦ κάστρου πρὸς αὐτόν. Ἐκυρίευσε δὲ τὴν τοσαύτην ἐπαρχίαν ἀπονητὶ χωρὶς πολέμου τινος ἀπὸ Ἀμισοῦντος ἕως τῶν ὁρίων Ἰβηρίας κάστρων καὶ χωρῶν. Ἐποίησε δὲ τὸν λαὸν τῆς Τραπεζοῦντος εἰς μοίρας τρεῖς, καὶ τὸ μὲν ἓν μέρος ἔλαβον αὐτὸς καὶ οἱ μεγιστᾶνες αὐτοῦ, τὸ δὲ ἕτερον ἔφερε σεργούνιδες ἐν τῇ Πόλει, τὸ δὲ ἄλλο μέρος ἀφῆκεν ἐν αὐτῷ τῷ κάστρει οἰκεῖν οὐκ ἔσω, ἀλλ' ἔξω τῶν τειχῶν· τὸν βασιλέα δὲ καὶ πάντας τοὺς ἄρχοντας ἀναβιβάσας ἐν πλοίοις ἔφερεν ἐν Κωνσταντινουπόλει, τόν τε Καβαζήτην καὶ πᾶσαν τὴν γενεὰν αὐτοῦ |, τὸν μέγαν μεσά- φ. 5

ζοντα, τὸν Ἀλταμούριον, τὸν φιλόσοφον Ἀμουρούτζην, τὸν πρωτοβεστιάριον· οὗτος γὰρ ὁ πρωτοβεστιάριος ὑπῆρχεν ἔγγονος τοῦ Ἰάγαρη, ὁμοίως καὶ ὁ Μαχουμοὺτ πασιᾶς ἐκ τῆς ἄλλης θυγατρὸς τοῦ Ἰάγαρη τῆς οὔσης ἐν τῇ Σερβίᾳ· ὑπῆρχον οὖν πρωτεξάδελφοι· καὶ μετὰ δόλου καὶ ἀπάτης αὐτοῦ τοῦ πρωτοβεστιαρίου ἐπορεύθη ὁ αὐθέντης ἐν τῇ Τραπεζούντᾳ, αὐτὸς γὰρ ἔπεισε καὶ τὸν ταλαίπωρον βασιλέα καὶ προσεκύνησεν· ἦν γὰρ ὁ βασιλεὺς οὗτος νωθρὸς καὶ ἄνανδρος καὶ οὐχ ἱκανὸς εἰς βασιλείαν· εὗρε γὰρ ὁ πρωτοβεστιάριος τιμὴν ὅτι καὶ πλείστην ἔκ τε τοῦ αὐθεντὸς καὶ τοῦ μπασιᾶ· ἦν γὰρ ὡραῖος καὶ ἀνδρεῖος ἔν τε μεγέθει σώματος καὶ ἐπιτηδειότητι· τοξευτὴς γὰρ ἦν ὡς οὐδεὶς ἄλλος ἐκ τοῦ αὐθεντικοῦ φουσάτου. Τοὺς γὰρ υἱοὺς τοῦ Ἀμουρήτζη ἔβαλεν ἐν τῷ σαραγίῳ, τὸν δὲ Ἀμουρούτζην ὕστερον ἐποίησεν αὐτὸν Ἰσμαηλίτην· τὸν βασιλέαν δὲ δέδωκεν αὐτῷ χώρας εἰς διατροφὴν πλησίον Σερρῶν· τὴν δὲ θυγατέρα αὐτοῦ ἣν ὑπέσχετο λαβεῖν εἰς γυναῖκα οὐκ ἔλαβεν αὐτήν, ἀλλ' ἔδωκεν αὐτὴν πρὸς τὸν χότζαν αὐτοῦ, καὶ πολλὰ μοχθήσας τοῦ ἐκβαλεῖν ἐκ τῆς πίστεως τοῦ Χριστοῦ οὐκ ἠδυνήθη ἑλκῦσαι αὐτήν, ὅμως ἀπέλυσεν αὐτήν, εἶχε γὰρ σιτηρέσιον μέχρι τέλους ζωῆς αὐτῆς. Ὕστερον δὲ γεναμένης μάχης μετὰ τοῦ Οὐζοὺν Χασάνη, μέλλων πορευθῆναι κατ' αὐ-
55' τοῦ ἀποστείλας ἀπέκτεινε τὸν ταλαίπωρον βασιλέα· οὐ γὰρ | οἴδαμεν τίς ἦν ἡ αἰτία.

(1) Ἐν δὲ τοῖς καιροῖς ἐκείνοις ἐξεβλήθη ἐκ τοῦ πατριαρχικοῦ θρόνου ὁ Ἰωάσαφ, ἀπέκοψε γὰρ ὁ αὐθέντης τὴν αὐτοῦ πολιὰν, τὸν δὲ μέγαν ἐκκλησιάρχην ἔσχισεν ἐκ τῶν δύο μερῶν τὴν ρίνα αὐτοῦ ἕνεκα τοῦ πρωτοβεστιαρίου· οὗτος γὰρ ἔσχε γυναῖκα νόμιμον ἔχων καὶ παῖδας μετ' αὐτῆς· ὁ γὰρ αὐθέντης πορευθεὶς πρὸ καιροῦ ἔλαβε τὴν Ἀθήναν· τὸν γὰρ τῆς

(1) Περιθ. Περὶ τοῦ πατριάρχου.

Α'θήνας ἄρχοντα ἀποκτείνας, τὴν γυναῖκα καὶ παῖδας ἔφερεν ἐν Ἀδριανουπόλει· ἡ γὰρ γυνὴ ἦν θυγάτηρ Δημητρίου τοῦ Ἀσᾶν· ἰδὼν δὲ αὐτὴν ὁ πρωτοβεστιάριος ἐτρώθη τῷ αὐτῆς ἔρωτι καὶ ἤθελε λαβεῖν αὐτὴν εἰς γυναῖκα· παρεκάλει οὖν διὰ γραφῶν τὸν πατριάρχην ὅπως συγχωρήσας λάβῃ αὐτήν· ὡς δὲ οὐ κατένευσε ποιῆσαι αὐτὸ, φανερᾶς οὔσης μοιχοζευξίας, ὡς καὶ καταβοώσης τῆς γυναικὸς αὐτοῦ, ὠργίσθη ὁ μπασιᾶς τόν τε πατριάρχην καὶ τὸν μέγαν ἐκκλησιάρχην ὡς οὐκ ἤκουσαν τὸν λόγον αὐτοῦ καὶ ἐποίησεν αὐτοὺς ὡς προείπομεν· ἔλαβε γὰρ αὐτὴν παρανόμως μοιχεύων· ἡ γὰρ ἀδικία οὐκ εἴασεν αὐτὸν εἰς μακράν· ἐν μιᾷ οὖν τῶν ἡμερῶν μετὰ τῶν ἀρχόντων παίζων ζάρια ἁπλώσας τὴν χεῖρα τοῦ λαβεῖν καὶ ῥίψαι αὐτὰ, ἀπέψυξε καὶ ἀώρως ἐτελεύτησε παραπεμφθεὶς τῷ αἰωνίῳ πυρί.

(1) Ἀνῆλθε δὲ εἰς τὸν πατριαρχικὸν θρόνον ὁ κῦρις Μάρκος ὁ Ξυλοκαράβις Κωνσταντινουπολίτης καὶ μέτοχος λόγου· φ. ποιήσας οὖν καιρὸν ὀλίγον ἐν τῷ πατριαρχείῳ, ἀνεφύησαν σκάνδαλα οὐκ ὀλίγα ἐκ τῶν κληρικῶν, οὐ γὰρ ἠγάπουν αὐτόν. Ἦν δὲ τῷ καιρῷ ἐκείνῳ τις ἱερομόναχος ὀνόματι Συμεὼν ὁρμώμενος ἐκ Τραπεζοῦντας, χρησιμώτατος πάνυ ὡς ἄλλος οὐδεὶς, καὶ φιλόξενος· οἱ γὰρ Τραπεζούντιοι ἤθελον τοῦ ποιῆσαι αὐτὸν πατριάρχην· ἔσχον γὰρ υἱοὺς ἐντὸς τοῦ σαραγίου καὶ ἐκτὸς ἐν ἀξιώμασι πλείστοις καὶ τιμαῖς μεγίσταις, καὶ δεξιωθέντες τοῖς κληρικοῖς κακῶς διέκειντο μετὰ τοῦ πατριάρχου συκοφαντοῦντες αὐτὸν καὶ λέγοντες ὅτι ἐποίησε προσθήκην ὅπως δώῃ πεσκέσιον φλωρία χίλια· οὐ γὰρ ἔδιδόν τι οὔτε αὐτὸς, οὔτε οἱ πρὸ αὐτοῦ πατριάρχαι· ὁ δὲ ὤμνυε μὴ εἰδὼς τὸ τοιοῦτον, ἀλλὰ οὐκ ἐπίστευον αὐτῷ. Ὅθεν συναχθέντες οἱ Τραπεζούντιοι ἄρχοντες καὶ ἐκ τῶν Πολιτῶν μερικοὶ συνάξαντες φλωρία χί-

(1) Περιθ. Περὶ τοῦ πατριάρχου.

λια ἔστειλαν αὐτὰ τὸν αὐθέντην εἰπόντες (1), ὅτι ὁ πατριάρ-
χης ἔταξε τὴν βασιλείαν σου φλωρία χίλια, δίδομεν καὶ ἡμεῖς
τὰ αὐτὰ ἵνα ποιήσωμεν πατριάρχην τὸν ἡμέτερον καλόγηρον,
οὐ γὰρ θέλομεν ἡμεῖς ὁ λαὸς καὶ οἱ κληρικοὶ τὸν Μάρκον.
Μειδιάσας οὖν ὁ αὐθέντης καὶ καταγνοὺς τὴν ἀγνωσίαν αὐτῶν
εἶπεν, ἀληθῶς ἔταξε ταῦτα, ἀλλ' ἐπειδὴ οὐ θέλετε αὐτὸν ὑ-
μεῖς, ποιήσατε οἷον βούλεσθε. Ἐκβαλόντες γὰρ τὸν κῦριν Μάρ-
56· κον | ληστρικῶς ἐκ τοῦ πατριαρχείου, ἀνεβίβασαν τὸν κῦριν Συ-
μεῶνα, τὸν δὲ Μάρκον ἀνεθεμάτιζον οὐ μόνον κληρικοὶ ἀλλὰ
καὶ ἰδιῶται, ρίπτοντες λίθους ἐν ταῖς ὁδοῖς καὶ ρύμεσι τῆς Πό-
λεως ἀνεθεμάτιζον αὐτόν· οὐ γὰρ εἶχε τὶ καὶ δράσειεν, ἐκά-
θητο ἰδιάζων περιμένων ὅπως γένηται σύνοδος καὶ ἴδωσι τὴν
ἑαυτῷ γεναμένην ἀδικίαν, οὐ γὰρ ἐπαύετο γράφων πρὸς τοὺς
ἀρχιερεῖς· ὅθεν μερικοῦ καιροῦ παρελθόντος γέγονε καὶ σύνο-
δος μεγίστη ὅπως ἐξετάσωσιν ἐν τίνι ἐγκλήματι ἐξέωσαν αὐ-
τὸν ἐκ τοῦ θρόνου αὐτοῦ, βοῶν γὰρ ἦν ὡς ἠδίκησαν αὐτόν.

Ἐν δὲ τῷ χορῷ τῶν ἀρχιερέων εἷς ἦν καὶ ὁ Φιλιππουπό-
λεως κῦρ Διονύσιος ἔχων φιλίαν ἄκραν μετὰ τῆς κυρᾶς τῆς
Μάρως μητρυιᾶς οὔσης τοῦ αὐθεντὸς, ἥτις καὶ ἐτίμα καὶ ἠ-
γάπα αὐτὸν ὡς πνευματικὸν πατέρα· μαθοῦσα γὰρ αὕτη τὰ
σκάνδαλα τῶν δύο πατριαρχῶν ἔκρινεν ὅπως ποιήσῃ τὸν κῦριν
Διονύσιον πατριάρχην καὶ παύσωσι τὰ σκάνδαλα πάντα· γεγό-
νασι γὰρ οἱ τῆς Πόλεως λαϊκοί τε καὶ ἱερεῖς πρασιαὶ (sic), οἱ
μὲν θέλοντες τὸν ἕνα, οἱ δὲ τὸν ἕτερον· βαλὼν γὰρ ἡ κυρία
αὕτη εἰς ἓν ταψίον ἀργυροῦν φλωρία δύο χιλιάδες ἐπορεύθη
πρὸς τὸν αὐθέντην· ἐρωτήσας οὖν αὐτὴν, τί ἐστι ταῦτα, ὦ
μῆτερ; ἡ δὲ ἔφη, ἔστι μοι εἷς καλόγηρος καὶ παρακαλῶ τὴν
αὐθεντείαν σου ὅπως ποιήσω αὐτὸν πατριάρχην. Ἄρας δὲ τὰ
φλωρία καὶ εὐχαριστήσας αὐτὴν εἶπε πρὸς αὐτὴν, ποίησον, μῆ-

---

(1) Ἐν περιθεωρίῳ: ὦ τῆς ἀγνωσίας τῶν Ρωμαίων.

τερ, ὃ βούλει. Καὶ ἀνεβιβάσθη εἰς τὸν πατριαρχικὸν θρόνον ὁ κῦρις Διονύσιος | ὁρισμῷ τοῦ κρατοῦντος, τί γὰρ εἶχον ποιῆ- φ. σαι; δύο γὰρ δερνόντων ὁ τρίτος πρῶτος.

Καὶ ὁ μὲν κῦρις Συμεὼν ἀνεχώρησεν ἐν τῇ μονῇ τοῦ Στενημάχου, ὁ δὲ κῦρ Μάρκος ἔλαβε τὴν ἀρχιεπισκοπὴν τῆς Ὀχρίδου, ὀλίγον δὲ βιώσας ἐτελεύτησεν· ὁ δὲ κῦρ Διονύσιος πατριαρχεύων ἔτη ὀκτώ· ὥρμητο μὲν οὗτος ἐκ Πελοποννήσου, ἐλθὼν γὰρ ἐν Κωνσταντινουπόλει παῖς ὢν τῇ ἡλικίᾳ, ἦν ἐν τῇ μονῇ τῶν Μαγκάνων, ὑποτακτικὸς γενόμενος τοῦ κὺρ Μάρκου τοῦ Ἐφέσου τοῦ Εὐγενικοῦ, καὶ παῤ αὐτοῦ τραφεὶς καὶ παιδευθεὶς τὴν μοναχικὴν πολιτείαν, καὶ χειροτονήσας αὐτὸν ἱερέα ἦν μετ᾽ αὐτοῦ ἕως ἐν τοῖς ζῶσιν ἦν, ὕστερον δὲ γεναμένης τῆς ἀλώσεως ἔλαβον αὐτὸν αἰχμάλωτον, ἠγόρασε δὲ αὐτόν τις ἄρχων ὀνόματι Κυρίτζης ἐν τῇ Ἀδριανουπόλει, ἐκ γὰρ τῆς ἀρετῆς αὐτοῦ ὡς ἐν ὀλίγῳ γέγονε καὶ μητροπολίτης Φιλιππουπόλεως εἶτα καὶ πατριάρχης. Ὄντος γὰρ αὐτοῦ ἐν τῷ θρόνῳ ὁ ἐχθρὸς διάβολος φθονήσας τὴν εἰρήνην καὶ κατάστασιν τῶν ἐκκλησιῶν ἐνέβαλε ζιζάνιον τοῖς κληρικοῖς, συκοφαντήσαντες αὐτὸν ὅτι ἐστὶ περιτετμημένος ἐκ τῶν Ἰσμαηλιτῶν ὧν περ εἶχον αὐτὸν δοῦλον· συνόδου οὖν συγκροτηθείσης καὶ συνάξεως οὐκ ὀλίγης γεναμένης ἀρχιερέων καὶ ἐπισκόπων καὶ τῶν τῆς πόλεως ἱερέων καὶ ἀρχόντων καὶ τοῦ κοινοῦ λαοῦ πλῆθος, ἐλέγχοντες αὐτὸν ἦσαν τῶν ἐκ κλήρου τινές· ὤμνυε γὰρ ὅτι οὐκ ἔστιν ἀληθὲς τὸ λεγόμενον |, ἀλλὰ συκοφαντία ἐστιν· ὡς οὖν φ. 5 οὐκ ἐπείθοντο, τί γὰρ εἶχε καὶ δράσειεν; ἀλλ᾽ ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται· ἐγερθεὶς οὖν καὶ στὰς ἐν μέσῳ τοῦ πλήθους καὶ ἄρας τὰ κράσπεδα τῶν ἱματίων αὐτοῦ ἔδειξε πᾶσι τὰς σάρκας αὐτοῦ ἐξ ἑκατέρου μέρους τῶν καθεζομένων ἀρχιερέων καὶ κληρικῶν καὶ λαϊκῶν τῶν καλλιστευόντων ὅσοι ἔτυχον εὑρεθέντες πλησίον, καὶ ἰδόντες ἐξεπλάγησαν τὴν καθαρότητα καὶ παρθενίαν αὐτοῦ, οὐ γὰρ ἦν σαρκὸς σημεῖον ἐν

αὐτῷ, εἰ μὴ μόνον ἄκρον δέρματος. Αἰσχυνθέντες οὖν οἱ εἰπόντες ἔπεσον ἐν τοῖς ποσὶν αὐτοῦ, τοῦ συγχωρῆσαι αὐτοῖς τὴν ἀδικίαν καὶ συκοφαντίαν ἥνπερ εἰργάσαντο· παρεκάλουν δὲ αὐτὸν οἱ πάντες ἀρχιερεῖς καὶ πᾶς ὁ λαὸς τοῦ μὴ ἐξελθεῖν ἐκ τοῦ πατριαρχικοῦ θρόνου, αὐτὸς δὲ οὐδὲ ἄκροις ὠσὶν ἠθέλησεν ἀκοῦσαι, ἀλλὰ σταθεὶς παρρησίᾳ ἀφώρισεν ἅπαντας τοὺς συνεργοὺς καὶ πράκτορας καὶ συκοφάντας τοῦ τοιούτου ἐγχειρήματος, καὶ εὐθέως ἐξῆλθε τῆς Πόλεως μετὰ τοῦ βίου καὶ τῶν πραγμάτων αὐτοῦ καὶ ἐπορεύθη ἐν τῇ μονῇ τῆς Κοσινίτζου καὶ ἐποίησεν ἀνακτήσεις καὶ καλλιεργείας οὐκ ὀλίγας· ἔμεινε δὲ ἐν τῇ αὐτῇ μονῇ ζῶν ἐν εἰρήνῃ.

Ἀνεβίβασαν δὲ πάλιν εἰς τὸν πατριαρχικὸν θρόνον τὸν κῦριν Συμεῶνα μετὰ πεσκεσίου φλωρία χιλιάδας δύο, οὐ γὰρ ἠθέλησεν ὁ τευτέρης λαβεῖν φλωρία χίλια, ὅτι εὑρέθησαν γραμμένα χιλιάδες δύο τοῦ κῦρ Διονυσίου.

(1) Ἐν δὲ τοῖς καιροῖς ἐκείνοις ἐπορεύθη ὁ αὐθέντης ἐν 58. τῇ Περσίᾳ, γεναμένης μάχης μετὰ τοῦ Οὐζοὺν Χασάνι |, καὶ πορευθεὶς μέχρι τοῦ ποταμοῦ Εὐφράτου συνῆψε πόλεμον μετ' αὐτοῦ· ἐν αὐτῷ γὰρ τῷ πολέμῳ ἀπεκτάνθη καὶ ὁ Χὰς Μουράτης μπεγλερμπεῒς ὢν τῆς Ἀνατολῆς ὁ υἱὸς Παλαιολόγου τοῦ Γίδι· ὁ δὲ Μαχμοὺτ πασιᾶς ἦν μπεγλεμπεῒς τῆς Δύσεως καὶ οὐκ ἐβοήθησεν αὐτῷ ἐν τῷ πολέμῳ, ἐφθόνει γὰρ αὐτὸν, διὸ καὶ ἐξ ἐκείνου ὠργίσθη αὐτὸν ὁ αὐθέντης καὶ ἐν τῷ ἐπανελθεῖν ἐκ τοῦ φουσάτου ἀπέπνιξεν αὐτὸν ἐν τῷ πύργῳ τοῦ Τζατλατῆ· πολέμου οὖν γενομένου οὐκ ἠδυνήθη στῆναι μετὰ τῶν Τομαλήδων ὁ Οὐζοὺν Χασάνης, ἀλλὰ φυγὼν διεσώθη, ἔλαβε δὲ πλῆθος πολὺ ἐκ τῶν Ἀτζάμιδων τῶν ἐν τῷ πολέμῳ καὶ τῶν μεγιστάνων αὐτῶν καὶ ἔφερε πάντας ἐν τῇ Πό-

(1) Περ. Περὶ Βασιλέως.

λει ζῶντες κακῶς, καὶ οἱ μὲν ἀπέθανον, οἱ δὲ ζῶντες, ἀγάπης γενομένης, ἐπορεύθησαν ἐν τῇ πατρίδι αὐτῶν.

(1) Πατριαρχεύσας οὖν ὁ κῦρις Συμεὼν ἔτη τρία ἢ καὶ πλείω· ἐν αὐτῷ τῷ καιρῷ ἐνεφάνη τις ἱερομόναχος ὀνόματι Ραφαὴλ ὁρμώμενος ἐκ τῆς Σερβίας, μέθυσος καὶ οἰνοπότης, ἔχων φίλους ἐκ τῶν μεγιστάνων ἐποίησεν ὅπως δώῃ καθ' ἕκαστον χρόνον φλωρία χιλιάδας δύο καὶ πεσκέσιον φλωρία πεντακόσια, δέδωκαν δὲ αὐτῷ τὸν θρόνον καὶ ἐξεβλήθη πάλιν ὁ κῦρ Συμεών· στάσεως οὖν γεναμένης οὐκ ἤθελον συλλειτουργῆσαι αὐτῷ, ἀλλ' ὅμως ἐκ τοῦ φόβου καὶ ἄκοντες ἐσυλλειτούργουν αὐτῷ· ἦν γὰρ τοσοῦτον μέθυσος ὡς καὶ τῇ ἁγίᾳ καὶ μεγάλῃ Παρασκευῇ ἐν τοῖς τροπαρίοις οὐκ ἠδύνατο στῆναι ἐκ τῆς μέθης, ἀλλ' ἔπιπτε τὸ δεκανίκιον 1 ἐκ τῶν χειρῶν αὐ- φ. 5
τοῦ· ἐμίσουν γὰρ αὐτὸν οἱ πάντες τὸ μὲν ἐκ τῆς μέθης, τὸ δὲ ἐκ τῆς ἀλλογλωττίας· περαιωθέντος οὖν τοῦ χρόνου οὐκ ἠδυνήθη δοῦναι τὸ χαράτζιον, οὐ γὰρ ἦν τις ὁ βοηθῶν αὐτῷ οὔτε ἐκ τῶν κληρικῶν, οὔτε ἐκ τῶν λαϊκῶν· ἀφέντες γὰρ αὐτὸν ἔβαλλον ἐν τῇ φυλακῇ καὶ περιπατῶν μετὰ τῆς ἁλύσου ἐτελεύτησε κακῶς. Κοινῆς οὖν βουλῆς γεναμένης καὶ συνόδου συγκροτηθείσης ἐποίησαν πατριάρχην τὸν μέγαν ἐκκλησιάρχην, μετονομάσαντες αὐτὸν Μάξιμον.

(2) Ἐν ἔτει ϛϡοή ποιήσαντες μάχην μετὰ τῶν Βενετίκων, πορευθεὶς ἐκ τῆς γῆς καὶ θαλάττης ἔλαβε τὴν Εὔριπον ἢ οὐκ ἠθέλησε προσκυνῆσαι αὐτὸν, ἀπέκτεινε δὲ πάντας ἄνδρας ἀπὸ δεκαετοῦς καὶ ἀνωτέρω· ἄρας δὲ καὶ τὸ Φτέλιον καὶ τὸ Γαρδίκιον καὶ καταλείψας αὐτά, πάντα τὸν λαὸν ἔφερεν ἐν Κωνσταντινουπόλει, ὁμοίως καὶ τῆς Εὐρίπου γυναῖκάς τε καὶ

---

(1) Ἐν περιθεωρίῳ. Περὶ πατριάρχου.

(2) Ἐν περιθ. Περὶ βασιλέως.

παῖδας, καὶ λαβόντες αἰχμαλώτων πλῆθος πολὺ ἦλθον ἐν τῇ Πόλει μετὰ νίκης. Γέγονε δὲ τῷ αὐτῷ ἔτει θανατικὸν μέγα καὶ ἐξαίσιον οἷον οὐκ ἐγένετο ἐν πλείστοις ἔτεσι· ἐλθόντες γὰρ ἀσυνήθεις αἰχμάλωτοι ἐκ διαφόρων τόπων γέγονε τοσαύτη φθορὰ ὡς οὐκ ἔστι δυνατὸν διηγήσασθαι.

Καὶ πάλιν πορευθεὶς μετ' ὀλίγον ἔλαβε τὸν Καφᾶν, τοὺς Θεοδώρους, τὴν Γοτθίαν καὶ πᾶσαν τὴν Περατίαν ἄνευ πολέμου τινὸς καὶ ἔφερεν αὐτοὺς σεργούνιδες· οὐ γὰρ ἡσύχασεν ἔτος ἓν ὁ ἀλιτήριος καὶ φθορεὺς τῶν Χριστιανῶν, ἀλλ' ὥσπερ ἀγέλας 50 προβάτων ἔφερε κατ' ἔτος | τοὺς ταλαιπώρους χριστιανούς, τοὺς μὲν πωλῶν, τοὺς δὲ χαρίζων· τῆς ἀνοχῆς σου, δέσποτα παντοκράτωρ! οὐ γὰρ ἠστόχησέ που ὁ ἄνομος, εἰμὴ μόνον πορευθεὶς πρὸ καιροῦ ἐστράτευσεν ἐν τῷ Πεληγράδι, ὅτε καὶ προσεκύνησεν αὐτῷ πᾶσα ἡ Σερβία· ἐν δὲ τῷ Πεληγράδι πορευθεὶς ἠφάνισαν αὐτοῦ πᾶσαν τὴν ἀποσκευήν, καὶ τὰς σκηνὰς καὶ τὰ ἅρματα καὶ ἵππους καὶ καμήλους ἀφέντες ἔφυγον· ὁ δὲ τρόπος τοῦ ἀφανισμοῦ γέγονεν οὕτως. Ὁ στρατηγὸς ὁ Ἴαγκος ἀκούσας ὅτι παρακάθηται ὁ αὐθέντης τὸ κάστρον, ἐλθὼν κρυφίως μετὰ τρισχιλίων ἀνθρώπων εὑρέθη ἐντός· ἁρματώσας δὲ αὐτοὺς ἔβαλλεν ἐν οἴκοις παραγγείλας αὐτοῖς τοῦ μὴ ἐξελθεῖν ἕως οὗ ἀκούσωσι τὴν φωνὴν τῆς σάλπιγγος. Ἐποίησαν οὖν οὕτως, αὐτὸς δὲ ἐκάθητο ἐν ὑψηλῷ τόπῳ θεωρῶν τὰς μαγγανίας ἃς εἰργάζοντο. Χαλάσαντες γὰρ τὰ τείχη μετὰ τῶν σκευῶν θέντες κλίμακας ἀνέβαινον ἐκ τῶν χαλαστριῶν· χαλάσαντες πλῆθος πολὺ εἰσήεσαν δήνοντες καὶ (γρ. δένοντες καὶ τοὺς) αἰχμαλώτους, αὐτὸς δὲ ἐκάθευδεν· ὅτε δὲ ἥρπαζον παῖδας καὶ γυναῖκας τοῦ ἐξέρχεσθαι, κρούσας τὴν σάλπιγγα, εὐθέως ἐξῆλθον οἱ ἐν τοῖς οἴκοις μετὰ τῶν ἁρμάτων καὶ ποιήσαντες ἀλαλαγμὸν ὥρμησαν κατὰ τῶν Τουρκῶν· αὐτοὶ δὲ ἦσαν οἱ πλείονες ἐν τοῖς οἴκοις ἁρπάζοντες καὶ λεηλατοῦντες· φεύγοντες γὰρ διωκόμενοι τοὺς μὲν ἀπέκτενον, τοὺς δὲ ἐκρέμνιζον ἐκ τῶν

τειχῶν· ἰδόντες γὰρ οἱ ἐν ταῖς σκηναῖς τὴν ἀθρόαν | μεταβολὴν φ. 59 καὶ ὅπως διώκονται ὑπὸ τῶν Οὐγκρῶν, ἀφέντες πάντα ἔφυγον μὴ θεωροῦντες τοὺς ὄπισθεν· τοσοῦτον γὰρ ἐδίωκον αὐτοὺς ὡς καὶ τὰς σκευὰς αὐτῶν γεμίσαντες ἔρριπτον κατ' αὐτῶν· ἀφέντες γὰρ τὸν τοσοῦτον βίον καὶ ἅρματα καὶ σκηνάς, λαβόντες αὐτὰ κατέκαυσαν ἐν πυρὶ μὴ καταδεξάμενοι ἆραι τι ἐξ αὐτῶν. Αἰσχυνθεὶς οὖν καὶ νικηθεὶς ὑπέστρεψεν· ὕστερον δὲ μετὰ τὸ ἐξελθεῖν ἐκ τοῦ Καφᾶ, μετὰ παραδρομὴν ἐτῶν δύο ἔστειλε τὸν Μεσκὴ πασιᾶ ἔκ τε στερεᾶς καὶ θαλάσσης μετὰ δυνάμεως πλείστης κατὰ τῆς Ῥόδου, καὶ οὐκ ἴσχυσεν λαβεῖν αὐτήν· χαλάσαντες γὰρ μέρη τινὰ τοῦ κάστρου μετὰ σκευῶν ὥρμησε τὸ πλῆθος εἰσελθεῖν· οἱ γὰρ Ῥόδιοι ποιήσαντες ἔνδοθεν τῶν χαλαστριῶν χάντακας ἐσκέπασαν αὐτοὺς μετὰ χώματος, καὶ ἀπῆλθον κρυβέντες· ἰδόντες δὲ οἱ Τοῦρκοι τὰς χαλαστρίας ἄτερ ὄχλου ὥρμησαν μετὰ ἀλαλαγμοῦ, μὴ νοήσαντες τὸ δρᾶμα· ἐν γὰρ τοῖς πυθμέσι τῶν χαντάκων θέντες σούγλας ὀρθείας καὶ λόγχας· εἰσελθόντες μετὰ ἀλαλαγμοῦ θέντες καὶ σκῆπτρον ἔδραμον ἐντὸς τοῦ κάστρου· ἀπεσπάσθη οὖν τὸ χῶμα καὶ ἔπεσον οἱ εἰσελθόντες ἅπαντες ἐντὸς τῶν χαντάκων, οἱ μὲν σφαγέντες, οἱ δὲ κρημνισθέντες. Ἀκούσαντες δὲ οἱ ἔξω καὶ μαθόντες τὸ γεγονὸς εἰς τοὺς εἰσελθόντας, οὐδεὶς ἐτόλμησεν εἰσελθεῖν, ἀλλ' ἔφυγον ὄπισθεν, ὑπέστρεψαν δὲ κενοὶ μηδὲν ἰσχύσαντες.

(1) Πατριαρχεύοντος τοῦ κῦρ Μαξίμου τοῦ Παλαιολόγου (sic) | τὰ τῆς ἐκκλησίας ἅπαντα εἰρηνικῶς διέκειντο, παυσαμένων φ. 60 πάντων τῶν σκανδάλων ἐποίμαινε τὸ ποίμνιον ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου διδάσκων καθ' ἑκάστην Κυριακὴν ἐπ' ἄμβωνος, ὑπῆρχε γὰρ λογιώτατος καὶ ἡδὺς ἐν τῷ λέγειν ἔχων πλά-

(1) Ἐν περιθ. Περὶ πατριάρχου.

τος γλώσσης ὡς οὐδεὶς τῶν τότε εὑρισκομένων φιλοσόφων· τοσοῦτος γὰρ ἦν ὡς καὶ ἡ φήμη αὐτοῦ μέχρι καὶ τῆς τοῦ κρατοῦντος ἀκοῆς φθάσασα ὅς καὶ στέλνει ζητῶν παρ᾽ αὐτοῦ τὴν ἐξήγησιν τοῦ ἁγίου τῆς πίστεως ἡμῶν συμβόλου· ὅς καὶ γράψας καὶ ἐξηγησάμενος ἀπέστειλεν αὐτὸ πρὸς αὐτούς, θεολογικῶς καὶ τεχνικῶς αὐτὸ συγγραψάμενος· ὑπῆρχον γὰρ ἐν τοῖς καιροῖς ἐκείνοις νέοι εὐγενέστατοι ἐντὸς τοῦ σαραγίου ἔκ τε Πόλεως καὶ Τραπεζοῦντας, ἐξ ὧν εἷς ἦν καὶ ὁ τοῦ Ἀμουρήτζη ὁ υἱὸς ὁ Μεχεμέτμπεϊς λογιώτατος καὶ ἑλληνικῶς καὶ ἀραβικῶς, ὅς καὶ ὁρισμῷ τοῦ κρατοῦντος μετεγλώττισε τὰ ἡμέτερα βιβλία εἰς τὴν τῶν Ἀράβων γλῶτταν γράψας αὐτὰ ἀκριβέστατα. Ὁ γὰρ αὐθέντης ἀεὶ οὐκ ἐπαύετο ἐρωτῶν τὰ τῆς πίστεως ἡμῶν μυστήρια παρ᾽ αὐτῶν· ἔμαθε γὰρ σὺν ἄλλοις καὶ περὶ τοῦ ἀφορισμοῦ, ὅτι οἱ τῶν χριστιανῶν ἀρχιερεῖς τοὺς ἀφορίσαντας ἐν πταίσμασι καὶ φθάσαντες τελευτήσουσι, τοὺς τοιούτους ἡ γῆ οὐ διαλύει, ἀλλὰ μένουσι τυμπανίαι μέλανες μέχρι καὶ χιλίων ἐτῶν· ἀκούσας οὖν τοῦτο ἐθαύμασεν, ἐρωτήσας δὲ αὐτοὺς εἶπεν, ὅτι δύνανται πάλιν τοὺς ἀφορισθέντας λῦσαι αὐτούς; Εἶπον οὖν, ὅτι δύνανται. Διεμηνύσατο οὖν εὐθέως τὸν πατριάρχην τοῦ εὑρεθῆναι ἄνθρωπον τὸν πρὸ καιροῦ ὄντα ἐν βάρει τοῦ ἀφορισμοῦ· ἐν ἀπορίᾳ οὖν γενόμενος ὁ
60r πατριάρχης μετὰ τῶν κληρικῶν ποῦ ἂν εὑρεθῇ ὁ τοιοῦτος, | ἐζήτησαν διορίαν ἡμερῶν ὅπως ἐρευνήσαντες εὕρωσι τὸν τοιοῦτον· ἐνθυμηθέντες γὰρ ὡς πρὸ καιροῦ ὑπῆρχέ τις γυνὴ πρεσβυτέρισσα ἔμπροσθεν τῶν πυλῶν τῆς Παμμακαρίστου, ἦν γὰρ ἀσελγὲς γύναιον, ἐκ γὰρ τοῦ κάλλους αὐτῆς ἔσχε πολλοὺς ἐραστάς· ἐλεγχομένη οὖν ὑπὸ τοῦ πατριάρχου ἔρριψε μῶμον κατ᾽ αὐτοῦ συκοφαντήσασα αὐτὸν ὡς συνεγένετο μετ᾽ αὐτῆς, ἤλεγχε γὰρ αὐτὸν φανερῶς· τῆς φήμης οὖν πανταχοῦ διασπαρείς, οἱ μὲν ἐπίστευον, οἱ δὲ ἠπίστουν· οὐκ ἔχων δὲ ὅτι καὶ δράσειεν ἐν μιᾷ τῶν δεσποτικῶν ἑορτῶν ἐξεφώνησε βάρος ἀλύτου

ἀφορισμοῦ κατὰ τῆς συκοφαντησάσης αὐτόν. Ἐνθυμηθέντες γὰρ αὐτὴν, ἦν γὰρ πρὸ καιροῦ τεθνηκυῖα, καὶ ἀνοίξαντες τὸ μνῆμα αὐτῶν εὗρον αὐτὴν σώαν, μηδὲ τὰς ἐν τῇ κεφαλῇ τρίχας πεσούσας, ἦν γὰρ μεμελανωμένη καὶ ὠγκωμένη τυμπάνου δίκην καὶ ἀξιοδάκρυτος· διεμηνύσατο γὰρ πρὸς τοὺς σταλέντας καὶ ἀνέφερον αὐτὸ τὸν αὐθέντην, ὥρισε δὲ ἵνα πορευθέντες ἐκ τῶν ἰδίων ἀνθρώπων θεωρήσωσιν αὐτήν· ἐπορεύθησαν δὲ καὶ ἰδόντες ἐξεπλάγησαν, καὶ πορευθέντες ἀνήγγειλον ὡς εἶδον αὐτήν· στείλας δὲ καὶ ἑτέρους ἄρχοντας μετὰ τῆς βουλῆς αὐτοῦ ἔβαλον αὐτὴν εἰς ἓν τῶν παρεκκλησίων βουλλώσαντες αὐτό· τάξας δὲ ὁ πατριάρχης ἡμέραν καθ' ἣν ἔμελλε λειτουργῆσαι ὅπως μηνύσῃ αὐτοὺς ἵνα ἐξέλωσιν αὐτὴν, ἔγραψεν οὖν καὶ συγχωρητικὸν γράμμα· ἐλθόντες γὰρ οἱ τοῦ αὐθεντὸς ἐξέωσαν αὐτὴν, καὶ γεναμένης τῆς θείας λειτουργίας στὰς ὁ πατριάρχης μετὰ δακρύων ἀνέγνωσε | τὸ τῆς συγχωρήσεως φ. 61
γράμμα, καὶ παρευθὺς, ὢ τοῦ θαύματος, ἐν γὰρ τῷ ἀναγινώσκειν τὸν πατριάρχην τὸ τῆς συγχωρήσεως γράμμα, αἱ ἁρμονίαι τῶν χειρῶν καὶ τῶν ποδῶν αὐτῆς ἤρξαντο διαλύεσθαι, ὡς καὶ οἱ ἐγγὺς τῶν λειψάνων ἑστῶτες ἤκουον τὰς τῶν ἁρμονιῶν διαλύσεις κτύπους ἐκπέμποντας. Μετὰ δὲ τὴν τελείωσιν τῆς θείας ἱερουργίας ἄραντες πάλιν τὸ λείψανον ἔθηκαν ἐν τῷ παρακλησίῳ σφραγίσαντες αὐτὸ ἀσφαλῶς· μετὰ δὲ παραδρομὴν ἡμερῶν τριῶν ἐλθόντες καὶ ἀνοίξαντες τὰς σφραγῖδας εὗρον αὐτὴν τελείως λυθεῖσαν καὶ χωρισθεῖσαν, καὶ ἰδόντες ἐξεπλάγησαν· πορευθέντες οὖν ἀπήγγειλαν τῷ αὐθέντῃ ὅσα τε εἶδον, καὶ ἀκούσας ἐθαύμασε καὶ ἐξεπλάγη πιστεύσας ὅτι ἐστὶν ἀληθὴς ἡ τῶν Χριστιανῶν πίστις.

(1) Ἦν γὰρ φοβερώτατος ὡς οὐδεὶς τῶν πρὸ αὐτοῦ βασι-

---

(1) Ἐν περιθ. Περὶ βασιλέως.

λέων· ἔτρεμον γὰρ οἱ μεγιστᾶνες αὐτὸν πάντες οὐ γὰρ ἦν προσωποληψία ἐν αὐτῷ· ἦν δὲ καὶ εὐεργετικὸς, ἠγάπα δὲ καὶ τοὺς σοφοὺς οὐ μόνον δὲ τοὺς ἐκ τοῦ γένους αὐτοῦ, ἀλλὰ καὶ τοὺς ἐξ ἡμῶν. Διῆγε γὰρ τὴν ἡγεμονίαν μετὰ γνώσεως, οὐ γὰρ ἐλάνθανεν αὐτόν τι τῶν ἐν τῇ Πόλει γενομένων μέχρι καὶ μικρᾶς ὑποθέσεως· περιπατῶν γὰρ νυκτὸς ἐμάνθανε πάντα τὰ ἐν τῇ Πόλει γενόμενα· οὐδὲ γὰρ καὶ αὐτὰς τὰς τῶν ἐπιστημόνων ἐργασίας ἀφῆκεν ἀνεξετάστους πῶς γίνονται καὶ τί ἐστι τὸ κέρδος τῶν ἐργαζομένων αὐτάς· σοφὸς γὰρ ὢν οὐκ ἀφῆκέ τι ἀνεξέταστον. Ἔμαθε δὲ καὶ ὅπως οἱ Ρωμαῖοι οἱ ψάλται γράφουσι τὰς τῶν μελῳδούντων φωνὰς, ὥρισε γοῦν ἵνα τραγῳδήσῃ τις Πέρσης 61• ὅνπερ εἶχεν αὐτὸν ἐκλεκτὸν ἐπιστήμονα l· ἐτραγῷδει οὖν ἐκεῖνος τὸ τεσνέαιον, ὁ δὲ κῦρ Γεράσιμος καὶ Γεώργιος ὁ ψάλτης ἔγραφον τὰς φωνάς· τελειώσαντες δὲ καὶ σχηματίσαντες αὐτὸ, ὥρισεν ὅπως ψάλλωσι καὶ αὐτοὶ ἔμπροσθεν τοῦ αὐθέντη τὸ αὐτὸ τεσνέαιον, ὄντος καὶ τοῦ Πέρσου ἐκεῖ· ἔψαλλον γὰρ καὶ αὐτοὶ καὶ ὑπὲρ τὸν τραγῳδήσαντα πρῴην, ἤρεσε τῷ βασιλεῖ καὶ ἀπεδέχθη καὶ ἐθαύμασε τὴν τῶν Ρωμαίων λεπτότητα· ἔδωκε δὲ αὐτοῖς δωρεὰς καὶ ὥρισεν ὅ,τι ὃ ἂν αἰτήσωνται δοῦναι αὐτοῖς· ὁ δὲ Πέρσης πεσὼν προσεκύνησεν αὐτοὺς ἐκπλαγεὶς τὸ παράδοξον. Τοιοῦτος γὰρ ἦν ἐν γνώσει καὶ σοφίᾳ ὡς οὐδεὶς τῶν πρὸ αὐτοῦ· ἐπλάτυνε γὰρ τὰ ὅρια τῆς βασιλείας αὐτοῦ ἕως πάσης Ἀσίας καὶ Εὐρώπης· ἀλλ' οὖν ἔδει καὶ αὐτὸν ἀποδῶσαι τὸ κοινὸν χρέος, οὐ γὰρ ὠφέλησεν αὐτὸν ἡ τοσούτη εὐτυχία. ἀλλ' ὡς ἄνθρωπος καὶ αὐτὸς χοϊκὸς ἔδωκε τέλος ἐν ἔτει ,ςϡπή.

Τρίτος σουλτὰν Μπαγιαζίτης.

Ἔλαβε δὲ τὴν ἡγεμονίαν ὁ υἱὸς αὐτοῦ σουλτὰν Μπαγιαζίτης, ἔχων καὶ ἕτερον ἀδελφὸν τὸν Τζὲμ σουλτὰν, ὃ ὃς ἡγεμονεύων ἦν ἐν τῇ Μαγνησίᾳ, ὁ δὲ Μπαγιαζίτης ἦν ἐν τῇ Ἀμασείᾳ. Ἀπέθανε γὰρ ὁ αὐθέντης οὐκ ἐντὸς τῆς Πόλεως ἀλλ'

ἐν τῇ Ἀνατολῇ πλησίον Νικομηδείας, ἐκστρατεύσας γὰρ ἦν, ἀλλ' οὐκ οἶδέ τις ὅθεν ἐβούλετο. Ἔσχε γὰρ ὁ σουλτὰν Μπαγιαζίτης υἱὸν μικρὸν ὀνόματι Κουρκοὺτ Τζελεπῆν, εὑρεθέντος ἐν τῇ Πόλει, ἀπέκτειναν δὲ καὶ ἕνα βεζίρην ὀνόματι Γιαγοὺπ μπασιᾶ· ἰδόντες δὲ οἱ πρωτεύοντες ὅτι οὐ παύεται ὁ διωγμὸς ἀνεβίβασαν τὸν παῖδα εἰς τὸν θρόνον τοῦ πατρὸς αὐτοῦ καὶ ἔπαυσεν ὁ διωγμός. | Μετὰ δέ τινας ἡμέρας ἦλθε καὶ ὁ πα- φ. 61 τὴρ αὐτοῦ καὶ ἔλαβε τὴν βασιλείαν, τὸν δὲ υἱὸν αὐτοῦ ἔστειλεν ἐν τῇ Μαγνησίᾳ δοὺς αὐτῷ σκῆπτρον· δέδωκε δὲ καὶ τὸν ἄλλον υἱὸν αὐτοῦ τὸν σουλτὰν Ἀχουμάτη τὴν Ἀμάσειαν, τὸν δὲ ἕτερον υἱὸν πρῶτον τὸν Σαχισὰχ ἔδωκε τὴν Καραμανίαν, τὸν δὲ σουλτὰν Μαχουμούτην δέδωκε τὴν Κασταμόνην, τὸν δὲ σουλτὰν Σελήμη τὴν Τραπεζοῦντα· ἔσχε δὲ καὶ ἕτερον υἱὸν σουλτὰν Μεχεμέτη καὶ δέδωκεν αὐτῷ τὸν Καφᾶν, καὶ ὡς ἐν ὀλίγῳ ἐτελεύτησεν. Ἐμέρισε γὰρ πᾶσαν τὴν Ἀνατολὴν τοῖς υἱοῖς αὐτοῦ· ἅμα δὲ τοῦ ἡγεμονεῦσαι ἀπέκτεινε τὸν Ἀχουμὰτ πασιᾶ ἄνδρα πολεμιστὴν καὶ ἀνδρεῖον καὶ ἀγαπώμενον ὑπὸ πάντων διὰ τὸ πολλάκις νίκας ποιῆσαι· ἐπέρασε γὰρ πρὸ καιροῦ καὶ ἐν τῇ Πούλιᾳ καὶ ἠχμαλώτισε τὸ Ὄτροντον καὶ ἑτέρας χώρας καὶ κάστρη καὶ ἤνεγκε πλῆθος αἰχμαλώτων ἀνδρῶν τε καὶ γυναικῶν· φθονήσας δὲ αὐτὸν, οὐκ οἶδ' ὅπως, ἀπέκτεινεν αὐτὸν ἐν τῇ Ἀδριανουπόλει· εἶτα στρατεύει ἐν τῇ Μαγνησίᾳ κατὰ τοῦ ἀδελφοῦ αὐτοῦ.

Ἀκούσας δὲ ὁ Τζὲμ σουλτὰν ὅτι διώκει αὐτὸν φυγὰς ᾤχετο· ἔχων γὰρ φούστας τρεῖς ἐμβὰς ἐν αὐταῖς ἀπέδρασε πορευθεὶς πρὸς τὸν σουλτάνον ἐν Αἰγύπτῳ αἰτῶν ἐξ αὐτοῦ βοήθειαν πρὸς τὸ ἀντιμαχήσασθαι τὸν ἀδελφὸν αὐτοῦ· μὴ εὑρὼν γὰρ ἐξ αὐτοῦ τὸ αἰτούμενον ᾐτήσατο ὅπως πορευθῇ εἰς προσκύνησιν ἐν τῷ Μεκέτι· ὡς δὲ οὐκ ἀφῆκεν αὐτὸν ὁ σουλτάνος οὐδὲ ἐκεῖ πορευθῆναι, | φυγὼν ἦλθεν ἐν Ῥόδῳ· ἀσμένως φ. 62 δὲ ὑποδεχθέντες αὐτὸν οἱ Ῥόδιοι εἶχον αὐτὸν ὥσπερ τινα θη-

σαυρόν· καὶ ἐφ' ὅσον καιρὸν διῆγεν ἐν τῇ Ρόδῳ οὐ διέλειπεν ἀεννάως στέλνειν ὁ ἀδελφὸς αὐτοῦ πρὸς αὐτοὺς δωρεὰς ὅπως ἔχωσιν αὐτὸν ἐν ἀσφαλείᾳ. Χρόνων οὖν ἀπείρων διελθόντων μετὰ καὶ τῆς βουλῆς τοῦ ἀδελφοῦ αὐτοῦ ἔστειλαν αὐτὸν εἰς Γένουβαν, φοβούμενοι μήπως ἀποδράσας περαιωθῇ ἐν τῇ Ἀνατολῇ καὶ προκύψει αὐτῷ, φοβούμενος τὸ πλέον ἐκ τῶν Βαρσάκιδων, οὐ γὰρ ἤθελον τὸν σουλτὰν Βαγιαζίτην τοῦ εἶναι αὐθέντην αὐτῶν, ἀλλ' εἶχον βουλὴν καὶ μετὰ τῶν Τουλκατήριδων Καραμανιωτῶν ὅπως ποιήσωσι τὸν Τζέμην αὐθέντην ἐν τῇ Ἀνατολῇ. Μαθὼν γὰρ ὁ αὐθέντης τὴν βουλὴν ἥνπερ εἶχον, διεμηνύσατο πρὸς τοὺς Ροδίους καὶ ἔστειλαν αὐτὸν εἰς τὴν ἐνδοτέραν τῶν Ἰταλῶν ἐπαρχίαν, τέλος καταντήσας ἐν Ρώμῃ. Ὄντος δὲ αὐτοῦ ἐκεῖ διεμηνύσατο ὁ αὐθέντης πρὸς τοὺς Βενετίκους, ἔσχε γὰρ ἄκραν φιλίαν μετ' αὐτῶν, ὅπως ποιήσαντες τρόπον φαρμακεύσωσιν αὐτὸν, ὃ καὶ ἐποίησαν· στείλαντες γὰρ ἕνα τῶν ἀρχόντων πρὸς αὐτὸν πάνυ ἐπιτηδειότατον, ἐπιστάμενον ἀκριβῶς τὴν τῶν Ἀράβων διάλεκτον, φιλίαν γὰρ ὑποκριθεὶς, ἦν καθ' ἑκάστην ἐσθίων καὶ πίνων μεθ' αὐτοῦ, καὶ μὴ νοήσας τὸ δρᾶμα, ἀπέκτεινεν αὐτὸν μετὰ φαρμάκου, καὶ ἤφερον τὸν νεκρὸν αὐτοῦ ἐν τῇ Προύσῃ, μετὰ χαρισμάτων πολλῶν ὧνπερ ἔστειλε πρὸς Βενετίκους· καὶ ποιήσας ἄκραν φιλίαν μετ' αὐτῶν γέμουσαν δόλου, ἔστειλαν καὶ τὸν δράσαντα
63. τὴν φαρμακοποσίαν ἐν τῇ Πόλει |, δοὺς ὁ αὐθέντης δωρεὰς οὐκ ὀλίγας, φέρων τάχα σχῆμα ἀποκρισιαρίου διὰ τὸ ἀνύποπτον· δέδωκε δὲ αὐτῷ ἵππους καὶ ἱμάτια χρυσοΰφαντα· διέμεινε δὲ ἐν τῇ Πόλει ἔχων τιμὴν οὐκ ὀλίγην, παρὰ πάντων τιμώμενος, ἦν γὰρ ἐν κάλλει ὡραῖος καὶ εὐειδής· ἐν μιᾷ οὖν τῶν ἡμερῶν εὑρέθη τεθνηκὼς ἄνευ τινὸς πόνου ἢ ἀσθενείας· ἐν ᾧ γὰρ μέτρῳ ἐκέρασε καὶ αὐτὸς κερασθεὶς ἐτελεύτησε.

Ἀλλ' εἴπωμεν τὰ γεγονότα· ἐν τῇ ἀρχῇ τῆς ἡγεμονίας αὐτοῦ ἐν δευτέρῳ γὰρ ἔτει στρατεύει κατὰ Μολδοβλαχίας καὶ

ἠχμαλώτευσε τὸ Κελλίον καὶ Ἀσπρόκαστρον, καὶ λαβὼν πάντας αἰχμαλώτους ἄνδρας τε καὶ γυναῖκας ἔφερεν αὐτοὺς ἐν τῇ Πόλει· ὁ γὰρ Μπόγδανος ὁ πρῴην αὐθέντης ἐποίησε πόλεμον μετὰ τοῦ σουλτὰν Μεχεμέτη, καὶ ἐνίκησεν αὐτὸν καταλύσας πλῆθος πολὺ ἐκ τῶν Τουρκῶν· ἕνεκεν ἐκείνου ἐπορεύθη κατ' αὐτοῦ ὁ νέος αὐθέντης, ὅμως ἔλαβεν ὡς ἔφημεν Κελλὶν καὶ Ἀσπρόκαστρον.

Μετὰ δὲ παραδρομὴν ἐτῶν δέκα στρατεύει κατὰ τῶν Ἀλβανίτων, πορευθεὶς δὲ οὐδὲν ἴσχυσεν ἐκ τοῦ τόπου τὸ ἄβατον καὶ τραχὺ καὶ πετρῶδες· εἰσὶ γὰρ οἰκοῦντες ἐν ὄρεσιν ἀβάτοις, ἵππος γὰρ ἀναβαίνειν οὐ δύναται· τί γὰρ εἶχον ποιῆσαι; ἁρπάσαντες οὖν ἔνθεν κἀκεῖθεν παῖδας καὶ παιδίσκας, πυρπολήσαντες καὶ χώρας αὐτῶν ἦλθον ἐν Κωνσταντινουπόλει.

Εἴπωμεν καὶ τὰ γενόμενα μετὰ τῶν Βενετίκων· ποιήσαντες γὰρ τὴν φαρμακοποσίαν, ἥνπερ ἔφημεν εἰς τὸν τοῦ αὐθεντὸς ἀδελφὸν τὸν Τζὲμ σουλτὰν, ἤλπιζον τοῦ εὑρεῖν ἐκ τῶν Τουρκῶν τιμὴν καὶ δόξαν | [φ. 6] καὶ ἀγάπην ἐν ὅλῃ τῇ ζωῇ αὐτοῦ· οὐ γὰρ ἔγνωσαν ὅτι ἡ φιλία αὐτῶν ψευδὴς καὶ δόλου γέμουσα, καὶ ἐκαθέζοντο ἐν ἀμελείᾳ· οἱ Τοῦρκοι δὲ ᾠκονόμουν ἁρμάδαν μεγίστην, καὶ ὥρμησαν κατ' αὐτῶν ἄραντες μάχην, καὶ ἐπορεύθησαν ἐκ γῆς καὶ θαλάττης, καὶ αὐτὸς ὁ αὐθέντης· εἰς δὲ τὴν ἁρμάδαν ἦν καπετάνος ὁ Μουσταφᾶ πασιᾶς ὃς γέγονεν ὕστερον καὶ βιζίρης καὶ ἐτελεύτησεν. Εἶχον δὲ οἱ Τοῦρκοι ἁρμάδαν πλείστην ἐπέκεινα κατέργων πεντακοσίων ἄνευ τῶν μαγούνων καὶ καραβίων δύο μεγάλων ὀνομαστῶν, τὸ μὲν ἓν τοῦ Κιαμάλη καὶ τὸ ἄλλο τοῦ Μπαρὰκ ῥεΐζη· εὑρέθη οὖν ὁ Λουρδᾶς καπετάνος τῶν Βενετίκων καὶ ἰδὼν τὸ καράβι τοῦ Μπαρὰκ ῥεΐζη θαρρῶν ὅτι ἐστὶ τοῦ Κιαμάλη, ὡς ὅτι ὁ Κιαμάλης ἐκεῖνος ἐλεηλάτησε πᾶσαν τὴν Ἰταλιαν ἁρπάζων καὶ ἀφανίζων τοὺς Χριστιανούς, ὥρμησε μετὰ δύο καραβίων μεγάλων καὶ ἔβαλλεν αὐτὸ εἰς τὸ μέσον, καὶ ῥίξαντες ἀλύσους

ἔδησαν αὐτὸ μετὰ τῶν δύο· πολέμου δὲ γενομένου ἔπιπτον ἐξ ἑκατέρων· ἰδὼν δὲ ὁ Μπαρὰκ Ρεΐζης ὅτι οὐκ ἐστιν ἱκανὸς τοῦ πολεμῆσαι αὐτά, ἔρριψε πῦρ ἐν μέσῳ τῶν καράβων, καὶ ἀνάψαντα οὐκ ἠδυνήθησαν χωρισθῆναι ἀπ' ἀλλήλων, ἀπετεφρώθησαν δὲ καὶ τὰ τρία ἐν μέσῳ τοῦ πελάγου, οἱ ἄνθρωποι δὲ οἱ μὲν ἀνηλώθησαν ἐκ τοῦ πυρὸς καὶ αὐτὸς ὁ Λουρδᾶς καὶ ὁ Μπαράκης, οἱ δὲ πεσόντες ἀπεπνίγησαν.

Ἡ δὲ ἄλλη ἀρμάδα τῶν Τουρκῶν εἰσῆλθεν εἰς τὸν Ἔπαχ-
64• τον, μὴ δυνηθέντες οἱ Βενέτικοι | ἐμποδίσαι αὐτούς· ἦν γὰρ καὶ ἐκ τῆς στερέας ὁ αὐθέντης μετὰ τοῦ φωσάτου· ἐπροσκύνησε δὲ ὁ Ἔπαχτος καὶ ὁ Γαλατᾶς ἐν ἔτει ζη', καὶ ὑποστρέψας ὁ αὐθέντης ἦλθεν ἐν Ἀδριανουπόλει καὶ ἐποίησεν ἔτος ἓν ἢ καὶ ἔλαττον, καὶ πάλιν ἐκστρατεύει ἐν τῇ Μεθώνῃ, ἡ γὰρ ἀρμάδα ἐχείμασεν ἐν τοῖς μέρεσιν ἐκείνοις.

Παρέλαβε δὲ τὴν Μεθώνην ἐν ἔτει ζθ'. ὁ δὲ τρόπος τῆς ἁλώσεως αὐτῆς ἦν οὗτος· ὄντος γὰρ τοῦ αὐθέντου καὶ παρακαθημένου αὐτὴν μετὰ πλήθους φωσάτου ἐπὶ πλείονας ἡμέρας οὐκ ἠδύνατο λαβεῖν αὐτήν, ἦν γὰρ τὰ τείχη αὐτῆς ὀχυρὰ καὶ πλῆθος ἀνθρώπων ἦν ἐν αὐτῇ, ὡς καὶ ἠβουλήθη ὁ αὐθέντης παρῃτήσασθαι αὐτήν, ἀλλ' ὅρα τὴν ἁμαρτίαν καὶ τὴν τοῦ Θεοῦ ἐγκατάλειψιν! Ἐν μιᾷ οὖν τῶν ἡμερῶν ἦλθον κάτεργα ἐκ τῆς Βενετίας φέροντα ἀνθρώπους εἰς βοήθειαν καὶ τροφὰς καὶ ἄρματα, ἰδόντες δὲ οἱ ἐν τοῖς τείχεσι ἔδραμον μετὰ χαρᾶς καὶ σπουδῆς καὶ ἦλθον ἐν τῷ αἰγιαλῷ τοῦ ἀσπάσασθαι καὶ συγχαρῆναι αὐτοῖς· ἅπαντες δὲ ἔδραμον ἄνδρες τε καὶ γυναῖκες ἐάσαντες τὰ τείχη, ἦν δὲ πρωΐ. Ἰδόντες δὲ οἱ Τοῦρκοι ὅτι τὰ τείχη εἰσὶν ἄνευ ἀνθρώπων, ἐκ τοῦ μέρους τοῦ χαμηλοτέρου θέντες κλίμακας καὶ ἥλους ἀνέβησαν εὐθέως ὥσπερ ἀετοὶ οἱ γενίτζαροι θέντες σκῆπτρον ἐν τοῖς τείχεσι, μὴ εἰδότες οἱ ἐν τῷ αἰγιαλῷ ὄντες τὸ δρᾶμα ἕως οὗ ἠλάλαξαν· ἀναβάντες οὖν δρομαῖοι εὗρον Τούρκους ἀναριθμήτους ἁρπά-

ζοντας γυναῖκας καὶ παῖδας· ἔρριψαν οὖν πῦρ οἱ ἐντόπιοι ὅπως φοβηθέντες φύγωσιν, αὐτοὶ δὲ ἀνέβαινον πλείονες μὴ δεδοικότες τὸ πῦρ |. Ἀπετεφρώθησαν οὖν καὶ οἶκοι καὶ ναοί, ἀλλ' φ. 6 οὖν ἔλαβον αὐτὴν ἀπονητί· συνάξαντες δὲ ἅπαντας ἄνδρας ἀπὸ δωδεκαετοῦς καὶ ἄνω ἀπέκτειναν αὐτοὺς ἐν στόματι μαχαίρας.

Ἰδόντες δὲ οἱ Κορωναῖοι ἔστειλαν τὰς κλεῖς φοβηθέντες μήπως πάθωσι καὶ αὐτοὶ τὰ ὅμοια, καὶ οὐκ ἐποίησεν αὐτοῖς οὐδὲν κακόν· ὕστερον κατεβίβασεν αὐτοὺς ἐκ τοῦ κάστρου ἐάσας μόνον Τούρκους φυλάττειν αὐτὸ, γυναῖκας δὲ καὶ παῖδας τοὺς ἐκ τῆς Μεθώνης ἔλαβεν ἅπαντας αἰχμαλώτους ἔν τε Δύσει καὶ Ἀνατολῇ.

Οὕτως γέγονεν ἡ ἅλωσις τῆς Μεθώνης· ἐπροσεκύνησε δὲ καὶ ὁ Ἀβαρῆνος. Ἐλθὼν δὲ ὁ αὐθέντης ἐν Κωνσταντινουπόλει ἡσύχασεν ἐν καιροῖς πλείστοις διὰ τὸ γενέσθαι αὐτὸν ἐν ἀσθενείᾳ τὸν πλείονα χρόνον, ἀρθρίτης γὰρ αὐτῷ περιεγένετο κυριεύσας ἅπαν τὸ σῶμα αὐτοῦ· καὶ ποιήσας εἰρήνην μετὰ πάντων ἔμεινεν ἡσυχάζων.

(1) Εἴπωμεν καὶ τὰ τῆς ἐκκλησίας. Πατριαρχεύσας οὖν ὁ κῦρις Συμεὼν ἔτη ἓξ ἐτελεύτησεν· συνόδου οὖν γεναμένης ἦλθον πάντες οἱ ἀρχιερεῖς Δύσεώς τε καὶ Ἀνατολῆς· ἦν γὰρ ἐν τοῖς καιροῖς ἐκείνοις ἀρχιερεῖς χρησιμώτατοι, ἦν γὰρ ὁ Ἐφέσου κῦρις Δανιὴλ μέτοχος λόγου καὶ ἕτεροι οὐκ ὀλίγοι, ἐξ ὧν εἷς ἦν καὶ ὁ Θεσσαλονίκης κῦρις Νήφων· ἐποίησαν οὖν ψήφους καὶ ἔπεσον οἱ ψῆφοι εἰς τὸν Θεσσαλονίκης καὶ ἐποίησαν αὐτὸν πατριάρχην· ἦν γὰρ ἐν πᾶσι χρησιμώτατος καὶ ἔχων πλάτος γλώσσης ὡς οὐδεὶς τῶν τότε ἀρχιερέων· ἐδίδα|σκε γὰρ φ. 6 καθ' ἑκάστην ἐπὶ ἄμβωνος, οὐ γὰρ ἦν μέτοχος φιλοσοφίας, ἀλλ'

(1) Ἐν περιθ. Περὶ πατριάρχου.

ἦν ἐν αὐτῷ πλάτος νοὸς καὶ γλώττης ὡς ὑπερβαίνειν τοὺς τότε φιλοσόφους· ἦν γὰρ τῷ γένει ἐκ Πελοποννήσου ἐκ μητρὸς Ρωμαῖος εὐγενής, ἐκ δὲ πατρὸς ἄρχοντος Ἀλβανίτου· ἐκ νεαρᾶς δὲ ἡλικίας ποθήσας τὴν μοναχικὴν πολιτείαν ἀφεὶς τοὺς γεννήτορας ἐπορεύθη ἐν τῷ Ἁγίῳ Ὄρει, κἀκεῖ γέγονε μοναχὸς, εἶτα καὶ ἱερεύς· ἐδιέμεινε δὲ χρόνους ἱκανοὺς ἐν τῇ μονῇ τῇ λεγομένῃ τοῦ Παντοκράτορος· ὡς δὲ ἡ Θεσσαλονίκη ἔμεινε χηρευαμένη ἐκ τοῦ ἀρχιερέως αὐτῆς ἐζήτησαν αὐτὸν οἱ Θεσσαλονίκιοι τοῦ ποιῆσαι αὐτὸν ἀρχιερέα· ἡ φήμη γὰρ αὐτοῦ ἦν ἐν ταῖς τῶν πάντων ἀκοαῖς· οὐ γὰρ ἠθέλησε τοῦ ἐξελθεῖν ἐκ τῆς μονῆς, ἀλλ' οὖν οἱ ἐν τῇ μονῇ πατέρες διέκριναν ὅτι ὠφελείας λαοῦ ἕνεκεν ἀνάγκη ἐστὶν ὅπως πορευθῇς μετὰ καὶ τῶν ἡμετέρων εὐχῶν· ἀλλ' οὖν γέγονε Θεσσαλονίκης καὶ ἄκων, ὕστερον δὲ ἀνεβιβάσθη καὶ εἰς τὸν ὑψηλότατον θρόνον τῆς Κωνσταντινουπόλεως· τοιοῦτον γὰρ ἡ ἀρετή.

Ἀλλὰ ἀνέλθωμεν πάλιν ὅθεν ἐξήλθομεν. Ἀποθανὼν γὰρ ὁ κῦρις Συμεὼν κατέλειπε βίον ἄπειρον καὶ οὐκ ἐποίησεν ἐν τῇ ζωῇ αὐτοῦ οἰκονομίαν τινὰ ὅπως γένηται ὁ βίος τῆς ἐκκλησίας. Ἐλθὼν γὰρ ὁ κῦρ Νήφων οὐκ ἐδέξατο τὸν τοῦ Ἀμηρούτζη υἱὸν τὸν Σκεντέρμπεϊ, ἦν γὰρ χασνατάρμπασις καὶ Τραπεζούντιος καὶ γείτων τῆς Παμμακαρίστου, καὶ εἰδὼς ὡς οὐκ ἔχει κληρονόμον ὁ ἀποθανὼν ἐποίησε τὸν ἅπαντα βίον οὐ
16. μόνον τὸν ἐκείνου, ἀλλὰ καὶ τὸν τῆς ἐκκλησίας αὐθεντικὸν, | λέγοντος αὐτοῦ ὅτι, ἐπροσήλωσεν σκεύη ἱερὰ εἰς τὴν αὐτοῦ πατριαρχείαν, ἅπαντα γενήσονται αὐθεντικά· ἔλαβον γὰρ Εὐαγγέλια κεκοσμημένα, ἱερὰ καλύμματα διάφορα, δεκανίκια ἐξ ἀργύρου, καὶ τί χρὴ λέγειν; ἔλαβον γὰρ εἰς ποσὸν (1) χιλιάδων ἑκατὸν ὀγδοήκοντα· ἔβαλλον δὲ καὶ πάντας τοὺς κληρικοὺς

---

(1) χ. ὁποσόν.

ἐν τῇ φυλακῇ, καὶ ἐγένετο διωγμὸς οὐκ ὀλίγος· μὴ ἔχων δὲ ὁ πατριάρχης ὅ, τι καὶ δράσειεν, οἰκονόμησε μάρτυρας ὅπως μαρτυρήσωσιν ὅτι ὁ Βασίλειος ἐστὶν ἀνεψιὸς αὐτοῦ, τῆς μητρὸς γὰρ αὐτοῦ ἀδελφὸν λέγοντες εἶναι τὸν πατριάρχην· ἐμαρτύρησαν δὲ οὕτως. Ὁ ἀλιτήριος δὲ Σκεντέρμπεῒς ἠπίστατο καλῶς ὅτι ψευδῶς ἐμαρτύρησαν, οὐ γὰρ ἦν ὡς εἶπον, ἀλλ' ἦν ἀνεψιὸς ἐκ μικρᾶς θείας υἱός· πιάσαντες οὖν αὐτοὺς ἀπέκοψαν τὰς ῥῖνας αὐτῶν καὶ τῶν τριῶν, εἷς γὰρ ἦν ἐξ αὐτῶν ἱερομόναχος ὀνόματι Ἀντώνιος. Ὀργισθεὶς οὖν ὁ αὐθέντης τὸν πατριάρχην ἐξέωσεν αὐτὸν, οὐ γὰρ ἠγάπησεν αὐτὸν ὁ μιαρὸς Σκεντέρμπεῒς, ἐξέβαλον δὲ αὐτὸν οὐ μόνον τοῦ θρόνου, ἀλλὰ καὶ τῆς Πόλεως.

Ἵστατο δὲ ὁ θρόνος ἄνευ πατριάρχου καιρὸν οὐκ ὀλίγον· ἀλλ' οὖν πάλιν εἰσήει ὁ πατριάρχης ἄνευ βουλῆς τοῦ αὐθεντὸς μόνον μὲ λόγον τοῦ τευτέρη ὅπως πληρώσῃ τὸ χαράτζιον, καὶ πάλιν ἐξέωσαν αὐτόν. Ὥρισεν οὖν ὁ αὐθέντης ὅπως ποιήσωσιν ἕτερον πατριάρχην· ἀπορήσαντες οὖν οἱ κληρικοὶ ᾐτήσαντο ὅπως ποιήσωσι πατριάρχην τὸν κῦρ Διονύσιον ὄντα ἐν τῇ μονῇ τῆς Κοσινήτζου· καὶ πορευθέντες μετὰ αὐθεντικοῦ ὁρισμοῦ | καὶ μὴ θέλοντα ἔφερον αὐτὸν, ἦν γὰρ γηραιὸς λίαν· ὁ [φ. 6] δὲ Κυρίτζης ὑπῆρχεν, ὡς ὢν καὶ ἐξ ἀρχῆς αὐθέντης αὐτοῦ, αὐτὸς γὰρ ἠγόρασεν αὐτὸν ἐκ τῆς ἁλώσεως τῆς Πόλεως· ἦσαν γὰρ ἅπαντα τὰ ἐκκλησιαστικὰ εἰσοδήματα ἐν ταῖς χερσὶν αὐτοῦ ἔν τε εἰσόδοις καὶ ἐξόδοις. Ἦν γὰρ ὁ αὐτὸς πατριάρχης ἄκρος τὴν ἀρετὴν καὶ πεπαιδευμένος τὴν μοναχικὴν πολιτείαν ὡς ἄλλος οὐδείς· ἦν γὰρ ἐν αὐτῷ ἀγρυπνία καὶ στάσις πάννυχος καὶ νηστεία καὶ ἀκτημοσύνη, οὐ γὰρ ἐκάθισεν ἐν ἵππῳ τοῦ πορευθῆναί που, ἀλλὰ πεζοπορῶν ἐπορεύετο. Γεγόνασι δὲ καὶ σεισμοὶ μέγιστοι ἐν τῇ πατριαρχείᾳ αὐτοῦ, καὶ περιπατῶν ἐπορεύετο καὶ ἐποίει δεήσεις ἐκ ναοῦ εἰς ναὸν τοὺς ἐγγὺς καὶ τοὺς πόρρω, ἀεὶ πεζοπορῶν· ποιήσας οὖν ἐν τῇ πατριαρχείᾳ ἔτη δύο καὶ μῆνας ἕξ, ἐποίησε παραίτησιν.

(1) Εἴπωμεν καὶ τὰ γεγονότα ἐν τῇ ἡγεμονίᾳ τοῦ σουλ-
τὰν Μπαγιαζήτη. Γέγονε γὰρ πρὸ καιροῦ μάχη μετὰ τῶν
Τζιντίδων, ἔστειλε δὲ ὁ αὐθέντης φουσάτα τῆς Ἀνατολῆς καὶ
ἐγένετο πόλεμος εἰς τὰ Ἄττανα ἐν τῇ Καραμανίᾳ· ἦν γὰρ
μπεγλερμπεῖς ὁ Χαρσώγλης, γαμπρὸς ὢν τοῦ αὐθεντὸς ἐν τῇ
θυγατρὶ αὐτοῦ, πολέμου δὲ γενομένου ἐπίασαν αὐτὸν ζῶντα
καὶ ἠφάνισαν φουσάτα ἄπειρα αὐτοῦ· μετὰ δὲ καιροῦ παρα-
δρομὴν γεναμένης ἀγάπης ἀπέλυσαν αὐτόν. Γέγονε δὲ καὶ
σεισμὸς ἐν Κωνσταντινουπόλει καὶ ἔπεσαν τὰ τείχη τῆς πό-
67. λεως ἐν ἔτει ζιζ', καὶ ἔπεσαν ἱμεράτια |, ναοὶ καὶ οἶκοι πολ-
λοὶ ἠφανίσθησαν.

Ἐν ἐκείνοις δὲ τοῖς καιροῖς ἀνεφάνη τις ἐκ Περσίας ὀνόματι Σὰχ Κουλῆς, δοῦλος τοῦ Ἰσὰχ Ἰσμαὴλ, μετὰ ὁρμῆς μεγάλης, ἔχων δὲ λαὸν οὐκ ὀλίγον ἔκ τε Καραμανίας καὶ ἐκ τῶν Βαρσάκιδων καὶ Τουλκατηρτίδων ἐλθὼν μέχρι Κονιατίου ἔχων λαὸν μέχρι καὶ χιλιάδων κ'. ὅθεν ἐξελθὼν ὁ μπεγλερμπεγῆς ὀνόματι Καραγκιὸζ πασιᾶς καὶ οἱ μετ' αὐτοῦ. Ἀκούσας δὲ ὁ σουλτὰν Μπαγιαζίτης ἀπέστειλε τὸν Ἀληπασιᾶ μετὰ γενιτζάρων καὶ σπαχίδων καὶ φουσάτα τῆς Ἀνατολῆς· αὐτὸς δὲ οὐκ ἐδειλίασεν, ἀλλ' ἵστατο περιμένων ἄνευ τινὸς φόβου ἁρπάζων καὶ ἀφανίζων τὰ ἐγγὺς καὶ τὰ πόρρω· ἐλθὼν δὲ ὁ πασιᾶς ἐν τοῖς μέρεσιν ἐκείνοις οὐκ ἐποίησεν εὐθέως πόλεμον, ἀλλ' ἐμήνυσε τοὺς σουμπάσιδες καὶ μεγιστᾶνας τῶν Καραμανιτῶν καὶ ἔδωκεν αὐτοῖς δωρεὰς καὶ ἱμάτια ὅπως πιάσωσι καὶ δώσωσιν αὐτὸν ἐν ταῖς χερσίν, εἰπόντων ὅτι ὁ Σαχκουλῆς εἰς ἡμᾶς ἔχει θάρρος ὅπως βοηθήσωμεν αὐτῷ ἐν τῷ πολέμῳ καὶ ἡμεῖς πιάσαντες αὐτὸν ζῶντα δώσωμεν ἐν ταῖς χερσὶ δέσμιον. Πιστεύσας οὖν αὐτοῖς δέδωκε πόλεμον μετ' αὐτοῦ, οἱ δὲ Καραμανλῆδες ἦσαν καὶ ἐκ τῶν δύο μερῶν, δεικνύοντες ὅτι βοη-

(1) Ἐν περιθ. Περὶ βασιλέως.

θῶσι τοὺς Ὀτμανλίδες ἔφευγον καὶ αὐτοί· καὶ νικᾷ ὁ Σαχκουλῆς καὶ ἀπέκοψαν τὴν κεφαλὴν τοῦ πασιᾶ. Καὶ πάλιν στρέψαντες οἱ Καραμανιῶται συνάπτουσι πόλεμον μετὰ Σαχκουλῆ, καὶ ἐνίκησαν αὐτὸν, καὶ ἔφυγε, καὶ ἄραντες καὶ τῶν δύο μερῶν | τάς τε σκευὰς καὶ ἅρματα καὶ ἵππους καὶ καμήλους, φ. ἐπορεύθησαν οἴκαδε.

Ὁ δὲ σουλτὰν Μπαγιαζίτης γέγονε κλινήριος, ἐκυρίευσε γὰρ αὐτὸν ὁ ρευματισμὸς ἐν ὅλῳ τῷ σώματι· ἔδοξε γὰρ αὐτῷ ὅπως δώῃ τὴν ἡγεμονίαν πρὸς τὸν υἱὸν αὐτοῦ τὸν σουλτὰν Ἀχουμὰτ ἔτι ζῶντος αὐτοῦ. Ὢν δὲ ὁ σουλτὰν Σελήμης ἡγεμονεύων ἐν τῇ Τραπεζοῦντα ἔμαθε τὴν τοῦ πατρὸς αὐτοῦ βουλὴν ὅπως οἰκονομῇ δοῦναι τὴν αὐθεντίαν πρὸς τὸν αὐτοῦ ἀδελφόν· καὶ πρῶτον ᾐτήσατο τὴν ἡγεμονίαν τοῦ Καφᾶ καὶ τῆς Περατείας πάσης δοῦναι τῷ υἱῷ αὐτοῦ τῷ σουλτὰν Σουλεϊμάνῃ, ἔλαβε δὲ αὐτήν· ἐποίησε δὲ τοῦτο τεχνηέντως ἵνα, ὅταν μάθῃ ἀκριβῶς ὅτι ἑτοιμάζεται ἡ σκαιωρία, (ἔσχε γὰρ κατασκόπους ἐν τῇ Πόλει καὶ ἐν τῇ Ἀμασείᾳ μαθαίνοντας τὰς βουλὰς καὶ πράξεις), καὶ αὐτὸς πορευθεὶς ἐν τῷ Καφᾷ ἵστατο ἀναμένων τί ἂν γένηται. Ὡς δὲ ἔμαθεν ὅ, τι ἤδη γέγονεν, ἄρας φουσάτον ἐκ τῶν Σκυθῶν τοῦ Χάνη καὶ τοὺς ἰδίους τῆς πόρτας αὐτοῦ καὶ ἑτέρους παρεισάκτους ἐπορεύθη ἐκ τῆς στερέας μετὰ τοσούτου φωσάτου τοὺς τραχεῖς καὶ δυσβάτους τόπους καὶ τοὺς μεγίστους ποταμοὺς ἐκείνους ἐν ὥρᾳ χειμερινῇ κατήντησεν ἐν τῷ Κελλῇ καὶ Ἀσπροκάστρῳ. Ὁ δὲ σουλτὰν Ἀχουμάτις μηνυθεὶς ὑπὸ τοῦ πατρὸς αὐτοῦ ἦλθε μέχρι Πόλεως ἄντικρυ ἐν τῷ λεγομένῳ Βρίᾳ καὶ ἐλθὼν νυκτὸς κρυφίως εὑρέθη μετὰ τοῦ πατρὸς αὐτοῦ· οὐ γὰρ ἠγάπουν αὐτὸν οἱ γενήτζαροι ὡς ὅτι οὐκ εἶδον ἐξ αὐτοῦ βοήθειαν ὅτε ἐπολέμησαν μετὰ τοῦ Σαχκουλῆ· ἀλλ' οὖν | οὐκ ἦν ἐκ τοῦ θεοῦ φ. λαβεῖν τὴν βασιλείαν, ὅθεν ὑποστρέψας πάλιν ἀπῆλθεν ἐν τῇ Ἀμασίᾳ κενὸς μηδὲν διαπραξάμενος.

Ὁ δὲ σουλτὰν Σελήμης ἦλθεν ἐν τῇ Ἀδριανουπόλει· μαθὼν δὲ ὁ πατὴρ αὐτοῦ ὡς ἀδεῶς καὶ φανερῶς βούλεται κυριεῦσαι, ἐξῆλθεν ἐκ τῆς Πόλεως μετὰ καὶ τῆς πόρτας αὐτοῦ καὶ μερικοῦ φουσάτου τοῦ εὑρεθέντος ὅπως ἀκούσας ἀποδράσεις φοβηθείς· αὐτὸς δὲ οὐδόλως ἐδειλίασεν, ἀλλὰ μᾶλλον ἐπορεύετο μετ' ὁρμῆς τοῦ πολεμῆσαι αὐτὸν ὡς ὑπεναντίον τὸν πατέρα αὐτοῦ. Ὅθεν ὁ σουλτὰν Μπαγιαζήτης ἐσκήνωσεν ἐγγὺς χωρίου τοῦ λεγομένου Σιρτάκιοϊ πλησίον ποταμοῦ· ὁ δὲ σουλτὰν Σελήμης ἦλθε καὶ αὐτὸς μετὰ τοῦ φωσάτου αὐτοῦ καὶ ἐσκήνωσε καὶ αὐτὸς ἀναισχύντως ἀντίκρυ, ζητῶν πόλεμον φανερῶς. Πρωΐας οὖν γεναμένης συνάπτει πόλεμον ὁ γηραιός· οὐ γὰρ ἐκάθισεν ἐν ἵππῳ ἐκ πολλοῦ, ἀλλ' ἐν ἁμάξῃ σύροντες ἵπποι· ὡς δὲ ἔστησαν τὰ φουσάτα ἐξ ἑκατέρου μέρους, ἦν γὰρ ἀγᾶς τῶν γενητζάρων, νεύσας οὖν τὴν ἅμαξαν ἐπορεύθη ἐπάνω τοῦ υἱοῦ αὐτοῦ· εἰ γὰρ ἠθέλησεν ὁ αὐθέντης ἀπέκτεινεν αὐτὸν, ἀλλὰ δόντες αὐτῷ δρόμον πάλιν οἱ γενήτζαροι ἔφυγεν ἐκ μέσου αὐτῶν· πολέμου οὖν σφοδροῦ γενομένου ἀπέδρασεν ὁ σουλτὰν Σελήμης, καὶ ὥρμησαν πάντες φεύγειν, καὶ διώκοντες αὐτοὺς, τοὺς μὲν ἀπέκτειναν, τοὺς δὲ ἔφερον ζῶντας, καὶ ἦν ἰδεῖν αὐτοὺς φεύγοντας ἐν τοῖς ὄρεσι καὶ βουνοῖς τῆς Μαύ-
68a ρης θαλάσσης γυμνοὺς καὶ ἀσκεπεῖς |, οἱ πλείονες δὲ καὶ πεζοποροῦντες· εὑρίσκοντες γὰρ αὐτοὺς οἱ ἐντόπιοι ἐκδύοντες αὐτοὺς ἀπέλυον. Ὁ δὲ σουλτὰν Σελήμης φεύγων ἦλθεν εἰς λιμένα ἐν τῇ Μηδείᾳ καὶ εὑρὼν πλοῖον ἀνέβη ἐν αὐτῷ καὶ ἦλθεν ἐν τῇ Βάρνῃ μετὰ μερικῶν ἀνθρώπων ἰδίων αὐτοῦ. Ὁ δὲ πατὴρ αὐτοῦ ἦν ἐν τῷ τόπῳ οὗ ἐγεγόνει ὁ πόλεμος, καὶ τοὺς ζῶντας οὕσπερ ἔφερον ἐκ τῶν ἐκλεκτῶν αὐτοῦ ἀνθρώπων ἀπεκεφάλισεν ἅπαντας. Ὁ δὲ σουλτὰν Σελήμης πάλιν ἐπεραιώθη ἐν τῷ Καφᾷ, ἠφάνισται γὰρ πᾶσα ἡ ἰσχὺς αὐτοῦ, ἀπώλεσε γὰρ ἅπαντας τὰς σκηνὰς καὶ ἵππους καὶ ἅρματα καὶ ἀνθρώπους τοὺς ἐκλεκτοτέρους. Ὁ δὲ σουλτὰν Μπαγιαζήτης ἦλ-

θεν ἐν Κωνσταντινουπόλει· ἀλλ' ὅρα τὰ τοῦ θεοῦ· τίς γάρ φησιν ἔγνω νοῦν Κυρίου, ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο; ἅμα γὰρ τοῦ ἐλθεῖν τὸν αὐθέντην ἐν τῇ Πόλει ἐποίησαν βουλὴν οἱ γενήτζαροι ὅπως αἱρήσονται τὸν σουλτὰν Σελήμην ἀρχηγὸν τοῦ στρατεύειν καὶ περιπατεῖν ἐν πολέμοις λέγοντες, ὅτι ὁ αὐθέντης ἐστὶ γέρων καὶ ἀσθενὴς καὶ οὐ δύναται στρατεύειν μεθ' ἡμῶν· καθιζέσθω οὖν ἐν τῷ θρόνῳ αὐτοῦ καὶ ἡμεῖς μετὰ τοῦ σουλτὰν Σελήμη πορευσώμεθα κατὰ τῶν ὑπεναντίων, οὐ γὰρ θέλομεν καθέζεσθαι ἄνευ πολέμων καὶ κερδῶν· ἀνήφερον δὲ τὸν αὐθέντην ὅτι οὕτως αἰτῶσι παρὰ σοῦ οἱ δοῦλοί σου. Ἀκούσας δὲ ταῦτα οὐκ ἀπεδέχθη τὴν αἴτησιν αὐτῶν, ἀλλὰ βαρέως ἤκουσεν· ἰδόντες δὲ οἱ γενήτζαροι ὅτι οὐκ ἀκούει αὐτοῖς, στασιάσαντες καὶ εἰς ἓν γεγονότες τοῦ ἀποκτεῖναι τοὺς βεζηρίδες καὶ κουρσεύσωσι καὶ τὴν Πόλιν· μὴ ἔχων δὲ ὁ αὐθέντης ὅ, τι καὶ δράσειεν καὶ ἄκων ἔστερξεν ὅπως φέρωσιν αὐτόν· τοσοῦτον γὰρ ἠγάπησεν ὁ λαὸς ἅπας αὐτόν, ὡς καὶ παῖδες καὶ παιδίσκαι καὶ βρέφη | ἐλάλουν τὸ ὄνομα αὐτοῦ. φ. 6 Δραμόντες γὰρ μετὰ σπουδῆς τοῦ ἐνεγκεῖν αὐτὸν ἔδραμε καὶ ὁ ἕτερος υἱὸς τοῦ αὐθεντὸς ὁ σουλτὰν Κουρκούτας αἰφνιδίως ἐκ Μαγνησίας καὶ εὑρέθη ἐν τῇ Πόλει ἐν τοῖς τῶν γενητζάρων ὀντάσι, καὶ ἰδόντες αὐτὸν ἐξεπλάγησαν· λέγει γὰρ πρὸς αὐτοὺς μετὰ δακρύων ὅτι, ἐγὼ ἠξεύρετε πῶς ἔχω δίκαιον ἐκ τῶν ἄλλων μου ἀδελφῶν ὅπως ἐκαθέσθην εἰς τὸν θρόνον τοῦ πάππου μου ὅταν ἀπέθανεν, ἕως οὗ ἦλθεν ὁ πατήρ· καὶ εἶχον θάρρος εἰς ὑμᾶς τοῦ εὑρεῖν βοήθειαν ἐξ ὑμῶν· οὐ γὰρ ἐξέρχομαι ἔτι ἐκ τῆς Πόλεως, βέλτιόν μοι ἐστιν ἀποθανεῖν ἐνταῦθα ἢ ἐν τῇ Μαγνησίᾳ. Ταῦτα δὲ καὶ πλείονα λέξας πρὸς αὐτοὺς μετὰ δακρύων, οὐκ ἔσχεν αὐτοὺς πειθομένους ὡς ὅτι ἐκ τῶν γιαμπάσιδων καὶ τῶν τζαχαγιάδων ἐπορεύθησαν τοῦ ἐνεγκεῖν τὸν σουλτὰν Σελήμην· εἶπον οὖν πρὸς αὐτόν· καλὸν ἦν, εἰ οὐχ ᾐτήσαμεν ἐκεῖνον, ἀλλ' οὖν οὐ δυ-

νάμεθα ποιεῖν ἀλλοτρόπως, ὅτι καὶ οἱ καλλιστεύοντες ἡμῶν ἐπορεύθησαν τοῦ συγχαριᾶσαι αὐτῷ· εἰ γὰρ ἐλθεῖν εἶχες πρὸ τοῦ ἡμᾶς αὐτὸν αἰτήσασθαι, εἴχομεν ποιῆσαι τὸ σὸν θέλημα, τανῦν δὲ οὐκ ἔστιν δυνατὸν βοηθῆσαί σοι. Ἀκούσας δὲ τὴν τῶν γενητζάρων ἀπολογίαν, οὐχ εἶχεν ὅ, τι καὶ δράσειεν, ὅμως πορευθεὶς προσεκύνησε τὸν πατέρα αὐτοῦ κλαίων καὶ ὀδυρόμενος· ἀλλ' οὐδὲ ἐξ αὐτοῦ εὗρέ τινα θεραπείαν. Ἀπορήσας οὖν ἐκ πάντων πάλιν ἐπορεύθη ἐν τῇ Μαγνησίᾳ βουλόμενος ἀντιμαχήσασθαι ἑτοιμάζων καὶ εὐτρεπιζόμενος τάχα εἰς τὸ δοκοῦν· οὐ γὰρ ἦν ἐκ θεοῦ τοῦ ἡγεμονεῦσαι, πᾶν γὰρ δώρημα τέλειον ἄνωθέν ἐστιν. Φέροντες γὰρ τὸν σουλτὰν Σελήμην οἱ ἀποσταλέντες, καὶ ὅταν ἐπλησίασαν ἐγγύς, ἐπορεύθη πᾶς ὁ λαὸς καὶ ὑπήντουν αὐτόν, καὶ οἱ μεγιστᾶνες ἅπαν-
p. 69. τες οἱ τῆς πόρτας [· ἔρριψε δὲ τὰς σκηνὰς καὶ τὸν λαὸν αὐτοῦ ἅπαντα ἐντὸς τῆς Πόλεως εἰς τὸ Γενήμπαχτζα· ποιήσας δὲ ἡμέρας τινὰς ἅπαντες ἤρχοντο καθ' ἑκάστην προσκυνοῦντες αὐτόν, ἀφέντες τὸν γηραιὸν αὐθέντην μόνον. Ἐν μιᾷ οὖν ἡμέρᾳ ὁπλισθέντες οἱ γενήτζαροι τὸν ἀριθμὸν χιλιάδες δέκα ἐπορεύθησαν ἐν τῷ σαραγίῳ ἀπαιτοῦντες τοὺς πασιάδες ἵνα εἴπωσι τὸν γηραιὸν αὐθέντην ὅπως δῴη τὴν αὐθεντίαν πρὸς τὸν υἱὸν αὐτοῦ· ἦσαν δὲ μπασιάδες ὁ Μουσταφᾶ πασιᾶς καὶ ὁ Χαρσέογλης, ἠνάγκασαν δὲ αὐτοὺς τοσοῦτον, ὡς ἐὰν οὐ ποιήσωσι τὸ ἑαυτῶν θέλημα, ἀποκτενῶσιν αὐτοὺς καὶ τὴν Πόλιν ἔρημον θήσωσι· ἀκούσαντες δὲ οἱ βεζήριδες ἐκ τοῦ φόβου αὐτῶν οὐκ εἶχον τὶ δρᾶσαι φοβούμενοι καὶ αὐτοὺς καὶ εὐλαβούμενοι καὶ τὸν γηραιόν, πῶς γὰρ ἔμελλον εἰπεῖν αὐτῷ ἵνα παρῃτήσηται τὴν βασιλείαν αὐτοῦ ζῶν; Εἰσίεσαν οὖν καὶ ἄκοντες ἀνήφερον τὸν γηραιὸν αὐθέντην ἅπαντα τὰ γενόμενα, καὶ ὅπως ἵστανται οἱ γενήτζαροι μετὰ ὅπλων ἡμᾶς περιμένοντες, καὶ ἐὰν οὐ ποιήσῃς τὸ θέλημα αὐτῶν μέλλουσι καὶ σὲ καὶ ἡμᾶς ἀποκτεῖναι καὶ ποιῆσαι ὡς θέλουσι. Ἀκούσας δὲ ὁ αὐθέν-

της βαρέως ἀπεδέχθη, καὶ δακρύσας κατηράσατο τὸν υἱὸν αὐτοῦ, οἱ δὲ γενήτζαροι ἐβόων ἔξω ἑστῶτες καὶ περιμένοντες ὥσπερ ἄγριοι θῆρες· ἠρώτησε δὲ ὁ αὐθέντης ὅτι ἄνευ τῶν γενητζάρων οἱ ἕτεροι τὶ λέγουσι περὶ τούτου; Εἶπον δὲ οἱ βεζήριδες, ὅτι ἐξέκλιναν ἅπαντες μικροί τε καὶ μεγάλοι· μὴ ἔχων δὲ τὶ ποιῆσαι καὶ ἄκων δέδωκε πρὸς αὐτὸν τὴν βασιλείαν ἐν ἔτει ζκ΄ μηνὶ ἀπριλλίῳ κδ΄ !. φ. 69

Ἅμα δὲ πρωῒ ἄραντες αὐτὸν οἱ ἐν τέλει τῆς πόρτας βεζήριδες καὶ ἀγάδες καὶ πλῆθος λαοῦ ἐπορεύθη πρὸς τὸν πατέρα αὐτοῦ καὶ προσεκύνησε καὶ ἠσπάσατο τὴν χεῖρα αὐτοῦ, καὶ δέδωκε καὶ ἄκων πρὸς αὐτὸν τὴν ἡγεμονίαν αὐτοῦ. Αὐτὸς δὲ ἐξελθὼν ἐκ τῆς Πόλεως ἐπορεύθη ἐν τῷ Διμοτείχῳ, καὶ ἅμα ἐν τῷ πορευθῆναι ἐν τρισὶν ἑβδομάσιν ἐτελεύτησεν, καὶ ἔφερον τὸ νεκρὸν αὐτοῦ ἐν τῇ Πόλει καὶ ἔθαψαν αὐτὸ ἐν τῷ ὑπ' αὐτοῦ κτισθέντι ἡμαρατίῳ· ἐφημίσθη γὰρ ἐν τοῖς πλείοσιν ὡς ὁ Γιονοὺζ μπασιᾶς ἐφαρμάκευσεν αὐτὸν, ἀλλ' οὐκ ἦν ὡς δοξάζουσιν, ἀλλ' ἐκ τῆς χολῆς καὶ τῆς περιφρονήσεως ἐτελεύτησεν. Ἦν γὰρ ἐν τοῖς καιροῖς αὐτοῦ διάγων ἐν εἰρήνῃ, κερδῶντες ἅπαντες καὶ σπαταλῶντες· ἦν γὰρ ταπεινόφρων καὶ εἰρηνικὸς καὶ δικαιότατος καὶ ἐκ τῆς πολλῆς αὐτοῦ ταπεινώσεως ἐποίησαν οἱ γενήτζαροι πολλὰς ἀταξίας, ἐπάτησαν γὰρ καὶ οἰκίας οὐ μόνον Ἑβραίων ἀλλὰ καὶ βεζήριδων καὶ ἥρπασαν τοὺς βίους αὐτῶν.

(1) Εἴπωμεν καὶ τὰ τῆς ἐκκλησίας· ἐποίησε γὰρ παραίτησιν ὁ κῦρ Διονύσιος, ὡς προείπομεν, γέγονε δὲ πατριάρχης ὁ Σερρῶν, ᾧ ὄνομα Μανασσῆς μετονομάσαντες αὐτὸν Μάξιμον, ἦν γὰρ Ἁγιορίτης· γέγονε δὲ φήμη κατ' αὐτοῦ καὶ ὕβριζον αὐτὸν δικαίως ἢ ἀδίκως, αὐτὸς γὰρ οἶδε τοῦ δοῦναι λόγον ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως· ἐποίησε δὲ ἐν τῇ πατριαρχείᾳ ἔτη ἓξ,

---

(1) Ἐν περιθ. Περὶ πατριάρχου.

καὶ γεγονότων σκανδάλων μετά τινος μοναχοῦ ὀνόματι Γαβρι-
ὴλ, ἐξέωσαν αὐτὸν, καὶ πάλιν ἔφερον τὸν κῦρ Νήφωνα καὶ
70. ἐποίησεν ἔτος ἕν· καὶ πάλιν | ἐξέωσαν αὐτὸν, γεγονότων σκαν-
δάλων οὐκ ὀλίγων ἔκ τε τοῦ Μανασσῆ τοῦ πρὸ αὐτοῦ πατριάρ-
χου καὶ ἑτέρων μητροπολιτῶν τῶν μὴ θελόντων αὐτὸν, καὶ
γέγονε πατριάρχης ὁ Δράμας Ἰωακεὶμ, ἦν γὰρ τοῦ κυροῦ Διο-
νυσίου καλόγερος, νέος ἄνθρωπος ὢν, ἀγαθὸς τῇ γνώμῃ καὶ
χρησιμώτατος λίαν, εἰ γὰρ καὶ ἰδιώτης ἦν, ἀλλ' ἠγαπᾶτο ὑπὸ
πάντων. Ἐπορεύθη δὲ ἐν τῇ Ἰβερίᾳ καὶ ἐλθὼν μετὰ βίου ἀ-
πείρου οὐκ εἴασαν αὐτὸν εἰρηνεύειν, ἀλλά τις μητροπολίτης Ση-
λυβρίας, καθαιρεθεὶς διὰ τὸ εἶναι αὐτὸν φαυλόβιον καὶ αἰσχρὸν,
πορευθεὶς ἐποίησε προσθήκη ἐν τῷ χαρατζίῳ φλουρία (1) χί-
λια. Μὴ θέλων δὲ ὁ Ἰωακεὶμ στέρξαι αὐτὰ, ἔστερξαν αὐτὰ ὅ
τε λαὸς καὶ οἱ ἀρχιερεῖς καὶ ἐξέωσαν τὸν Σηλυβρίας καὶ πά-
λιν εἰσῆλθεν ὁ Ἰωακείμ. Ὀλίγου δὲ καιροῦ παρελθόντος γέ-
γονε ἔτι τοιοῦτον· ὁ γὰρ σουλτὰν Μπαγιαζήτης ἔτι ζῶν ἐ-
πορεύετο ἐν τοῖς μέρεσι τοῦ Χρυσοκεράμου καὶ θεωρεῖ ἓν ὀ-
σπήτιον μετὰ κεράμου, ἠρώτησε δὲ τί ἐστι τοῦτο; εἶπον οὖν
αὐτῷ ὅτι ἐκκλησία ἐστὶ τῶν χριστιανῶν, ἠρώτησε δὲ τοὺς ἐν-
τοπίους ἀνθρώπους, ὅτι ἐκκλησίαν ταύτην τίς ἔδωσε θέλημα
ἵνα κτίσητε αὐτήν; αὐτοὶ δὲ ἐν ἁπλότητι εἶπον, ὡς μετὰ βου-
λῆς τοῦ πατριάρχου· καὶ ὥρισεν ὅπως ποιήσωσιν ἕτερον· ἐ-
στειλεν οὖν κληρικοὺς πρὸς τὸν κῦρ Νήφωνα ὄντα ἐν τῇ Βλα-
χίᾳ, καὶ οὐκ ἠθέλησεν ἐλθεῖν· ἐγένετο οὖν σύνοδος καὶ ἐποίη-
σαν πατριάρχην τὸν κῦριν Παχώμιον μητροπολίτην ὄντα Ζη-
70'. χνῶν· ἐποίησε δὲ χρόνον ἕνα, καὶ πάλιν | τινὲς λαϊκοὶ φίλοι τοῦ
Ἰωακεὶμ ἐποίησαν ὅπως ἐξ οἰκείων ὑπαρχόντων δώσωσι τὸν
αὐθέντην φλωρία πεντακόσια καὶ δώῃ αὐτοῖς πάλιν τὸν Ἰωα-
κεὶμ πατριάρχην· ἐγένετο δὲ μετὰ σκεωρίας κρυφίως τοῦ Ἰωα-

(1) χ. φουρία.

κεὶμ, καὶ ἐξέωσαν πάλιν τὸν Παχώμιον· ἔλαβε δὲ πάλιν τὸν θρόνον ὁ Ἰωακεὶμ καὶ ὡς ἐν ὀλίγῳ ἐπορεύθη ἐν τῇ Μολδοβλαχίᾳ πρὸς τὸν Μπόγδανον, αὐτὸς δὲ οὐκ ἠθέλησε κἂν ἰδεῖν αὐτόν· ἐλθὼν δὲ ἐν τῇ Βλαχίᾳ εἰς τὸ Δρογόβιστον ἐκ τῆς χολῆς καὶ περιφρονήσεως κἀκεῖ ἐτελεύτησε, καὶ ἀνεβιβάσθη εἰς τὸν θρόνον ὁ Παχώμιος πάλιν· ἔχει γὰρ θεὸς ἔκδικον ὄμμα!

(1) Βασιλεύσας γὰρ ὁ σουλτὰν Σελήμης ἐπορεύθη καὶ ἐκάθισεν ἐν τῇ Προύσῃ· ἤφερον οὖν τοὺς τοῦ ἀδελφοῦ αὐτοῦ παῖδας ἐκ τῆς Καραμανίας καὶ ἀπέκτεινεν ἅπαντας, καὶ πορευθεὶς ἐν τῇ Μαγνησίᾳ κατὰ τοῦ ἀδελφοῦ αὐτοῦ τοῦ Κουρκοὺτ Τζελεπῆ, ὡς οὐκ ἠδυνήθη ἀντιστῆναι αὐτῷ, φυγὰς ᾤχετο ἐν τόποις δυσβάτοις, ἀλλ' οὖν ἀπεπίασεν αὐτὸν καὶ ἀπέπνιξε καὶ ἔφερον τὸ νεκρὸν αὐτοῦ ἐν τῇ Προύσῃ. Ἀπέμεινε δὲ ὁ σουλτὰν Ἀχουμάτης ὁ ἕτερος ἀδελφὸς αὐτοῦ ὢν ἐν τῇ Ἀμασίᾳ· ἐχείμασε δὲ ἐν τῇ Προύσῃ· εἶτα πορευθεὶς ἐκστρατεύει κατὰ τοῦ ἀδελφοῦ αὐτοῦ, αὐτὸς δὲ ὁ σουλτὰν Ἀχμάτης συνάξας φουσάτον μερικὸν ἐκ τῶν Καραμανιωτῶν καὶ τῆς πόρτας αὐτοῦ ἐξῆλθεν ἀντιμαχήσασθαι, ἐλπίσας ὁ ταλαίπωρος ὅτι εἰσὶ πιστοὶ οἱ Καραμανλίδες· συστάντος οὖν τοῦ πολέμου, ἀφέντες αὐτὸν ἔφυγον | καὶ προσεκύνησαν τὸν σουλτὰν Σελήμην· καταλειφθεὶς φ. 71. γὰρ μετὰ τῆς πόρτας αὐτοῦ μόνος παρεδόθη καὶ ἄκων, καὶ ἔφερον αὐτὸν ζῶντα πρὸς τὸν ἀδελφὸν αὐτοῦ, ἀξιῶν ὅπως συντύχῃ μετ' αὐτοῦ· οὐ γὰρ ἠθέλησεν ὅλως τοῦ ἰδεῖν αὐτόν, ἀλλὰ νεύσας μόνον ἄραντες ἀπέπνιξαν καὶ τοὺς δύο υἱοὺς αὐτοῦ· τοιουτοτρόπως ἐξωλόθρευσε πᾶσαν τὴν γενεὰν αὐτοῦ, χαίρων καὶ ἀγαλλόμενος ἐν αἱμάτων χύσεσι καὶ φόνοις· ὑπῆρχε γὰρ φοβερώτατος καὶ δικαιότατος ὥσπερ καὶ ὁ πάππος αὐτοῦ· ἀλλ' οὖν ἐβάρυνεν ἅπαν τὸ ὑπήκοον διὰ χρημάτων δόσεις καθ' ἕκαστον χρόνον, πολλάκις καὶ δὶς τοῦ ἐνιαυτοῦ· ἐν γὰρ τοῖς καιροῖς

(1) Ἐν περιθ. Περὶ βασιλέως.

τοῦ πατρὸς αὐτοῦ οὐκ ἠπίσταντο τὰς τοιαύτας δόσεις τὰ λεγόμενα σαγλήνια. Ἀπέκτεινε δὲ καὶ τὸν Μουσταφᾶ πασιᾶ ἔχων αὐτὸν ἐν κακίᾳ διὰ τὸν σουλτὰν Ἀχμάτην ὅπως ἐβουλεύσατο ἵνα δώῃ ὁ πατὴρ αὐτοῦ πρὸς ἐκεῖνον τὴν αὐθεντείαν, ὁμοίως καὶ τὸν Δουκακίνογλη καὶ τὸν Γιονούζμπασιᾶ, καὶ ἑτέρους ἀναριθμήτους ὧν οὐκ ἔστιν ἀριθμός· κατῆδας καὶ κριτὰς δὲ τοσοῦτον ἐξέωσε καὶ ἐτιμωρήσατο καὶ ἀπέκτεινε πλείστους. Εἰς δὲ τὸ ἡμέτερον γένος ἦν ἀγαθὸς, ἠνέῳξε δὲ καὶ ναοὺς οὓς ἀπέκλεισεν ὁ πατὴρ αὐτοῦ.

Ὡς ἐν ὀλίγῳ δὲ στρατεύει ἐν Περσίᾳ εἰς τὸν Σὰχ Ἰσμαήλ· οὗτος γὰρ ὁ Σὰχ Ἰσμαὴλ ὑπῆρχεν υἱὸς τοῦ Σὰχ Χαϊντὰρ, ὁ δὲ Σὰχ Χαΐντὰρ ἦν υἱὸς τοῦ Σὰχ Τζουνετῆ, ὑπῆρχον δὲ ἐκ γένους καταγόμενοι τοῦ Ἀλῆ· ὁ γὰρ Ἀλῆς ἐκεῖνος ἦν γαμπρὸς
71 τοῦ Μεχεμέτη τοῦ προφήτου αὐτοῦ l· ὑπῆρχον δὲ καὶ σεΐτιδες ἔχοντες τεκὲν καὶ χώρας ὅτι πλείστας καὶ λαὸν ἄπειρον· ὁ πάππους δὲ αὐτῶν ὁ Σὰχ Τζουνεΐτης, ἱσταμένης τῆς Τραπεζοῦντας γέγονε θανατικὸν καὶ ἔφυγον ὅ τε βασιλεὺς καὶ πάντες οἱ ἄρχοντες εἰς τόπον παράλιον, εἰσπηδήσας γὰρ ὁ Σὰχ Τζουναΐτης αἰφνιδίως μετὰ τοῦ λαοῦ αὐτοῦ ἐποίησε θνῆσιν πολλὴν, ἀποκτείνας ἅπαντας τοὺς καλλιστεύοντας καὶ ἀνδρείους οὓς εὑρέθησαν ἐν ὅπλοις· ἦσαν γὰρ ἐν ἀμεριμνίᾳ καθεύδοντες, καὶ ἁρπάσας βίον καὶ ἅρματα καὶ ἵππους ἀπέδρασε· μαθὼν δὲ ὁ σουλτὰν Μεχεμέτης ὅτι εἷς ντερβίσης ἐποίησε τοιαύτην νίκην ἐπορεύθη καὶ ἔλαβε τὴν Τραπεζοῦντα. Ἐτελεύτησε δὲ ὁ Σὰχ Τζουνεΐτης καταλείψας τὴν ἡγεμονίαν πρὸς τὸν υἱὸν αὐτοῦ τὸν Σὰχ Χαϊτάρ· οὗτος γὰρ ζητήσας ἵνα δώῃ αὐτῷ δρόμον ὁ Ρουστάμπεϊς ὁ τοῦ Οὐζοὺν Χασάνη υἱὸς (οὗτος γὰρ ἦν ἡγεμονεύων ἐν τῇ Περσίᾳ, ἔσχε γὰρ αὐτὸν ἐκ τῆς τοῦ βασιλέως κυροῦ Δαυῒδ θυγατρὸς τῆς δέσποινα Χατοῦς) ὅπως πορευθεὶς αἰχμαλωτίσῃ τὰ μέρη τῆς Τραπεζοῦντας· ὡς δὲ οὐκ ἔδωκεν αὐτῷ δρόμον συνῆψε πόλεμον μετ' αὐτοῦ καὶ νικήσας

ἀπέκοψε τὴν κεφαλὴν αὐτοῦ τοῦ Σὰχ Χαϊτάρ· ἔσχε δὲ υἱὸν ὁ Σὰχ Χαϊτὰρ ἐκ τῆς θυγατρὸς τοῦ Οὐζοὺν Χασάνη, τὸν Σὰχ Γσμαήλ· νεὸς γὰρ ἦν τὴν ἡλικίαν ἀλλ' ἐπιτήδειος ἐν πᾶσιν ἦν· κυριεύσας τοὺς τόπους καὶ χώρας ἅς εἶχον καὶ οἱ πατέρες αὐτοῦ· ὁ γὰρ Οὐζοῦν Χασάνης ἔσχε καὶ ἕτερον υἱὸν ὀνόματι Ο'γουρλοῦ Μεχμέτην | (1) ἐκ τῆς προτέρας γυναικὸς αὐτοῦ, καὶ φ· 72.
